ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

12

Α. ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ Δ΄

(ΟΜΙΛΙΑΙ ΟϚ΄ — Ϟ΄)

Β. ΥΠΟΜΝΗΜΑ


ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ Α΄

(ΟΜΙΛΙΑΙ Α΄ — ΙΘ΄)

ΕΙΣΑΓΩΓΗ

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ — ΣΧΟΛΙΑ

Ὑπὸ
ΠΑΝΑΓΙΩΤΟΥ ΠΑΠΑΕΥΑΓΓΕΛΟΥ
Διδάκτορος Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1979

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

12

Α. ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ Δ΄

(ΟΜΙΛΙΑΙ ΟS΄ — Ϟ΄)

Β. ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ Α΄

(ΟΜΙΛΙΑΙ Α΄ — ΙΘ΄)

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΟΜΙΛΙΑ ΟΣΤ΄

Ματθ. 24, 16-31

«Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη· καὶ ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβάτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ ἐν τῷ ἀγρῷ αὐτοῦ, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ».

1. Εἰπὼν περὶ τῶν κακῶν τῶν τὴν πόλιν καταληψομένων, καὶ τῶν πειρασμῶν τῶν ἀποστολικῶν, καὶ ὅτι ἀχείρωτοι μενοῦσι, καὶ πᾶσαν διαδραμοῦνται τὴν οἰκουμένην, λέγει πάλιν τὰς Ἰουδαϊκὰς συμφοράς, δεικνὺς ὅτι ὅταν ὦσιν οὗτοι λαμπροί, τὴν οἰκουμένην διδάξαντες ἅπασαν, τότε ἐκεῖνοι ἐν συμφοραῖς.

Καὶ ὅρα πῶς διηγεῖται τὸν πόλεμον, διὰ τῶν δοκούντων εἶναι μικρῶν παριστῶν αὐτοῦ τὸ ἀφόρητον. «Τότε» γάρ, φησίν, «οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη». «Τότε», πότε; Ὅταν ταῦτα γένηται, ὅταν τὸ βδέλυγμα τῆς ἐρημώσεως στῇ ἐν τόπῳ ἁγίῳ. Ὅταν μοι δοκεῖ τὰ στρατόπεδα λέγειν. Φεύγετε τοίνυν τότε, φησίν· οὐδεμία γὰρ λοιπὸν ἐλπὶς σωτηρίας ὑμῖν. Ἐπειδὴ γὰρ συνέβη πολλάκις αὐτοὺς ἀνενεγκεῖν τοῖς πολέμοις χαλεποῖς, οἷον ἐπὶ τοῦ Σεναχηρείμ, ἐπὶ Ἀντιόχου πάλιν (καὶ γὰρ καὶ τότε στρατοπέδων ἐπεισελθόντων καὶ τοῦ ναοῦ προκαταληφθέντος, συστραφέντες οἱ Μακκαβαῖοι μετέστησαν εἰς τὸ ἐναντίον τὰ πράγματα)· ἵνα οὖν μὴ καὶ νῦν τοῦτο ὑποπτεύσωσιν, ὅτι ἔσται τις μεταβολὴ τοιαύτη, πᾶν τὸ τοιοῦτον αὐτοῖς ἀπαγορεύει. Ἀγαπητὸν γάρ, φησί, τὸ γυμνῷ τῷ σώματι σωθῆναι λοιπόν. Διὰ τοῦτο καὶ τοὺς ἐπὶ τῶν δωμάτων οὐκ ἀφίησιν εἰς τὴν οἰκίαν εἰσελθεῖν,

---

1. Ἐννοεῖ τὴν Ἰερουσαλήμ. Βλ. Ματθ. 23, 37.
2. Βλ. Δανιὴλ 9, 26-27.
3. Βλ. Δ΄ Βασιλ. 18, 13.
4. Βλ. Α΄ Μακκαβ. 1, 20-24.

ΟΜΙΛΙΑ ΟΣΤ΄

Ματθ. 24, 16-31

«Τότε ἐκεῖνοι ποὺ εἶναι εἰς τὴν Ἰουδαίαν ἂς φεύγουν πρὸς τὰ βουνά, ἐκεῖνος ποὺ εἶναι ἐπάνω εἰς τὴν ταράτσαν, ἂς μὴ κατέβῃ νὰ πάρῃ τὰ πράγματά του ἀπὸ τὴν οἰκίαν, καὶ ἐκεῖνος ποὺ εἶναι εἰς τὸν ἀγρόν, ἂς μὴ ἐπιστρέψῃ νὰ πάρῃ τὰ ἐνδύματά του».

1. Ἀφοῦ ὡμίλησε περὶ τῶν δεινῶν τὰ ὁποῖα θὰ εὕρουν τὴν πόλιν[1] καὶ περὶ τῶν δοκιμασιῶν τὰς ὁποίας θὰ ὑποστοῦν οἱ Ἀπόστολοι καὶ περὶ τοῦ ὅτι θὰ μείνουν ἀκατάβλητοι καὶ θὰ διατρέξουν ὅλην τὴν οἰκουμένην, ὁμιλεῖ τώρα περὶ τῶν ἰουδαϊκῶν συμφορῶν, δεικνύων μὲ τὸν τρόπον αὐτὸν ὅτι, ὅταν πλέον οἱ Ἀπόστολοι θὰ εἶναι διάσημοι, ἀφοῦ θὰ ἔχουν διδάξει ὅλην τὴν οἰκουμένην, τότε οἱ Ἰουδαῖοι θὰ ἀντιμετωπίζουν συμφοράς.

Καὶ πρόσεξε πῶς ὁμιλεῖ περὶ τοῦ πολέμου, παριστῶν τὸ ἀνυπόφορον αὐτοῦ μὲ ἐκείνους ποὺ θεωροῦνται ἀσήμαντοι. Διότι «τότε», λέγει, «οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη». «Τότε», πότε; Ὅταν θὰ συμβοῦν αὐτά. Ὅταν δηλαδὴ τὸ βδέλυγμα τῆς ἐρημώσεως θὰ στηθῇ εἰς τὸν ἅγιον τόπον[2]. Δι' αὐτὸ νομίζω ὅτι ἐννοεῖ τοὺς στρατούς. Φεύγετε λοιπὸν τότε, λέγει, διότι δὲν σᾶς ἀπέμεινε καμμία ἐλπὶς σωτηρίας. Διότι, ἐπειδὴ συνέβη πολλάκις νὰ ἐμπλακοῦν εἰς πολέμους φοβερούς, ὅπως ἦτο ὁ πόλεμος ἐπὶ τῶν βασιλέων Σεναχηρεὶμ[3] καὶ Ἀντιόχου, (διότι καὶ ἐπὶ τοῦ τελευταίου τούτου εἰσῆλθε στρατὸς εἰς τὸν ναὸν καὶ τὸν κατέλαβε[4], οἱ δὲ Μακκαβαῖοι συνωμοτήσαντες ἀντέστρεψαν τὴν κατάστασιν), διὰ νὰ μὴ ὑποθέσουν ὅτι καὶ τώρα θὰ συμβῇ τὸ ἴδιο, ὅτι δηλαδὴ θὰ συμβῇ καμμία παρομοία μεταβολή, τοὺς ἀποκλείει κάθε τέτοιο ἐνδεχόμενον. Δι' αὐτὸ τοὺς λέγει ὅτι εἶναι προτιμώτερον νὰ σωθοῦν μὲ γυμνὸν τὸ σῶμα· δι' αὐτὸ δὲν ἐπιτρέπει καὶ εἰς ἐκείνους ποὺ εὑρίσκονται εἰς τὰ δώματα νὰ εἰσέλθουν εἰς τὴν οἰκίαν

ὥστε ἆραι τὰ ἱμάτια, τὰ ἄφευκτα δηλῶν κακά, καὶ τὴν ἀπέραντον συμφοράν· καὶ ὅτι τὸν ἐμπεσόντα ἀνάγκη πάντως ἀπολέσθαι. Διὰ τοῦτο καὶ τὸν ἐν τῷ ἀγρῷ προστίθησι λέγων, «Μηδὲ οὗτος ἐπιστρεψάτω ἆραι τὰ ἱμάτια αὐτοῦ». Εἰ γὰρ οἱ ἔνδον ὄντες φεύγουσι πολλῷ μᾶλλον τοὺς ἔξωθεν οὐ χρὴ καταφεύγειν ἐκεῖ.

«Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις»· ταῖς μέν, διὰ τὸ νωθρότερον καὶ τὸ μὴ δύνασθαι φεύγειν εὐκόλως τῷ φορτίῳ τῆς κυήσεως βαρουμένας· ταῖς δέ, διὰ τὸ δεσμῷ κατέχεσθαι τῷ τῆς συμπαθείας τῶν παιδίων, καὶ μὴ δύνασθαι συνδιασώζειν τὰ θηλάζοντα. Χρημάτων μὲν γὰρ καὶ καταφρονῆσαι εὔκολον καὶ προνοῆσαι ῥάδιον, καὶ ἱματίων· τὰ δὲ ἀπὸ τῆς φύσεως πῶς ἄν τις διαφύγοι; πῶς ἂν ἡ ἔγκυος γένοιτο κούφη; πῶς δὲ ἡ θηλάζουσα δυνήσεται τοῦ τεχθέντος ὑπεριδεῖν;

Εἶτα πάλιν δεικνὺς τὸ μέγεθος τῆς συμφορᾶς, φησί· «Προσεύχεσθε, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν ἐν χειμῶνι, μηδὲ ἐν Σαββάτῳ. Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐκ ἐγένετο ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδὲ μὴ γένηται». Ὁρᾷς ὅτι πρὸς Ἰουδαίους ὁ λόγος αὐτῷ, καὶ περὶ τῶν ἐκείνους καταληψομένων κακῶν διαλέγεται; Οὐ γὰρ δὴ οἱ ἀπόστολοι ἔμελλον Σάββατον τηρεῖν, ἢ ἐκεῖ ἔσεσθαι, ἡνίκα Οὐεσπασιανὸς ταῦτα ἔπραξε. Καὶ γὰρ ἔφθασαν προαπελθόντες οἱ πλείους· εἰ δέ τις ἀπελείφθη, ἐν ἄλλοις τῆς οἰκουμένης διέτριβε μέρεσι τότε.

5. Ἀναφέρεται εἰς τὴν καταστροφὴν τῶν Ἱεροσολύμων τὸ ἔτος 70 μ.Χ. ὑπὸ τοῦ Ρωμαίου αὐτοκράτορος Βεσπασιανοῦ.

διὰ νὰ πάρουν τὰ ἱμάτιά των, θέλων μὲ αὐτὸ νὰ δηλώσῃ τὰ ἀναπόφευκτα δεινὰ καὶ τὴν ἀπέραντον συμφοράν, καὶ ὅτι ὅποιος θὰ τολμήσῃ νὰ εἰσέλθῃ εἰς τὴν οἰκίαν ὁπωσδήποτε θὰ ἀφανισθῇ. Δι' αὐτὸ προσθέτει καὶ ἐκεῖνον ποὺ εὑρίσκεται εἰς τὸν ἀγρὸν λέγων, οὔτε αὐτὸς νὰ ἐπιστρέψῃ νὰ πάρῃ τὰ ἐνδύματά του. Διότι, ἐὰν ἐκεῖνοι ποὺ εὑρίσκονται μέσα εἰς τὴν οἰκίαν φεύγουν, πολὺ περισσότερον ὅσοι εὑρίσκονται ἔξω εἰς τοὺς ἀγροὺς δὲν πρέπει νὰ καταφύγουν ἐκεῖ.

«'Αλοίμονον δὲ εἰς ἐκείνας ποὺ θὰ εἶναι ἔγκυοι καὶ θὰ θηλάζουν κατ' ἐκείνας τὰς ἡμέρας»· εἰς τὰς μὲν ἐγκύους διότι θὰ εἶναι βραδυκίνητοι καὶ δὲν θὰ ἠμποροῦν νὰ φύγουν εὐκόλως φέρουσαι τὸ φορτίον τοῦ ἐμβρύου, εἰς τὰς δὲ θηλαζούσας, διότι θὰ κατέχωνται ἀπὸ τὸν δεσμὸν τῆς συμπαθείας πρὸς τὰ παιδιά των, ἀλλὰ δὲν θὰ ἠμποροῦν νὰ διασώσουν μαζὶ μὲ τὸν ἑαυτόν των καὶ ἐκεῖνα. Διότι τὰ χρήματα καὶ τὰ ἐνδύματα εἶναι εὔκολον νὰ τὰ καταφρονήσουν καὶ νὰ φροντίσουν ἐκ τῶν προτέρων δι' αὐτά. 'Εκεῖνα ὅμως μὲ τὰ ὁποῖα εἶναι κανεὶς δεμένος ἀπὸ τὴν φύσιν, πῶς θὰ ἠμποροῦσε νὰ τὰ ἀποφύγῃ; Πῶς θὰ ἠμποροῦσε ἡ ἔγκυος νὰ γίνῃ εὐκίνητος, ἢ πῶς θὰ ἠμποροῦσε ἡ θηλάζουσα νὰ παραβλέψῃ τὸ παιδὶ ποὺ ἐγέννησεν;

"Επειτα πάλιν, δεικνύων πόσον μεγάλη θὰ εἶναι ἡ συμφορά, λέγει· «Προσεύχεσθε νὰ μὴ γίνῃ ἡ φυγή σας κατὰ τὸν χειμῶνα ἢ ἡμέραν Σάββατον. Διότι θὰ ἔλθῃ τότε τόσον μεγάλη θλῖψις, ὅση δὲν ἔγινεν ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου μέχρι σήμερα καὶ οὔτε θὰ γίνῃ». Βλέπεις ὅτι πρὸς τοὺς 'Ιουδαίους ἀπευθύνει τὸν λόγον καὶ ὅτι ὁμιλεῖ περὶ τῶν δεινῶν τὰ ὁποῖα θὰ τοὺς εὕρουν; Διότι οἱ 'Απόστολοι δὲν ἐπρόκειτο νὰ τηροῦν τὸ σάββατον, οὔτε νὰ εὑρίσκωνται ἐκεῖ, ὅταν θὰ ἔκανεν αὐτὰ ὁ Βεσπασιανός[5]. "Αλλωστε οἱ περισσότεροι εἶχαν ἤδη ἀποθάνει, ἐὰν δὲ ὑπῆρχε καὶ κανεὶς ποὺ ἐπέζη, τὸ διάστημα ἐκεῖνο διέμενεν εἰς ἄλλα μέρη τῆς οἰκουμένης.

Διατί δὲ μηδὲ χειμῶνος, μηδὲ Σαββάτου; Χειμῶνος μέν, διὰ τὴν δυσκολίαν τὴν ἀπὸ τοῦ καιροῦ· Σαββάτου δέ, διὰ τὴν αὐθεντίαν τὴν ἀπὸ τοῦ νόμου. Ἐπειδὴ γὰρ φυγῆς χρεία, καὶ φυγῆς ταχίστης, οὔτε δὲ ἐν Σαββάτῳ τότε Ἰουδαῖοι φεύγειν ἐτόλμων διὰ τὸν νόμον, οὔτε δὲ ἐν χειμῶνι τὸ τοιοῦτον εὔκολον, διὰ τοῦτο, «Προσεύχεσθε», φησίν.

«Ἔσται γὰρ τότε θλῖψις, οἷα οὐκ ἐγένετο, οὐδὲ μὴ γένηται». Καὶ μή τις νομίσῃ τοῦτο ὑπερβολικῶς εἰρῆσθαι· ἀλλ' ἐντυχὼν τοῖς Ἰωσήπου γράμμασι, μανθανέτω τῶν εἰρημένων τὴν ἀλήθειαν. Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὅτι πιστὸς ὢν ὁ ἄνθρωπος εἰς τὸ συστῆσαι τὰ εἰρημένα ἐξώγκωσε τὴν τραγῳδίαν. Καὶ γὰρ καὶ Ἰουδαῖος ἦν καὶ σφόδρα Ἰουδαῖος καὶ ζηλωτής, καὶ τῶν μετὰ τὴν Χριστοῦ παρουσίαν.

Τί οὖν οὗτός φησιν; Ὅτι πᾶσαν ἐνίκησε τραγῳδίαν ἐκεῖνα τὰ δεινά, καὶ πόλεμος οὐδεὶς οὐδέποτε τοιοῦτος τὸ ἔθνος κατέλαβε. Τοσοῦτος γὰρ ἦν ὁ λιμός, ὡς αὐταῖς ταῖς μητράσι περιμάχητον εἶναι τὴν παιδοφαγίαν, καὶ ὑπὲρ τούτου πολέμους γίνεσθαι· πολλοὺς δὲ καὶ νεκροὺς γενομένους κατὰ μέσας ἀναρρήγνυσθαι τὰς γαστέρας ἔφη. Ἡδέως ἂν οὖν ἐροίμην Ἰουδαίους, πόθεν οὕτω θεήλατος ὀργὴ καὶ ἀφόρητος ἦλθεν ἐπ' αὐτούς, καὶ πασῶν ἔμπροσθεν γενομένων, οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης χαλεπωτέρα; Οὐκ εὔδηλον, ὅτι διὰ τὸ τοῦ σταυροῦ τόλμημα καὶ τὴν ἀπόφασιν ταύτην; Ἅπαντες εἴποιεν ἄν, καὶ μετὰ πάντων καὶ πρὸ πάντων αὐτὴ ἡ τῶν πραγμάτων ἀλήθεια.

6. Ἔξ. 20, 10 καὶ Δευτ. 5, 14.
7. Ἰωσήπου, Ἰουδαϊκὸς πόλεμος.

Διατί ὅμως νὰ προσεύχωνται νὰ μὴ γίνῃ ἡ φυγὴ εἰς ἐποχὴν χειμῶνος ἢ ἡμέραν Σαββάτου; Νὰ μὴ γίνῃ χειμῶνα, ἐξ αἰτίας τῆς δυσκολίας ποὺ προκαλεῖ ὁ καιρός, οὔτε Σάββατον, διότι ὑπῆρχεν ἡ σχετικὴ ἀπαγόρευσις τοῦ Νόμου[6]. Διότι, ἐπειδὴ θὰ ἦτο ἀνάγκη φυγῆς, καὶ μάλιστα φυγῆς ταχυτάτης, οἱ δὲ Ἰουδαῖοι δὲν θὰ ἐτολμοῦσαν νὰ φύγουν ἐν ἡμέρᾳ σαββάτου, ἕνεκα τῆς ἀπαγορεύσεως τοῦ Νόμου, οὔτε καὶ θὰ τοὺς ἦτο εὔκολος ἡ φυγὴ μέσα εἰς τὸν χειμῶνα, δι᾿ αὐτὸ λέγει «προσεύχεσθε».

«Θὰ ἔλθῃ τότε θλῖψις τέτοια ποὺ δὲν ἔγινεν ἕως τώρα, οὔτε καὶ θὰ γίνῃ». Καὶ ἂς μὴ νομίσῃ κανεὶς ὅτι αὐτὸ ἐλέχθη μὲ ὑπερβολήν, ἀλλ᾿ ἂς διαβάσῃ τὰ συγγράμματα τοῦ Ἰωσήπου[7] καὶ ἂς πληροφορηθῇ τὴν ἀλήθειαν αὐτῶν ποὺ λέγονται ἐδῶ. Οὔτε ἠμπορεῖ κανεὶς νὰ ἰσχυρισθῇ ὅτι ἐπειδὴ ἦτο χριστιανὸς ὁ ἄνθρωπος ἐξώγκωσε τὴν τραγικότητα τῶν γεγονότων, διὰ νὰ στηρίξῃ ὅσα λέγονται. Διότι καὶ Ἰουδαῖος ἦτο, καὶ μάλιστα κατ᾿ ἐξοχὴν Ἰουδαῖος καὶ ζηλωτὴς καὶ ἔζησε μετὰ τὴν παρουσίαν τοῦ Χριστοῦ.

Τί λέγει λοιπὸν αὐτός; Ὅτι τὰ δεινὰ ἐκείνου τοῦ πολέμου ὑπερέβαλαν κάθε προηγουμένην τραγῳδίαν καὶ ὅτι ποτὲ δὲν εἶχεν εὕρει τὸ Ἰουδαϊκὸν ἔθνος παρόμοιος πόλεμος. Διότι τόσον μεγάλος ἦτο ὁ λιμός, ὥστε καὶ αἱ ἴδιαι αἱ μητέρες νὰ φθάνουν νὰ τρώγουν τὰ παιδιά των, καὶ νὰ μάχωνται δι᾿ αὐτό. Λέγει μάλιστα ὅτι πολλοὺς ἀκόμη καὶ νεκροὺς τοὺς ἔσχιζαν τὰς γαστέρας. Εὐχαρίστως λοιπὸν θὰ ἐρωτοῦσα τοὺς Ἰουδαίους· διὰ ποῖον λόγον τοὺς ἦλθεν αὐτὴ ἡ ὀργὴ ἡ θεόπεμπτος καὶ ἀνυπόφορος καὶ χειροτέρα ἀπὸ ὅλας τὰς προγενεστέρας, ὄχι μόνον εἰς τὴν Ἰουδαίαν, ἀλλ᾿ εἰς ὁλόκληρον τὴν οἰκουμένην; Δὲν εἶναι ὁλοφάνερον ὅτι τοὺς εὗρεν ἐξ αἰτίας τοῦ τολμήματος τῆς σταυρώσεως καὶ τῆς ἀποφάσεώς των ἐκείνης; Αὐτὸ θὰ ἠμποροῦσαν νὰ τὸ βεβαιώσουν ὅλοι, καὶ μαζὶ μὲ ὅλους καὶ πρὶν ἀπὸ ὅλους αὐτὴ ἡ ἴδια ἡ πραγματικότης.

Θέα δέ μοι τὴν ὑπερβολὴν τῶν κακῶν, ὅταν μὴ πρὸς τὸν ἔμπροσθεν χρόνον παραβαλλόμενα χαλεπώτερα φαίνηται, ἀλλὰ καὶ πρὸς τὸν ἐπιόντα ἅπαντα. Οὔτε γὰρ ἐν τῇ οἰκουμένῃ πάσῃ, οὔτε ἐν τῷ χρόνῳ παντί, τῷ γενομένῳ τῷ τε ἐσομένῳ, δυνήσεταί τις εἰπεῖν τοιαῦτα κακὰ γεγενημένα. Καὶ μάλα εἰκότως. Οὐδὲ γὰρ ἐτόλμησέ τις ἀνθρώπων, οὐ τῶν πώποτε, οὐ τῶν μετὰ ταῦτα, τόλμημα οὕτω παράνομον καὶ φρικῶδες.

Διὰ τοῦτό φησιν· «Ἔσται θλῖψις οἵα οὐκ ἐγένετο, οὐδὲ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι». Ἀπὸ τούτων δείκνυσιν αὐτοὺς χαλεπωτέρας τιμωρίας ἀξίους ὄντας τῆς εἰρημένης, ἡμέρας νῦν λέγων τὰς τοῦ πολέμου καὶ τῆς πολιορκίας ἐκείνης. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ ἐπὶ πλέον ἐκράτησε, φησίν, ὁ πόλεμος Ρωμαίων ὁ κατὰ τῆς πόλεως, ἅπαντες ἂν ἀπώλοντο Ἰουδαῖοι (πᾶσαν γὰρ σάρκα ἐνταῦθα τὴν Ἰουδαϊκὴν λέγει)· καὶ οἱ ἔξω, καὶ οἱ ἔνδον. Οὐ γὰρ δὴ μόνον τοῖς ἐν Ἰουδαίᾳ ἐπολέμουν, ἀλλὰ καὶ τοὺς πανταχοῦ διεσπαρμένους ἀπεκήρυττόν τε καὶ ἤλαυνον, διὰ τὸ πρὸς ἐκείνους μῖσος.

2. Τίνας δὲ ἐνταῦθά φησι τοὺς ἐκλεκτούς; Τοὺς πιστοὺς τοὺς ἐν μέσοις ἀπειλημμένους αὐτοῖς. Ἵνα γὰρ μὴ λέγωσιν Ἰουδαῖοι, ὅτι διὰ τὸ κήρυγμα καὶ τὸ προσκυνεῖσθαι τὸν Χριστὸν ταῦτα γέγονε τὰ κακά, δείκνυσιν ὅτι οὐ μόνον οἱ πιστοὶ τούτων αὐτοῖς οὐκ ἐγένοντο αἴτιοι, ἀλλ' εἰ μὴ ἐκεῖνοι ἦσαν, πρόρριζοι ἂν ἀπώλοντο ἅπαντες. Εἰ γὰρ συνεχώρησεν ὁ Θεὸς ἐκταθῆναι τὸν πόλεμον, οὐδ' ἂν λείψανον ἔμεινεν Ἰουδαίων· ἀλλ' ἵνα μὴ συναπόλωνται τοῖς ἀπίστοις Ἰουδαίοις οἱ ἐξ

Ὅτι δὲ τὰ κακὰ ἐκεῖνα εἶναι χειρότερα, φαίνεται ὅταν συγκριθοῦν ὄχι μόνον πρὸς τὰ δεινὰ τοῦ πρὶν ἀπὸ αὐτὰ χρόνου, ἀλλὰ καὶ πρὸς τὰ δεινὰ ὅλων τῶν μετὰ ταῦτα χρόνων. Διότι οὔτε εἰς ὁλόκληρον τὴν οἰκουμένην, οὔτε εἰς ὅλους τοὺς αἰῶνας, αὐτοὺς ποὺ ἐπέρασαν καὶ αὐτοὺς ποὺ θὰ ἔλθουν, θὰ ἠμπορέσῃ κανεὶς νὰ ἰσχυρισθῇ ὅτι συνέβησαν τόσον μεγάλα δεινά. Αὐτὸ ἦτο πολὺ φυσικόν· διότι κανεὶς ποτὲ ἀπὸ τοὺς ἀνθρώπους, τοὺς προγενεστέρους καὶ τοὺς μεταγενεστέρους, δὲν ἐπεχείρησε τόσον παράνομον καὶ φρικτὴν πρᾶξιν.

Δι' αὐτὸ λέγει· «Θὰ ἔλθῃ θλῖψις τέτοια ποὺ δὲν ξανάγινε οὔτε καὶ θὰ γίνῃ εἰς τὸ μέλλον. Καὶ ἐὰν δὲν ἐσυντομεύοντο αἱ ἡμέραι ἐκεῖναι, δὲν θὰ ἐσώζετο κανένας ἄνθρωπος· πρὸς χάριν τῶν ἐκλεκτῶν ὅμως θὰ συντομευθοῦν αἱ ἡμέραι ἐκεῖναι». Μὲ αὐτὰ δείχνει ὅτι οἱ Ἰουδαῖοι ἦσαν ἄξιοι χειροτέρας τιμωρίας ἀπὸ αὐτὴν ποὺ εἶπε, λέγων δὲ ἡμέρας ἐννοεῖ ἐδῶ τὰς ἡμέρας τοῦ πολέμου καὶ τῆς πολιορκίας ἐκείνης. Ἐκεῖνο δὲ ποὺ λέγει εἶναι τὸ ἑξῆς· ἐὰν διαρκοῦσε περισσότερον ὁ πόλεμος τῶν Ρωμαίων ἐναντίον τῆς πόλεως, θὰ ἐχάνοντο ὅλοι οἱ Ἰουδαῖοι (διότι μὲ τὴν φράσιν «πᾶσα σάρκα» ἐννοεῖ ἐδῶ τὴν ἰουδαϊκὴν) καὶ οἱ ἐκτὸς καὶ οἱ ἐντὸς τῆς πόλεως. Διότι δὲν ἐπολεμοῦσαν μόνον ἐναντίον ἐκείνων ποὺ εὑρίσκοντο εἰς τὴν Ἰουδαίαν, ἀλλὰ ἀπεκήρυτταν καὶ κατεδίωκαν καὶ τοὺς διεσπαρμένους παντοῦ, ἀπὸ τὸ μῖσος ποὺ ἔτρεφαν ἐναντίον των.

2. Ποίους δὲ ἐνοεῖ ἐδῶ ἐκλεκτούς; Τοὺς χριστιανούς, οἱ ὁποῖοι εἶχαν κερδηθῇ ἀνάμεσα ἀπὸ αὐτούς. Διὰ νὰ μὴ ἰσχυρίζωνται οἱ Ἰουδαῖοι ὅτι ἐξ αἰτίας τοῦ κηρύγματος καὶ τῆς λατρείας τοῦ Χριστοῦ ἔγιναν αὐτὰ τὰ δεινά, δείχνει ὅτι ὄχι μόνον οἱ ἐξ αὐτῶν χριστιανοὶ δὲν ἦσαν οἱ αἴτιοι τῶν κακῶν ποὺ τοὺς εὗρον, ἀλλ' ὅτι ἐὰν δὲν ἦσαν ἐκεῖνοι θὰ ἐχάνοντο ὅλοι σύρριζα. Διότι ἐὰν ἐπέτρεπεν ὁ Θεὸς νὰ ἐπεκταθῇ ὁ πόλεμος, δὲν θὰ ἔμενεν οὔτε ἀπομεινάρι ἀπὸ τοὺς Ἰουδαίους. Ἀλλὰ διὰ νὰ μὴ χαθοῦν μαζὶ μὲ τοὺς

αὐτῶν γενόμενοι πιστοί, ταχέως κατέλυσε τὴν μάχην, καὶ πέρας ἔδωκε τῷ πολέμῳ. Διὰ τοῦτό φησι· «Διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται». Ταῦτα δὲ ἔλεγε, καταλιμπάνων παραμυθίαν τοῖς ἐν μέσῳ ἀπειλημμένοις αὐτῶν, καὶ διδοὺς ἀναπνεῦσαι, ἵνα μὴ φοβῶνται ὡς συναπολούμενοι.

Εἰ δὲ ἐνταῦθα τοσαύτη αὐτῶν πρόνοια, ὡς δι' αὐτοὺς καὶ ἑτέρους σώζεσθαι, καὶ τῶν ἀπίστων λείψανα γίνεσθαι Ἰουδαίων διὰ Χριστιανούς, πόση ἐν τῷ καιρῷ τῶν στεφάνων ἡ τιμή; Ἐντεῦθεν αὐτοὺς καὶ παρεμυθεῖτο μὴ ἀλγεῖν ἐπὶ τοῖς οἰκείοις κινδύνοις, ὅπου γε καὶ ἐκεῖνοι τοιαῦτα πάσχουσι, καὶ ἐπ' οὐδενὶ κέρδει, ἀλλ' ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς.

Οὐ παρεμυθεῖτο δὲ μόνον, ἀλλὰ καὶ ἀπῆγε τῶν Ἰουδαϊκῶν ἐθῶν λοιπὸν λανθανόντως καὶ ἀνυπόπτως. Εἰ γὰρ οὐκ ἔσται μεταβολὴ λοιπόν, οὐδὲ ὁ ναὸς στήσεται, εὔδηλον ὅτι καὶ ὁ νόμος παυθήσεται. Ἀλλὰ φανερῶς μὲν τοῦτο οὐκ εἶπε, διὰ δὲ τῆς παντελοῦς αὐτῶν ἀπωλείας τοῦτο ᾐνίξατο. Φανερῶς δὲ οὐκ εἶπεν, ἵνα μὴ πρὸ καιροῦ πλήξῃ. Διὸ οὐδὲ ἀρχόμενος προηγουμένως εἰς τὸν περὶ τούτων ἐνέβαλε λόγον· ἀλλὰ ταλανίσας πρῶτον τὴν πόλιν, εἰς ἀνάγκην αὐτοὺς κατέστησε τῆς τε ἐπιδείξεως τῶν λίθων καὶ τῆς ἐρωτήσεως, ἵνα ὡς αὐτοῖς ἀποκρινόμενος πρὸς τὴν ἐρώτησιν ἅπαντα προαναφωνήσῃ τὰ μέλλοντα. Σὺ δέ μοι σκόπει Πνεύματος οἰκονομίαν, ὅτι τούτων οὐδὲν ἔγραψεν Ἰωάννης, ἵνα μὴ δόξῃ ἐξ αὐτῆς τῶν γεγενημένων τῆς ἱστορίας γράφειν (καὶ γὰρ καὶ μετὰ τὴν ἅλωσιν ἔζη χρόνον πολύν)· ἀλλ' οἱ πρὸ τῆς ἁλώσεως ἀποθανόντες, καὶ μηδὲν τούτων ἑωρακότες

άπιστους Ἰουδαίους καὶ ἐκεῖνοι ποὺ ἔγιναν χριστιανοί, ἔπαυσε γρήγορα τὴν μάχην καὶ ἔδωσε τέρμα εἰς τὸν πόλεμον. Δι' αὐτὸ λέγει· «πρὸς χάριν τῶν ἐκλεκτῶν ὅμως θὰ συντομευθοῦν». Ἔλεγε δὲ αὐτὰ διὰ νὰ παρηγορήση ἐκείνους ποὺ προήρχοντο ἀπὸ αὐτοὺς καὶ νὰ τοὺς κάμη νὰ ἀναπνέουν ἐλεύθερα καὶ νὰ μὴ φοβοῦνται ὅτι θὰ χαθοῦν καὶ αὐτοὶ μαζὶ μὲ τοὺς ἄλλους.

Ἐὰν δὲ ἐδῶ λαμβάνεται τόση πρόνοια δι' αὐτούς, ὥστε ἐξ αἰτίας των νὰ σῴζωνται καὶ ἄλλοι, καὶ νὰ ἀπομένουν κατάλοιπα τῶν Ἰουδαίων ἐξ αἰτίας τῶν χριστιανῶν, πόσον μεγάλη θὰ εἶναι ἡ τιμὴ κατὰ τὸν καιρὸν τῆς ἀπονομῆς τῶν στεφάνων; Δι' αὐτὸ τοὺς ἐπαρηγόρει διὰ νὰ μὴ λυποῦνται διὰ τὰς περιστάσεις ποὺ ἀπειλοῦν τὴν ζωήν των, ὅπου βέβαια καὶ αὐτοὶ ὑφίστανται τέτοια δεινά, καὶ μάλιστα ὄχι μόνον χωρὶς κανένα κέρδος, ἀλλὰ μὲ κίνδυνον τῆς κεφαλῆς των.

Ὄχι δὲ μόνον τοὺς ἐπαρηγόρει, ἀλλὰ καὶ τοὺς ἀπεμάκρυνεν ἀπὸ τὰ ἰουδαϊκὰ ἔθιμα χωρὶς νὰ τὸ ἀντιλαμβάνωνται καὶ νὰ τὸ ὑποψιάζωνται. Διότι, ἐὰν δὲν θὰ ὑπάρξῃ μεταβολὴ καὶ δὲν θὰ διατηρηθῇ οὔτε ὁ ναός, εἶναι ὁλοφάνερον ὅτι καὶ ὁ Νόμος θὰ παύσῃ νὰ ἰσχύῃ. Αὐτὸ βέβαια δὲν τὸ εἶπε φανερά, ἀλλὰ τὸ ὑπαινίχθη μὲ τὴν τελείαν ἀπώλειάν των. Δὲν τὸ εἶπε δὲ φανερά, διὰ νὰ μὴ τοὺς πλήξῃ πρὶν ἀπὸ τὴν κατάλληλον στιγμήν. Δι' αὐτὸ δὲν τὸ προσέθεσε προηγουμένως, ὅταν ἄρχιζε τὸν λόγον περὶ ὅλων αὐτῶν, ἀλλὰ ἀφοῦ ἐταλάνισε πρῶτα τὴν πόλιν, τοὺς ἔφερεν εἰς τὴν ἀνάγκην νὰ τοῦ δείξουν τοὺς λίθους καὶ νὰ τὸν ἐρωτήσουν, εἰς τρόπον ὥστε ἀπαντῶν εἰς τὴν ἐρώτησιν νὰ προείπῃ ὅλα ὅσα πρόκειται νὰ συμβοῦν. Σὺ δὲ πρόσεξε τὴν ἐνέργειαν τοῦ Πνεύματος, ὅτι τίποτε ἀπὸ αὐτὰ δὲν ἔγραψεν ὁ εὐαγγελιστὴς Ἰωάννης, διὰ νὰ μὴ φανῇ ὅτι τὰ γράφει ἀπὸ τὴν ἱστορίαν τῶν ὅσων συνέβησαν ἤδη (διότι ἔζη ἐπὶ πολὺν χρόνον καὶ μετὰ τὴν ἅλωσιν τῆς Ἱερουσαλήμ), ἀλλὰ τὸ γράφουν οἱ εὐαγγελισταὶ ποὺ ἀπέ-

αὐτοὶ γράφουσιν, ὥστε πανταχόθεν διαλάμπειν τῆς προρρήσεως τὴν ἰσχύν.

«Τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς. Ἰδοὺ προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν· Ἰδοὺ ἐν τῇ ἐρήμῳ, μὴ ἐξέλθητε· Ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί».

Πληρώσας τὰ περὶ τῶν Ἱεροσολύμων, εἰς τὴν αὐτοῦ λοιπὸν διαβαίνει παρουσίαν, καὶ λέγει αὐτῆς τὰ σημεῖα, οὐκ ἐκείνοις χρήσιμα μόνον, ἀλλὰ καὶ ἡμῖν καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις πᾶσι. «Τότε», πότε; Ἐνταῦθα, ὃ πολλάκις εἶπον, οὐχὶ τῆς ἀκολουθίας ἐστὶ τοῦ καιροῦ τῶν ἔμπροσθεν εἰρημένων τό, «Τότε»· ὅπου γοῦν ἀκολουθίαν ἐβούλετο εἰπεῖν, ἐπήγαγεν, «Εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων»· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλά, «Τότε»· οὐ τὰ μετὰ ταῦτα εὐθέως δηλῶν, ἀλλὰ τὰ ἐν τῷ καιρῷ, ᾧ μέλλει ταῦτα γίνεσθαι, ἅπερ ἔμελλε λέγειν.

Οὕτω καὶ ὅταν λέγῃ, «Ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης ὁ Βαπτιστής», οὐ τὸν ἑξῆς εὐθέως λέγει καιρόν, ἀλλὰ τὸν μετὰ πολλὰ ἔτη, καὶ τὸν καθ' ὃν ταῦτα ἐγίνετο, ἅπερ ἐρεῖν ἔμελλε. Καὶ γὰρ περὶ τῆς γεννήσεως διαλεχθεὶς τοῦ Ἰησοῦ, καὶ τῆς τῶν μάγων παρουσίας, καὶ τῆς τελευτῆς Ἡρώδου, εὐθέως φησίν· «Ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης ὁ Βαπτιστής»· καίτοι τριάκοντα μεταξὺ γέγονεν ἔτη. Ἀλλ' ἔθος τοῦτο τῇ Γραφῇ τούτῳ κεχρῆσθαι τῆς ἱστορίας τῷ τρόπῳ. Οὕτω δὴ καὶ ἐνταῦθα, τὸν

8. Ματθ. 3, 1.

θαναν πρὶν ἀπὸ τὴν ἅλωσιν, ὥστε νὰ διαλάμπῃ ἀπὸ ὅλας τὰς πλευρὰς ἡ δύναμις τῆς προρρήσεως.

«Τότε ἐὰν κανεὶς σᾶς εἰπῇ· 'νὰ ἐδῶ εἶναι ὁ Χριστὸς ἢ ἐκεῖ', μὴ τὸν πιστέψετε. Διότι θὰ ἐμφανισθοῦν ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ θὰ κάνουν μεγάλα θαύματα καὶ τέρατα, ὥστε νὰ παραπλανήσουν, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ἰδού, σᾶς εἶπα ἤδη, ἐὰν σᾶς εἰποῦν· 'νά, εἶναι εἰς τὴν ἔρημον', μὴ πηγαίνετε, 'νά, εἶναι εἰς τὰ ἀπόμερα δωμάτια', μὴ πιστέψετε. Διότι ἡ ἔλευσις τοῦ Υἱοῦ τοῦ ἀνθρώπου θὰ γίνῃ ὅπως ἡ ἀστραπή, ἡ ὁποία βγαίνει ἀπὸ τὴν ἀνατολὴν καὶ φαίνεται μέχρι τὴν δύσιν. Ὅπου εἶναι τὸ πτῶμα, ἐκεῖ θὰ μαζευθοῦν καὶ οἱ ἀετοί».

Ἀφοῦ ἐσυμπλήρωσε τὰ περὶ τῶν Ἱεροσολύμων, μεταβαίνει καὶ εἰς τὴν ἰδικήν Του παρουσίαν καὶ λέγει τὰ σημεῖα της, τὰ ὁποῖα εἶναι χρήσιμα ὄχι μόνον εἰς ἐκείνους, ἀλλὰ καὶ εἰς ἡμᾶς καὶ εἰς ὅλους ἐκείνους οἱ ὁποῖοι θὰ ἔλθουν μετὰ ἀπὸ ἡμᾶς. «Τότε», πότε; Ἐδῶ, ὅπως εἶπα πολλὲς φορές, τὸ «τότε» δὲν σημαίνει τὴν χρονικὴν συνέχειαν τῶν ὅσων εἶπε προηγουμένως. Διότι ἐκεῖ ποὺ ἤθελε νὰ δηλώσῃ τὴν συνέχειαν, προσέθεσε· «εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων». Ἐδῶ ὅμως δὲν εἶπε τὰ ἴδια, ἀλλὰ «τότε», δηλώνοντας ὄχι ὅσα θὰ συμβοῦν ἀμέσως μετὰ ταῦτα, ἀλλὰ ἐκεῖνα ποὺ θὰ συμβοῦν εἰς τὸν καιρὸν κατὰ τὸν ὁποῖον πρόκειται νὰ γίνουν, ὅσα θὰ εἴπῃ.

Ἔτσι καὶ ὅταν λέγῃ· «Ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης ὁ Βαπτιστής»[8], δὲν ἐννοεῖ τὸν εὐθὺς ἀμέσως χρόνον, ἀλλὰ τὸν χρόνον μετὰ ἀπὸ πολλὰ ἔτη, ἐκεῖνον κατὰ τὸν ὁποῖον ἐγίνοντο αὐτὰ τὰ ὁποῖα ἐπρόκειτο νὰ εἴπῃ. Διότι ἀφοῦ ὡμίλησε περὶ τῆς γεννήσεως τοῦ Ἰησοῦ καὶ τὴν παρουσίαν τῶν Μάγων καὶ τὸν θάνατον τοῦ Ἡρώδου, ἀμέσως λέγει· «ἐν ἐκείναις ταῖς ἡμέραις παραγίνεται Ἰωάννης ὁ Βαπτιστής», μολονότι εἶχαν ἐν τῷ μεταξὺ παρέλθει τριάντα χρόνια. Ἀλλὰ εἶναι συνήθεια εἰς τὴν Γραφὴν νὰ χρησιμοποιῇ αὐτὸν τὸν τρόπον. Ἔτσι καὶ ἐδῶ· ἀφοῦ

μέσον ἅπαντα χρόνον παρελθών, τὸν ἀπὸ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων ἕως τῶν προοιμίων τῆς συντελείας, λέγει τὸν ὀλίγῳ πρὸ τῆς συντελείας.

«Τότε οὖν ἐάν τις ὑμῖν εἴπῃ, φησίν, Ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε». Τέως ἀπὸ τοῦ τόπου αὐτοὺς ἀσφαλίζεται, λέγων τὰ ἰδιώματα τῆς αὐτοῦ παρουσίας τῆς δευτέρας, καὶ τὰ τῶν πλάνων δείγματα. Οὐ γὰρ ὥσπερ ἐν τῇ προτέρᾳ ἐν Βηθλεὲμ ἐφάνη, καὶ ἐν γωνίᾳ μικρᾷ τῆς οἰκουμένης, καὶ οὐδενὸς εἰδότος ἐξ ἀρχῆς, οὕτω καὶ τότε φησίν· ἀλλὰ φανερῶς καὶ μετὰ περιφανείας ἁπάσης, καὶ ὡς μὴ δεῖσθαι τοῦ ταῦτα ἀπαγγέλλοντος. Οὐ μικρὸν δὲ τοῦτο σημεῖον τοῦ μὴ λανθανόντως παραγίνεσθαι.

Σκόπει δὲ πῶς ἐνταῦθα οὐδὲν περὶ πολέμου διαλέγεται· τὸν γὰρ περὶ τῆς παρουσίας αὐτοῦ διευκρινεῖ λόγον· ἀλλὰ περὶ τῶν ἀπατᾶν ἐπιχειρούντων. Οἱ μὲν γὰρ ἐπὶ τῶν ἀποστόλων τοὺς πολλοὺς ἠπάτων· «Ἐλεύσονται» γάρ, φησί, «καὶ ἀπατήσουσι πολλούς»· οἱ δὲ πρὸ τῆς δευτέρας αὐτοῦ παρουσίας, οἳ καὶ ἐκείνων ἦσαν πικρότεροι. «Δώσουσι» γάρ, φησί, «σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς». Ἐνταῦθα τὸν ἀντίχριστόν φησι, καὶ δείκνυσί τινας καὶ διακονησομένους αὐτῷ· περὶ οὗ καὶ Παῦλος οὕτω φησί. Καλέσας γὰρ αὐτὸν «ἄνθρωπον ἁμαρτίας καὶ υἱὸν ἀπωλείας», ἐπήγαγεν· «Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους, ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις». Καὶ ὅρα πῶς ἀσφαλίζεται. «Μὴ ἐξέλθητε», φησί, εἰς τὴν ἔρημον, μὴ εἰσέλθητε εἰς τὰ ταμεῖα. Οὐκ εἶπεν, Ἀπέλθετε καὶ μὴ

9. Β΄ Θεσσ. 2, 3.
10. Β΄ Θεσσ. 2, 9-10.

ἀντιπαρῆλθεν ὅλον τὸν χρόνον ποὺ θὰ μεσολαβήσῃ ἀπὸ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων μέχρι τῶν ἀρχῶν τῆς συντελείας τοῦ κόσμου, ἀναφέρεται εἰς τὸν ὀλίγον πρὸ τῆς συντελείας χρόνον.

Τότε λοιπόν, λέγει, «ἐὰν κανεὶς σᾶς εἰπῇ 'νά, ἐδῶ εἶναι ὁ Χριστός, ἢ ἐκεῖ', μὴ πιστεύσετε». Κατὰ πρῶτον τοὺς κατατοπίζει μὲ ἀσφάλειαν ὡς πρὸς τὸν τόπον, ἀπαριθμῶν τὰ χαρακτηριστικὰ τῆς δευτέρας παρουσίας Του καὶ τὰ σημεῖα τῶν πλάνων. Διότι, δὲν θὰ ἔλθῃ καὶ τότε ὅπως ἐφανερώθη τὴν προηγουμένην φορὰν εἰς τὴν Βηθλεέμ, καὶ εἰς μίαν μικρὰν γωνίαν τῆς οἰκουμένης καὶ χωρὶς νὰ τὸν γνωρίζῃ κανεὶς ἀπὸ τὴν ἀρχήν· ἀλλὰ φανερὰ καὶ μὲ κάθε ἐπισημότητα καὶ κατὰ τρόπον ποὺ νὰ μὴ χρειάζεται νὰ τὸν ἐξαγγείλῃ κανείς. Δὲν εἶναι δὲ μικρὸν σημεῖον αὐτὸ τὸ νὰ μὴ ἔρχεται ἀπαρατήρητος.

Παρατήρησε δὲ ὅτι ἐδῶ, ἐπειδὴ διευκρινίζει τὸν λόγον τῆς παρουσίας Του, δὲν ἀναφέρει τίποτε περὶ πολέμου, ἀλλὰ περὶ ἐκείνων οἱ ὁποῖοι ἐπιχειροῦν νὰ ἐξαπατήσουν. Διότι οἱ πλάνοι ἐπὶ τῆς ἐποχῆς τῶν Ἀποστόλων ἐξηπάτουν τοὺς πολλούς· «διότι θὰ ἔλθουν, λέγει, καὶ θὰ ἐξαπατήσουν πολλούς»· αὐτοὶ δὲ πρὶν ἀπὸ τὴν δευτέραν παρουσίαν Του, θὰ εἶναι πιὸ φαρμακεροὶ ἀπὸ ἐκείνους. Διότι, ὅπως λέγει· «θὰ κάνουν τέρατα καὶ σημεῖα, διὰ νὰ παραπλανήσουν, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς». Ἐδῶ ἐννοεῖ τὸν ἀντίχριστον καὶ ὑπαινίσσεται μερικοὺς οἱ ὁποῖοι θὰ τὸν διακονήσουν. Περὶ αὐτοῦ καὶ ὁ Παῦλος ὁμιλεῖ κατὰ τὸν ἴδιον τρόπον. Ἀφοῦ τὸν ὠνόμασεν «ἄνθρωπον ἁμαρτίας» καὶ «υἱὸν ἀπωλείας»[9], προσέθεσε· «Ἡ ἔλευσις δὲ τοῦ ἀνόμου θὰ γίνῃ μὲ τὴν ἐνέργειαν τοῦ Σατανᾶ μὲ κάθε δύναμιν καὶ μὲ ψευδῆ σημεῖα καὶ τέρατα καὶ μὲ κάθε εἶδος ἀπάτης τοῦ κακοῦ μεταξὺ τῶν ἀνθρώπων ποὺ χάνονται»[10]. Καὶ κύττα πῶς τοὺς προφυλάσσει· μὴ ἐξέλθετε, λέγει, εἰς τὴν ἔρημον, μὴ εἰσέλθετε εἰς τὰ ἰδιαίτερα δωμάτια. Δὲν εἶπε πηγαίνετε καὶ μὴ πιστεύσετε· ἀλλὰ 'μὴ ἐξέλθητε', 'μηδὲ ἀπέλ-

πιστεύσητε· ἀλλά, «Μὴ ἐξέλθητε», μηδὲ ἀπέλθητε. Καὶ γὰρ πολλὴ τότε ἡ ἀπάτη, διὰ τὸ καὶ σημεῖα γίνεσθαι ἀπάτης.

3. Εἰπὼν τοίνυν πῶς ἐκεῖνος παραγίνεται, οἷον ὅτι ἐν τόπῳ, λέγει πῶς καὶ αὐτός. Πῶς οὖν αὐτός; «Ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί». Πῶς οὖν ἡ ἀστραπὴ φαίνεται; Οὐ δεῖται ἀπαγγέλλοντος, οὐ δεῖται κήρυκος, ἀλλὰ καὶ τοῖς ἐν οἰκίαις καθημένοις, καὶ ταῖς ἐν θαλάμοις, ἐν ἀκαριαίᾳ ῥοπῇ κατὰ τὴν οἰκουμένην δείκνυται πᾶσαν. Οὕτως ἔσται ἡ παρουσία ἐκείνη, ὁμοῦ πανταχοῦ φαινομένη διὰ τὴν ἔκλαμψιν τῆς δόξης.

Λέγει δὲ καὶ ἕτερον σημεῖον· «Ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί»· τὸ πλῆθος τῶν ἀγγέλων, τῶν μαρτύρων, τῶν ἁγίων ἁπάντων δηλῶν. Εἶτα λέγει θαύματα φοβερά. Τίνα δὲ ἐστι τὰ θαύματα; «Εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων», φησίν, «ὁ ἥλιος σκοτισθήσεται». Θλῖψιν ποίων λέγει ἡμερῶν; Τοῦ ἀντιχρίστου καὶ τῶν ψευδοπροφητῶν. Θλῖψις γὰρ τότε ἔσται μεγάλη, τοσούτων ὄντων τῶν ἀπατώντων. Ἀλλ' οὐκ ἐκτείνεται εἰς χρόνου μῆκος. Εἰ γὰρ ὁ Ἰουδαϊκὸς πόλεμος διὰ τοὺς ἐκλεκτοὺς ἐκολοβώθη, πολλῷ μᾶλλον οὗτος ὁ πειρασμὸς συσταλήσεται διὰ τοὺς αὐτοὺς τούτους. Διὰ τοῦτο οὐκ εἶπε, μετὰ τὴν θλῖψιν, ἀλλ' «Εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται»· ὁμοῦ γὰρ σχεδὸν ἅπαντα γίνεται. Οἵ τε γὰρ ψευδοπροφῆται καὶ οἱ ψευδόχριστοι θορυβήσουσι παραγενόμενοι, καὶ εὐθέως αὐτὸς παρέσται. Καὶ γὰρ οὐ μικρὰ τότε μέλλει κατέχειν ταραχὴ τὴν οἰκουμένην.

θητε'. Διότι τότε ἡ ἀπάτη θὰ εἶναι μεγάλη, ἐπειδὴ θὰ γίνωνται καὶ σημεῖα ἀπάτης.

3. Ἀφοῦ λοιπὸν εἶπε πῶς θὰ ἔλθῃ ἐκεῖνος (ὁ ἀντίχριστος), ἤτοι ὅτι θὰ ἔλθῃ ἐν τόπῳ, λέγει τώρα πῶς θὰ ἔλθῃ καὶ Αὐτός. Πῶς λοιπὸν θὰ ἔλθῃ Αὐτός; «Ὅπως ἡ ἀστραπὴ βγαίνει ἀπὸ τὴν Ἀνατολὴν καὶ φαίνεται μέχρι τὴν Δύσιν, ἔτσι θὰ γίνῃ καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Διότι ὅπου εἶναι τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί». Πῶς λοιπὸν φαίνεται ἡ ἀστραπή; Δὲν χρειάζεται νὰ τὴν ἐξαγγείλῃ κανείς, δὲν χρειάζεται κήρυκα, ἀλλὰ φαίνεται ἀκαριαίως εἰς ὁλόκληρον τὴν οἰκουμένην, καὶ εἰς ἐκείνους ποὺ κάθονται μέσα εἰς τὰς οἰκίας καὶ εἰς ἐκείνας ποὺ εὑρίσκονται μέσα εἰς τοὺς γυναικωνίτας. Ἔτσι θὰ γίνῃ ἐκείνη ἡ παρουσία, θὰ φαίνεται παντοῦ ταυτοχρόνως ἀπὸ τὴν λάμψιν τῆς δόξης.

Ἀναφέρει ὅμως καὶ ἄλλο σημεῖον· «ὅπου τὸ πτῶμα ἐκεῖ καὶ οἱ ἀετοί», ἐννοῶν τὸ πλῆθος τῶν ἀγγέλων, τῶν μαρτύρων καὶ ὅλων τῶν ἁγίων. Ἔπειτα ἀναφέρει καὶ θαύματα φοβερά. Ποῖα δὲ εἶναι τὰ θαύματα; «Ἀμέσως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, λέγει, ὁ ἥλιος θὰ σκοτισθῇ». Ποίων ἡμερῶν θλῖψιν ἐννοεῖ; Τοῦ ἀντιχρίστου καὶ τῶν ψευδοπροφητῶν. Διότι τότε θὰ ὑπάρξῃ θλῖψις μεγάλη, ἀφοῦ τόσοι πολλοὶ θὰ εἶναι οἱ πλανῶντες. Ἀλλὰ δὲν θὰ διαρκέσῃ πολύ. Διότι, ἐὰν ὁ ἰουδαϊκὸς πόλεμος ἐσυντομεύθη πρὸς χάριν τῶν ἐκλεκτῶν, πολὺ περισσότερον θὰ περιορισθῇ χρονικῶς ὁ πειρασμὸς αὐτὸς πρὸς χάριν τῶν ἰδίων. Δι' αὐτὸ δὲν εἶπε μετὰ τὴν θλῖψιν, ἀλλὰ «εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται», διότι ὅλα γίνονται σχεδὸν ταυτοχρόνως. Δηλαδὴ μόλις οἱ ψευδοπροφῆται καὶ οἱ ψευδόχριστοι δημιουργήσουν ἀναταραχὴν μὲ τὸν ἐρχομόν των, ἀμέσως θὰ ἔλθῃ καὶ Ἐκεῖνος. Διότι δὲν θὰ εἶναι μικρὰ ἡ ταραχὴ ποὺ θὰ κυριεύσῃ τὴν οἰκουμένην.

Πῶς δὲ παραγίνεται; Μετασχηματιζομένης λοιπὸν αὐτῆς τῆς κτίσεως· καὶ γὰρ «Ὁ ἥλιος σκοτισθήσεται», οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῷ φωτὶ τῆς παρουσίας αὐτοῦ· «Καὶ τὰ ἄστρα πεσεῖται»· τίς γὰρ αὐτῶν ἔσται χρεία λοιπόν, νυκτὸς οὐκ οὔσης; «Καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται»· καὶ μάλα εἰκότως, ὁρῶσαι τοσαύτην μεταβολὴν γινομένην. Εἰ γὰρ ὅτε ἐγένετο τὰ ἄστρα, οὕτως ἔφριξαν καὶ ἐθαύμασαν· (Ὅτε γὰρ «ἐγεννήθη ἄστρα, ᾔνεσάν με», φησί, «φωνῇ μεγάλῃ πάντες ἄγγελοι»)· πολλῷ μᾶλλον ὁρῶντες πάντα μεταρρυθμιζόμενα, καὶ τοὺς συνδούλους αὐτῶν διδόντας εὐθύνας, καὶ τὴν οἰκουμένην ἅπασαν φοβερῷ παρισταμένην δικαστηρίῳ, καὶ τοὺς ἐκ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ παρουσίας γενομένους λόγον ἀπαιτουμένους ἁπάντων ὧν ἔπραξαν, πῶς οὐ φρίξουσι καὶ σαλευθήσονται;

«Τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ»· τουτέστιν, ὁ σταυρός, τοῦ ἡλίου φαιδρότερος ὤν· εἴγε ἐκεῖνος μὲν σκοτίζεται καὶ κρύπτεται, οὗτος δὲ φαίνεται· οὐκ ἂν φανείς, εἰ μὴ πολλῷ τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερος ἦν. Τίνος δὲ ἕνεκεν τὸ σημεῖον φαίνεται; Ὥστε ἐκ περιουσίας πολλῆς ἐπιστομισθῆναι τῶν Ἰουδαίων τὴν ἀναισχυντίαν. Καὶ γὰρ δικαίωμα μέγιστον ἔχων τὸν σταυρόν, οὕτω παραγίνεται εἰς ἐκεῖνο τὸ δικαστήριον ὁ Χριστός, οὐχὶ τὰ τραύματα μόνον, ἀλλὰ καὶ τὸν θάνατον τὸν ἐπονείδιστον δεικνύς.

«Τότε κόψονται αἱ φυλαί». Οὐ γὰρ χρεία κατηγορίας, ὅταν ἴδωσι τὸν σταυρόν· καὶ κόψονται, ὅτι ἀποθανόντος οὐδὲν ὠφελήθησαν, ὅτι ἐσταύρωσαν ὃν προσκυνῆσαι ἔδει. Εἶδες πῶς ὑπέγραψε τὴν παρουσίαν αὐτοῦ φοβερῶς; πῶς ἀνέστησε τὰ φρονήματα τῶν μαθητῶν; Διά τοι τοῦτο πρότερον τὰ λυπηρὰ τίθησι, καὶ τότε τὰ χρηστά, ἵνα καὶ ταύτῃ αὐτοὺς

11. Ἰὼβ 38, 7.

Πῶς δὲ θὰ ἔλθῃ; Ἀφοῦ μεταμορφωθῇ ἡ κτίσις. Διότι καὶ ὁ ἥλιος θὰ σκοτισθῇ, χωρὶς νὰ ἀφανισθῇ, ἀλλὰ ὑποχωρῶν μπροστὰ εἰς τὸ φῶς τῆς παρουσίας Ἐκείνου, καὶ τὰ ἄστρα θὰ πέσουν, διότι δὲν θὰ χρειάζωνται πλέον, ἀφοῦ δὲν θὰ ὑπάρχῃ νύκτα, καὶ αἱ οὐράνιαι δυνάμεις θὰ κλονισθοῦν, ὅπως εἶναι πολὺ φυσικόν, βλέποντας τὴν τόσον μεγάλην μεταβολὴν ποὺ θὰ γίνεται. Διότι, ἐὰν οἱ ἄγγελοι ἐσκίρτησαν καὶ ἐθαύμασαν τόσον, ὅταν ἐδημιουργήθησαν τὰ ἄστρα (διότι «ὅταν ἐδημιουργήθησαν τὰ ἄστρα», λέγει, «μὲ ὕμνησαν μὲ δυνατὴν φωνὴν ὅλοι οἱ ἄγγελοι»[11]), πολὺ περισσότερον βλέποντες ὅλα νὰ μεταβάλλωνται καὶ τοὺς ὁμοδούλους των νὰ ὑπέχουν εὐθύνην, καὶ τὴν οἰκουμένην ὁλόκληρον νὰ παρίσταται ἐνώπιον φοβεροῦ δικαστηρίου, καὶ ὅσους ὑπῆρξαν ἀπὸ τὸν Ἀδὰμ μέχρι τῆς παρουσίας Ἐκείνου νὰ λογοδοτοῦν δι' ὅσα ἔπραξαν, πῶς δὲν θὰ φρίξουν καὶ δὲν θὰ σαλευθοῦν;

«Τότε θὰ φανῇ τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου εἰς τὸν οὐρανόν», δηλαδὴ ὁ Σταυρός, ὁ ὁποῖος εἶναι πιὸ λαμπρὸς ἀπὸ τὸν ἥλιον, ἀφοῦ αὐτὸς μὲν θὰ σκοτισθῇ καὶ θὰ κρυφθῇ, ἐνῷ ἐκεῖνος θὰ φαίνεται· δὲν θὰ ἐφαίνετο, ἐὰν δὲν ἦτο πολὺ πιὸ λαμπερὸς ἀπὸ τὰς ἀκτῖνας τοῦ ἡλίου. Διὰ ποῖον δὲ λόγον θὰ ἐμφανισθῇ τὸ σημεῖον τοῦ Σταυροῦ; Διὰ νὰ ἀποστομωθῇ μὲ τὸ παραπάνω ἡ ἀναισχυντία τῶν Ἰουδαίων. Διότι ἔχοντας μέγιστον δικαίωμα τὸν Σταυρὸν ὁ Χριστός, ἔρχεται ἔτσι εἰς τὸ δικαστήριον ἐκεῖνο, δεικνύων ὄχι μόνον τὰς πληγὰς ἀλλὰ καὶ τὸν ἀτιμωτικὸν θάνατόν Του.

«Τότε θὰ θρηνήσουν αἱ φυλαί»· διότι δὲν θὰ ὑπάρχῃ ἀνάγκη κατηγορίας, ὅταν θὰ ἰδοῦν τὸν Σταυρόν. Καὶ θὰ θρηνοῦν, διότι μολονότι ἀπέθανε δὲν ὠφελήθησαν καθόλου, καὶ διότι ἐσταύρωσαν Ἐκεῖνον ποὺ ἔπρεπε νὰ τὸν προσκυνήσουν. Εἶδες πόσον φοβερὰ ὑπεγράμμισε τὴν παρουσίαν Του; Εἶδες πῶς ἀνεπτέρωσε τὸ φρόνημα τῶν μαθητῶν; Δι' αὐτὸ ἀκριβῶς πρῶτον ἀναφέρει τὰ λυπηρὰ καὶ ἔπειτα

παραμυθήσηται καὶ ἀναπαύσῃ. Καὶ περὶ τοῦ πάθους δὲ αὐτοὺς ὑπομιμνήσκει πάλιν καὶ τῆς ἀναστάσεως, καὶ μετὰ λαμπροῦ τοῦ σχήματος μέμνηται τοῦ σταυροῦ, ὥστε μὴ αἰσχύνεσθαι αὐτούς, μηδὲ ὀδυνᾶσθαι, ὅπου γε ἀντὶ σημείου τότε ἔρχεται προβαλλόμενος αὐτόν.

Ἄλλος δέ φησιν, ὅτι «Ὄψονται εἰς ὃν ἐξεκέντησαν». Διὰ δὴ τοῦτο κόψονται, ἰδοῦσαι ὅτι οὗτος ἐκεῖνός ἐστιν. Ἐπειδὴ δὲ καὶ τοῦ σταυροῦ ἀνέμνησε, προσέθηκεν ὅτι «Ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον», οὐκέτι ἐπὶ τοῦ σταυροῦ, ἀλλ' «ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς». Μὴ γὰρ ἐπειδὴ τὸν σταυρὸν ἤκουσας, φησί, νομίσῃς πάλιν σκυθρωπὸν εἶναί τι· μετὰ γὰρ δυνάμεως ἥξει καὶ δόξης πολλῆς. Φέρει δὲ αὐτόν, ἵνα αὐτοκατάκριτος αὐτῶν γένηται ἡ ἁμαρτία· ὥσπερ ἂν εἴ τις λίθῳ πληγείς, αὐτὸν ἐπιδείξειε τὸν λίθον, ἢ τὰ ἱμάτια ἡμαγμένα.

Καὶ ἐν νεφέλῃ ἔρχεται, ὡς ἀνελήφθη· καὶ ταῦτα ὁρῶσαι θρηνοῦσιν αἱ φυλαί. Οὐ μὴν μέχρι θρήνων στήσεται αὐτοῖς τὰ δεινά· ἀλλ' ὁ μὲν θρῆνος ἔσται, ἵνα οἴκοθεν τὴν ψῆφον ἐξενέγκωσι, καὶ ἑαυτοὺς καταδικάσωσι· τότε δὲ πάλιν «Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ συνάξουσι τοὺς ἐκλεκτοὺς ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων τῶν οὐρανῶν ἕως ἄκρων αὐτῶν». Ὅταν δὲ τοῦτο ἀκούσῃς, ἐννόει τῶν μενόντων τὴν κόλασιν. Οὐδὲ γὰρ ἐκείνην δώσουσι τὴν δίκην μόνον, ἀλλὰ καὶ ταύτην. Καὶ ὥσπερ ἀνωτέρω ἔλεγεν, ὅτι ἐροῦσιν «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»· οὕτως ἐνταῦθα, ὅτι «Κόψονται». Ἐπειδὴ γὰρ περὶ πολέμων αὐτοῖς διελέχθη χαλεπῶν, ἵνα μάθωσιν, ὅτι μετὰ τῶν ἐνταῦθα δεινῶν καὶ τὰ ἐκεῖ αὐτοὺς ἀναμένει βασανιστήρια, καὶ κοπτομένους εἰσάγει, καὶ χωριζο-

12. Ἰω. 19, 37 καὶ Ζαχ. 12, 10.
13. Ματθ. 24, 30.

τὰ εὐχάριστα, ὥστε καὶ μὲ τὸν τρόπον αὐτὸν νὰ τοὺς παρηγορήσῃ καὶ νὰ τοὺς καθησυχάσῃ. Τοὺς ὑπενθυμίζει ἐπίσης καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ ἀναφέρει τὸν Σταυρὸν μὲ τὸ λαμπερόν Του σχῆμα, διὰ νὰ μὴ ἐντρέπωνται, οὔτε νὰ θλίβωνται, ἀφοῦ θὰ ἔλθῃ προβάλλων αὐτὸν ὡς τὸ κατ' ἐξοχὴν σημεῖον τῆς παρουσίας Του.

Ἄλλος πάλιν λέγει «θὰ ἀτενίσουν ἐκεῖνον ποὺ ἐκέντησαν»[12]. Δι' αὐτὸ ἀκριβῶς αἱ φυλαὶ τῆς γῆς θὰ θρηνοῦν, διότι θὰ διαπιστώσουν ὅτι εἶναι ὁ ἴδιος. Καὶ ἐπειδὴ ἀνέφερε καὶ τὸν Σταυρόν, ἐπρόσθεσεν ὅτι «θὰ ἰδοῦν τὸν Υἱὸν τοῦ ἀνθρώπου νὰ ἔρχεται», ὄχι ἐπάνω εἰς τὸν Σταυρόν, ἀλλ' «ἐπάνω εἰς τὰ σύννεφα τοῦ οὐρανοῦ μὲ δύναμιν καὶ δόξαν μεγάλην»[13], ὡσὰν νὰ λέγῃ, μὴ νομίσῃς ὅτι, ἐπειδὴ ἤκουσες τὸν Σταυρόν, θὰ εἶναι πάλιν κάτι τι τὸ θλιβερόν· διότι θὰ ἔλθῃ μὲ μεγάλην δύναμιν καὶ δόξαν. Φέρει δὲ τὸν Σταυρὸν διὰ νὰ γίνῃ ἡ ἁμαρτία τους αὐταπόδεικτος, ὅπως, ὅταν κανεὶς κτυπηθῇ μὲ πέτρα, παρουσιάζει εἰς τὸ δικαστήριον τὴν ἰδίαν τὴν πέτραν ἢ τὰ ἐνδύματά του αἱματωμένα.

Ἔρχεται καὶ ἐπάνω εἰς νεφέλην, ὅπως ὅταν ἀνελήφθη, βλέποντας δὲ αὐτὰ αἱ φυλαὶ θὰ θρηνοῦν. Τὰ δεινὰ ποὺ τὰς ἀναμένουν ὅμως δὲν θὰ σταματήσουν εἰς τοὺς θρήνους. Ὁ θρῆνος θὰ εἶναι διὰ νὰ βγάλουν μόναι τους τὴν ψῆφον καὶ νὰ καταδικάσουν τοὺς ἑαυτούς των. Διότι ἐν συνεχείᾳ «θὰ στείλῃ τοὺς ἀγγέλους Του μὲ μεγάλην σάλπιγγα διὰ νὰ συγκεντρώσουν τοὺς ἐκλεκτοὺς ἀπὸ τοὺς τέσσαρες ἀνέμους, ἀπὸ τὸ ἕνα ἄκρον τοῦ οὐρανοῦ ἕως τὸ ἄλλο ἄκρον». Ὅταν δὲ ἀκούῃς αὐτὸ φαντάσου τὴν τιμωρίαν ἐκείνων ποὺ θὰ ἀπομείνουν. Διότι δὲν θὰ ὑποστοῦν μόνον ἐκείνην τὴν τιμωρίαν, ἀλλὰ καὶ αὐτήν. Καὶ ὅπως ἀνωτέρω ἀνέφερεν ὅτι θὰ λέγουν «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», ἔτσι ἐδῶ λέγει ὅτι «θὰ θρηνοῦν». Διότι ἐπειδὴ τοὺς ὡμίλησε περὶ πολέμων φοβερῶν, διὰ νὰ μάθουν ὅτι μετὰ ἀπὸ τὰ ἐδῶ δεινὰ τοὺς περιμένουν καὶ τὰ ἐκεῖ βασανιστήρια, τοὺς εἰσάγει θρηνοῦντας καὶ χωριστοὺς ἀπὸ τοὺς

μένους τῶν ἐκλεκτῶν, καὶ γεέννῃ παραδιδομένους· κἀντεῦθεν πάλιν τοὺς μαθητὰς διεγείρων, καὶ δεικνύς, ὅσων μὲν ἀπαλλαγήσονται κακῶν, ὅσων δὲ ἀπολαύσονται ἀγαθῶν.

4. Καὶ τί δήποτε δι᾽ ἀγγέλων αὐτοὺς καλεῖ, εἰ οὕτω φανερῶς ἔρχεται; Τιμῶν αὐτοὺς καὶ ταύτῃ. Ὁ δὲ Παῦλος, ὅτι ἁρπαγήσονται ἐν νεφέλαις. Εἶπε δὲ καὶ τοῦτο, ὅτε περὶ ἀναστάσεως διελέγετο. «Αὐτὸς» γάρ, φησίν, «ὁ Κύριος καταβήσεται ἀπ᾽ οὐρανοῦ ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου». Ὥστε ἀναστάντας μὲν συλλέξουσιν ἄγγελοι, συλλεγέντας δὲ ἁρπάσουσιν αἱ νεφέλαι· καὶ ταῦτα πάντα ἐν ἀκαριαίῳ γίνεται, ἐν ἀτόμῳ. Οὐ γὰρ δὴ ἄνω μένων αὐτοὺς καλεῖ, ἀλλ᾽ αὐτὸς ἔρχεται ἐν σάλπιγγι. Καὶ τί βούλονται αἱ σάλπιγγες καὶ ἡ ἠχή; Πρὸς διανάστασιν, πρὸς εὐφροσύνην, πρὸς παράστασιν τῆς τῶν γινομένων ἐκπλήξεως, πρὸς ὀδύνην τῶν ἀπολιμπανομένων.

Οἴμοι ἀπὸ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς. Δέον ἡμᾶς χαίρειν ὅταν ταῦτα ἀκούωμεν, ἀλγοῦμεν, καὶ κατηφεῖς ἐσμεν, καὶ σκυθρωπάζομεν. Ἢ μόνος ἐγὼ ταῦτα πάσχω, ὑμεῖς δὲ χαίρετε ἐν τῇ τούτων ἀκροάσει; Ὡς ἔμοιγε καὶ φρίκη τις ὑπεισέρχεται λεγομένων τούτων, καὶ πικρὸν ὀδύρομαι, καὶ ἐκ βαθυτάτης στενάζω καρδίας. Οὐδὲν γὰρ τούτων πρὸς ἐμέ, ἀλλ᾽ ἐκείνων τῶν μετὰ ταῦτα λεχθέντων, τῶν πρὸς τὰς παρθένους, τῶν πρὸς τὸν καταχώσαντα τὸ τάλαντον ὅπερ ἔλαβε, τῶν πρὸς τὸν πονηρὸν δοῦλον. Διὰ ταῦτα δακρύω, ὅσης δόξης ἐκπίπτειν μέλλομεν, ὅσης ἐλπίδος ἀγαθῶν, καὶ τοῦτο διηνεκῶς καὶ εἰς ἀεί, ἵνα μὴ μικρὸν σπουδάσωμεν.

---

14. Α΄ Θεσσ. 4, 15.
15. Ματθ. 25, 12.
16. Ματθ. 25, 26-30.

ἐκλεκτοὺς καὶ τοὺς παραδίδει εἰς τὴν γέενναν τοῦ πυρός. Μὲ ὅλα αὐτὰ δὲ πάλιν ἐνθαρρύνει τοὺς μαθητὰς καὶ τοὺς δείχνει ἀπὸ πόσα κακὰ θὰ ἀπαλλαγοῦν καὶ πόσα ἀγαθὰ θὰ ἀπολαύσουν.

4. Ἀλλὰ τότε, διατί τοὺς καλεῖ μὲ ἀγγέλους, ἀφοῦ ἔρχεται τόσον φανερά; Διὰ νὰ τοὺς τιμήσῃ μὲ τὸν τρόπον αὐτόν. Ὁ Παῦλος μάλιστα ἀναφέρει ὅτι θὰ ἁρπαγοῦν εἰς τὰ σύννεφα. Εἶπε δὲ καὶ τοῦτο, ὅταν ὡμιλοῦσε περὶ τῆς ἀναστάσεως· «Διότι αὐτὸς ὁ Κύριος θὰ κατεβῇ ἀπὸ τὸν οὐρανὸν μὲ παράγγελμα, μὲ φωνὴν ἀρχαγγέλου»[14]. Ὥστε ἀφοῦ ἀναστηθοῦν θὰ τοὺς συγκεντρώσουν οἱ ἄγγελοι καὶ ἀφοῦ συγκεντρωθοῦν θὰ τοὺς ἁρπάξουν τὰ σύννεφα. Καὶ ὅλα αὐτὰ θὰ γίνουν ἀκαριαίως, εἰς ἐλάχιστον χρόνον. Διότι δὲν τοὺς καλεῖ παραμένων ἐπάνω εἰς τὸν οὐρανόν, ἀλλὰ ἔρχεται ὁ ἴδιος μὲ τοὺς ἤχους σάλπιγγος. Πρὸς τί ὅμως χρειάζονται αἱ σάλπιγγες καὶ ὁ ἦχος; Διὰ τὴν ἀνάστασιν, διὰ τὴν πρόκλησιν χαρᾶς, διὰ τὴν ἐμφανῆ παρουσίασιν τοῦ ἐκπληκτικοῦ γεγονότος, διὰ τὴν θλῖψιν αὐτῶν ποὺ θὰ ὑπολειφθοῦν.

Ἀλλοίμονον τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν. Πρέπει νὰ χαίρωμεν ὅταν ἀκοῦμεν αὐτά· λυπούμεθα, γινόμεθα κατηφεῖς καὶ σκυθρωποί. Ἢ μήπως μόνον ἐγὼ αἰσθάνομαι αὐτά, ἐνῷ σεῖς χαίρετε ἀκούοντές τα; Εἰς ἐμένα πάντως δημιουργεῖται καὶ ἕνα αἴσθημα δέους ὅταν λέγωνται αὐτά, καὶ κλαίω πικρὰ καὶ ἀναστενάζω μέσα ἀπὸ τὰ βάθη τῆς καρδιᾶς μου. Διότι τίποτε ἀπὸ αὐτὰ δὲν μὲ ἐνδιαφέρει, παρὰ ἐκεῖνα ποὺ εἰπώθηκαν μετὰ ἀπὸ αὐτά, πρὸς τὰς παρθένους[15], πρὸς ἐκεῖνον ποὺ ἔκρυψεν εἰς τὴν γῆν τὸ τάλαντον ποὺ εἶχε λάβει, πρὸς τὸν πονηρὸν δοῦλον[16]. Δι' αὐτὰ δακρύζω, σκεπτόμενος πόσον μεγάλην δόξαν πρόκειται νὰ στερηθῶμεν, πόσην ἐλπίδα ἀγαθῶν, καὶ αὐτὸ συνεχῶς καὶ παντοτεινά, διὰ νὰ μὴ καταβάλωμεν μικρὰν προσπάθειαν.

Εἰ μὲν γὰρ πόνος πολὺς ἦν καὶ νόμος βαρύς, ἔδει μὲν καὶ οὕτω πάντα ποιεῖν· πλὴν ἀλλὰ κἂν πρόφασίν τινα ἐδόκουν ἔχειν πολλοὶ τῶν ῥαθύμων, ψυχρὰν μέν, ἐδόκουν δ' οὖν ἔχειν, τὸ ὑπέρογκον τῶν ἐπιταγμάτων, καὶ ὅτι μέγας ὁ πόνος, καὶ ἄπειρος ὁ χρόνος, καὶ ἀφόρητον τὸ φορτίον· νῦν δὲ οὐδὲν τοιοῦτον ἔστι προβάλλεσθαι· ὅπερ μάλιστα τῆς γεέννης οὐχ ἧττον ἡμᾶς διατρώγειν μέλλει κατὰ τὸν καιρὸν ἐκεῖνον, ὅταν διὰ μικρὰν ῥοπὴν καὶ ὀλίγον ἱδρῶτα, τὸν οὐρανὸν ὦμεν ἀπολωλεκότες καὶ τὰ ἀπόρρητα ἀγαθά. Καὶ γὰρ καὶ ὁ χρόνος βραχύς, καὶ ὁ πόνος ὀλίγος· καὶ ὅμως ἐκλελύμεθα καὶ ἀναπεπτώκαμεν. Ἐν γῇ ἀγωνίζῃ, καὶ ἐν οὐρανοῖς ὁ στέφανος· ὑπὸ ἀνθρώπων κολάζῃ, καὶ ὑπὸ Θεοῦ τιμᾶσαι· ἐν δύο ἡμέραις τρέχεις, καὶ εἰς ἀπείρους αἰῶνας τὰ βραβεῖα· ἐν φθαρτῷ σώματι ἡ πάλη, καὶ ἐν ἀφθάρτῳ αἱ τιμαί.

Καὶ χωρὶς δὲ τούτων κἀκεῖνο λογίζεσθαι χρή, ὅτι κἂν μὴ διὰ τὸν Χριστὸν ἑλώμεθά τι παθεῖν τῶν ὀδυνηρῶν, ἀνάγκη αὐτὰ καὶ ἄλλως ὑπομεῖναι πάντως. Οὐδὲ γὰρ ἂν διὰ τὸν Χριστὸν μὴ ἀποθάνῃς, ἀθάνατος ἔσῃ· οὐδὲ ἂν διὰ τὸν Χριστὸν μὴ ῥίψῃς τὰ χρήματα, ἔχων αὐτὰ ἀπελεύσῃ. Ταῦτα ἀπαιτεῖ παρὰ σοῦ, ἃ καὶ μὴ ἀπαιτοῦντος δώσεις, διὰ τὸ θνητὸς εἶναι· ταῦτά σε βούλεται ποιεῖν σῇ γνώμῃ, ἃ καὶ ἀνάγκῃ σε δεῖ ποιῆσαι. Τοσοῦτον δὲ ἀπαιτεῖ προσεῖναι μόνον, τὸ δι' αὐτὸν γίνεσθαι· ὡς τό γε συμβῆναι ταῦτα καὶ παρελθεῖν, καὶ ἀπὸ τῆς κατὰ τὴν φύσιν ἀνάγκης γίνεται.

Εἶδες πῶς εὔκολος ὁ ἀγών; Ἃ πάντως ἀνάγκη σε παθεῖν, ἑλοῦ παθεῖν δι' ἐμέ· τοῦτο προσκείσθω μόνον, καὶ ἀρ-

Διότι ἐὰν ἦτο κόπος πολὺς καὶ νόμος δυσβάστακτος, ἔπρεπε βέβαια καὶ πάλιν νὰ τὰ κάνωμεν ὅλα, ἀλλὰ πολλοὶ ἀπὸ τοὺς ὀκνηροὺς θὰ ἐνόμιζαν ὅτι ἔχουν κάποιαν δικαιολογίαν, ψυχρὰν βεβαίως, ἀλλὰ θὰ ἐνόμιζαν ὅτι ἔχουν, τὸν μεγάλον ὄγκον τῶν ἐντολῶν, καὶ τὸ ὅτι εἶναι μεγάλος κόπος, καὶ ἀτελείωτος ὁ χρόνος καὶ ἀβάστακτον τὸ φορτίον. Τώρα ὅμως τίποτε τέτοιο δὲν ἠμπορεῖ νὰ προβάλλεται ὡς δικαιολογία, ὅταν λάβωμεν ὑπ' ὄψιν τὸ πῦρ τῆς γεέννης ποὺ θὰ μᾶς κατατρώγῃ τὸν καιρὸν ἐκεῖνον, κατὰ τὸν ὁποῖον ἐξ αἰτίας μικρᾶς ἀποκλίσεως καὶ ὀλίγου ἱδρῶτος θὰ ἔχωμεν χάσει τὸν οὐρανὸν καὶ τὰ ἀπερίγραπτα ἀγαθά. Διότι καὶ ὁ χρόνος εἶναι σύντομος καὶ ὁ κόπος ὀλίγος· καὶ ὅμως ἔχομεν ἐξαχρειωθῆ καὶ περιεπέσαμεν πάλιν εἰς ἠθικὴν κατάπτωσιν. Εἰς τὴν γῆν ἀγωνίζεσαι καὶ εἰς τοὺς οὐρανοὺς στεφανώνεσαι· ἀπὸ ἀνθρώπους τιμωρεῖσαι καὶ τιμᾶσαι ἀπὸ τὸν Θεόν· δύο ἡμέρας τρέχεις καὶ βραβεύεσαι αἰωνίως· μὲ τὸ φθαρτὸν σῶμα ἀγωνίζεσαι καὶ αἱ τιμαὶ ἀποδίδονται εἰς τὸ ἄφθαρτον.

Ἀλλὰ καὶ χωρὶς αὐτὰ πρέπει νὰ σκεπτώμεθα καὶ τὸ ἑξῆς, ὅτι καὶ ἂν δὲν προτιμῶμεν νὰ ὑποστῶμεν κάτι ἀπὸ τὰ ὀδυνηρὰ χάριν τοῦ Χριστοῦ, κατ' ἀνάγκην θὰ τὰ ὑποστῶμεν ὁπωσδήποτε κατ' ἄλλον τρόπον. Διότι οὔτε ἐὰν δὲν ἀποθάνῃς διὰ τὸν Χριστόν, θὰ γίνῃς ἀθάνατος· οὔτε ἐὰν δὲν ἀρνηθῇς τὰ χρήματα διὰ τὸν Χριστόν, θὰ ἀπέλθῃς ἀπὸ τὸν κόσμον αὐτὸν παίρνοντάς τα μαζί σου. Ἀπὸ σένα ζητεῖ ἐκεῖνα, τὰ ὁποῖα θὰ τὰ δώσῃς καὶ χωρὶς νὰ τὰ ζητήσῃ, ἐπειδὴ εἶσαι θνητός· θέλει νὰ κάμῃς αὐτοπροαιρέτως ἐκεῖνα, τὰ ὁποῖα εἶναι ἀνάγκη νὰ κάμῃς ὁπωσδήποτε. Τόσον μόνον δὲ ἀπαιτεῖ ἐπὶ πλέον, νὰ γίνωνται δι' Ἐκεῖνον, ἀφοῦ τὸ νὰ συμβοῦν καὶ νὰ παρέλθουν γίνεται ὁπωσδήποτε καὶ ἀπὸ φυσικὴν ἀνάγκην.

Εἶδες πόσον εὔκολος εἶναι ὁ ἀγών; Ἐκεῖνα τὰ ὁποῖα εἶναι ἀνάγκη νὰ πάθῃς ὁπωσδήποτε, προτίμησε νὰ τὰ πάθῃς δι' Ἐμέ. Αὐτὸ πρόσθεσε μόνον καὶ θὰ θεωρήσω ἀρκε-

κοῦσαν ἔχω τὴν ὑπακοήν. Ὃ ἑτέρῳ μέλλεις δανείζειν χρυσίον, τοῦτο δάνεισον ἐμοί, καὶ ἐπὶ πλείοσι, καὶ ἐπὶ ἀσφαλείᾳ μείζονι· ὃ ἑτέρῳ μέλλεις στρατεύειν σῶμα, τοῦτο στράτευσον ἐμοί· καὶ γὰρ ὑπερβαίνω σου τοὺς πόνους ταῖς ἀντιδόσεσιν ἐκ πολλῆς τῆς περιουσίας. Σὺ δὲ ἐν μὲν τοῖς ἄλλοις τὸν τὸ πλέον παρέχοντα προτιμᾷς, καὶ ἐν δανείσμασι, καὶ ἐν ἀγορασίᾳ, καὶ ἐν στρατείᾳ· τὸν δὲ Χριστὸν μόνον πλέον ἁπάντων παρέχοντα, καὶ ἀπείρως πλέον, τοῦτον οὐ καταδέχῃ.

Καὶ τίς ὁ τοσοῦτος πόλεμος; τίς ἡ τοσαύτη ἀπέχθεια; Πόθεν λοιπὸν ἕξεις συγγνώμην καὶ ἀπολογίαν, οὐδὲ ἀφ' ὧν ἀνθρώπους προτιμᾷς ἀνθρώπων, ἀπὸ τούτων ἀνεχόμενος τὸν Θεὸν προτιμῆσαι τῶν ἀνθρώπων; Τί τῇ γῇ παραδίδως τὸν θησαυρόν; Δὸς τῇ ἐμῇ χειρί, φησίν. Οὐ δοκεῖ σοι τῆς γῆς ἀξιοπιστότερος εἶναι ὁ τῆς γῆς Δεσπότης; Ἐκείνη τὸ καταβληθὲν ἀποδίδωσι, πολλάκις δὲ οὐδὲ τοῦτο· αὐτὸς δὲ καὶ μισθούς σοι ἀποδίδωσι τῆς φυλακῆς. Καὶ γὰρ σφόδρα ἡμῶν ἐρᾷ. Διὰ τοῦτο κἂν δανεῖσαι θέλῃς, ἕστηκεν ἕτοιμος· κἂν σπεῖραι, αὐτὸς ἀποδέχεται· κἂν οἰκοδομῆσαι θέλῃς, ἕλκει σε πρὸς ἑαυτόν. Ἐν τοῖς ἐμοῖς, λέγων, οἰκοδόμει. Τί τρέχεις πρὸς τοὺς πένητας, πρὸς ἀνθρώπους τοὺς πτωχεύοντας; Δράμε πρὸς τὸν Θεόν, τὸν ὑπὲρ μικρῶν μεγάλα σοι παρέχοντα πράγματα. Ἀλλ' ὅμως οὐδὲ ταῦτα ἀκούοντες ἀνεχόμεθα, ἀλλ' ἔνθα μάχαι, καὶ πόλεμοι, καὶ παγκράτια, καὶ δίκαι καὶ συκοφαντίαι, ἐκεῖ σπεύδομεν.

5. Ἆρ' οὖν οὐ δικαίως ἡμᾶς ἀποστρέφεται καὶ κολάζει, ὅταν εἰς πάντα ἡμῖν ἑαυτὸν παρέχῃ, ἡμεῖς δὲ ἀντιπίπτωμεν;

τὴν τὴν ὑπακοήν. Τὸ χρυσάφι τὸ ὁποῖον πρόκειται νὰ δανείσῃς εἰς ἄλλον, δάνεισέ το εἰς Ἐμὲ καὶ μὲ μεγαλύτερον ἐπιτόκιον καὶ μὲ μεγαλυτέραν ἀσφάλειαν· τὸ σῶμα ποὺ πρόκειται νὰ δώσῃς ὡς στρατιώτης εἰς ἄλλον, δῶσε το εἰς Ἐμέ· διότι ξεπερνῶ τοὺς κόπους σου μὲ τὰς ἀνταποδόσεις ἀπὸ τὴν ἀπέραντον ἀφθονίαν. Σὺ δέ, εἰς μὲν τὰ ἄλλα προτιμᾶς ἐκεῖνον ποὺ δίνει τὰ περισσότερα, καὶ εἰς τοὺς δανεισμοὺς καὶ εἰς τὰς ἀγορὰς καὶ εἰς τὴν στράτευσιν, τὸν Χριστὸν ὅμως τὸν μόνον ὁ ὁποῖος δίνει τὰ περισσότερα ἀπὸ ὅλους καὶ ἀπείρως περισσότερα, αὐτὸν δὲν τὸν καταδέχεσαι.

Καὶ διατὶ ὁ τόσον μεγάλος πόλεμος; Διατί αὐτὴ ἡ μεγάλη ἀπέχθεια; Ἀπὸ ποῦ λοιπὸν θὰ ἀρυσθῇς συγχώρησιν καὶ δικαιολογίας κατὰ τὴν ἀπολογίαν, ἀφοῦ, εἰς πράγματα εἰς τὰ ὁποῖα προτιμᾷς ἄλλους ἀνθρώπους ἀντὶ ἄλλων, δὲν ἀνέχεσαι τὸν Θεὸν καὶ προτιμᾷς ἀνθρώπους; Διατί παραδίνεις τὸν θησαυρὸν εἰς τὴν γῆν; Δῶσε τον εἰς τὸ χέρι μου, λέγει· δὲν νομίζεις ὅτι ὁ δεσπότης τῆς γῆς εἶναι περισσότερον ἔμπιστος ἀπὸ τὴν γῆν; Ἐκείνη θὰ σοῦ ἀποδώσει αὐτὸ ποὺ ἔθαψες, πολλὲς φορὲς δὲ οὔτε καὶ αὐτό· ἐνῷ αὐτὸς θὰ σοῦ δώσει καὶ τόκους διὰ τὴν φύλαξιν, διότι μᾶς ἀγαπᾷ πάρα πολύ. Δι' αὐτό, καὶ ἂν θελήσῃς νὰ δανείσῃς, εἶναι ἕτοιμος· ἂν θελήσῃς νὰ σπείρῃς, δέχεται τὸν σπόρον φιλοφρόνως· ἂν θελήσῃς νὰ ἀνοικοδομήσῃς, σὲ ἕλκει κοντά του, λέγοντας ἔλα νὰ οἰκοδομήσῃς εἰς τὰ ἰδικά μου οἰκόπεδα. Διατί τρέχεις πρὸς τοὺς πτωχούς, πρὸς ἀνθρώπους οἱ ὁποῖοι μεταπίπτουν εἰς πτωχείαν; Τρέξε πρὸς τὸν Θεόν, ὁ ὁποῖος ἀντὶ μικρῶν πραγμάτων σοῦ παρέχει μεγάλα. Ἀλλὰ οὔτε αὐτὰ δὲν ἀνεχόμεθα νὰ ἀκούωμεν καὶ σπεύδομεν ἐκεῖ ὅπου γίνονται συμπλοκαὶ καὶ πόλεμοι καὶ πυγμαχίαι καὶ δίκαι καὶ συκοφαντίαι.

5. Ἆρα λοιπὸν δὲν ἔχει δίκαιον νὰ μᾶς ἀποστρέφεται καὶ νὰ μᾶς τιμωρῇ, ὅταν εἰς ὅλα μᾶς παρέχῃ τὸν ἑαυτόν Του καὶ ἐμεῖς ἀντιδρῶμεν; Εἶναι εἰς τὸν καθένα ὁπωσδή-

Παντί που δῆλον. Εἴτε γὰρ καλλωπίσασθαι θέλεις, φησί, τὸν ἐμὸν καλλωπισμόν· εἴτε ὁπλισθῆναι, τὰ ἐμὰ ὅπλα· εἴτε ἐνδύσασθαι, τὸ ἱμάτιον τὸ ἐμόν· εἴτε τραφῆναι, τὴν τράπεζαν τὴν ἐμήν· εἴτε ὁδεῦσαι, τὴν ὁδὸν τὴν ἐμήν· εἴτε κληρονομῆσαι, τὴν κληρονομίαν τὴν ἐμήν· εἴτε εἰς πατρίδα εἰσελθεῖν, εἰς τὴν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ἐγώ· εἴτε οἰκοδομῆσαι οἰκίαν, ἐν ταῖς σκηναῖς ταῖς ἐμαῖς. Ἐγὼ γὰρ ὢν δίδωμι οὐκ ἀπαιτῶ σε μισθόν, ἀλλὰ καὶ αὐτοῦ τούτου μισθόν σοι προσοφείλω, ἂν τοῖς ἐμοῖς χρήσασθαι βουληθῇς ἅπασι. Τί ταύτης γένοιτ' ἂν ἴσον τῆς φιλοτιμίας; Ἐγὼ πατήρ, ἐγὼ ἀδελφός, ἐγὼ νυμφίος, ἐγὼ οἰκία, ἐγὼ τροφή, ἐγὼ ἱμάτιον, ἐγὼ ῥίζα, ἐγὼ θεμέλιος, πᾶν ὅπερ ἂν θέλῃς ἐγώ· μηδενὸς ἐν χρείᾳ καταστῇς. Ἐγὼ καὶ δουλεύσω· ἦλθον γὰρ διακονῆσαι, οὐ διακονηθῆναι. Ἐγὼ καὶ φίλος, καὶ μέλος, καὶ κεφαλή, καὶ ἀδελφός, καὶ ἀδελφή, καὶ μήτηρ, πάντα ἐγώ· μόνον οἰκείως ἔχε πρὸς ἐμέ. Ἐγὼ πένης διὰ σέ· καὶ ἀλήτης διὰ σέ· ἐπὶ σταυροῦ διὰ σέ· ἐπὶ τάφου διὰ σέ· ἄνω ὑπὲρ σοῦ ἐντυγχάνω τῷ Πατρί, κάτω ὑπὲρ σοῦ πρεσβευτὴς παραγέγονα παρὰ τοῦ Πατρός.

Πάντα μοι σύ, καὶ ἀδελφός, καὶ συγκληρονόμος, καὶ φίλος, καὶ μέλος. Τί πλέον θέλεις; τί τὸν φιλοῦντα ἀποστρέφῃ; τί τῷ κόσμῳ κάμνεις; τί εἰς πίθον ἀντλεῖς τετρημένον; Τοῦτο γὰρ ἐστιν εἰς τὸν παρόντα βίον πονεῖσθαι. Τί εἰς πῦρ ξαίνεις; τί τῷ ἀέρι πυκτεύεις; τί εἰκῇ τρέχεις; Οὐχὶ ἑκάστη τέχνη τέλος ἔχει; Παντί που δῆλον. Δεῖξόν μοι καὶ σὺ τῆς

17. Α' Κορ. 15, 53-54.
18. Ρωμ. 13, 12.
19. Γαλ. 3, 37.
20. Ἰω. 6, 51-54.
21. Ἰω. 14, 6.
22. Ματθ. 5, 5.
23. Ἑβρ. 11, 10.
24. Ἰω. 14, 2.
25. Ματθ. 20, 28.
26. Ἰω. 15, 14.
27. Α' Κορ. 12, 27.
28. Α' Κορ. 11, 3.
29. Ματθ. 12, 50.

ποτε φανερόν. Διότι, ἐὰν θέλῃς νὰ καλλωπισθῇς, λέγει, στολίσου μὲ τὸν ἰδικόν μου καλλωπισμόν[17]· ἐὰν θέλῃς νὰ ὁπλισθῇς, ὁπλίσου μὲ ἰδικά μου ὅπλα[18]· ἐὰν θέλῃς νὰ ἐνδυθῇς, φόρεσε τὸ ἰδικόν μου ἔνδυμα[19]· ἐὰν θέλῃς νὰ τραφῇς, φάγε εἰς τὴν ἰδικήν μου τράπεζαν[20]· ἐὰν θέλῃς νὰ ὁδοιπορήσῃς, ἀκολούθησε τὴν ἰδικήν μου ὁδόν[21]· ἐὰν θέλῃς νὰ κληρονομήσῃς, κληρονόμησε τὴν ἰδικήν μου κληρονομίαν[22]· ἐὰν θέλῃς νὰ εἰσέλθῃς εἰς τὴν πατρίδα, ἔμπα εἰς τὴν πόλιν τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶμαι ἐγώ[23]· ἐὰν θέλῃς νὰ κτίσῃς οἰκίαν, ἔλα εἰς τὰς ἰδικάς μου σκηνάς[24]. Διότι ἐγὼ δι' ὅσα δίνω δὲν ζητῶ ἀμοιβήν, ἀλλὰ ἐὰν θελήσῃς νὰ χρησιμοποιήσῃς ὅλα τὰ ἰδικά μου, διὰ τὴν πρᾶξιν σου αὐτὴν θὰ σοῦ ὀφείλω ἐπὶ πλέον καὶ ἀμοιβήν. Τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἰσάξιον πρὸς αὐτὴν τὴν γενναιοδωρίαν; Ἐγὼ εἶμαι πατέρας, ἐγὼ ἀδελφός, ἐγὼ νυμφίος, ἐγὼ οἰκία, ἐγὼ τροφή, ἐγὼ ἔνδυμα, ἐγώ ρίζα, ἐγὼ θεμέλιον, κάθε τι τὸ ὁποῖον θέλεις ἐγώ· νὰ μὴ ἔχῃς ἀνάγκην ἀπὸ τίποτε. Ἐγὼ καὶ θὰ σὲ ὑπηρετήσω· διότι ἦλθα νὰ ὑπηρετήσω, ὄχι νὰ ὑπηρετηθῶ[25]. Ἐγὼ εἶμαι καὶ φίλος[26], καὶ μέλος τοῦ σώματος[27] καὶ κεφαλὴ[28] καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μητέρα[29], ὅλα ἐγώ· ἀρκεῖ νὰ διάκεισαι φιλικὰ πρὸς ἐμέ. Ἐγὼ ἔγινα πτωχὸς διὰ σέ· ἔγινα καὶ ἐπαίτης διὰ σέ· ἀνέβηκα ἐπάνω εἰς τὸν Σταυρὸν διὰ σέ· ἐτάφην διὰ σέ· εἰς τὸν οὐρανὸν ἄνω διὰ σὲ παρακαλῶ τὸν Πατέρα· κάτω εἰς τὴν γῆν ἐστάλην ἀπὸ τὸν Πατέρα ὡς μεσολαβητὴς διὰ σέ.

Ὅλα δι' ἐμὲ εἶσαι σύ· καὶ ἀδελφὸς καὶ συγκληρονόμος καὶ φίλος καὶ μέλος τοῦ σώματος. Τί περισσότερον θέλεις; Διατί ἀποστρέφεσαι αὐτὸν ποὺ σὲ ἀγαπᾷ; Διατί κοπιάζεις διὰ τὸν κόσμον; Διατί ἀντλεῖς νερὸ μὲ τρυπημένον πιθάρι; Διότι αὐτὸ σημαίνει νὰ καταπονῆσαι εἰς τὴν ζωὴν αὐτήν. Διατί λαναρίζεις τὴν φωτιάν; Διατί πυγμαχεῖς εἰς τὸν ἀέρα; Διατί τρέχεις ἄδικα; Κάθε τέχνη δὲν ἔχει καὶ ἕνα σκοπόν; Εἰς τὸν καθένα εἶναι ὁπωσδήποτε φανερόν. Δεῖξε μου καὶ σὺ τὸν σκοπὸν τῆς σπουδῆς εἰς τὴν ζωήν.

σπουδῆς τῆς βιωτικῆς τὸ τέλος. Ἀλλ' οὐκ ἔχεις. «Ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης».

Ἴωμεν εἰς τοὺς τάφους, δεῖξόν μοι τὸν πατέρα, δεῖξόν μοι τὴν γυναῖκα. Ποῦ ὁ χρυσᾶ ἐνδεδυμένος ἱμάτια; ὁ ἐπὶ τοῦ ὀχήματος καθήμενος; ὁ στρατόπεδα ἔχων, ὁ τὴν ζώνην, ὁ τοὺς κήρυκας; ὁ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ ἐμβάλλων εἰς δεσμωτήριον; ὁ ἀποκτέννων οὓς ἐβούλετο, καὶ ἀπαλλάττων οὓς ἤθελεν; Οὐδὲν ὁρῶ πλὴν ὀστέων, καὶ σητός, καὶ ἀράχνης· καὶ πάντα ἐκεῖνα γῆ, πάντα ἐκεῖνα μῦθος, πάντα ὄναρ καὶ σκιὰ καὶ διήγημα ψιλόν, καὶ γραφή· μᾶλλον δὲ οὐδὲ γραφή. Τὴν μὲν γὰρ γραφὴν κἂν ἐν εἰκόνι ὁρῶμεν· ἐνταῦθα δὲ οὐδὲ εἰκόνα. Καὶ εἴθε μέχρι τούτων τὰ δεινά! Νυνὶ δὲ τὰ μὲν τῆς τιμῆς, καὶ τῆς τρυφῆς, καὶ τῆς περιφανείας, μέχρι σκιᾶς, μέχρι ῥημάτων· τὰ δὲ ἀπ' αὐτῶν οὐκέτι μέχρι σκιᾶς καὶ ῥημάτων, ἀλλὰ μένει καὶ διαβήσεται μεθ' ἡμῶν ἐκεῖ, καὶ πᾶσιν ἔσται δῆλα αἱ ἁρπαγαί, αἱ πλεονεξίαι, αἱ πορνεῖαι, αἱ μοιχεῖαι, τὰ μυρία δεινά· ταῦτα οὐκ ἐν εἰκόνι, οὐδὲ ἐν τέφρᾳ, ἀλλὰ γεγραμμένα ἄνω καὶ ῥήματα καὶ πράγματα.

Ποίοις οὖν ὀψόμεθα τὸν Χριστὸν ὀφθαλμοῖς; Εἰ γὰρ πατέρα τις οὐκ ἂν ἤνεγκεν ἰδεῖν, συνειδὼς ἑαυτῷ ἡμαρτηκότι εἰς αὐτόν, τὸν πατρὸς μᾶλλον ἀπείρως πρᾳότερον ὄντα πῶς ἀντιβλέψομεν τότε; πῶς οἴσομεν; Καὶ γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καὶ πάντων ἀκριβὴς ἔσται ἐξέτασις. Εἰ δέ τις ἀπιστεῖ τῇ μελλούσῃ κρίσει, ὁράτω τὰ ἐνταῦθα, τοὺς ἐν τοῖς δεσμωτηρίοις, τοὺς ἐν τοῖς μετάλλοις, τοὺς ἐν ταῖς κοπρίαις, τοὺς δαιμονῶντας, τοὺς παραπαίοντας, τοὺς

30. Ἐκκλ. 1, 1.

Δὲν ἠμπορεῖς, διότι «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[30].

Ἂς μεταβῶμεν εἰς τοὺς τάφους· δεῖξε μου τὸν πατέρα· δεῖξε μου τὴν γυναῖκα. Ποῦ εἶναι ἐκεῖνος ποὺ ἐφοροῦσε χρυσᾶ ἐνδύματα; Ποῦ εἶναι ἐκεῖνος ποὺ ἐκάθητο ἐπάνω εἰς τὸ ὄχημα; Ποῦ εἶναι ἐκεῖνος ποὺ εἶχε στρατούς, ἐκεῖνος ποὺ εἶχε τὸ διάδημα, ἐκεῖνος ποὺ εἶχε τοὺς ἀγγελιαφόρους; Ποῦ εἶναι ἐκεῖνος ὁ ὁποῖος ἄλλους μὲν ἔσφαζεν, ἄλλους δὲ ἔρριπτεν εἰς τὴν φυλακήν; Ποῦ εἶναι ἐκεῖνος ποὺ ἐφόνευεν ὅσους ἤθελε καὶ ἀπήλλασσε ὅσους ἤθελε; Δὲν βλέπω τίποτε ἐκτὸς ἀπὸ ὀστᾶ καὶ σκόρον καὶ ἀράχνην· ὅλα ἐκεῖνα ἔγιναν χῶμα, ὅλα ἐκεῖνα εἶναι μῦθος, ὅλα εἶναι ὄνειρον καὶ σκιὰ καὶ ἁπλῆ ἐξιστόρησις καὶ ζωγραφικὴ παράστασις· ἢ μᾶλλον οὔτε ζωγραφικὴ παράστασις. Διότι τὴν μὲν παράστασιν τὴν βλέπομεν ἔστω καὶ εἰς εἰκόνα· ἐδῶ ὅμως οὔτε εἰκόνα βλέπομεν. Καὶ μακάρι νὰ ἐσταματοῦσαν μέχρις ἐδῶ τὰ δεινά. Τώρα ὅμως ἡ μὲν τιμὴ καὶ ἡ ἀπόλαυσις καὶ ἡ λαμπρότης κατήντησαν σκιά, λέξεις· τὰ ἐπακόλουθα ὅμως αὐτῶν, δὲν εἶναι πλέον σκιὰ καὶ λέξεις, ἀλλὰ παραμένουν καὶ θὰ μεταβοῦν μαζί μας ἐκεῖ καὶ θὰ φανερωθοῦν εἰς ὅλους· αἱ ἁρπαγαί, αἱ πλεονεξίαι, αἱ πορνεῖαι, αἱ μοιχεῖαι, τὰ ἀπειράριθμα δεινά. Αὐτὰ δὲν ἔχουν μεταβληθῆ εἰς εἰκόνα καὶ τέφραν, ἀλλ' εἶναι γραμμένα εἰς τὸν οὐρανὸν καὶ οἱ λόγοι καὶ αἱ πράξεις.

Μὲ ποίους λοιπὸν ὀφθαλμοὺς θὰ ἴδωμεν τὸν Χριστόν; Διότι ἐὰν δὲν ἠμπορῇ νὰ ἰδῇ κανεὶς τὸν πατέρα του, συναισθανόμενος ὅτι ἔσφαλεν ἀπέναντί του, Ἐκεῖνον ποὺ εἶναι ἀπείρως πραότερος ἀπὸ τὸν Πατέρα πῶς θὰ τὸν ἀτενίσωμεν τότε; Πῶς θὰ τὸν ὑποφέρωμεν; Διότι θὰ παραστῶμεν εἰς τὸ βῆμα τοῦ Χριστοῦ καὶ θὰ γίνῃ λεπτομερὴς ἐξέτασις ὅλων. Ἐὰν δὲ κανεὶς δὲν πιστεύῃ εἰς τὴν μέλλουσαν κρίσιν, ἂς ἰδῇ ὅσα συμβαίνουν ἐδῶ, αὐτοὺς ποὺ εὑρίσκονται εἰς τὰς φυλακάς, εἰς τὰ μεταλλορυχεῖα, εἰς τὰς κοπρίας, τοὺς δαιμονοπλήκτους, τοὺς παράφρονας, ἐκείνους ποὺ

νόσοις ἀνιάτοις παλαίοντας, τοὺς πενίᾳ διηνεκεῖ πυκτεύοντας, τοὺς λιμῷ συζῶντας, τοὺς πένθεσιν ἀνηκέστοις βεβλημένους, τοὺς ἐν αἰχμαλωσίαις. Οὐ γὰρ ἂν οὗτοι ταῦτα ἔπαθον νῦν, εἰ μὴ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς τὰ τοιαῦτα ἡμαρτηκότας ἔμελλεν ἀναμένειν τιμωρία καὶ κόλασις. Εἰ δὲ μηδὲν ἐνταῦθα ὑπέμειναν οἱ λοιποί, τοῦτο μὲν οὖν αὐτὸ σημεῖόν σε ποιεῖσθαι δεῖ τοῦ πάντως εἶναί τι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν.

Οὐ γὰρ ἂν ἁπάντων ὁ αὐτὸς ὢν Θεὸς τοὺς μὲν ἐτιμωρήσατο, τοὺς δὲ ἀφῆκεν ἀτιμωρήτους, τὰ αὐτὰ ἢ καὶ χαλεπώτερα πεπλημμεληκότας, εἰ μή τινα ἔμελλεν ἐκεῖ αὐτοῖς τιμωρίαν ἐπάγειν.

Ἀπὸ τούτων τοίνυν τῶν λογισμῶν καὶ τῶν παραδειγμάτων καὶ ἡμεῖς ταπεινώσωμεν ἑαυτούς, καὶ οἱ τῇ κρίσει διαπιστοῦντες πιστευέτωσαν λοιπόν, καὶ βελτίους γενέσθωσαν· ἵνα ἀξίως ἐνταῦθα τῆς βασιλείας βιώσαντες, τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

βασανίζονται ἀπὸ ἀνιάτους ἀσθενείας, ἐκείνους ποὺ ἀγωνίζονται μὲ τὴν διαρκῆ πτωχείαν, ἐκείνους ποὺ συζοῦν μὲ τὴν πεῖναν, ἐκείνους ποὺ ἔχουν ριφθῆ εἰς ἀφόρητον πένθος, ἐκείνους ποὺ εὑρίσκονται εἰς αἰχμαλωσίαν. Διότι αὐτοὶ δὲν θὰ ὑφίσταντο αὐτὰ τώρα, ἐὰν δὲν θὰ ἀνέμενε καὶ ὅλους τοὺς ἄλλους ποὺ ἔκαναν τὰς ἁμαρτίας αὐτὰς τιμωρία καὶ κόλασις. Ἐφ' ὅσον δὲ ἐδῶ τίποτε δὲν ὑπέστησαν οἱ ὑπόλοιποι, καὶ μόνον αὐτὸ πρέπει νὰ σοῦ εἶναι ἀπόδειξις ὅτι ὁπωσδήποτε κάτι ὑπάρχει μετὰ ἀπὸ τὴν ἀποδημίαν ἀπὸ τὸν κόσμον αὐτόν.

Διότι δὲν εἶναι δυνατόν, ἐνῷ ὁ ἴδιος Θεὸς εἶναι δι' ὅλους, ἄλλους μὲν νὰ τοὺς τιμωρήσῃ, ἄλλους δὲ νὰ τοὺς ἀφήσῃ ἀτιμωρήτους, μολονότι διέπραξαν τὰ ἴδια ἢ καὶ χειρότερα ἁμαρτήματα, ἐὰν δὲν ἐπρόκειτο νὰ τοὺς ἐπιβάλῃ κάποιαν τιμωρίαν ἐκεῖ.

Ἀπὸ αὐτὰς λοιπὸν τὰς σκέψεις καὶ τὰ παραδείγματα ἂς ταπεινώσωμεν καὶ ἐμεῖς τοὺς ἑαυτούς μας καὶ ὅσοι ἀπιστοῦν εἰς τὴν κρίσιν, ἂς πιστεύσουν λοιπὸν καὶ ἂς γίνουν καλύτεροι, εἰς τρόπον ὥστε ἀφοῦ ζήσωμεν ἐδῶ ὅπως ἀξίζει εἰς τὴν βασιλείαν, νὰ ἀξιωθῶμεν καὶ τῶν μελλόντων ἀγαθῶν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΖ΄

Ματθ. 24, 32-51

«Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. Ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλός, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις».

1. Ἐπειδὴ εἶπεν, ὅτι «εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων», αὐτοὶ δὲ τοῦτο ἐζήτουν μεθ' ὅσον χρόνον, καὶ αὐτὴν κυρίως τὴν ἡμέραν ἐπεθύμουν εἰδέναι, διὰ τοῦτο καὶ τὸ παράδειγμα τίθησι τῆς συκῆς, δεικνὺς ὅτι οὐ πολὺ τὸ μέσον, ἀλλ' ἐφεξῆς καὶ ἡ παρουσία ἀπαντήσεται· ὅπερ οὖν οὐ διὰ τῆς παραβολῆς μόνον, ἀλλὰ καὶ διὰ τῶν μετὰ ταῦτα λέξεων ἐδήλωσεν εἰπών· «Γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις».

Ἐντεῦθεν καὶ ἕτερόν τι προφητεύει, θέρος πνευματικόν, καὶ γαλήνην κατ' ἐκείνην ἐσομένην τὴν ἡμέραν ἀπὸ τοῦ χειμῶνος τοῦ παρόντος τοῖς δικαίοις· τοῖς δὲ ἁμαρτωλοῖς τοὐναντίον, χειμῶνα ἀπὸ θέρους· ὅπερ ἐν τοῖς ἑξῆς ἐδήλωσεν εἰπών, τρυφώντων αὐτῶν ἐπιστήσεσθαι τὴν ἡμέραν.

Οὐ διὰ τοῦτο δὲ μόνον τὸ τῆς συκῆς τοῦτο τέθεικεν, ἵνα τὸ διάστημα δηλώσῃ· ἐξῆν γὰρ καὶ ἑτέρως αὐτὸ παραστῆσαι· ἀλλ' ἵνα κἀντεῦθεν πιστώσηται τὸν λόγον οὕτως ἐκβησόμενον πάντως. Ὥσπερ γὰρ τοῦτο ἀνάγκη εἶναι, οὕτω καὶ ἐκεῖνο. Καὶ γὰρ ὅπουπερ ἂν ἐθέλῃ τὸ πάντως ἀποβησόμενον λέγειν, φυσικὰς ἀνάγκας εἰς μέσον παράγει, καὶ αὐτός, καὶ ὁ μακάριος Παῦλος αὐτὸν μιμούμενος. Διὰ τοῦτο καὶ περὶ ἀναστάσεως διαλεγόμενός φησιν· «Ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἐὰν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ απο-

ΟΜΙΛΙΑ ΟΖ'

Ματθ. 24, 32-51

«Ἀπὸ τὴν συκιὰ νὰ καταλάβετε τὴν παραβολήν. Ὅταν ὁ κλάδος της γίνῃ πλέον ἀπαλὸς καὶ βλαστήσουν τὰ φύλλα, καταλαβαίνετε ὅτι πλησιάζει τὸ θέρος. Ἔτσι καὶ σεῖς, ὅταν ἰδῆτε ὅλα αὐτά, νὰ γνωρίζετε ὅτι εἶναι πλησίον, εἰς τὴν πόρτα».

1. Ἐπειδὴ εἶπεν, ὅτι «εὐθὺς μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων», αὐτοὶ δὲ ἐζητοῦσαν αὐτὸ ἀκριβῶς, μετὰ ἀπὸ πόσον χρόνον, καὶ αὐτὴν κυρίως τὴν ἡμέραν ἐπιθυμοῦσαν νὰ γνωρίσουν, δι' αὐτὸ ἀναφέρει τὸ παράδειγμα τῆς συκῆς, δεικνύων ὅτι δὲν θὰ μεσολαβήσῃ πολὺ διάστημα, ἀλλ' ὅτι εὐθὺς ἀμέσως θὰ ἔλθῃ καὶ ἡ Παρουσία, πρᾶγμα τὸ ὁποῖον μάλιστα ἐδήλωσεν ὄχι μόνον μὲ τὴν παραβολήν, ἀλλὰ καὶ μὲ τὰς μετέπειτα λέξεις, λέγων «γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις».

Ἐδῶ προφητεύει καὶ κάτι ἄλλο, θέρος πνευματικόν, καὶ ὅτι κατ' ἐκείνην τὴν ἡμέραν ἀπὸ τὸν χειμῶνα τοῦ παρόντος θὰ ἐπικρατήσῃ γαλήνη χάριν τῶν δικαίων· διὰ τοὺς ἁμαρτωλοὺς ἀντιθέτως ἀπὸ θέρος θὰ γίνῃ χειμών. Αὐτὸ τὸ ἐδήλωσε παρακάτω ὅταν εἶπεν ὅτι ἡ ἡμέρα τῆς Παρουσίας θὰ ἔλθῃ ἐνῷ αὐτοὶ θὰ ἐπιδίδωνται εἰς ἀπολαύσεις.

Δὲν ἀνέφερεν ὅμως τὴν παραβολὴν τῆς συκῆς μόνον δι' αὐτό, διὰ νὰ φανερώσῃ τὸν χρόνον, διότι ἠμποροῦσε καὶ μὲ ἄλλον τρόπον νὰ τὸν παραστήσῃ, ἀλλὰ διὰ νὰ ἐπιβεβαιώσῃ καὶ μὲ τὸν τρόπον αὐτὸν ὅσα εἶπεν, ὅτι ὁπωσδήποτε θὰ συμβοῦν. Διότι ὅπως αὐτὸ εἶναι ἀναγκαῖον ἐπακόλουθον, ἔτσι καὶ ἐκεῖνο. Διὰ τοῦτο, ὅπου τυχὸν θέλει νὰ τονίσῃ ὅτι αὐτὸ ποὺ λέγει θὰ συμβῇ ὁπωσδήποτε, παρεμβάλλει φυσικὰς ἀναγκαιότητας, τόσον ὁ ἴδιος ὅσον καὶ ὁ μακάριος Παῦλος μιμούμενος αὐτόν. Δι' αὐτὸ ὅταν ὁμιλῇ περὶ τῆς Ἀναστάσεως λέγει· «ἐὰν ὁ σπόρος τοῦ σιταριοῦ δὲν πέσῃ εἰς τὴν γῆν καὶ πεθάνῃ, μένει αὐτὸς μόνος, ἐὰν

θάνῃ πολὺν καρπὸν φέρει». Ὅθεν καὶ ὁ μακάριος Παῦλος παιδευθείς, τῷ αὐτῷ κέχρηται ὑποδείγματι, Κορινθίοις περὶ ἀναστάσεως διαλεγόμενος. «Ἄφρων», γάρ, φησί, «σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ».

Εἶτα ἵνα μὴ ταχέως πάλιν ἐπ' αὐτὸ ἔλθωσι, καὶ ἐρωτήσωσι, Πότε; εἰς μνήμην αὐτοὺς τῶν παρελθόντων ἐνάγει, λέγων· «Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν ταῦτα πάντα γένηται». «Ταῦτα πάντα», ποῖα; εἰπέ μοι. Τὰ τῶν Ἱεροσολύμων, τὰ τῶν πολέμων, τὰ τῶν λιμῶν, τὰ τῶν λοιμῶν, τὰ τῶν σεισμῶν, τὰ τῶν ψευδοχρίστων, τὰ τῶν ψευδοπροφητῶν, τὸ πανταχοῦ σπαρῆναι τὸ Εὐαγγέλιον, τὰς στάσεις, τὰς ταραχάς, τὰ ἄλλα πάντα, ἅπερ εἰρήκαμεν μέχρι τῆς αὐτοῦ παρουσίας συμβησόμενα.

Πῶς οὖν, φησίν, εἶπεν, «ἡ γενεὰ αὕτη»; Οὐ περὶ τῆς τότε λέγων, ἀλλὰ περὶ τῆς τῶν πιστῶν. Οἶδε γὰρ γενεὰν οὐκ ἀπὸ χρόνων χαρακτηρίζειν μόνον, ἀλλὰ καὶ ἀπὸ τρόπου θρησκείας καὶ πολιτείας· ὡς ὅταν λέγῃ· «Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον». Ὅπερ γὰρ ἄνω ἔλεγε· «Δεῖ γὰρ πάντα γενέσθαι»· καὶ πάλιν, «Κηρυχθήσεται τὸ Εὐαγγέλιον»· τοῦτο καὶ ἐνταῦθα δηλοῖ λέγων, ὅτι πάντως ἐκβήσεται ταῦτα πάντα, καὶ μενεῖ ἡ γενεὰ τῶν πιστῶν, οὐδενὶ τῶν εἰρημένων διακοπτομένη. Ἀλλὰ καὶ τὰ Ἱεροσόλυμα ἀπολεῖται, καὶ τὸ πλέον τῶν Ἰουδαίων ἀφανισθήσεται, ταύτης δὲ οὐδὲν περιέσται, οὐ λιμός, οὐ λοιμός, οὐ σεισμός, οὐχ αἱ τῶν πολέμων ταραχαί, οὐ ψευδόχριστοι, οὐ ψευδοπροφῆται, οὐκ ἀπατεῶνες, οὐχ οἱ παραδιδόντες, οὐχ οἱ σκανδαλίζοντες, οὐχ οἱ ψευδάδελφοι, οὐκ ἄλλος οὐδεὶς τοιοῦτος πειρασμός.

---

1. Ἰω. 12, 24.
2. Α´ Κορ. 15, 36.
3. Ψαλμ. 23, 6.

ὅμως πεθάνῃ φέρει πολὺν καρπόν»[1]. Ἀπὸ ἐκεῖ καὶ ὁ μακάριος Παῦλος διδαχθεὶς χρησιμοποιεῖ τὸ ἴδιον παράδειγμα, ὅταν ὁμιλῇ εἰς τοὺς Κορινθίους περὶ τῆς Ἀναστάσεως. Διότι λέγει· «ἀνόητε, ἐκεῖνο ποὺ σπέρνεις ἐσὺ δὲν παίρνει ζωήν, ἐὰν πρῶτα δὲν πεθάνῃ»[2].

Ἔπειτα, διὰ νὰ μὴ ἐπανέλθουν γρήγορα πάλιν εἰς τὸ ἴδιον θέμα καὶ ἐρωτήσουν πότε, τοὺς ἐπαναφέρει εἰς τὰ προηγούμενα, λέγων· «σᾶς διαβεβαιώνω, ὅτι δὲν θὰ περάσῃ ἡ γενεὰ αὐτή, πρὶν γίνουν ὅλα αὐτά». «Ὅλα αὐτά»· ποῖα; εἰπέ μου. Τὰ ἀφορῶντα τὰ Ἱεροσόλυμα, τοὺς πολέμους, τοὺς λιμούς, τοὺς λοιμούς, τοὺς σεισμούς, τοὺς ψευδοχρίστους, τοὺς ψευδοπροφήτας, τὴν διάδοσιν τοῦ Εὐαγγελίου παντοῦ, τὰς ἐπαναστάσεις, τὰς ταραχάς, ὅλα τὰ ἄλλα τὰ ὁποῖα εἴπαμεν ὅτι θὰ συμβοῦν μέχρι τὴν Παρουσίαν Του.

Διατί ὅμως, λέγει, εἶπεν «ἡ γενεὰ αὐτή»; Τὸ εἶπεν ὁμιλῶν ὄχι διὰ τὴν τότε γενεάν, ἀλλὰ διὰ τὴν γενεὰν τῶν πιστῶν. Διότι συνηθίζει νὰ χαρακτηρίζῃ τὴν γενεὰν ὄχι μόνον ἀπὸ τοὺς χρόνους, ἀλλὰ καὶ ἀπὸ τὸ εἶδος τῆς θρησκείας καὶ τῆς συμπεριφορᾶς· ὅπως ὅταν λέγῃ· «Αὐτὴ ἡ γενεὰ ἐκείνων ποὺ ζητοῦν τὸν Κύριον»[3]. Διότι, ἐκεῖνο τὸ ὁποῖον ἔλεγεν ἀνωτέρω, ὅτι δηλαδὴ «πρέπει ὅλα αὐτὰ νὰ γίνουν» καὶ ὅτι· «θὰ κηρυχθῇ τὸ Εὐαγγέλιον», αὐτὸ ἐπισημαίνει καὶ ἐδῶ, λέγων ὅτι ὁπωσδήποτε θὰ συμβοῦν ὅλα αὐτὰ καὶ ὅτι ἡ γενεὰ τῶν πιστῶν θὰ παραμείνῃ, χωρὶς νὰ διακοπῇ ἀπὸ τίποτε ἐξ ὅσων ἐλέχθησαν. Ἀντιθέτως, καὶ τὰ Ἱεροσόλυμα θὰ καταστραφοῦν καὶ ἡ πλειονότης τῶν Ἰουδαίων θὰ ἀφανισθῇ, αὐτὴν τὴν γενεὰν δὲ τίποτε δὲν θὰ τὴν ξεπεράσῃ, οὔτε λιμός, οὔτε μολυσματικὴ ἀσθένεια, οὔτε σεισμός, οὔτε αἱ ταραχαὶ τῶν πολέμων, οὔτε ψευδόχριστοι, οὔτε ψευδοπροφῆται, οὔτε ἀπατεῶνες, οὔτε οἱ προδόται, οὔτε οἱ σκανδαλοποιοί, οὔτε οἱ ψευδάδελφοι, οὔτε καμμία ἄλλη παρομοία δοκιμασία.

Εἶτα καὶ μᾶλλον αὐτοὺς εἰς πίστιν ἐνάγων, φησίν· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι»· τουτέστι, τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα εὐκολώτερον ἀφανισθῆναι, ἢ τῶν λόγων τῶν ἐμῶν τι διαπεσεῖν. Καὶ ὁ ἀντιλέγων ὑπὲρ τούτων, βασανιζέτω τὰ εἰρημένα, καὶ εὑρὼν ἀληθῆ (εὑρήσει γὰρ πάντως), ἀπὸ τῶν παρελθόντων καὶ τοῖς μέλλουσι πιστευέτω, καὶ πάντα ἐξεταζέτω μετὰ ἀκριβείας, καὶ ὄψεται τῶν πραγμάτων τὸ τέλος μαρτυροῦν τῇ τῆς προφητείας ἀληθείᾳ. Τὰ δὲ στοιχεῖα εἰς μέσον τέθεικεν, ὁμοῦ μὲν δηλῶν, ὅτι προτιμοτέρα καὶ οὐρανοῦ καὶ γῆς ἡ Ἐκκλησία· ὁμοῦ δὲ δημιουργὸν ἑαυτὸν καὶ ἐντεῦθεν δεικνὺς τοῦ παντός. Ἐπειδὴ γὰρ περὶ συντελείας διελέχθη, πράγματος παρὰ πολλοῖς ἀπιστουμένου, τὸν οὐρανὸν καὶ τὴν γῆν εἰς μέσον ἤγαγε, τὴν δύναμιν αὐτοῦ τὴν ἄφατον ἐνδεικνύμενος, καὶ μετὰ πολλῆς τῆς ἐξουσίας δηλῶν, ὅτι Δεσπότης ἐστὶ τοῦ παντός, καὶ ἐκ τούτων καὶ τοῖς σφόδρα ἀμφιβάλλουσιν ἀξιόπιστα τὰ εἰρημένα κατασκευάζων.

«Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ». Τῷ μὲν εἰπεῖν, «οὐδὲ οἱ ἄγγελοι», ἐπεστόμισεν αὐτούς, ὥστε μὴ ζητῆσαι μαθεῖν ὅπερ ἐκεῖνοι οὐκ ἴσασι· τῷ δὲ εἰπεῖν, «οὐδὲ ὁ Υἱός», κωλύει οὐ μόνον μαθεῖν, ἀλλὰ καὶ ζητῆσαι. Ὅτι γὰρ διὰ τοῦτο τοῦτο εἴρηκεν, ὅρα μετὰ τὴν ἀνάστασιν, ἐπειδὴ περιεργοτέρους εἶδε γενομένους, πῶς ἐπεστόμισε μειζόνως. Νῦν μὲν γὰρ καὶ τεκμήρια εἴρηκε πολλὰ καὶ ἄπειρα· τότε δὲ ἁπλῶς, «Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς». Εἶτα ἵνα μὴ εἴπωσιν, ὅτι Ἠπορήμεθα, διεπτύσθημεν, οὐδὲ τούτου ἐσμὲν ἄξιοι· φησίν, «Οὓς ὁ Πατὴρ

4. Ματθ. 24, 35 καὶ Λουκᾶ 21, 32.
5. Πράξ. 1, 7.

Ἔπειτα, διὰ νὰ τοὺς κάμῃ νὰ πιστεύσουν περισσότερον, λέγει· «ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παρέλθουν, οἱ λόγοι μου ὅμως δὲν θὰ παρέλθουν»[4]. Δηλαδή, ὅτι αὐτὰ τὰ στερεοποιημένα καὶ τὰ ἀκίνητα εὐκολώτερα θὰ ἐξαφανισθοῦν, παρὰ θὰ διαψευσθῇ κάτι ἀπὸ τοὺς λόγους μου. Καὶ ὅποιος ἀμφιβάλλει περὶ αὐτῶν ἂς ἐξετάσῃ μὲ προσοχὴν ὅσα ἐλέχθησαν καὶ ἐὰν τὰ εὕρῃ ἀληθινὰ (καὶ θὰ τὰ εὕρῃ ὁπωσδήποτε) ἀπὸ τὰ παρελθόντα ἂς πιστεύσῃ καὶ εἰς τὰ μέλλοντα, καὶ ἂς τὰ ἐξετάσῃ ὅλα μὲ ἀκρίβειαν καὶ θὰ ἰδῇ τὴν ἐξέλιξιν τῶν πραγμάτων νὰ ἐπιβεβαιώνῃ τὴν ἀλήθειαν τῆς προφητείας. Τὰ δὲ στοιχεῖα τοῦ κόσμου (τὸν οὐρανὸν καὶ τὴν γῆν) τὰ παρενέβαλεν εἰς τὸν λόγον, ἀφ' ἑνὸς διὰ νὰ δηλώσῃ ὅτι ἡ Ἐκκλησία εἶναι προτιμωτέρα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀφ' ἑτέρου διὰ νὰ δείξῃ καὶ μὲ αὐτὰ ὅτι εἶναι δημιουργὸς τοῦ παντός. Διότι, ἐπειδὴ ὡμίλησε περὶ τῆς συντελείας τοῦ κόσμου, πρᾶγμα τὸ ὁποῖον πολλοὶ ἀμφισβητοῦν, ἀνέφερε τὸν οὐρανὸν καὶ τὴν γῆν διὰ νὰ δείξῃ τὴν ἀνυπολόγιστον δύναμίν Του καὶ νὰ δηλώσῃ μὲ πολλὴν ἐξουσίαν, ὅτι εἶναι κύριος τοῦ παντὸς καὶ μὲ αὐτὰ νὰ κάμῃ ἀξιόπιστα ὅσα εἶπε καὶ εἰς ἐκείνους ποὺ ἀμφιβάλλουν πάρα πολύ.

«Διὰ τὴν ἡμέραν δὲ ἐκείνην καὶ τὴν ὥραν κανεὶς δὲν γνωρίζει τίποτε, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν, παρὰ μόνον ὁ Πατήρ μου». Μὲ τὴν δήλωσιν «οὔτε οἱ ἄγγελοι» τοὺς ἀπεστόμωσεν, ὥστε νὰ μὴ ζητήσουν νὰ μάθουν ὅ,τι δὲν γνωρίζουν ἐκεῖνοι, λέγων δὲ «οὔτε ὁ Υἱὸς» τοὺς ἐμποδίζει ὄχι μόνον νὰ μάθουν, ἀλλὰ καὶ νὰ ἐρευνοῦν. Ὅτι δὲ δι' αὐτὸ τὸ εἶπε, βλέπε πῶς τοὺς ἀπεστόμωσε καλύτερα μετὰ τὴν ἀνάστασιν, ὅταν τοὺς εἶδε νὰ γίνωνται περισσότερον περίεργοι. Διότι τώρα μὲν τοὺς ἀνέφερε πολλὰ καὶ διάφορα τεκμήρια, τότε δὲ τοὺς εἶπεν ἁπλῶς· «δὲν εἶναι ἰδική σας ὑπόθεσις νὰ γνωρίζετε τοὺς χρόνους ἢ τοὺς καιρούς»[5]. Ἔπειτα, διὰ νὰ μὴ εἴπουν ὅτι παρεμελήθημεν, περιεφρονήθημεν, οὔτε αὐτοῦ δὲν εἴμεθα ἄξιοι, λέγει· «τοὺς ὁποί-

ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ». Καὶ γὰρ σφόδρα ἔμελεν αὐτῷ τοῦ τιμᾶν αὐτοὺς καὶ μηδὲν ἀποκρύπτεσθαι. Διὰ τοῦτο αὐτὸ τῷ Πατρὶ αὐτοῦ ἀνατίθησι, καὶ φοβερὸν τὸ πρᾶγμα ποιῶν, καὶ ἐκείνων ἀποτειχίζων τῇ πεύσει τὸ εἰρημένον· ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλ' ἀγνοεῖ, πότε εἴσεται; Ἆρα μεθ' ἡμῶν, καὶ τίς ἂν τοῦτο εἴποι; Καὶ τὸν μὲν Πατέρα οἶδε σαφῶς, καὶ οὕτω σαφῶς, ὡς ἐκεῖνος τὸν Υἱόν· τὴν δὲ ἡμέραν ἀγνοεῖ;

Εἶτα, τὸ μὲν Πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· αὐτὸς δὲ οὐδὲ τὸν καιρὸν τῆς κρίσεως οἶδεν; Ἀλλὰ τὸ μὲν πῶς δεῖ κρίνειν οἶδε, καὶ τὰ ἑκάστου ἀπόρρητα ἐπίσταται· ὃ δὲ πολλῷ τούτου εὐτελέστερον, τοῦτο ἔμελλεν ἀγνοεῖν; Πῶς δέ, εἰ «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», τὴν ἡμέραν ἠγνόησεν; Ὁ γὰρ τοὺς αἰῶνας ποιήσας, εὔδηλον ὅτι καὶ τοὺς χρόνους· εἰ δὲ τοὺς χρόνους, καὶ τὴν ἡμέραν· πῶς οὖν ἣν ἐποίησεν ἀγνοεῖ;

2. Καὶ ὑμεῖς μὲν αὐτοῦ καὶ τὴν οὐσίαν εἰδέναι φατέ, τὸν δὲ Υἱὸν οὐδὲ τὴν ἡμέραν, τὸν Υἱόν, τὸν διαπαντὸς ἐν τῷ κόλπῳ ὄντα τοῦ Πατρός; καίτοι πολλῷ μείζων ἡ οὐσία τῶν ἡμερῶν, καὶ ἀπείρως μείζων. Πῶς οὖν τὸ μεῖζον ἑαυτοῖς διδόντες, οὐδὲ τὸ ἔλαττον συγχωρεῖτε τῷ Υἱῷ, «ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι»; Ἀλλ' οὔτε ὑμεῖς ἴστε τί τὴν οὐσίαν ὁ Θεός, κἂν μυριάκις ταῦτα μαίνησθε· οὔτε ὁ Υἱὸς ἀγνοεῖ τὴν ἡμέραν, ἀλλὰ καὶ σφόδρα ἐπίσταται. Διά τοι τοῦτο πάντα εἰπών, καὶ τοὺς χρόνους, καὶ τοὺς καιρούς, καὶ ἐπ' αὐτὰς τὰς θύρας

6. Αὐτόθι.
7. Α' Κορ. 2, 10.
8. Ἰω. 1, 3.
9. Κολ. 2, 3.

ους ὥρισεν ὁ Πατὴρ κατὰ τὴν ἰδικήν του ἐξουσίαν»[6]. Διότι ἐφρόντιζε πάρα πολὺ νὰ τοὺς τιμᾷ καὶ νὰ μὴ τοὺς ἀποκρύπτῃ τίποτε. Διὰ τοῦτο αὐτὸ τὸ ἀφήνει εἰς τὴν δικαιοδοσίαν τοῦ Πατρός, ἀφ' ἑνὸς διὰ νὰ κάμῃ τὸ πρᾶγμα φοβερόν, καὶ ἀφ' ἑτέρου νὰ ἀποκλείσῃ ἐκείνους νὰ πληροφορηθοῦν αὐτὸ ποὺ ἐλέχθη. Διότι ἐὰν δὲν εἶναι αὐτὸ καὶ τὸ ἀγνοεῖ, πότε θὰ τὸ γνωρίσῃ; Μήπως μαζί μας; Καὶ ποῖος θὰ ἠμποροῦσε νὰ τὸ εἴπῃ αὐτό; Καὶ τὸν μὲν Πατέρα τὸν γνωρίζει ἀκριβῶς, τόσον ἀκριβῶς μάλιστα ὅσον Ἐκεῖνος γνωρίζει τὸν Υἱόν, τὴν δὲ ἡμέραν τὴν ἀγνοεῖ;

Ἔπειτα, τὸ μὲν Πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ[7], καὶ Αὐτὸς δὲν γνωρίζει οὔτε τὸν χρόνον τῆς κρίσεως; Ἀλλὰ τὸ μὲν πῶς πρέπει νὰ κρίνῃ τὸ γνωρίζει καὶ τὰ ἀπόκρυφα τοῦ καθενὸς τὰ γνωρίζει καλῶς, αὐτὸ δὲ ποὺ εἶναι πολὺ πιὸ ἀσήμαντον ἀπὸ ἐκεῖνο, αὐτὸ θὰ τὸ ἀγνοοῦσε; Πῶς ὅμως, ἐὰν «ὅλα ἔγιναν δι' αὐτοῦ καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε»[8], ἠγνόησε τὴν ἡμέραν; Διότι αὐτὸς ποὺ ἐδημιούργησε τοὺς αἰῶνας, εἶναι φανερὸν ὅτι ἐδημιούργησε καὶ τοὺς χρόνους· ἐὰν δὲ ἐδημιούργησε τοὺς χρόνους, ἐδημιούργησε καὶ τὴν ἡμέραν· πῶς λοιπὸν ἀγνοεῖ αὐτὴν ποὺ ἐδημιούργησεν;

2. Καὶ σεῖς μὲν ἰσχυρίζεσθε ὅτι γνωρίζετε τὴν οὐσίαν Του, ὁ δὲ Υἱὸς δὲν γνωρίζει οὔτε τὴν ἡμέραν, ὁ Υἱὸς ὁ ὁποῖος εὑρίσκεται διαρκῶς εἰς τὸν κόλπον τοῦ Πατρός; Μολονότι ἡ οὐσία Αὐτοῦ εἶναι πολὺ ἀνωτέρα ἀπὸ τὰς ἡμέρας, καὶ μάλιστα ἀπείρως ἀνωτέρα. Πῶς λοιπόν, ἐνῷ ἐπιτρέπετε τὸ μεῖζον εἰς τοὺς ἑαυτούς σας, δὲν ἐπιτρέπετε οὔτε τὸ ἔλασσον εἰς τὸν Υἱόν, «εἰς τὸν ὁποῖον εἶναι κρυμμένοι ὅλοι οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως»;[9] Ἀλλὰ οὔτε σεῖς γνωρίζετε τί εἰς τὴν οὐσίαν εἶναι ὁ Θεός, ἔστω καὶ ἂν μυρίας φορὰς τὸ ἰσχυρίζεσθε μέχρι μανίας· οὔτε ὁ Υἱὸς ἀγνοεῖ τὴν ἡμέραν, ἀλλὰ τὴν γνωρίζει καὶ πολὺ καλῶς. Δι' αὐτὸ ἀκριβῶς, ἀφοῦ τὰ εἶπεν ὅλα, καὶ τοὺς χρόνους καὶ τοὺς καιροὺς καὶ ἀφοῦ μᾶς ὡδήγησε μέ-

ἀγαγών, («Ἐγγὺς γάρ ἐστιν ἐπὶ θύραις», φησίν)· ἀπεσίγησε τὴν ἡμέραν. Εἰ μὲν γὰρ ἡμέραν ζητοίης καὶ ὥραν, οὐκ ἀκούσῃ παρ' ἐμοῦ, φησίν· εἰ δὲ καιροὺς καὶ προοίμια, οὐδὲν ἀποκρυψάμενος ἐρῶ πάντα σοι μετὰ ἀκριβείας.

Ὅτι μὲν γὰρ οὐ ἀγνοῶ, διὰ πολλῶν ἔδειξα, διαστήματα εἰπών, καὶ τὰ συμβησόμενα ἅπαντα, καὶ ὅσον ἀπὸ τοῦδε τοῦ χρόνου μέχρι τῆς ἡμέρας αὐτῆς· (τοῦτο γὰρ τῆς συκῆς ἐδήλωσεν ἡ παραβολή)· καὶ ἐπὶ τὰ πρόθυρά σε ἤγαγον αὐτά· εἰ δὲ μὴ ἀνοίγω σοι τὰς θύρας, καὶ τοῦτο συμφερόντως ποιῶ.

Ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς, ὅτι οὐ τῆς ἀγνοίας αὐτοῦ τὸ σιγῆσαι, ὅρα μετὰ τῶν εἰρημένων πῶς καὶ ἄλλο προστίθησι σημεῖον· «Ὥσπερ δὲ ἦσαν ἐν ταῖς ἡμέραις τοῦ Νῶε τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ γαμίζοντες, ἄχρι ἧς ἡμέρας ἦλθεν ὁ κατακλυσμός, καὶ ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου». Ταῦτα δὲ εἶπε, δηλῶν ὡς ἀθρόον ἥξει, καὶ ἀπροσδοκήτως, καὶ τῶν πλειόνων τρυφώντων. Καὶ γὰρ ὁ Παῦλος τοῦτό φησιν, οὕτω γράφων. «Ὅταν λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος»· καὶ τὸ ἀπροσδόκητον δηλῶν, ἔλεγεν· «Ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ».

Πῶς οὖν φησι, «μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων»; Εἰ γὰρ τρυφὴ τότε, καὶ εἰρήνη, καὶ ἀσφάλεια, καθὼς ὁ Παῦλός φησι, πῶς λέγει, «μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων»; Εἰ τρυφή, πῶς θλῖψις; Τρυφὴ τοῖς ἀναισθήτως διακειμένοις, καὶ εἰρήνη. Διὰ τοῦτο οὐκ εἶπεν, Ὅταν δὲ ἡ εἰρήνη, ἀλλ', «Ὅταν λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν», τὸ ἀναίσθη-

10. Α' Θεσσ. 5, 3.
11. Αὐτόθι.
12. Ματθ. 24, 29.

χρι τῶν θυρῶν (διότι λέγει· «εἶναι κοντά, εἰς τὴν θύραν»), ἀπεσιώπησε τὴν ἡμέραν. Ἐὰν μὲν λοιπὸν ζητῇς τὴν ἡμέραν καὶ τὴν ὥραν, λέγει, δὲν θὰ τὴν ἀκούσῃς ἀπὸ ἐμέ· ἐὰν ὅμως ζητῇς νὰ μάθῃς τοὺς καιροὺς καὶ τὰ προοίμια τῆς παρουσίας, θὰ σοῦ τὰ εἴπω ὅλα μὲ ἀκρίβειαν χωρὶς νὰ ἀποκρύψω τίποτε.

Ὅτι μὲν λοιπὸν δὲν ἀγνοῶ τὴν ἡμέραν τῆς παρουσίας τὸ ἀπέδειξα διὰ πολλῶν, ἀφοῦ σοῦ εἶπα τὰ χρονικὰ διαστήματα καὶ ὅλα ὅσα θὰ συμβοῦν καὶ τὸ χρονικὸν διάστημα ποὺ θὰ μεσολαβήσῃ ἀπὸ τὸν χρόνον αὐτὸν μέχρι τῆς ἡμέρας ἐκείνης (διότι αὐτὸ τὸ ἐφανέρωσεν ἡ παραβολὴ τῆς συκῆς), καὶ σὲ ὡδήγησα μέχρι τὰ ἴδια τὰ πρόθυρα· ἐὰν δὲ δὲν σοῦ ἀνοίγω τὰς θύρας, τὸ κάμνω διὰ τὸ συμφέρον σου.

Διὰ νὰ μάθῃς δὲ καὶ ἀπὸ ἄλλοῦ, ὅτι ἡ σιωπή του δὲν ὠφείλετο εἰς ἄγνοιαν, ἰδὲ ὅτι μαζὶ μὲ ὅλα ὅσα εἶπεν ἐπρόσθεσε καὶ ἄλλο σημεῖον· «ὅπως κατὰ τὰς ἡμέρας τοῦ Νῶε οἱ ἄνθρωποι ἔτρωγαν καὶ ἔπιναν, ἐνυμφεύοντο καὶ ὑπανδρεύοντο μέχρι τὴν ἡμέραν ποὺ ἦλθεν ὁ κατακλυσμὸς καὶ τοὺς ἅρπαξεν ὅλους, ἔτσι θὰ γίνῃ καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου». Αὐτὰ δὲ τὰ εἶπε διὰ νὰ φανερώσῃ ὅτι θὰ ἔλθῃ ἀστραπιαίως καὶ αἰφνιδίως καὶ ἐνῷ οἱ περισσότεροι θὰ ἐπιδίδωνται εἰς ἀπολαύσεις. Αὐτὸ ἐξ ἄλλου τὸ λέγει καὶ ὁ Παῦλος ὅταν γράφῃ· «Ὅταν ὁμιλοῦν περὶ εἰρήνης καὶ ἀσφαλείας, τότε ἔρχεται ἐπάνω τους αἰφνίδια ἡ καταστροφή»[10]· καὶ διὰ νὰ φανερώσῃ τὸ ἀπροσδόκητον τῆς παρουσίας ἔλεγεν· «Ὅπως ὁ κοιλόπονος εἰς τὴν ἔγκυον»[11].

Διατί λοιπὸν λέγει «μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων»[12]; Διότι, ἐὰν τότε ὑπάρχῃ ἀπόλαυσις καὶ εἰρήνη καὶ ἀσφάλεια, ὅπως λέγει ὁ Παῦλος, διατί λέγει «μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων»; Ἐὰν ὑπάρχῃ τρυφή, πῶς θὰ ὑπάρχῃ θλῖψις; Τρυφὴ καὶ εἰρήνη θὰ ὑπάρχῃ δι' ἐκείνους ποὺ εἶναι ἀναίσθητοι. Δι' αὐτὸ δὲν εἶπεν ὅταν θὰ ὑπάρχῃ εἰρήνη, ἀλλὰ «ὅταν λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν», θέλων νὰ δείξῃ τὴν ἀναισθησίαν αὐτῶν, ὅπως οἱ ἐπὶ τῆς ἐ-

τον αὐτῶν ἐνδεικνύμενος, ὡς τῶν ἐπὶ Νῶε, ὅτι δὴ ἐν τοιούτοις κακοῖς ἐτρύφων. Ἀλλ᾿ οὐχ οἱ δίκαιοι, ἀλλ᾿ ἐν θλίψει καὶ ἀθυμίᾳ διῆγον.

Ἐντεῦθεν δείκνυσιν, ὅτι τοῦ ἀντιχρίστου ἐλθόντος, τὰ τῶν ἀτόπων ἡδονῶν ἐπιταθήσεται ἐν τοῖς παρανόμοις καὶ τῆς οἰκείας ἀπεγνωκόσι σωτηρίας. Τότε γαστριμαργίαι, κῶμοι τότε καὶ μέθαι. Διὸ καὶ μάλιστα ὑπόδειγμα τίθησιν ἁρμόζον τῷ πράγματι. Καθάπερ γὰρ τῆς κιβωτοῦ γινομένης οὐκ ἐπίστευον, φησίν, ἀλλὰ προέκειτο μὲν ἐν μέσῳ τὰ μέλλοντα προανακηρύττουσα κακά, ἐκεῖνοι δὲ ὁρῶντες αὐτήν, ὡς οὐδενὸς ἐσομένου δεινοῦ, οὕτως ἐτρύφων· οὕτω καὶ νῦν, φανεῖται μὲν ὁ ἀντίχριστος, μεθ᾿ ὃν ἡ συντέλεια, καὶ αἱ κολάσεις αἱ ἐπὶ τῇ συντελείᾳ, καὶ τιμωρίαι ἀφόρητοι· οἱ δὲ τῇ μέθῃ τῆς κακίας κατεχόμενοι οὐδὲ αἰσθήσονται τοῦ φόβου τῶν ἐσομένων. Διὸ καὶ Παῦλός φησιν· «Ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ», οὕτως αὐτοῖς παραστήσεται τὰ φοβερὰ ἐκεῖνα καὶ ἀνήκεστα.

Καὶ διατί μὴ εἶπε τὰ ἐπὶ Σοδόμων κακά; Καθολικὸν ἠθέλησεν ἐνθεῖναι ὑπόδειγμα, καὶ μετὰ τὸ προλεχθῆναι ἀπιστηθέν. Διὰ δὴ τοῦτο, ἐπειδὴ παρὰ τοῖς πολλοῖς τὰ μέλλοντα ἀπιστεῖται, ἀπὸ τῶν παρελθόντων αὐτὰ πιστοῦται, κατασείων αὐτῶν τὴν διάνοιαν. Μετὰ δὲ τῶν εἰρημένων κἀκεῖνο ἐνδείκνυται, ὅτι καὶ τὰ ἔμπροσθεν αὐτὸς πεποίηκεν.

Εἶτα πάλιν ἄλλο σημεῖον τίθησι, δι᾿ ὧν ἁπάντων ὅτι οὐκ ἀγνοεῖ τὴν ἡμέραν, κατάδηλον ποιεῖ. Τί δὲ τὸ σημεῖον; «Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ

ποχῆς τοῦ Νῶε οἱ ὁποῖοι ἐπεδίδοντο εἰς ἀπολαύσεις ἐν μέσῳ τόσων κακῶν. Ὄχι βεβαίως οἱ δίκαιοι, οἱ ὁποῖοι ἐπερνοῦσαν μὲ θλῖψιν καὶ δυσφορίαν.

Μὲ αὐτὰ δείχνει, ὅτι ὅταν ἔλθῃ ὁ ἀντίχριστος θὰ ἐπιταθοῦν αἱ ἀνάρμοστοι ἡδοναί, θὰ αὐξηθοῦν μεταξὺ ἐκείνων οἱ ὁποῖοι εἶναι παράνομοι καὶ ἔχουν χάσει τὴν ἐλπίδα τῆς σωτηρίας των. Τότε θὰ ἐμφανισθοῦν γαστριμαργίαι, θορυβώδεις διασκεδάσεις καὶ μέθαι. Δι' αὐτὸ ἀναφέρει καὶ παράδειγμα κατάλληλον πρὸς τὴν περίστασιν. Διότι ὅπως, λέγει, δὲν ἐπίστευαν ὅταν κατεσκευάζετο ἡ Κιβωτός, καὶ ἐνῷ εὑρίσκετο ἀνάμεσά τους προαναγγέλλουσα τὰ δεινὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν, ἐκεῖνοι βλέποντάς την διεσκέδαζαν ὡσὰν νὰ μὴ ἐπρόκειτο νὰ συμβῇ κανένα κακόν, ἔτσι καὶ τώρα, θὰ φανῇ μὲν ὁ ἀντίχριστος μετὰ τὸν ὁποῖον θὰ ἐπέλθῃ ἡ συντέλεια καὶ τὰ δεινὰ τὰ συνεπακόλουθα τῆς συντελείας καὶ αἱ ἀβάσταχτοι τιμωρίαι, αὐτοὶ ὅμως κατεχόμενοι ἀπὸ τὴν μέθην τῆς κακίας οὔτε κἂν θὰ αἰσθανθοῦν τὸν φόβον τῶν ὅσων θὰ συμβοῦν. Δι' αὐτὸ καὶ ὁ Παῦλος λέγει ὅτι τὰ φοβερὰ ἐκεῖνα καὶ ἀφόρητα δεινὰ θὰ ἐμφανισθοῦν ὅπως ὁ κοιλόπονος εἰς τὴν ἔγκυον.

Διατί ὅμως δὲν ἀνέφερε τὰ κακὰ τῶν Σοδόμων; Ἠθέλησε νὰ ἀναφέρῃ παράδειγμα γενικόν, τὸ ὁποῖον ἂν καὶ εἶχε προλεχθῆ ἠμφεσβητήθη. Δι' αὐτὸ ἀκριβῶς, ἐπειδὴ ἀπὸ τοὺς περισσοτέρους ἀμφισβητοῦνται τὰ μέλλοντα νὰ συμβοῦν, τὰ βεβαιώνει μὲ ἐκεῖνα ποὺ συνέβησαν εἰς τὸ παρελθόν, διὰ νὰ διεγείρῃ τὸν νοῦν των καὶ νὰ δείξῃ μαζὶ μὲ ὅσα ἐλέχθησαν καὶ τοῦτο, ὅτι καὶ ἐκεῖνα ποὺ συνέβησαν εἰς τὸ παρελθὸν Ἐκεῖνος τὰ εἶχε κάμει.

Ἔπειτα πάλιν ἀναφέρει ἄλλο σημεῖον, μὲ ὅλα δὲ αὐτὰ κάμνει ὁλοφάνερον ὅτι δὲν ἀγνοεῖ τὴν ἡμέραν τῆς παρουσίας. Ποῖον δὲ εἶναι τὸ σημεῖον αὐτό; «Τότε δύο θὰ βρίσκωνται εἰς τὸν ἀγρόν, ὁ ἕνας παραλαμβάνεται καὶ ὁ ἄλλος ἀφήνεται. Δύο γυναῖκες θὰ ἀλέθουν εἰς τὸν μύλον· ἡ μία παραλαμβάνεται καὶ ἡ ἄλλη ἀφήνεται. Νὰ εἴσθε λοι-

ὁ Κύριος ὑμῶν ἔρχεται». Ταῦτα δὲ πάντα, καὶ τοῦ εἰδέναι αὐτὸν δείγματα, καὶ ἀπάγοντα αὐτοὺς τῆς ἐρωτήσεως. Διὰ γὰρ τοῦτο εἶπε καὶ τὰς ἡμέρας τοῦ Νῶε· διὰ τοῦτο εἶπε καί, «δύο ἐπὶ τῆς κλίνης», τοῦτο δηλῶν, ὅτι οὕτως ἀπροσδοκήτως, οὕτως ἀμερίμνων αὐτῶν ὄντων, ἐπελεύσεται· καὶ «δύο ἀλήθουσαι», ὅπερ καὶ αὐτὸ οὐκ ἔστι μεριμνώντων.

Καὶ μετὰ τούτου, ὅτι καὶ δοῦλοι καὶ δεσπόται καὶ παραλαμβάνονται καὶ ἀφίενται, καὶ οἱ ἐν ἀδείᾳ καὶ οἱ ἐν πόνῳ, καὶ ἀπὸ ταύτης τῆς ἀξίας καὶ ἀπ' ἐκείνης· ὥσπερ ἐν τῇ Παλαιᾷ φησιν· «Ἀπὸ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, ἕως τῆς αἰχμαλώτιδος τῆς ἐν τῷ μύλωνι». Ἐπειδὴ γὰρ εἶπεν, ὅτι δυσκόλως οἱ πλούσιοι σώζονται, δείκνυσιν ὅτι οὐ πάντως οὔτε οὗτοι ἀπόλλυνται, οὔτε πένητες σώζονται ἅπαντες, ἀλλὰ καὶ ἐξ ἐκείνων καὶ ἐκ τούτων καὶ σώζονται καὶ ἀπόλλυνται. Ἐμοὶ δὲ δοκεῖ δηλοῦν, ὅτι καὶ ἐν νυκτὶ ἔσται ἡ παρουσία. Τοῦτο γὰρ καὶ ὁ Λουκᾶς φησιν. Ὁρᾷς πῶς πάντα μετὰ ἀκριβείας οἶδεν;

Εἶτα πάλιν, ἵνα μὴ ἐρωτήσωσιν, ἐπήγαγε· «Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται». Οὐκ εἶπεν, Οὐκ οἶδα, ἀλλ', Οὐκ οἴδατε. Ὅταν γὰρ αὐτοὺς σχεδὸν εἰς αὐτὴν ἀγάγῃ τὴν ὥραν, καὶ στήσῃ, πάλιν αὐτοὺς ἀπάγει τῆς ἐρωτήσεως, βουλόμενος ἐναγωνίους εἶναι διηνεκῶς. Διὰ τοῦτο λέγει, «Γρηγορεῖτε», δεικνὺς ὅτι διὰ τοῦτο οὐκ εἶπεν. «Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρα οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου

---

13. Ἐξ. 11, 5.
14. Ματθ. 19, 23.
15. Λουκᾶ 11, 34.

πὸν ἄγρυπνοι, διότι δὲν γνωρίζετε ποίαν ὥραν ἔρχεται ὁ Κύριός σας». Ὅλα αὐτὰ εἶναι δείγματα ὅτι γνωρίζει τὴν ἡμέραν καὶ ταυτοχρόνως τοὺς ἐκτρέπει ἀπὸ τὴν ἐρώτησιν. Δι' αὐτὸ ἀκριβῶς ἀνέφερε καὶ τὰς ἡμέρας τοῦ Νῶε καὶ διὰ τοῦτο εἶπε καὶ τὸ «δύο ἐπὶ κλίνης», διὰ νὰ δηλώσῃ τοῦτο, ὅτι θὰ ἔλθῃ ἐντελῶς ἀπροσδοκήτως καὶ ἐνῷ αὐτοὶ θὰ εἶναι ἀμέριμνοι, καὶ «δύο ἀλήθουσαι», ποὺ καὶ αὐτὸ εἶναι δεῖγμα ἀμεριμνησίας.

Καὶ μαζὶ μὲ αὐτὸ ἀναφέρει ὅτι καὶ ὑπηρέται καὶ κύριοι παραλαμβάνονται καὶ ἀφήνονται ἀδιακρίτως, καὶ ἐκεῖνοι ποὺ εἶναι ἐλεύθεροι καὶ ἐκεῖνοι ποὺ κοπιάζουν, καὶ ἀπὸ αὐτὴν τὴν κοινωνικὴν θέσιν καὶ ἀπὸ τὴν ἄλλην, ὅπως λέγει καὶ εἰς τὴν Παλαιὰν Διαθήκην· «ἀπὸ ἐκεῖνον ποὺ κάθεται εἰς τὸν θρόνον, μέχρι τὴν αἰχμάλωτον γυναῖκα ποὺ εἶναι εἰς τὸν μύλον»[13]. Διότι, ἐπειδὴ εἶπεν, ὅτι δυσκόλως σώζονται οἱ πλούσιοι[14], θέλει νὰ δείξῃ ὅτι οὔτε αὐτοὶ ὁπωσδήποτε θὰ χαθοῦν, οὔτε οἱ πτωχοὶ θὰ σωθοῦν ὅλοι, ἀλλ' ὅτι καὶ ἀπὸ ἐκείνους καὶ ἀπὸ αὐτοὺς καὶ θὰ σωθοῦν καὶ θὰ χαθοῦν. Ἐγὼ ὅμως νομίζω πῶς θέλει νὰ φανερώσῃ καὶ ὅτι ἡ παρουσία θὰ γίνῃ κατὰ τὴν διάρκειαν τῆς νυκτός. Διότι αὐτὸ λέγει καὶ ὁ Λουκᾶς[15]. Βλέπεις πῶς τὰ ἐγνώριζεν ὅλα μὲ ἀκρίβειαν;

Ἔπειτα πάλιν, διὰ νὰ μὴ ἐρωτήσουν, ἐπρόσθεσε· «Νὰ εἶσθε ἄγρυπνοι λοιπόν, διότι δὲν γνωρίζετε ποίαν ὥραν ἔρχεται ὁ Κύριός σας». Δὲν εἶπε «δὲν γνωρίζω», ἀλλὰ «δὲν γνωρίζετε». Διότι, ἐνῷ τοὺς ὁδηγεῖ εἰς αὐτὴν σχεδὸν τὴν ὥραν καὶ τοὺς στήνει, πάλιν τοὺς ἀπομακρύνει ἀπὸ τὴν ἐρώτησιν, ἐπειδὴ θέλει νὰ τοὺς κρατῇ εἰς διαρκῆ ἀγωνίαν. Δι' αὐτὸ λέγει «γρηγορεῖτε», δείχνοντας ὅτι δι' αὐτὸ δὲν τοὺς ἀποκαλύπτει τὴν ὥραν. «Γνωρίζετε ὅμως τοῦτο, ὅτι ἐὰν ἐγνώριζεν ὁ οἰκοδεσπότης ποίαν ὥραν τῆς νυκτὸς θὰ ἤρχετο ὁ κλέπτης, θὰ ἀγρυπνοῦσε καὶ δὲν θὰ ἄφηνε νὰ διαρρήξουν τὴν οἰκίαν του. Δι' αὐτὸ καὶ σεῖς νὰ εἶσθε ἕτοιμοι, διότι ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ ἔλθῃ τὴν ὥραν ποὺ δὲν

ἔρχεται». Διὰ τοῦτο οὐ λέγει αὐτοῖς, ἵνα γρηγορῶσιν, ἵνα ἀεὶ ἕτοιμοι ὦσι· διὰ τοῦτό φησιν, ὅτε οὐ προσδοκᾶτε, τότε ἥξει, ἐναγωνίους εἶναι βουλόμενος, καὶ διαπαντὸς ἐν ἀρετῇ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ ᾔδεσαν οἱ πολλοὶ πότε ἀποθανοῦνται, πάντως ἂν κατ' ἐκείνην τὴν ὥραν ἐσπούδασαν.

3. Ἵν' οὖν μὴ ἐκείνην μόνον σπουδάζωσι, διὰ τοῦτο οὐ λέγει οὔτε τὴν κοινήν, οὔτε τὴν ἑκάστου, ἀεὶ αὐτοὺς βουλόμενος τοῦτο προσδοκᾶν, ἵνα ἀεὶ σπουδάζωσι. Διὸ καὶ τῆς ἑκάστου ζωῆς τὸ τέλος ἄδηλον ἐποίησεν. Εἶτα ἐκκεκαλυμμένως ἑαυτὸν Κύριον ὀνομάζει, οὐδαμοῦ οὕτω σαφῶς εἰπών. Ἐνταῦθα δέ μοι καὶ ἐντρέπειν δοκεῖ τοὺς ῥαθύμους, ὅτι οὐδὲ ὅσην περὶ χρήματα σπουδὴν πεποίηνται οἱ προσδοκῶντες κλέπτην, οὐδὲ τοσαύτην οὗτοι τῆς ἑαυτῶν ψυχῆς. Ἐκεῖνοι μὲν γὰρ ὅταν προσδοκήσωσι, γρηγοροῦσι, καὶ οὐδὲν ἀφιᾶσι τῶν ἔνδον ἀποσυληθῆναι· ὑμεῖς δέ, καίτοι εἰδότες ὅτι ἥξει, καὶ πάντως ἥξει, οὐ μένετε ἐγρηγορότες, φησί, καὶ παρεσκευασμένοι, ὥστε μὴ ἀπαρασκευάστως ἐντεῦθεν ἀπενεχθῆναι. Διὰ τοῦτο ἐπ' ὀλέθρῳ ἔρχεται ἡ ἡμέρα τῶν καθευδόντων. Ὥσπερ γὰρ ἐκεῖνος, εἰ ᾔδει, διέφυγεν ἄν· οὕτω καὶ ὑμεῖς, ἐὰν ἦτε ἕτοιμοι, διαφεύξεσθε. Εἶτα ἐπειδὴ εἰς τὴν τῆς κρίσεως ἐνέβαλε μνήμην, καὶ πρὸς τοὺς διδασκάλους τρέπει τὸν λόγον λοιπόν, περὶ κολάσεως καὶ τιμῶν διαλεγόμενος· καὶ προτέρους θεὶς τοὺς κατορθοῦντας, εἰς τοὺς διαμαρτάνοντας τελευτᾷ, πρὸς τὸ φοβερὸν κατακλείων τὸν λόγον.

Διὸ πρῶτον τοῦτό φησι· «Τίς ἄρα ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐτοῦ, δοῦναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ αὐτῶν; Μακάριος

περιμένετε». Δι' αὐτὸ δὲν τοὺς τὴν ἀποκαλύπτει, διὰ νὰ ἀγρυπνοῦν, διὰ νὰ εἶναι πάντοτε ἕτοιμοι. Δι' αὐτὸ λέγει, ὅταν δὲν θὰ περιμένετε, τότε θὰ ἔλθη, ἐπειδὴ θέλει νὰ εὑρίσκωνται εἰς διαρκῆ ἀγωνίαν καὶ πάντοτε εἰς τὴν ἀρετήν. Ἐκεῖνο δὲ τὸ ὁποῖον ἐννοεῖ εἶναι τὸ ἑξῆς· ἐὰν ἐγνώριζαν οἱ πολλοὶ πότε θὰ ἀποθάνουν, θὰ ἔδειχναν προθυμίαν κατὰ τὴν ὥραν ἐκείνην.

3. Διὰ νὰ μὴ δείχνουν λοιπὸν ἐνδιαφέρον μόνον κατ' ἐκείνην τὴν ὥραν, δι' αὐτὸ δὲν τοὺς ἀποκαλύπτει οὔτε τὴν κοινὴν ὥραν, οὔτε τὴν ὥραν τοῦ καθενός, ἐπειδὴ θέλει νὰ τὴν περιμένουν διαρκῶς, διὰ νὰ καταβάλλουν προσπάθειαν πάντοτε. Δι' αὐτὸ ἔκαμε καὶ τὸ τέλος τῆς ζωῆς τοῦ καθενὸς ἄγνωστον. Ἔπειτα ὀνομάζει φανερὰ τὸν ἑαυτόν Του Κύριον, ἐνῷ δὲν τὸ ἔχει εἴπει πουθενὰ τόσον σαφῶς. Ἐδῶ δὲ νομίζω ὅτι ἐπιπλήττει τοὺς ὀκνηρούς, διότι δὲν δείχνουν τόσον ἐνδιαφέρον διὰ τὴν ψυχήν των, ὅσον ἐνδιαφέρον δείχνουν διὰ τὰ χρήματά των ἐκεῖνοι ποὺ περιμένουν κλέπτην. Διότι ἐκεῖνοι μὲν ὅταν περιμένουν κλέπτην ἀγρυπνοῦν καὶ δὲν ἀφήνουν τίποτε ἀπὸ ὅσα ὑπάρχουν μέσα νὰ ἁρπαχθῇ· ἐνῷ σεῖς, ἂν καὶ γνωρίζετε ὅτι θὰ ἔλθῃ, καὶ θὰ ἔλθῃ ὁπωσδήποτε, δὲν μένετε ἄγρυπνοι, λέγει, καὶ προπαρασκευασμένοι, ὥστε νὰ μὴ ἀφαρπασθῆτε ἀπὸ ἐδῶ ἀπροετοίμαστοι. Δι' αὐτὸ ἡ ἡμέρα τῶν ἀδρανῶν ἔρχεται πρὸς ὄλεθρόν των. Διότι, ὅπως ἐκεῖνος, ἐὰν ἐγνώριζε τὴν ἡμέραν, θὰ ἠμποροῦσε νὰ διαφύγῃ τὸν ὄλεθρον, ἔτσι καὶ σεῖς, ἐὰν εἴσασθε ἕτοιμοι θὰ τὸν διαφύγετε. Ἔπειτα, ἐπειδὴ ἀνεφέρθη εἰς τὴν κρίσιν, στρέφει τὸν λόγον καὶ πρὸς τοὺς διδασκάλους, ὁμιλῶν περὶ τιμωρίας καὶ ἀμοιβῶν· καὶ ἀφοῦ ἀνέφερε πρώτους τοὺς ἐναρέτους, τελειώνει μὲ τοὺς ἁμαρτωλούς, κατακλείων τὸν λόγον μὲ τὰς ἀπειλάς.

Δι' αὐτὸ πρῶτον λέγει τοῦτο· «ποῖος λοιπὸν εἶναι ὁ ἔμπιστος καὶ φρόνιμος δοῦλος, τὸν ὁποῖον ὁ κύριός του διώρισε ἐπιστάτην τῶν ὑπηρετῶν του, διὰ νὰ τοὺς δίνῃ τροφὴν τὴν κατάλληλον ὥραν; Εἶναι μακάριος ὁ δοῦλος

ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος εὑρήσει ποιοῦντα οὔτως. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν». Μὴ καὶ τοῦτο ἀγνοοῦντός ἐστιν; εἰπέ μοι. Εἰ γάρ, ἐπειδὴ εἶπεν, «Οὐδὲ ὁ Υἱὸς οἶδεν», ἀγνοεῖν αὐτὸν φής· ἐπειδὴ εἶπε, «Τίς ἄρα», τί ἂν εἴποις; ἢ καὶ τοῦτο ἀγνοεῖν αὐτὸν φής; Ἄπαγε. Οὐδὲ γὰρ τῶν ἐξεστηκότων τοῦτο ἄν τις εἴποι· καίτοιγε ἐκεῖ καὶ αἰτίαν ἔστιν εἰπεῖν, ἐνταῦθα δὲ οὐδὲ τοῦτο.

Τί δὲ ὅταν λέγῃ, «Πέτρε, φιλεῖς με;» ἐρωτῶν, οὐδὲν τοῦτο ᾔδει; ἢ ὅταν λέγῃ, «Ποῦ τεθείκατε αὐτόν;». Καὶ ὁ Πατὴρ δὲ εὑρεθήσεται τοιαῦτα φθεγγόμενος. Καὶ γὰρ καὶ αὐτός φησιν· «Ἀδάμ, ποῦ εἶ;»· καί, «Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με. Καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν, τὴν ἐρχομένην πρός με, συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ». Καὶ ἀλλαχοῦ φησιν· «Ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι». Καὶ ἐν τῷ Εὐαγγελίῳ δέ, «Ἴσως ἐντραπήσονται τὸν Υἱόν μου»· ἅπερ ἅπαντα ἀγνοίας ῥήματα ἦν.

Ἀλλ' οὐκ ἀγνοῶν ταῦτα ἔλεγεν, ἀλλ' οἰκονομῶν τὰ αὐτῷ πρέποντα· ἐπὶ μὲν τοῦ Ἀδάμ, ἵνα αὐτὸν ἐμβάλῃ εἰς ἀπολογίαν τῆς ἁμαρτίας· ἐπὶ δὲ τῶν Σοδομιτῶν, ἵνα ἡμᾶς παιδεύσῃ μηδέποτε ἀποφαίνεσθαι, πρὶν ἂν αὐτοῖς παραγενώμεθα τοῖς πράγμασιν· ἐπὶ δὲ τοῦ προφήτου, ἵνα μὴ δοκῇ ἡ πρόρρησις παρὰ τοῖς ἀνοήτοις ἀναγκαστική τις εἶναι τῆς παρακοῆς· ἐπὶ δὲ τῆς παραβολῆς τοῦ Εὐαγγελίου, ἵνα δείξῃ ὅτι ὤφειλον τοῦτο ποιῆσαι καὶ ἐντραπῆναι τὸν υἱόν· ἐνταῦθα δέ, καὶ ἵνα μὴ περιεργάζωνται, μηδὲ πολυπραγμονῶσι πάλιν, καὶ ἵνα δείξῃ τὸ σπάνιον καὶ πολύτιμον.

---

16. Ἰω. 21, 15.
17. Ἰω. 11, 34.
18. Γεν. 3, 9.
19. Γεν, 18, 20-21.

ἐκεῖνος, ποὺ ὅταν ἔλθῃ ὁ κύριός του θὰ τὸν εὕρῃ νὰ κάνῃ τὸ ἔργον του. Σᾶς διαβεβαιώνω ὅτι θὰ τὸν διορίσῃ ἐπιστάτην εἰς ὅλα τὰ ὑπάρχοντά του». Μήπως καὶ αὐτὸ εἶναι δεῖγμα ἀγνοίας; Εἰπέ μου. Διότι ἐάν, ἐπειδὴ εἶπεν «οὐδὲ ὁ Υἱὸς οἶδεν», εἴπῃς ὅτι ἀγνοεῖ, τότε ὅταν εἶπε «τί ἄρα» τί θὰ εἴπῃς; Ἢ λέγεις ὅτι καὶ αὐτὸ τὸ ἀγνοεῖ; Μακρυὰ ἀπὸ ἐδῶ τέτοια σκέψις. Διότι οὔτε κανεὶς ἀπὸ τοὺς ἀρνητὰς δὲν θὰ τὸ ἔλεγεν αὐτό· ἂν καὶ ἐκεῖ θὰ ἠμποροῦσε νὰ ὑπάρχῃ κάποια αἰτία, ἐνῷ ἐδῶ οὔτε αὐτὸ ὑπάρχει.

Τί συμβαίνει δὲ ὅταν λέγῃ «Πέτρε μὲ ἀγαπᾷς;»[16]. Ἐπειδὴ ἐρωτᾷ, οὔτε αὐτὸ γνωρίζει; Ἢ ὅταν λέγῃ «ποῦ τὸν ἔχετε βάλει;»[17]. Ἄλλωστε καὶ ὁ Πατὴρ ἐμφανίζεται νὰ ὁμιλῇ ἔτσι· διότι καὶ Αὐτὸς λέγει· «Ἀδάμ, ποῦ εἶσαι;»[18]. Καὶ «ἡ κραυγὴ τῶν Σοδόμων καὶ τῆς Γομόρρας ἐπολλαπλασιάσθη πρὸς ἐμέ. Θὰ κατεβῶ λοιπὸν νὰ ἰδῶ ἐὰν γίνωνται ὅλα ὅσα φθάνουν ἀπὸ τὴν κραυγήν των πρὸς ἐμέ. Ἐὰν δὲ δὲν γίνωνται νὰ τὸ ξεύρω»[19]. Καὶ ἀλλοῦ λέγει· «Μήπως καὶ ἀκούσουν καὶ μήπως καταλάβουν»[20]. Καὶ εἰς τὸ Εὐαγγέλιον ἐπίσης· «ἴσως νὰ ἐντραποῦν τὸν υἱόν μου»[21], τὰ ὁποῖα ὅλα εἶναι λόγοι ἀγνοίας.

Δὲν τὰ ἔλεγεν ὅμως ἐπειδὴ τὰ ἀγνοοῦσεν, ἀλλὰ διὰ νὰ πορισθῇ ἐκεῖνα τὰ ὁποῖα ἁρμόζουν εἰς αὐτόν· εἰς μὲν τὸν Ἀδάμ, διὰ νὰ τὸν ὠθήσῃ εἰς ὁμολογίαν τῆς ἁμαρτίας· εἰς τοὺς Σοδομίτας, διὰ νὰ μᾶς διδάξῃ, ὅτι δὲν πρέπει ποτὲ νὰ ἀποφαινώμεθα προτοῦ μεταβῶμεν εἰς τὰ ἴδια τὰ πράγματα. Εἰς δὲ τὸν προφήτην, διὰ νὰ μὴ νομισθῇ ἀπὸ τοὺς ἀνοήτους ὅτι ἡ προφητεία τῆς παρακοῆς εἶναι τίποτε τὸ ἀναγκαστικόν· εἰς δὲ τὴν παραβολὴν τοῦ Εὐαγγελίου, διὰ νὰ δείξῃ ὅτι εἶχαν ὑποχρέωσιν νὰ τὸ κάνουν καὶ νὰ ἐντραποῦν τὸν υἱόν· ἐδῶ δὲ ἐπὶ πλέον διὰ νὰ μὴ περιεργάζωνται, οὔτε νὰ πολυπραγμονοῦν καὶ διὰ νὰ δείξῃ τὸ σπάνιον καὶ πολύτιμον.

---

20. Ἰεζ. 2, 5.
21. Λουκᾶ 20, 13.

Καὶ ὅρα πόσης ἀγνοίας ἐνδεικτικὸν τὸ ῥῆμα, εἴγε καὶ τὸν καθιστάμενον ἀγνοεῖ. Μακαρίζει μὲν γὰρ αὐτόν· «Μακάριος» γάρ, φησίν, «ὁ δοῦλος ἐκεῖνος»· οὐ λέγει δέ, τίς ἐστιν οὗτος. «Τίς» γάρ ἐστι, φησίν, «ἄρα, ὃν καταστήσει ὁ κύριος αὐτοῦ»; καί, «Μακάριος ὃν εὑρήσει ποιοῦντα οὕτως». Ταῦτα δὲ οὐ περὶ χρημάτων εἴρηται μόνον, ἀλλὰ καὶ περὶ λόγου, καὶ περὶ δυνάμεως, καὶ περὶ χαρισμάτων, καὶ περὶ πάσης οἰκονομίας, ἧς ἕκαστος ἐνεχειρίσθη. Αὕτη καὶ πρὸς τοὺς ἄρχοντας τοὺς πολιτικοὺς ἁρμόσειεν ἂν ἡ παραβολή. Ἕκαστον γὰρ οἷς ἔχει πρὸς τὸ κοινῇ συμφέρον ἀποκεχρῆσθαι δεῖ. Κἂν σοφίαν ἔχῃς, κἂν ἀρχήν, κἂν πλοῦτον, κἂν ὁτιοῦν, μὴ ἐπὶ βλάβῃ τῶν συνδούλων, μηδὲ ἐπ' ἀπωλείᾳ ἑαυτοῦ. Διὰ δὴ τοῦτο ἀμφότερα ἀπαιτεῖ παρ' αὐτοῦ, φρόνησιν καὶ πίστιν. Καὶ γὰρ ἡ ἁμαρτία ἀπὸ ἀνοίας γίνεται.

Πιστὸν μὲν οὖν αὐτόν φησιν, ὅτι οὐδὲν ἐνοσφίσατο, οὐδὲ παρανάλωσε τῶν δεσποτικῶν εἰκῇ καὶ μάτην· φρόνιμον δέ, ὅτι ἔγνω πρὸς τὸ δέον οἰκονομῆσαι τὰ δοθέντα. Καὶ γὰρ ἀμφοτέρων ἡμῖν χρεία, καὶ τοῦ μὴ νοσφίσασθαι τὰ δεσποτικά, καὶ τοῦ εἰς δέον οἰκονομεῖν. Ἂν δὲ θάτερον ἀπῇ, τὸ ἕτερον χωλεύει. Ἄν τε γὰρ πιστὸς ᾖ καὶ μὴ κλέπτῃ, ἀπολλύῃ δὲ καὶ εἰς μηδὲν προσῆκον δαπανᾷ, μέγα τὸ ἔγκλημα· ἄν τε εἰδῇ καλῶς οἰκονομεῖν, νοσφίζηται δέ, πάλιν οὐχ ἡ τυχοῦσα κατηγορία. Ἀκούσωμεν καὶ οἱ τὰ χρήματα ἔχοντες ταῦτα. Οὐ γὰρ διδασκάλοις διαλέγεται μόνον, ἀλλὰ καὶ τοῖς πλουτοῦσιν. Ἑκάτεροι ἐνεπιστεύθησαν πλοῦτον· τὸν μὲν ἀναγκαιότερον, οἱ διδάσκοντες· τὸν δὲ ἐλάττω, ὑμεῖς.

Ὅταν οὖν τῶν διδασκόντων σκορπιζόντων τὰ μείζονα, ὑμεῖς μηδὲ ἐν τοῖς ἐλάττοσι βούλησθε τὴν μεγαλοψυχίαν ἐ-

Καὶ πρόσεξε πόσης ἀγνοίας εἶναι ἐνδεικτικὸς ὁ λόγος, ἐὰν βεβαίως ἀγνοῇ καὶ αὐτὸν ποὺ καθιστᾷ. Διότι τὸν μακαρίζει· διότι λέγει· «Μακάριος ὁ δοῦλος ἐκεῖνος», δὲν λέγει δὲ ποῖος εἶναι αὐτός. «Τίς γὰρ ἐστιν», λέγει, «ἄρα ὃν καταστήσει ὁ κύριος αὐτοῦ;». Καί· «Μακάριος ὃν εὑρήσει ποιοῦντα οὕτως». Αὐτὰ δὲ δὲν λέγονται μόνον διὰ τὰ χρήματα, ἀλλὰ καὶ διὰ τὸν λόγον καὶ διὰ τὴν δύναμιν καὶ διὰ τὰ χαρίσματα καὶ διὰ κάθε διαχείρισιν ἡ ὁποία ἔχει ἀνατεθεῖ εἰς τὸν καθένα. Αὐτὴ ἡ παραβολὴ θὰ ἠμποροῦσε νὰ ἐφαρμοσθῇ καὶ εἰς τοὺς πολιτικοὺς ἄρχοντας. Διότι ὁ καθένας πρέπει νὰ χρησιμοποιῇ ὅ,τι ἔχει διὰ τὸ κοινὸν συμφέρον. Ἐὰν ἔχῃς σοφίαν, ἢ ἐξουσίαν, ἢ πλοῦτον, ἢ ὁ,τιδήποτε, μὴ τὸ χρησιμοποιῇς διὰ νὰ βλάπτῃς τοὺς συνδούλους σου, οὔτε διὰ τὴν καταστροφήν σου. Διὰ τοῦτο λοιπὸν ζητεῖ ἀπὸ αὐτὸν καὶ τὰ δύο, τὴν φρόνησιν καὶ τὴν ἐμπιστοσύνην· διότι ἡ ἁμαρτία γίνεται ἀπὸ ἀνοησίαν.

Τὸν ὀνομάζει λοιπὸν ἔμπιστον μέν, διότι, ἀπὸ ὅσα ἀνῆκον εἰς τὸν δεσπότην, τίποτε δὲν ἐσφετερίσθη, οὔτε ἐσπατάλησεν ἀλογίστως καὶ ἀσκόπως· φρόνιμον δέ, διότι ἐγνώριζε νὰ διαχειρίζεται ὅπως ἔπρεπε αὐτὰ ποὺ τοῦ ἐδόθησαν. Διότι καὶ τῶν δύο ἔχομεν ἀνάγκην· καὶ νὰ μὴ σφετεριζώμεθα ὅσα ἀνήκουν εἰς τὸν δεσπότην, καὶ νὰ τὰ διαχειριζώμεθα ὅπως πρέπει. Ἐὰν δὲ τὸ ἕνα ἀπὸ τὰ δύο ἀπουσιάζῃ, τὸ ἄλλο χωλαίνει. Διότι, ἐὰν εἶναι ἔμπιστος καὶ δὲν κλέπτῃ, σπαταλᾷ ὅμως καὶ δὲν ἐξοδεύει ὅσα πρέπει, εἶναι μέγα τὸ ἔγκλημα· ἐὰν δὲ γνωρίζῃ νὰ τὰ διαχειρίζεται καλῶς, ἀλλὰ κλέπτῃ, πάλιν ἡ κατηγορία δὲν εἶναι μικρά. Ἂς τὰ ἀκούσωμεν αὐτὰ καὶ ὅσοι ἔχομεν χρήματα. Διότι δὲν ὁμιλεῖ μόνον πρὸς διδασκάλους, ἀλλὰ καὶ πρὸς τοὺς πλουσίους. Διότι καὶ εἰς τοὺς δύο ἐνεπιστεύθη πλοῦτον· τὸν μὲν περισσότερον ἀπαραίτητον εἰς τοὺς διδασκάλους, τὸν δὲ ὀλιγώτερον εἰς σᾶς.

Ὅταν λοιπόν, ἐνῷ οἱ διδάσκοντες διαμοιράζουν ἐκεῖνα ποὺ εἶναι ἀνώτερα, σεῖς δὲν θέλετε νὰ δείξετε οὔτε εἰς τὰ

πιδείκνυσθαι, μᾶλλον δὲ οὐδὲ μεγαλοψυχίαν, ἀλλ' εὐγνωμοσύνην· (τὰ γὰρ ἀλλότρια δίδοτε)· ποία ἔσται ἀπολογία; Ἀλλὰ τέως, πρὸ τῆς κολάσεως τῶν τὰ ἐναντία ποιούντων, τὴν τιμὴν τοῦ εὐδοκιμοῦντος ἀκούσωμεν. «Ἀμὴν» γὰρ «λέγω ὑμῖν, ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν». Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; ποῖος παραστῆσαι δυνήσεται λόγος τὴν ἀξίαν, τὴν μακαριότητα, ὅταν ὁ τῶν οὐρανῶν Βασιλεύς, καὶ τὰ πάντα ἔχων, ἄνθρωπον ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καθιστᾶν μέλλῃ; Διὸ καὶ φρόνιμον αὐτὸν καλεῖ, ὅτι ἔγνω μὴ τῶν μικρῶν τὰ μεγάλα προέσθαι, ἀλλὰ σωφρονήσας ἐνταῦθα, τῶν οὐρανῶν ἔτυχεν.

4. Εἶτα, ὅπερ ἀεὶ ποιεῖ, οὐκ ἀπὸ τῆς τοῖς ἀγαθοῖς κειμένης τιμῆς, ἀλλὰ καὶ ἀπὸ τῆς τοῖς πονηροῖς ἠπειλημένης κολάσεως διορθοῦται τὸν ἀκροατήν. Διὸ καὶ ἐπήγαγεν· «Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθιόντων· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων».

Εἰ δὲ λέγει τις· Εἶδες οἷος ἐπεισῆλθε λογισμός, διὰ τὸ μὴ εἶναι τὴν ἡμέραν γνώριμον; «Χρονίζει» γὰρ «ὁ κύριός μου», φησί· εἴποιμεν ἄν, οὐ διὰ τὸ μὴ εἶναι γνώριμον τὴν ἡμέραν, ἀλλὰ διὰ τὸ πονηρὸν εἶναι τὸν οἰκέτην. Ἐπεὶ τῷ φρονίμῳ καὶ πιστῷ τίνος ἕνεκεν οὐκ ἐπεισῆλθεν αὕτη ἡ ἔννοια; Τί γάρ, εἰ καὶ χρονίζει ὁ δεσπότης, ἄθλιε, ὅλως προσδοκᾷς αὐτὸν ἥξειν; Τί οὖν οὐ μεριμνᾷς; Ἐντεῦθεν οὖν μανθάνομεν, ὅτι οὐδὲ χρονίζει. Αὕτη γὰρ οὐ τοῦ δεσπότου, ἀλλὰ τῆς τοῦ πονηροῦ οἰκέτου γνώμης ἡ ψῆφος· διὸ καὶ διὰ τοῦτο

κατώτερα μεγαλοψυχίαν, ἢ μᾶλλον ὄχι μεγαλοψυχίαν ἀλλὰ εὐγνωμοσύνην (διότι θὰ δώσετε αὐτὰ ποὺ ἀνήκουν εἰς ἄλλους), ποίαν δικαιολογίαν θὰ ἔχετε; Ἀλλὰ κατὰ πρῶτον, πρὶν ἀπὸ τὴν τιμωρίαν ἐκείνων ποὺ κάνουν τὰ ἀντίθετα, ἂς ἀκούσωμεν τὴν τιμὴν αὐτοῦ ποὺ διακρίνεται. «Σᾶς διαβεβαιώνω ὅτι θὰ τὸν διορίσῃ ἐπιστάτην εἰς ὅλα τὰ ὑπάρχοντά του». Τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἀντάξιον αὐτῆς τῆς τιμῆς; Ποῖος λόγος θὰ ἠμπορέσῃ νὰ περιγράψῃ τὴν ἀξίαν καὶ τὴν εὐτυχίαν, ὅταν ὁ βασιλεὺς τῶν οὐρανῶν καὶ αὐτὸς ποὺ κατέχει τὰ πάντα, θὰ καταστήσῃ ἄνθρωπον ὡς διαχειριστὴν ὅλων τῶν ὑπαρχόντων Του; Δι' αὐτὸ καὶ τὸν ἀποκαλεῖ φρόνιμον, διότι ἤξευρε νὰ μὴ ἀντιπαρέλθῃ τὰ μεγάλα χάριν τῶν μικρῶν, καὶ διότι μὲ τὸ νὰ φανῇ λογικὸς ἐδῶ, ἐκέρδησε τοὺς οὐρανούς.

4. Ἔπειτα, πρᾶγμα τὸ ὁποῖον κάμνει πάντοτε, δὲν προσπαθεῖ νὰ διορθώσῃ τὸν ἀκροατὴν μόνον μὲ τὴν τιμὴν ἡ ὁποία ἐπιφυλάσσεται διὰ τοὺς ἀγαθούς, ἀλλὰ καὶ μὲ τὴν τιμωρίαν ἡ ὁποία ἐπισείεται διὰ τοὺς πονηρούς. Διὰ τοῦτο καὶ ἐπρόσθεσεν· «ἐὰν δὲ εἰπῇ ὁ κακὸς ἐκεῖνος δοῦλος μέσα του 'ἀργεῖ νὰ ἔλθῃ ὁ Κύριος' καὶ ἀρχίσῃ νὰ κτυπᾷ τοὺς συνδούλους του, νὰ τρώγῃ καὶ νὰ πίνῃ μὲ μεθύσους, θὰ ἔλθῃ ὁ κύριος τοῦ δούλου ἐκείνου τὴν ἡμέραν ποὺ δὲν περιμένει καὶ τὴν ὥραν ποὺ δὲν γνωρίζει καὶ θὰ τὸν σχίσῃ εἰς τὰ δύο καὶ θὰ τὸν βάλῃ μαζὶ μὲ τοὺς ὑποκριτάς. Ἐκεῖ θὰ εἶναι τὸ κλάμα καὶ τὸ τρίξιμον τῶν δοντιῶν.

Ἐὰν δὲ κανεὶς εἴπῃ· εἶδες ποῖος συλλογισμὸς τοῦ ἦλθεν εἰς τὸν νοῦν, ἐπειδὴ δὲν ἦτο γνωστὴ ἡ ἡμέρα; Διότι λέγει· «ἀργεῖ ὁ Κύριός μου»· θὰ τοῦ ἐλέγαμεν ὅτι αὐτὸ ἔγινεν, ὄχι ἐπειδὴ ἦτο ἄγνωστος ἡ ἡμέρα, ἀλλὰ διότι ἦτο πονηρὸς ὁ δοῦλος. Διὰ ποῖον λόγον δὲν ἦλθεν καὶ εἰς τὸν νοῦν τοῦ φρονίμου καὶ ἐμπίστου ἡ ἰδία σκέψις; Διότι τί καὶ ἂν ἀργῇ ὁ δεσπότης, ἄθλιε, ἀφοῦ πάντοτε τὸν περιμένεις νὰ ἔλθῃ; Διατί λοιπὸν δὲν ἐνδιαφέρεσαι; Ἀπὸ ἐδῶ δὲ μαθαίνομεν ὅτι δὲν ἀργεῖ νὰ ἔλθῃ. Διότι αὐτὴ ἡ ἀπόφασις δὲν ἦτο τοῦ δεσπότου, ἀλλὰ τοῦ πονηροῦ δούλου· δι'

ἐγκαλεῖται. Ὅτι γὰρ οὐ χρονίζει, ἄκουσον Παύλου λέγοντος· «Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε»· καί, «Ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ».

Σὺ δὲ καὶ τῶν ἑξῆς ἄκουε, καὶ μάνθανε πῶς συνεχῶς ὑπομιμνήσκει τῆς ἀγνοίας τῆς ἡμέρας, δηλῶν τοῖς οἰκέταις τοῦτο χρήσιμον ὄν, καὶ ἱκανὸν ἀφυπνίσαι αὐτοὺς καὶ διαναστῆσαι. Τί γὰρ εἰ καὶ μηδέν τινες ἐντεῦθεν ἐκέρδαναν; Οὐδὲ γὰρ ἀπὸ τῶν ἄλλων τῶν ὠφελούντων ὠφελήθησάν τινες, ἀλλ' ὅμως οὗτος οὐ παύεται τὰ αὐτοῦ ποιῶν. Τί οὖν φησι τὰ ἑξῆς; «Ἐλεύσεται γὰρ ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει», καὶ τὰ ἔσχατα αὐτὸν διαθήσει.

Ὁρᾷς πῶς καὶ πανταχοῦ τοῦτο τίθησι, τὸ τῆς ἀγνοίας, δεικνὺς χρήσιμον ὄν, καὶ ταύτῃ ποιῶν ἐναγωνίους ἀεί; Τοῦτο γάρ ἐστιν αὐτῷ τὸ σπουδαζόμενον, τὸ ἀεὶ ἡμᾶς ἐγρηγορέναι· καὶ ἐπειδὴ ἀεὶ ἐν ταῖς τρυφαῖς ἀναπίπτομεν, ἐν δὲ ταῖς συμφοραῖς μᾶλλον συστελλόμεθα, διὰ τοῦτο πανταχοῦ τοῦτο λέγει, ὅτι ὅταν ἄνεσις ᾖ, τότε ἔρχεται τὰ δεινά. Καὶ ὥσπερ ἀνωτέρω διὰ τοῦ Νῶε τοῦτο ἐδήλωσεν, οὕτω καὶ ἐνταῦθά φησιν, Ὅταν ὁ δοῦλος ἐκεῖνος μεθύῃ, ὅταν τύπτῃ, καὶ ἡ κόλασις ἀφόρητος. Ἀλλὰ μὴ τὴν κόλασιν ἴδωμεν μόνον τὴν ἐκείνῳ κειμένην, ἀλλὰ κἀκεῖνο σκοπήσωμεν, μήποτε καὶ αὐτοὶ τὰ αὐτὰ πράττοντες λανθάνωμεν.

Καὶ γὰρ τούτῳ ἐοίκασιν οἱ χρήματα ἔχοντες, καὶ μὴ διδόντες τοῖς δεομένοις. Καὶ γὰρ καὶ σὺ οἰκονόμος εἶ τῶν σαυτοῦ χρημάτων, οὐχ ἧττον ἢ ὁ τὰ τῆς Ἐκκλησίας οἰκονομῶν. Ὥσπερ οὖν ἐκεῖνος οὐκ ἔχει ἐξουσίαν τὰ διδόμενα παρ' ὑμῶν εἰς πένητας ἁπλῶς καὶ ὡς ἔτυχε σκορπίσαι, ἐπειδὴ

22. Φιλιπ. 4, 6.
23. Ἑβρ. 10,37.

αὐτὸ καὶ κατηγορεῖται. Ὅτι δὲ δὲν ἀργεῖ, ἄκουσε τὸν Παῦλον ὁ ὁποῖος λέγει· «ὁ Κύριος εἶναι κοντά, μὴ μεριμνᾶτε διὰ τίποτε»[22] καὶ «Αὐτὸς ποὺ ἔρχεται θὰ ἔλθῃ καὶ δὲν θὰ ἀργήσῃ»[23].

Σὺ δὲ ἄκουσε καὶ τὰ ἀκόλουθα καὶ μάθε πῶς ὑπενθυμίζει συνεχῶς τὴν ἄγνοιαν τῆς ἡμέρας, δηλώνοντας ἔτσι εἰς τοὺς δούλους ὅτι αὐτὸ εἶναι χρήσιμον καὶ ἀρκετὸν νὰ τοὺς ἀφυπνίσῃ καὶ νὰ τοὺς κάμῃ νὰ ὀρθοποδήσουν. Τί καὶ ἂν μερικοὶ δὲν ἐκέρδησαν τίποτε ἀπὸ αὐτά; Διότι οὔτε καὶ ἀπὸ τοὺς ἄλλους ποὺ ὠφελοῦν ὠφελήθησαν μερικοί, ἀλλ' ὅμως αὐτοὶ δὲν παύουν νὰ κάμνουν αὐτὸ ποὺ νομίζουν. Διατί λοιπὸν λέγει τὰ ἀκόλουθα; «Διότι θὰ ἔλθῃ εἰς ἡμέραν ποὺ δὲν περιμένει καὶ εἰς ὥραν τὴν ὁποίαν δὲν γνωρίζει» καὶ θὰ τοῦ ἐπιβάλῃ τὰς ἐσχάτας ποινάς.

Βλέπεις πῶς καὶ εἰς κάθε περίπτωσιν τοποθετεῖ τὴν ἄγνοιαν, δεικνύων ὅτι εἶναι χρήσιμος καὶ διατηρῶν μὲ τὸν τρόπον αὐτὸν εἰς διαρκῆ ἀγωνίαν; Διότι αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἐπιδιώκει, νὰ μᾶς κρατῇ διαρκῶς εἰς ἐγρήγορσιν. Καὶ ἐπειδὴ διαρκῶς κλίνομεν πρὸς τὰς ἀπολαύσεις, ἐνῷ μὲ τὰς συμφορὰς περιοριζόμεθα περισσότερον, διὰ τοῦτο τὸ τονίζει παντοῦ, ὅτι ὅταν ὑπάρχῃ ἄνεσις, τότε ἔρχονται αἱ συμφοραί. Καὶ ὅπως ἀνωτέρω τὸ ἀνέφερεν αὐτὸ μὲ τὸν Νῶε, ἔτσι καὶ ἐδῶ λέγει, ὅτι ὅταν ὁ δοῦλος ἐκεῖνος μεθάῃ, ὅταν κτυπᾷ, τότε καὶ ἡ τιμωρία του εἶναι ἀνυπόφορος. Ἀλλὰ ἂς μὴ ἴδωμεν μόνον τὴν τιμωρίαν ἡ ὁποία ἀναμένει ἐκεῖνον, ἀλλ' ἂς προσέξωμεν καὶ τοῦτο, μήπως καὶ ἐμεῖς κάνομεν τὰ ἴδια χωρὶς νὰ τὸ γνωρίζωμεν.

Διότι μὲ αὐτὸν ὁμοιάζουν ἐκεῖνοι ποὺ ἔχουν χρήματα καὶ δὲν δίδουν εἰς τοὺς πτωχούς. Διότι καὶ σὺ εἶσαι διαχειριστὴς τῶν χρημάτων σου, ὄχι ὀλιγώτερον ἀπὸ ἐκεῖνον ποὺ διαχειρίζεται τὰ χρήματα τῆς Ἐκκλησίας. Ὅπως λοιπὸν ἐκεῖνος δὲν ἔχει δικαίωμα, ἐκεῖνα ποὺ τοῦ δίδετε διὰ τοὺς πτωχούς, νὰ τὰ σκορπίσῃ ἀλογίστως καὶ εἰς τὴν τύχην, ἐπειδὴ τοῦ ἐδόθησαν διὰ τὴν διατροφὴν τῶν πτωχῶν, ἔτσι

εἰς πενήτων ἐδόθη διατροφήν· οὕτως οὐδὲ σὺ τὰ σά. Εἰ γὰρ καὶ πατρῷον διεδέξω κλῆρον, καὶ οὕτως ἔχεις πάντα ἃ ἔχεις· καὶ οὕτω τοῦ Θεοῦ πάντα ἐστίν. Εἶτα, σὺ μὲν ὅπερ ἔδωκας, οὕτω βούλει μετὰ ἀκριβείας οἰκονομεῖσθαι· τὸν δὲ Θεὸν οὐκ οἴει τὰ αὐτοῦ μετὰ πλείονος ἀπαιτήσειν ἡμᾶς τῆς σφοδρότητος, ἀλλὰ ἀνέχεσθαι ἁπλῶς αὐτῶν ἀπολλυμένων;

Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Καὶ γὰρ διὰ τοῦτο καὶ παρὰ σοὶ ταῦτα εἴασεν, ὥστε δοῦναι τὴν τροφὴν αὐτοῖς ἐν καιρῷ. Τί ἐστιν, «ἐν καιρῷ»; Τοῖς δεομένοις, τοῖς πεινῶσιν. Ὥσπερ γὰρ σὺ τῷ συνδούλῳ ἔδωκας οἰκονομῆσαι, οὕτω καὶ σὲ ὁ Δεσπότης βούλεται εἰς δέον ταῦτα δαπανᾶν. Διὰ τοῦτο καὶ δυνάμενος αὐτὰ ἀφελέσθαι, ἀφῆκεν, ἵνα ἔχῃς ἀφορμὴν ἀρετὴν ἐπιδείξασθαι· ἵνα ἀλλήλων εἰς χρείαν καταστήσας τὴν πρὸς ἀλλήλους ἀγάπην θερμοτέραν ἐργάσηται. Σὺ δὲ λαβών, οὐ μόνον οὐ δίδως, ἀλλὰ καὶ τύπτεις. Καίτοιγε εἰς τὸ μὴ δοῦναι ἔγκλημα, τὸ τυπτῆσαι ποίαν φέρει συγγνώμην;

5. Τοῦτο δέ μοι δοκεῖ λέγειν, τοὺς ὑβριστὰς καὶ τοὺς πλεονέκτας αἰνιττόμενος, καὶ πολλὴν ἐνδεικνύμενος τὴν κατηγορίαν, ὅταν οὓς τρέφειν ἐκελεύσθησαν, τούτους τύπτωσι. Δοκεῖ δέ μοι καὶ τοὺς τρυφῶντας ἐνταῦθα αἰνίττεσθαι· καὶ γὰρ καὶ τρυφῆς μεγάλη κεῖται κόλασις. «Ἐσθίει γὰρ καὶ πίνει», φησί, «μετὰ τῶν μεθυόντων», τὴν γαστριμαργίαν δηλῶν. Οὐ γὰρ διὰ τοῦτο ἔλαβες, ἵνα εἰς τρυφὴν δαπανήσῃς, ἀλλ' ἵνα εἰς ἐλεημοσύνην ἀναλώσῃς. Μὴ γὰρ τὰ σαυτοῦ ἔχεις; Τὰ τῶν πενήτων ἐνεπιστεύθης, κἂν ἐκ πόνων δικαίων, κἂν ἀπὸ κλήρου πατρῴου κεκτημένος τύχῃς. Μὴ γὰρ οὐκ

οὔτε καὶ σὺ τὰ ἰδικά σου. Διότι ἀκόμη καὶ ἂν ἐκληρονόμησες περιουσίαν τοῦ πατρός σου καὶ ἔχης ὅλα ὅσα ἔχεις, καὶ ἔτσι πάλι ὅλα εἶναι τοῦ Θεοῦ. Ἔπειτα, σὺ μὲν ὅταν δίδῃς κάτι, θέλεις νὰ τὸ λάβῃς καὶ πάλιν μὲ μεγάλην ἀκρίβειαν· ὁ Θεὸς ὅμως δὲν νομίζεις ὅτι θὰ ζητήσει μὲ πολλὴν βιαιότητα τὰ ἰδικά του, ἀλλὰ ὅτι θὰ ἀνέχεται ἁπλῶς νὰ τὰ βλέπῃ νὰ χάνωνται;

Δὲν εἶναι ὅμως ἔτσι, δὲν εἶναι ἔτσι. Ἄλλωστε δι' αὐτὸ σοῦ τὰ ἄφησεν αὐτά, διὰ νὰ τοὺς δώσῃς τὴν τροφὴν ἐν καιρῷ. Τί σημαίνει «ἐν καιρῷ»; Εἰς τοὺς πτωχοὺς καὶ πεινασμένους. Διότι ὅπως σὺ ἔδωκες εἰς τὸν σύνδουλόν σου νὰ τὰ διαχειρισθῇ, ἔτσι θέλει καὶ ὁ δεσπότης νὰ δαπανήσῃς καὶ σὺ αὐτὰ ὅπως πρέπει. Δι' αὐτὸ καὶ ἐνῷ ἠμποροῦσε νὰ τὰ ἀφαιρέσῃ, σοῦ τὰ ἄφησε, διὰ νὰ ἔχῃς τὴν δυνατότητα νὰ ἐπιδείξῃς πράξεις ἀρετῆς· διὰ νὰ κάμῃ τὴν ἀγάπην τῶν ἀνθρώπων μεταξύ των πιὸ θερμήν, μὲ τὸ νὰ ἐγκαταστήσῃ ἀρωγοὺς εἰς τὰς μεταξύ των ἀνάγκας. Σὺ ὅμως ἀφοῦ τὰ ἔλαβες, ὄχι μόνον δὲν δίδεις, ἀλλὰ καὶ κτυπᾷς. Ἂν καί, ἐὰν τὸ νὰ μὴ δίνῃς εἶναι ἁμάρτημα, τὸ νὰ κτυπήσῃς ποίαν συγχώρησιν ἐπιδέχεται;

5. Νομίζω δὲ ὅτι τὸ λέγει αὐτὸ ὑπαινισσόμενος τοὺς ὑβριστὰς καὶ τοὺς πλεονέκτας καὶ ἀπαγγέλλων βαρεῖαν κατηγορίαν ἐναντίον των, διότι κτυποῦν ἐκείνους, τοὺς ὁποίους ἐπῆραν ἐντολὴν νὰ διατρέφουν. Νομίζω δὲ ὅτι ἐδῶ ὑπαινίσσεται καὶ ἐκείνους ποὺ ἐπιδίδονται εἰς τὰς ἀπολαύσεις· διότι καὶ ἐναντίον τῆς ἀπολαύσεως προβλέπεται μεγάλη τιμωρία. Διότι λέγει· «τρώγει καὶ πίνει μαζὶ μὲ μεθύσους», ἐννοῶν τὴν γαστριμαργίαν. Διότι δὲν τὰ ἔλαβες δι' αὐτό, διὰ νὰ τὰ σπαταλήσῃς εἰς ἀπολαύσεις, ἀλλὰ διὰ νὰ τὰ καταναλώσῃς εἰς ἐλεημοσύνας. Μήπως ἄλλως τε ἔχεις τὰ ἰδικά σου; Σοῦ ἔχουν ἐμπιστευθῆ αὐτὰ ποὺ ἀνήκουν εἰς τοὺς πτωχούς, ἔστω καὶ ἂν συμβαίνῃ νὰ τὰ ἔχῃς ἀποκτήσει μὲ κόπους δικαίους, ἢ ἀπὸ πατρικὴν κληρονομίαν. Μήπως δὲν ἠμποροῦσεν ὁ Θεὸς νὰ σοῦ τὰ ἀφαιρέσῃ; Δὲν τὸ κάμνει

ἠδύνατο ταῦτα ὁ Θεὸς ἀφελέσθαι σου; Ἀλλ' οὐ ποιεῖ τοῦτο, σὲ κύριον ποιῶν τῆς εἰς τοὺς δεομένους φιλοτιμίας.

Σὺ δέ μοι σκόπει, πῶς διὰ πασῶν τῶν παραβολῶν κολάζει τοὺς εἰς τοὺς δεομένους τοῖς χρήμασι χρωμένους τοῖς ἰδίοις. Οὔτε γὰρ αἱ παρθένοι ἥρπασαν τὰ ἀλλότρια, ἀλλ' οὐκ ἔδωκαν τὰ ἴδια· οὔτε ὁ τὸ ἓν τάλαντον κατορύξας ἐπλεονέκτησεν, ἀλλ' οὐκ ἐδιπλασίασεν· οὔτε οἱ πεινῶντας παραδιδόντες, ἐπειδὴ τὰ ἀλλότρια ἥρπασαν, κολάζονται, ἀλλ' ἐπειδὴ τὰ αὐτῶν οὐκ ἐσκόρπισαν, καθάπερ καὶ ὁ δοῦλος οὗτος.

Ἀκούσωμεν τοίνυν ὅσοι γαστριζόμεθα, ὅσοι εἰς δεῖπνα πολυτελῆ τὸν πλοῦτον ἀναλίσκομεν τὸν οὐδὲν ἡμῖν προσήκοντα, ἀλλὰ τῶν δεομένων ὄντα. Μὴ γὰρ ἐπειδὴ ἀπὸ φιλανθρωπίας πολλῆς ὡς ἐκ τῶν σῶν ἐκελεύσθης διδόναι, διὰ τοῦτο καὶ σαυτοῦ νομίσῃς εἶναι ταῦτα. Ἔχρησέ σοι, ἵνα δυνηθῇς εὐδοκιμῆσαι. Μὴ τοίνυν σὰ εἶναι νόμιζε, τὰ αὐτοῦ αὐτῷ διδούς. Οὐδὲ γὰρ εἰ σὺ ἐδάνεισάς τινι, ἵνα ἀπελθὼν δυνηθῇ τινας ἀφορμὰς λαβεῖν πόρων, ἐκείνου τὰ χρήματα ἔφης ἂν εἶναι. Καὶ σοὶ τοίνυν ἔδωκεν ὁ Θεός, ἵνα ἐμπορεύσῃ τὸν οὐρανόν. Μὴ τοίνυν τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας ὑπόθεσιν ἀγνωμοσύνης ποιήσῃς. Ἐννόησον ὅσης εὐχῆς ἄξιον ἦν, τὸ δυνηθῆναι μετὰ τὸ βάπτισμα εὑρεῖν ὁδὸν λύουσαν ἁμαρτήματα. Εἰ μὴ τοῦτο εἶπε, «Δὸς ἐλεημοσύνην», πόσοι ἂν εἶπον, Εἴθε ἦν δυνατὸν χρήματα δοῦναι, καὶ ἀπαλλαγῆναι τῶν κακῶν τῶν μελλόντων; Ἐπειδὴ δὲ δυνατὸν τοῦτο γέγονε, πάλιν γεγόνασιν ὕπτιοι.

ὅμως αὐτό, ἀλλὰ σὲ κάμνει κύριον τῆς περιουσίας ποὺ προορίζεται διὰ τοὺς πτωχούς.

Σὺ δὲ κάμε μου τὴν χάριν νὰ προσέξῃς μὲ ποῖον τρόπον εἰς ὅλας τὰς παραβολὰς τιμωρεῖ ἐκείνους ποὺ χρησιμοποιοῦν τὰ ἰδικά του χρήματα, ποὺ προορίζονται διὰ τοὺς πτωχούς. Διότι οὔτε αἱ παρθένοι ἥρπασαν τὰ ξένα χρήματα, ἀλλὰ δὲν ἔδωσαν τὰ ἰδικά των· οὔτε ὁ δοῦλος ποὺ ἔκρυψε τὸ ἕνα τάλαντον εἰς τὴν γῆν, ἐπῆρε περισσότερα, ἀντιθέτως δὲν τὸ ἐδιπλασίασεν· οὔτε ὅσοι παρημέλησαν τοὺς πτωχοὺς τιμωροῦνται ἐπειδὴ ἥρπασαν τὰ ξένα πράγματα, ἀλλὰ διότι δὲν ἐμοίρασαν τὰ ἰδικά των, ὅπως καὶ ὁ δοῦλος αὐτός.

Ἂς τὰ ἀκούσωμεν λοιπὸν ὅλοι ὅσοι τρώγομεν ὑπερβολικά, ὅλοι ὅσοι καταδαπανῶμεν εἰς πολυτελῆ δεῖπνα τὸν πλοῦτον, ὁ ὁποῖος δὲν μᾶς ἁρμόζει καθόλου, ἀλλ' ἀνήκει εἰς τοὺς πτωχούς. Διότι, ἐπειδὴ ἀπὸ μεγάλην ἀγάπην σοῦ ἔδωσεν ἐντολὴν νὰ δίνῃς ὡσὰν νὰ εἶναι ἰδικά σου, μὴ νομίσῃς ἕνεκα τούτου ὅτι εἶναι καὶ πράγματι ἰδικά σου. Σὲ ἐχρησιμοποίησε, διὰ νὰ ἠμπορέσῃς νὰ διακριθῇς. Μὴ νομίζῃς λοιπὸν ὅτι εἶναι ἰδικά σου, ὅταν δίνῃς εἰς αὐτὸν τὰ ἰδικά του. Διότι οὔτε καὶ σύ, ἂν ἐδάνειζες εἰς κάποιον, διὰ νὰ ἠμπορέσῃ, ὅταν φύγῃ, νὰ ἔχῃ κάποια μέσα βιοπορισμοῦ, θὰ ἔλεγες ὅτι εἶναι ἰδικά του τὰ χρήματα. Καὶ εἰς ἐσένα λοιπὸν ἔδωσεν ὁ Θεός, διὰ νὰ κερδήσῃς τὸν οὐρανόν. Μὴ κάμνῃς λοιπὸν τὴν μεγάλην φιλανθρωπίαν Του ὑπόθεσιν ἀγνωμοσύνης. Κατανόησε πόσην προσευχὴν θὰ ἐχρειάζετο τὸ νὰ ἠμπορέσῃς μετὰ τὸ βάπτισμα νὰ εὕρῃς τρόπον συγχωρήσεως τῶν ἁμαρτημάτων. Ἐὰν δὲν ἔλεγεν αὐτό· «Δῶσε ἐλεημοσύνην», πόσοι θὰ ἔλεγαν· μακάρι νὰ ἦτο δυνατὸν νὰ δώσωμεν χρήματα καὶ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὰς μελλούσας συμφοράς; Τώρα ὅμως ποὺ αὐτὸ ἔγινε δυνατόν, ὑπανεχώρησαν.

Ἀλλὰ δίδωμι, φησί. Καὶ τί τοῦτο; Οὐδέπω γὰρ ἔδωκας ὅσον ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα· μᾶλλον δὲ οὐδὲ τὸ ἥμισυ, οὐδὲ τὸ πολλοστὸν ἐκείνης, ἀλλὰ τὰ πλείονα εἰς ἀνοήτους ἐκβάλλεις δαπάνας, εἰς συμπόσια καὶ μέθην καὶ ἀσωτίαν ἐσχάτην· νῦν μὲν καλῶν, νῦν δὲ καλούμενος· νῦν δὲ ἀναλίσκων, νῦν δὲ ἑτέρους ἀναλίσκειν ἀναγκάζων· ὥστε καὶ διπλῆν σοι γενέσθαι τὴν κόλασιν, καὶ ἀφ' ὧν αὐτὸς ποιεῖς, καὶ ἀφ' ὧν ἑτέρους προτρέπεις. Ὅρα γοῦν καὶ τοῦτον αὐτὸν τοῦτο ἐγκαλούμενον τὸν οἰκέτην. «Ἐσθίει» γάρ, φησί, «καὶ πίνει μετὰ τῶν μεθυόντων». Οὐδὲ γὰρ τοὺς μεθύοντας μόνον, ἀλλὰ καὶ τοὺς μετ' αὐτῶν ὄντας κολάζει· καὶ μάλα εἰκότως, ὅτι μετὰ τῆς οἰκείας διαφθορᾶς καὶ τῆς τῶν πλησίον ὑπερορῶσι σωτηρίας. Τὸν δὲ Θεὸν οὐδὲν οὕτω παροξύνει, ὡς τὸ ὑπεροπτικῶς ἔχειν τῶν τῷ πλησίον προσηκόντων. Διὸ καὶ τὸν θυμὸν ἐνδεικνύμενος, διχοτομηθῆναι αὐτὸν ἐκέλευσε. Διὰ τοῦτο καὶ τὴν ἀγάπην γνώρισμα τῶν αὐτοῦ μαθητῶν ἔφησεν εἶναι· ἐπειδὴ πᾶσα ἀνάγκη, τὸν ἀγαπῶντα τὰ τοῦ ἀγαπωμένου μεριμνᾶν.

Ταύτης τοίνυν ἐχώμεθα τῆς ὁδοῦ· καὶ γὰρ αὕτη μάλιστά ἐστιν ἡ πρὸς τὸν οὐρανὸν ἀνάγουσα, ἡ τοῦ Χριστοῦ μιμητὰς ἐργαζομένη, ἡ τοῦ Θεοῦ κατὰ δύναμιν ὁμοίους ποιοῦσα. Ὅρα γοῦν καὶ τὰς ἀρετὰς ταύτας οὔσας ἀναγκαιοτέρας, αἳ παρὰ ταύτην ἐσκήνωται τὴν ὁδόν. Καὶ εἰ βούλεσθε, ποιήσωμεν αὐτῶν ἐξέτασιν, καὶ τὰς ψήφους ἀπὸ τῆς τοῦ Θεοῦ ἐνέγκωμεν γνώμης.

Ἔστωσαν τοίνυν δύο ζωῆς ἀρίστης ὁδοί· καὶ ἡ μὲν μία αὐτῶν αὐτὸν κατασκευαζέτω καλὸν τὸν μετιόντα· ἡ δὲ ἑτέρα, καὶ τὸν πλησίον. Ἴδωμεν ποία μᾶλλον εὐδοκιμεῖ, καὶ πρὸς

24. Μάρκου 12, 42.
25. Ἰω. 13, 35.

Ἀλλὰ δίνω, λέγει. Καὶ τί σημασίαν ἔχει αὐτό; Διότι ποτὲ δὲν ἔδωσες τόσον ὅσον ἡ γυναίκα ποὺ ἔρριξε τοὺς δύο ὀβολούς[24]. Ἢ μᾶλλον, οὔτε τὸ ἥμισυ, οὔτε πολλοστημόριον ἐκείνης, ἀλλὰ σκορπίζεις τὰ περισσότερα εἰς ἀνωφελεῖς δαπάνας, εἰς συμπόσια καὶ μέθας καὶ ἀσωτίας τοῦ χειρίστου εἴδους, ἄλλοτε μὲν προσκαλῶν καὶ ἄλλοτε προσκαλούμενος· ἄλλοτε μὲν σπαταλῶν καὶ ἄλλοτε ἐξαναγκάζων ἄλλους νὰ σπαταλοῦν, εἰς τρόπον ὥστε νὰ σοῦ ἐπιβληθῇ διπλῆ ἡ τιμωρία, καὶ δι' ὅσα σὺ ὁ ἴδιος κάμνεις, καὶ δι' ὅσα προτρέπεις τοὺς ἄλλους νὰ κάμνουν. Ἰδὲ λοιπὸν ὅτι καὶ αὐτὸς ὁ ἴδιος ὁ δοῦλος διὰ τοῦτο κατηγορεῖται. Διότι λέγει· «τρώγει καὶ πίνει μὲ μεθύσους». Διότι δὲν τιμωρεῖ μόνον ἐκείνους ποὺ μεθοῦν, ἀλλὰ καὶ ἐκείνους ποὺ εὑρίσκονται μαζί τους· καὶ πολὺ δικαίως, διότι μαζὶ μὲ τὴν ἰδικήν τους διαφθορὰν παραβλέπουν καὶ τὴν σωτηρίαν τῶν πλησίον. Τὸν δὲ Θεὸν τίποτε δὲν τὸν ἐξοργίζει τόσον, ὅσον ἡ παραμέλησις τῶν πρὸς τὸν πλησίον καθηκόντων. Δι' αὐτὸ καὶ δεικνύων τὸν θυμόν Του, διέταξε νὰ διχοτομηθῇ. Δι' αὐτὸ καὶ εἶπεν ὅτι ἡ ἀγάπη ἀποτελεῖ χαρακτηριστικὸν γνώρισμα τῶν μαθητῶν Του[25], ἐπειδὴ εἶναι φυσικὸν ἐκεῖνος ποὺ ἀγαπᾷ νὰ φροντίζῃ δι' ὅσα ἀφοροῦν αὐτὸν ποὺ ἀγαπᾷ.

Αὐτὴν λοιπὸν τὴν ὁδὸν ἂς ἀκολουθήσωμεν. Διότι κυρίως αὐτὴ εἶναι ἐκείνη ἡ ὁποία ὁδηγεῖ πρὸς τὸν οὐρανόν, ἐκείνη ἡ ὁποία κάμνει μιμητὰς τοῦ Χριστοῦ, ἐκείνη ἡ ὁποία μᾶς κάμνει, ὅσον εἶναι δυνατόν, ὁμοίους πρὸς τὸν Θεόν. Πρόσεξε λοιπὸν καὶ τὰς ἀρετὰς αὐτάς, αἱ ὁποῖαι ὑπάρχουν εἰς τὴν ὁδὸν αὐτὴν καὶ αἱ ὁποῖαι εἶναι περισσότερον ἀναγκαῖαι. Καὶ ἐὰν θέλετε, θὰ τὰς ἐξετάσωμεν καὶ θὰ ἐκφέρωμεν τὰ συμπεράσματά μας μὲ βάσιν τὴν γνώμην τοῦ Θεοῦ.

Ἂς ὑποθέσωμεν ὅτι ὑπάρχουν δύο ὁδοὶ ἐναρέτου ζωῆς· καὶ ἡ μὲν μία κάνει καλὸν αὐτὸν ποὺ τὴν ἀκολουθεῖ, ἐνῷ ἡ ἄλλη κάνει καλὸν καὶ τὸν πλησίον. Ἂς ἴδωμεν ποία ἐπιτυγχάνει περισσότερον καὶ μᾶς ὁδηγεῖ εἰς τὴν κορυφὴν

τὴν κορυφὴν ἡμᾶς ἄγει τῆς ἀρετῆς. Οὐκοῦν ἐκεῖνος μὲν ὁ τὰ ἑαυτοῦ μόνον ζητῶν, καὶ ἀπὸ τοῦ Παύλου μυρίας δέξεται αἰτίας· ὅταν δὲ ἀπὸ τοῦ Παύλου εἴπω, τοῦ Χριστοῦ λέγω· οὗτος δὲ ἐγκώμια καὶ στεφάνους. Πόθεν τοῦτο δῆλον; Ἄκουσον τί μὲν τούτῳ διαλέγεται, τί δὲ ἐκείνῳ. «Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ καὶ τὸ τοῦ πλησίον ἕκαστος». Ὁρᾷς πῶς τὸ μὲν ἐξέβαλε, τὸ δὲ εἰσήγαγε; Πάλιν, «Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν». Εἶτα καὶ ὁ ἔπαινος ἄφατος μετὰ παραινέσεως· «Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν».

Ἱκαναὶ μὲν οὖν καὶ αὗται αἱ ψῆφοι δεῖξαι τὴν νίκην ἵνα δὲ καὶ ἐκ περιουσίας τοῦτο γένηται, ἴδωμεν τί μὲν τῶν κατορθωμάτων μέχρις ἡμῶν ἵσταται, τί δὲ ἀφ' ἡμῶν καὶ εἰς ἑτέρους διαβαίνει. Οὐκοῦν τὸ μὲν νηστεῦσαι, καὶ χαμευνῆσαι, καὶ παρθενίαν ἀσκῆσαι, καὶ σωφρονῆσαι, ταῦτα αὐτοῖς τοῖς ἐργαζομένοις φέρει τὸ κέρδος· τὰ δὲ ἀφ' ἡμῶν εἰς τὸν πλησίον διαβαίνοντα, ἐλεημοσύνη, διδασκαλία, ἀγάπη. Οὐκοῦν κἀνταῦθα ἄκουσον Παύλου λέγοντος, ὅτι «Κἂν ψωμίσω μου τὰ ὑπάρχοντα, κἂν παραδῶ τὸ σῶμα μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι».

6. Ὁρᾷς αὐτὴν καθ' ἑαυτὴν λαμπρῶς ἀνακηρυττομένην καὶ στεφανουμένην; Εἰ δὲ βούλεσθε, καὶ ἐκ τρίτου συμβάλωμεν. Καὶ ὁ μὲν νηστευέτω, καὶ σωφρονείτω, καὶ μαρτυρείτω, καὶ κατακαιέσθω· ἕτερος δέ τις ἀναβαλλέσθω τὸ μαρτύριον διὰ τὴν τοῦ πλησίον οἰκοδομήν, καὶ μὴ μόνον ἀναβαλλέσθω, ἀλλὰ καὶ ἀπερχέσθω μαρτυρίου χωρίς· τίς μᾶλλον εὐδοκιμήσει μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; Οὐ δεῖ πολλῶν

26. Α' Κορ. 10, 24.
27. Ρωμ. 15, 2.
28. Αὐτόθι, 3.
29. Α' Κορ. 13, 3.

τῆς ἀρετῆς. Ὁπωσδήποτε ἐκεῖνος μὲν ὁ ὁποῖος ἐπιδιώκει μόνον τὰ ἰδικά του, καὶ ἀπὸ τὸν Παῦλον θὰ δεχθῇ ἀπείρους ἐπικρίσεις — καὶ ὅταν λέγω ἀπὸ τὸν Παῦλον, ἐννοῶ ἀπὸ τὸν Χριστόν —, ἐνῷ αὐτὸς θὰ δεχθῇ ἐπαίνους καὶ τιμάς. Ἀπὸ ποῦ εἶναι φανερὸν αὐτό; Ἄκουσε τί λέγει εἰς τοῦτον καὶ τί εἰς ἐκεῖνον· «Κανεὶς νὰ μὴ ζητῇ τὸ ἰδικόν του συμφέρον, ἀλλὰ ὁ καθένας τὸ συμφέρον τοῦ πλησίον»[26]. Βλέπεις ὅτι τὸ μὲν ἕνα τὸ ἀπέκλεισε, τὸ δὲ ἄλλο τὸ καθιέρωσε; Καὶ παρακάτω πάλι λέγει· «Ὁ καθένας ἀπὸ ἐμᾶς ἂς φροντίζῃ νὰ εἶναι ἀρεστὸς εἰς τὸν πλησίον διὰ τὸ καλόν του καὶ τὴν οἰκοδομήν του»[27]. Ἔπειτα, μαζὶ μὲ τὴν παραίνεσιν ἀκολουθεῖ καὶ ὁ ἀπερίγραπτος ἔπαινος· «Διότι καὶ ὁ Χριστὸς δὲν ἐζήτησεν ἐκεῖνα ποὺ ἦσαν ἀρεστὰ εἰς τὸν ἑαυτόν του»[28].

Καὶ μόνον αἱ γνῶμαι αὐταὶ εἶναι ἀρκεταὶ νὰ ἀποδείξουν τὸν ἰσχυρισμόν μας, διὰ νὰ γίνῃ ὅμως περισσότερον φανερόν, ἂς ἴδωμεν ποία μὲν ἀπὸ τὰς ἀρετὰς παραμένει εἰς ἡμᾶς, ποία δὲ ἀπὸ ἡμᾶς μεταβαίνει καὶ εἰς τοὺς ἄλλους. Βεβαίως ἡ νηστεία καὶ ὁ καταγῆς ὕπνος καὶ ἡ ἄσκησις τῆς παρθενίας καὶ ἡ σωφροσύνη, αὐτὰ ὠφελοῦν μόνον ἐκείνους ποὺ τὰ ἀσκοῦν. Ἐκεῖνα δὲ ποὺ ἀπὸ ἡμᾶς μεταβαίνουν εἰς τὸν πλησίον εἶναι ἡ ἐλεημοσύνη, ἡ διδασκαλία, ἡ ἀγάπη. Ἄκουσε λοιπὸν καὶ ἐδῶ τὸν Παῦλον ποὺ λέγει· «Καὶ ἐὰν μοιράσω ὅλα μου τὰ ὑπάρχοντα, καὶ ἂν παραδώσω τὸ σῶμά μου διὰ νὰ καῇ, ἀλλὰ δὲν ἔχω ἀγάπην, δὲν ὠφελοῦμαι τίποτε»[29].

6. Βλέπεις ὅτι ἡ ἀγάπη μόνη σαφῶς ἀναγνωρίζεται καὶ ἐξαίρεται; Ἐὰν δὲ θέλετε νὰ προσθέσωμεν καὶ τρίτον παράδειγμα. Ἕνας νηστεύει καὶ νὰ πολιτεύεται μὲ σωφροσύνην καὶ μαρτυρεῖ καὶ κατακαίεται· ἕνας ἄλλος δὲ ἀναβάλλει τὸ μαρτύριον χάριν τῆς οἰκοδομῆς τοῦ πλησίον· καὶ ὄχι μόνον ἀναβάλλει, ἀλλὰ καὶ φεύγει χωρὶς νὰ μαρτυρήσῃ. Ποῖος θὰ διακριθῇ περισσότερον μετὰ τὴν ἀποδημίαν των ἀπὸ ἐδῶ; Δὲν μᾶς χρειάζονται πολλοὶ λόγοι ἐδῶ, οὔτε

ἐνταῦθα λόγων ἡμῖν, οὐδὲ μακρᾶς τῆς περιόδου. Ἐφέστηκε γὰρ ὁ Μακάριος Παῦλος τὴν ψῆφον φέρων καὶ λέγων· «Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, κρεῖσσον· τὸ δὲ ἐπιμένειν τῇ σαρκί, ἀναγκαιότερον δι' ὑμᾶς»· καὶ τῆς πρὸς τὸν Χριστὸν ἀποδημίας προετίμησε τοῦ πλησίον τὴν οἰκοδομήν. Τοῦτο γὰρ μάλιστά ἐστι συνεῖναι Χριστῷ, τὸ τὸ θέλημα αὐτοῦ ποιεῖν· θέλημα δὲ αὐτοῦ οὐδὲν οὕτως ἐστί, ὡς τὸ συμφέρον τῷ πλησίον.

Βούλει καὶ τετάρτην εἴπω τούτου ἀπόδειξιν; «Πέτρε, φιλεῖς με;», φησί· «ποίμανε τὰ πρόβατά μου»· καὶ τρίτον αὐτὸν ἐρωτήσας, τοῦτο ἔφησε φιλίας εἶναι τεκμήριον. Οὐ πρὸς ἱερέας δὲ τοῦτο εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς ἕκαστον ἡμῶν, τῶν καὶ μικρὸν ἐμπεπιστευμένων ποίμνιον. Μὴ γὰρ ἐπειδὴ μικρόν ἐστι, καταφρονήσῃς· «Ὁ γὰρ Πατήρ μου», φησίν, «εὐδόκησεν ἐν αὐτοῖς». Ἔχει ἕκαστος ἡμῶν πρόβατον· τοῦτο ἐπὶ τὰς προσηκούσας ἀγέτω νομάς. Καὶ ὁ ἀνὴρ ἀναστὰς ἀπὸ τῆς εὐνῆς μηδὲν ἄλλο ζητείτω, ἀλλ' ἢ ὅπως ἐργάσηταί τι καὶ εἴπῃ, δι' ὧν ἅπασαν εὐλαβεστέραν ποιήσει τὴν οἰκίαν.

Ἡ γυνὴ πάλιν ἔστω μὲν οἰκουρός, πρὸ δὲ ταύτης τῆς ἐπιμελείας ἑτέραν ἀναγκαιοτέραν ἐχέτω φροντίδα, τὰ τῶν οὐρανῶν ὅπως ἅπασα ἐργάζηται ἡ οἰκία. Εἰ γὰρ ἐν τοῖς βιωτικοῖς, πρὸ τῆς κατὰ τὴν οἰκίαν ἐπιμελείας, τὰ δημόσια σπουδάζομεν καταθεῖναι ὀφλήματα, ὥστε μὴ διὰ τὴν ἐν τούτοις ἀγνωμοσύνην δέρεσθαι καὶ ἕλκεσθαι ἐπ' ἀγορᾶς, καὶ μυρία ἀσχημονεῖν· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο δεῖ ποιεῖν, τὰ τοῦ βασιλέως τῶν ὅλων Θεοῦ καταθεῖναι πρότερον, ἵνα μὴ ἔλθωμεν ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων.

---

30. Φιλιπ. 1, 23-24.
31. Ἰω. 21, 15.
32. Λουκᾶ 12, 32.

μακρὰ ἐπιχειρηματολογία. Διότι παρίσταται ὁ μακάριος Παῦλος ὁ ὁποῖος ἐκφέρει τὴν γνώμην λέγων ὅτι· «Νὰ πεθάνω καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστὸν εἶναι καλύτερον. Τὸ νὰ παραμένω ὅμως εἰς τὸ σῶμα εἶναι ἀναγκαιότερον δι' ἐσᾶς»[30], καὶ ὁ ὁποῖος ἀπὸ τὴν πρὸς τὸν Χριστὸν ἀποδημίαν προετίμησε τὴν οἰκοδομὴν τοῦ πλησίον. Διότι αὐτὸ κυρίως σημαίνει «συνεῖναι Χριστῷ», τὸ νὰ κάνωμεν τὸ θέλημά Του. Θέλημα δὲ Αὐτοῦ δὲν εἶναι τίποτε τόσον ὅσον ἐκεῖνο ποὺ συμφέρει εἰς τὸν πλησίον.

Θέλεις νὰ σοῦ ἀναφέρω καὶ τετάρτην ἀπόδειξιν αὐτοῦ; Λέγει· «Πέτρε, μὲ ἀγαπᾷς; Ποίμαινε τὰ πρόβατά μου»[13]. Καὶ ἀφοῦ τὸν ἐρώτησε τρεῖς φοράς, εἶπεν ὅτι αὐτὸ εἶναι ἡ ἀπόδειξις τῆς ἀγάπης. Αὐτὸ δὲ δὲν ἐλέχθη μόνον εἰς τοὺς ἱερεῖς, ἀλλὰ καὶ εἰς τὸν καθένα ἀπὸ ἡμᾶς, εἰς τοὺς ὁποίους ἔχει ἀνατεθῆ ἡ φροντὶς καὶ μικροῦ ἔστω ποιμνίου, μὴ τυχὸν ἐπειδὴ εἶναι μικρὸν τὸ περιφρονήσῃς. Διότι «ὁ Πατήρ μου, λέγει, ἔδειξεν εἰς αὐτοὺς τὴν εὐαρέσκειάν Του»[32]. Ὁ κάθε ἕνας ἀπὸ ἡμᾶς ἔχει ἕνα πρόβατον· ἂς ὁδηγήσῃ αὐτὸ εἰς τὰς νομὰς ποὺ πρέπει. Καὶ ὁ ἄνδρας ὅταν ἐγερθῇ ἀπὸ τὴν κλίνην του, ἂς μὴ ἐπιζητῇ τίποτε ἄλλο, παρὰ πῶς θὰ κάνῃ καὶ θὰ εἰπῇ πράγματα μὲ τὰ ὁποῖα ὁλόκληρον τὴν οἰκίαν θὰ τὴν κάμῃ περισσότερον εὐλαβῆ.

Ἡ γυναίκα πάλιν ἂς μένῃ νὰ φυλάσσῃ τὴν οἰκίαν, ἀλλὰ πρὶν ἀπὸ τὴν φροντίδα αὐτὴν ἂς ἔχῃ ἄλλην φροντίδα περισσότερον ἀναγκαίαν, πῶς ὁλόκληρος ἡ οἰκία θὰ κάνῃ ἐκεῖνα μὲ τὰ ὁποῖα θὰ κερδήσῃ τὸν οὐρανόν. Διότι, ἐὰν εἰς τὰ βιωτικά, πρὶν ἀπὸ τὴν ἐπιμέλειαν τῆς οἰκίας, φροντίζωμεν νὰ πληρώσωμεν τὰ δημόσια χρέῃ μας, διὰ νὰ μὴ φθάσωμεν, ἀπὸ ἀσυνέπειαν εἰς αὐτά, νὰ δερώμεθα καὶ νὰ συρώμεθα εἰς τὴν ἀγορὰν καὶ νὰ ὑφιστάμεθα ἀπείρους ταπεινώσεις, πολὺ περισσότερον αὐτὸ πρέπει νὰ τὸ κάνωμεν εἰς τὰ πνευματικὰ πράγματα, νὰ ἐκπληρώσωμεν τὰ χρέη μας πρὸς τὸν βασιλέα τῶν ὅλων Θεόν, διὰ νὰ μὴ ὁδηγηθῶμεν ἐκεῖ ὅπου εἶναι ὁ βρυγμὸς τῶν ὀδόντων.

Καὶ ταύτας ζητῶμεν τὰς ἀρετάς, αἱ μετὰ τῆς ἡμετέρας σωτηρίας καὶ τοὺς πλησίον τὰ μέγιστα ὠφελῆσαι δύναιντ' ἄν. Τοιοῦτον ἡ ἐλεημοσύνη, τοιοῦτον ἡ εὐχή· μᾶλλον δὲ καὶ αὕτη παρ' ἐκείνης δυνατὴ καὶ ὑπόπτερος γίνεται. «Αἱ εὐχαί σου» γάρ, φησί, «καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ». Οὐκ εὐχὴ δὲ μόνον, ἀλλὰ καὶ νηστεία ἐντεῦθεν τὰ νεῦρα ἔχει. Κἂν νηστεύῃς χωρὶς ἐλεημοσύνης, οὐδὲ νηστεία τὸ πρᾶγμα λογίζεται· ἀλλὰ γαστριζομένου καὶ μεθύοντος χείρων ὁ τοιοῦτος, καὶ τοσούτῳ χείρων, ὅσῳ τρυφῆς ὠμότης χαλεπώτερον.

Καὶ τί λέγω νηστείαν; Κἂν γὰρ σωφρονῇς, κἂν παρθενεύῃς, ἐκτὸς ἕστηκας τοῦ νυμφῶνος, ἐλεημοσύνην οὐκ ἔχων. Καίτοι τί παρθενίας ἴσον, ὃ μηδὲ ἐν τῇ Καινῇ ὑπὸ νόμον ἦλθεν ἀνάγκην διὰ τὸ ὑπερέχον; ἀλλ' ὅμως ἐκβάλλεται, ὅταν τὴν ἐλεημοσύνην μὴ ἔχῃ. Εἰ δὲ παρθένοι ἐκβάλλονται, ἐπειδὴ ταύτην οὐκ εἶχον μετὰ δαψιλείας τῆς προσηκούσης, τίς δυνήσεται ταύτης ἄνευ συγγνώμης τυχεῖν; Οὐκ ἔστιν οὐδείς, ἀλλ' ἀπολέσθαι πάντως ἀνάγκη τὸν ταύτην οὐκ ἔχοντα. Εἰ γὰρ ἐν τοῖς βιωτικοῖς οὐδεὶς ἑαυτῷ ζῇ, ἀλλὰ καὶ χειροτέχνης, καὶ στρατιώτης, καὶ γεωργός, καὶ ἔμπορος, πρὸς τὸ κοινῇ συμφέρον καὶ τὸ τῷ πλησίον ὠφέλιμον συντελοῦσιν ἅπαντες· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο δεῖ ποιεῖν. Τοῦτο γὰρ μάλιστά ἐστι ζῆν· ὡς ὅγε ἑαυτῷ ζῶν μόνον, καὶ πάντων ὑπερορῶν, περιττός ἐστι, καὶ οὐδὲ ἄνθρωπος, οὐδὲ τοῦ γένους τοῦ ἡμετέρου.

Τί οὖν, φησίν, ἂν τὰ καθ' ἑαυτὸν παρίδω, τὰ τῶν ἄλλων ἐπιζητῶν; Οὐκ ἔστι τὰ τῶν ἄλλων ἐπιζητοῦντα τὰ ἑαυτοῦ

33. Πράξ. 10, 4.

Καὶ ἂς ἐπιδιώκωμεν τὰς ἀρετὰς ἐκείνας αἱ ὁποῖαι, μαζὶ μὲ τὴν ἰδικήν μας σωτηρίαν, θὰ ἠμποροῦσαν νὰ ὠφελήσουν τὰ μέγιστα καὶ τοὺς πλησίον. Τέτοια εἶναι ἡ ἐλεημοσύνη, τέτοια εἶναι ἡ προσευχή· ἢ μᾶλλον καὶ αὐτὴ ἀπὸ ἐκείνην παίρνει δύναμιν καὶ γίνεται ἐλαφρά. Διότι λέγει· «Αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς τὸν Θεὸν διὰ νὰ σὲ θυμηθῇ»[33]. Ὄχι μόνον δὲ ἡ προσευχή, ἀλλὰ καὶ ἡ νηστεία ἀπὸ αὐτὴν ἀποκτᾷ ζωήν. Ἂν νηστεύῃς χωρὶς ἐλεημοσύνην, δὲν λογαριάζεται αὐτὸ ὡς νηστεία, ἀλλὰ εἶσαι χειρότερος ἀπὸ ἐκεῖνον ποὺ τρώγει καὶ μεθᾷ, καὶ τόσον χειρότερος, ὅσον χειροτέρα εἶναι ἡ σκληρότης ἀπὸ τὴν ἁπαλότητα.

Καὶ διατί λέγω τὴν νηστείαν; Διότι καὶ ἂν πολιτεύεσαι μὲ σωφροσύνην, καὶ ἂν διάγῃς βίον παρθενικόν, θὰ μείνῃς ἔξω ἀπὸ τὸν νυμφῶνα, ἐὰν δὲν ἔχῃς ἐλεημοσύνην. Ἂν καὶ ποῖον πρᾶγμα εἶναι ἰσάξιον τῆς παρθενίας, ἡ ὁποία οὔτε εἰς τὴν Καινὴν Διαθήκην δὲν ὑπήχθη εἰς τὴν ἀνάγκην τοῦ νόμου, ἐξ αἰτίας τῆς ὑπεροχῆς της; Καὶ ὅμως ἀπορρίπτεται ὅταν δὲν ἔχῃ τὴν ἐλεημοσύνην. Ἐὰν δὲ ἀπορρίπτωνται οἱ παρθένοι, ἐπειδὴ δὲν εἶχαν αὐτὴν μὲ ὅσην ἔπρεπεν ἀφθονίαν, ποῖος θὰ ἠμπορέσῃ νὰ τύχῃ συγγνώμης χωρὶς αὐτήν; Δὲν ὑπάρχει κανείς, ἀλλὰ θὰ ἀπολεσθῇ ὁπωσδήποτε κατ' ἀνάγκην ἐκεῖνος ποὺ δὲν ἔχει ἐλεημοσύνην. Διότι, ἐὰν εἰς τὰ βιωτικὰ κανεὶς δὲν ζῇ διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ ὁ τεχνίτης καὶ ὁ στρατιώτης καὶ ὁ γεωργὸς καὶ ὁ ἔμπορος συντελοῦν ὅλοι εἰς τὸ κοινὸν συμφέρον καὶ τὸ ὠφέλιμον εἰς τὸν πλησίον, πολὺ περισσότερον εἰς τὰ πνευματικὰ πρέπει νὰ γίνεται τοῦτο. Διότι αὐτὸ κυρίως εἶναι ζωή· ἐνῷ ἐκεῖνος ποὺ ζῇ μόνον διὰ τὸν ἑαυτόν του καὶ παραμελεῖ ὅλων, εἶναι περιττὸς καὶ δὲν εἶναι ἄνθρωπος, οὔτε ἀπὸ τὸ ἰδικόν μας γένος.

Ποῖον τὸ ὄφελος ὅμως, λέγει, ἐὰν παραμελήσω τὰ ἰδικά μου, ἐπιδιώκων ἐκεῖνα ποὺ ὠφελοῦν τοὺς ἄλλους; Δὲν εἶναι δυνατὸν ὅταν ἐπιδιώκῃς ὅσα ὠφελοῦν τοὺς ἄλ-

παριδεῖν. Ὁ γὰρ τὰ τῶν ἄλλων ἐπιζητῶν, οὐδένα λυπεῖ, ἀλλ' ἐλεεῖ πάντας, ὠφελεῖ εἰς δύναμιν τὴν ἑαυτοῦ· οὐδένα ἁρπάσεται, οὐδένα πλεονεκτήσει, οὐ κλέψει, οὐ ψευδομαρτυρήσει· πάσης ἀφέξεται κακίας, πάσης ἐπιλήψεται ἀρετῆς, καὶ ὑπερεύξεται τῶν ἐχθρῶν, καὶ εὐεργετήσει τοὺς ἐπιβουλεύοντας· καὶ οὔτε λοιδορήσεταί τινι, οὔτε κακῶς ἐρεῖ, κἂν μυρία ἀκούσῃ κακῶς, ἀλλ' ἐρεῖ τὰ ἀποστολικά· «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;». Ἐν δὲ τῷ τὰ ἡμέτερα σκοπεῖν οὐ πάντως καὶ τὰ τῶν ἄλλων ἕψεται.

Ἐκ τούτων ἁπάντων πεισθέντες, ὡς οὐκ ἔνι σωθῆναι μὴ τὸ κοινῇ συμφέρον σκοποῦντα, καὶ τὸν διχοτομηθέντα τοῦτον ἰδόντες, καὶ τὸν τὸ τάλαντον κατορύξαντα, ταύτην ἑλώμεθα τὴν ὁδόν, ἵνα καὶ τῆς αἰωνίου τύχωμεν ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

34. Β′ Κορ. 11, 29.

λους νὰ παραμελήσῃς τὰ ἰδικά σου. Διότι ἐκεῖνος ποὺ ἐπιδιώκει τὰ τῶν ἄλλων, δὲν στενοχωρεῖ κανένα, ἀλλ' ἀντιθέτως τοὺς ἐλεεῖ ὅλους καὶ τοὺς ὠφελεῖ ὅσον ἠμπορεῖ. Ἀπὸ κανένα δὲν θὰ ἁρπάξῃ, κανένα δὲν θὰ ἐξαπατήσῃ, οὔτε θὰ κλέψῃ, οὔτε θὰ ψευδομαρτυρήσῃ. Θὰ ἀπόσχῃ ἀπὸ κάθε κακίαν, θὰ ἐπιχειρήσῃ κάθε ἀρετήν, θὰ προσευχηθῇ ὑπὲρ τῶν ἐχθρῶν του καὶ θὰ εὐεργετήσῃ ἐκείνους ποὺ ζητοῦν τὸ κακόν του. Καὶ οὔτε θὰ ὑβρίσῃ κανένα, οὔτε θὰ τὸν κακολογήσῃ, ἔστω καὶ ἂν ἀκούσῃ ἀμέτρητα κακά, ἀλλὰ θὰ εἴπῃ τὰ λόγια τοῦ ἀποστόλου· «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; Ποῖος σκανδαλίζεται καὶ δὲν καίομαι καὶ ἐγώ;»[34]. Ἐνῷ ἐὰν ἐπιδιώκωμεν τὰ ἰδικά μας, δὲν εἶναι βέβαιον ὅτι θὰ ἐπιδιώξωμεν καὶ τὰ τῶν ἄλλων.

Ἀφοῦ ἐπείσθημεν ἀπὸ ὅλα αὐτά, ὅτι δὲν εἶναι δυνατὸν νὰ σωθῶμεν ἐὰν δὲν ἀποβλέπωμεν εἰς τὸ κοινὸν συμφέρον καὶ ἀφοῦ εἴδαμεν τὸν δοῦλον ποὺ ἐδιχοτομήθη καὶ ἐκεῖνον ποὺ ἔκρυψε τὸ τάλαντον εἰς τὴν γῆν, ἂς προτιμήσωμεν αὐτὴν τὴν ὁδόν, διὰ νὰ κερδήσωμεν καὶ τὴν αἰώνιον ζωήν, τὴν ὁποίαν εὔχομαι νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΗ΄.

Ματθ. 25, 1-30

«Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν φρόνιμοι, καὶ πέντε μωραί, αἵτινες οὐκ ἔλαβον», φησίν, «ἔλαιον. Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου», καὶ τὰ ἑξῆς.

1. Αὗται αἱ παραβολαὶ προτέρᾳ ἐοίκασι τῇ τοῦ πιστοῦ δούλου, καὶ τοῦ ἀγνώμονος καὶ τὰ δεσποτικὰ κατεδηδοκότος. Τέσσαρες γάρ εἰσιν αἱ πᾶσαι περὶ τῶν αὐτῶν διαφόρως ἡμῖν παραινοῦσαι· λέγω δὴ τῆς περὶ τὴν ἐλεημοσύνην σπουδῆς, καὶ τοῦ διὰ πάντων, ὧν ἂν δυνώμεθα, τὸν πλησίον ὠφελεῖν, ὡς οὐκ ἐνὸν σωθῆναι ἑτέρως. Ἀλλ' ἐνταῦθα μὲν περὶ πάσης ὠφελείας λέγει καθολικώτερον, ἣν εἰς τὸν πλησίον ἐπιδείκνυσθαι χρή· ἐπὶ δὲ τῶν παρθένων περὶ ἐλεημοσύνης εἰδικῶς τῆς ἐν χρήμασι λέγει, καὶ σφοδρότερον ἢ ἐπὶ τῆς προτέρας παραβολῆς. Ἐκεῖ μὲν γὰρ τὸν τύπτοντα, καὶ μεθύοντα, καὶ τὰ δεσποτικὰ σκορπίζοντα καὶ ἀπολλύντα κολάζει· ἐνταῦθα δὲ καὶ τὸν οὐκ ὠφελοῦντα, οὐδὲ δαψιλῶς τοῖς δεομένοις τὰ ὄντα κενοῦντα. Εἶχον μὲν γὰρ ἔλαιον, οὐ δαψιλὲς δέ· διὸ καὶ κολάζονται.

Τίνος δὲ ἕνεκεν ἐπὶ τοῦ προσώπου τῶν παρθένων ταύτην προάγει τὴν παραβολήν, καὶ οὐχ ἁπλῶς ὁτιδήποτε ὑποτίθεται πρόσωπον; Μεγάλα περὶ παρθενίας διελέχθη εἰπών· «Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν»· καί, «Ὁ δυνάμενος χωρεῖν, χωρείτω».

1. Ματθ. 19, 12.

ΟΜΙΛΙΑ ΟΗ΄.

Ματθ. 25, 1-30

«Ἡ βασιλεία τῶν οὐρανῶν θὰ ὁμοιάσῃ τότε μὲ δέκα παρθένους αἱ ὁποῖαι ἀφοῦ ἐπῆραν τὰς λαμπάδας των ἐβγῆκαν νὰ προϋπαντήσουν τὸν νυμφίον. Πέντε ἀπὸ αὐτὰς δὲ ἦσαν φρόνιμοι καὶ πέντε μωραί, αἱ ὁποῖαι δὲν ἐπῆραν, λέγει, λάδι, ἐνῷ αἱ φρόνιμοι ἐπῆραν λάδι εἰς τὰ δοχεῖα των μαζὶ μὲ τὰς λαμπάδας των. Ἐπειδὴ δὲ ὁ νυμφίος ἐβράδυνε», καὶ οὕτω καθεξῆς.

1. Αἱ παραβολαὶ αὐταὶ ὁμοιάζουν μὲ τὴν προηγουμένην, τὴν παραβολὴν τοῦ ἐμπίστου δούλου καὶ τοῦ ἀχαρίστου, ὁ ὁποῖος κατέφαγε τὴν περιουσίαν τοῦ δεσπότου. Διότι τέσσαρες εἶναι ὅλαι αἱ παραβολαί, ποὺ μᾶς προτρέπουν διὰ τὰ ἴδια πράγματα μὲ τρόπον διάφορον. Ἐννοῶ δηλαδὴ τὴν φροντίδα τῆς ἐλεημοσύνης καὶ τῆς ὠφελείας τοῦ πλησίον μὲ ὅλα ὅσα ἠμποροῦμεν, διότι δὲν εἶναι δυνατὸν νὰ σωθῶμεν μὲ ἄλλον τρόπον. Ἀλλ᾽ ἐδῶ μὲν ὁμιλεῖ γενικώτερον διὰ κάθε ὠφέλειαν τὴν ὁποίαν πρέπει νὰ ἐπιδιώκωμεν πρὸς τὸν πλησίον. Εἰς δὲ τὴν παραβολὴν τῶν παρθένων ὁμιλεῖ εἰδικῶς περὶ τῆς ἐλεημοσύνης, ἡ ὁποία γίνεται μὲ χρήματα, καὶ μάλιστα μὲ περισσοτέραν ἔμφασιν ἀπὸ ὅσον εἰς τὴν προηγουμένην παραβολήν. Διότι ἐκεῖ μὲν τιμωρεῖ ἐκεῖνον ὁ ὁποῖος κτυπᾷ καὶ μεθᾷ καὶ σκορπίζει καὶ σπαταλᾷ τὴν περιουσίαν τοῦ δεσπότου του· ἐνῷ ἐδῶ τιμωρεῖ καὶ ἐκεῖνον ὁ ὁποῖος δὲν ὠφελεῖ, οὔτε δίνει μὲ ἀφθονίαν εἰς τοὺς πτωχοὺς ὅσα ἔχει. Διότι εἶχαν λάδι ἀλλὰ ὄχι ἄφθονον· δι᾽ αὐτὸ καὶ τιμωροῦνται.

Διὰ ποῖον δὲ λόγον τοποθετεῖ τὴν παραβολὴν αὐτὴν εἰς τὸ πρόσωπον τῶν παρθένων καὶ δὲν ὑπονοεῖται ἁπλῶς ὁποιοδήποτε πρόσωπον; Εἶχε ἐξάρει πολὺ τὴν παρθενίαν ὅταν εἶπεν· «Ὑπάρχουν εὐνοῦχοι οἱ ὁποῖοι μόνοι τους ἔγιναν εὐνοῦχοι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν»[1], καὶ «ὅ-

Οἶδε καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων μεγάλην περὶ αὐτῆς δόξαν ἔχοντας. Καὶ γάρ ἐστι φύσει τὸ πρᾶγμα μέγα, καὶ δείκνυται ἐξ ὧν οὔτε ἐν τῇ Παλαιᾷ ὑπὸ τῶν παλαιῶν καὶ ἁγίων ἀνδρῶν ἐκείνων κατωρθώθη, καὶ ἐν τῇ Καινῇ δὲ οὐκ ἦλθεν εἰς ἀνάγκην νόμου. Οὐ γὰρ ἐπέταξε τοῦτο, ἀλλὰ τῇ προαιρέσει τῶν ἀκουόντων ἐπέτρεψε. Διὸ καὶ Παῦλός φησι· «Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω». Ἐπαινῶ μὲν γὰρ τὸν κατορθοῦντα, οὐκ ἀναγκάζω δὲ τὸν μὴ βουλόμενον, οὐδὲ ἐπίταγμα τὸ πρᾶγμα ποιῶ.

Ἐπεὶ οὖν καὶ μέγα τὸ πρᾶγμα ἦν, καὶ μεγάλην παρὰ τοῖς πολλοῖς δόξαν εἶχεν, ἵνα μή τις τοῦτο κατορθῶν, ὡς τὸ πᾶν κατωρθωκὼς διακέηται, καὶ τῶν λοιπῶν ἀμελῇ, τίθησι ταύτην τὴν παραβολήν, ἱκανὴν πεῖσαι, ὅτι παρθενία, κἂν τὰ ἄλλα πάντα ἔχῃ, τῶν ἀπὸ τῆς ἐλεημοσύνης καλῶν ἔρημος οὖσα, μετὰ τῶν πόρνων ἐκβάλλεται· καὶ τὸν ἀπάνθρωπον καὶ τὸν ἐλεήμονα ἵστησι μετ᾽ αὐτῶν. Καὶ μάλα εἰκότως· ὁ μὲν γὰρ σωμάτων ἔρωτος ἡττήθη, αἱ δὲ χρημάτων. Οὐκ ἔστι δὲ ἴσον σωμάτων ἔρως καὶ χρημάτων· ἀλλ᾽ ὁ τῶν σωμάτων δριμύτερός τε πολλῷ καὶ τυραννικώτερος. Ὅσῳ οὖν ἀσθενέστερος ὁ ἀνταγωνιστής, τοσούτῳ ἀσύγγνωστοι μᾶλλον αἱ νικηθεῖσαι. Διὰ τοῦτο δὴ καὶ μωρὰς αὐτὰς καλεῖ, ὅτι τὸν μείζονα ὑποστᾶσαι πόνον, διὰ τὸν ἐλάττονα τὸ πᾶν προέδωκαν. Λαμπάδας δὲ ἐνταῦθά φησιν αὐτὸ τὸ τῆς παρθενίας χάρισμα, τὸ καθαρὸν τῆς ἁγιωσύνης· ἔλαιον δέ, τὴν φιλανθρωπίαν, τὴν ἐλεημοσύνην, τὴν περὶ τοὺς δεομένους βοήθειαν.

2. Αὐτόθι.
3. Α΄ Κορ. 7, 25.

ποιος ἠμπορεῖ νὰ τὸ δεχθῇ ἂς τὸ δεχθῇ»[2]. Ἐγνώριζεν ἐξ ἄλλο καὶ πολλοὺς ἐκ τῶν ἀνθρώπων οἱ ὁποῖοι εἶχαν μεγάλην ἰδέαν περὶ αὐτῆς. Καὶ εἶναι ἐκ φύσεως τὸ πρᾶγμα σπουδαῖον, ἀλλὰ ἀποδεικνύεται καὶ ἐκ τοῦ ὅτι οὔτε εἰς τὴν Παλαιὰν Διαθήκην κατωρθώθη ἀπὸ τοὺς παλαιοὺς ἐκείνους ἁγίους ἄνδρας, οὔτε εἰς τὴν Καινὴν Διαθήκην ἐπεβλήθη ὡς νόμος ὑποχρεωτικός. Διότι δὲν τὸ διέταξεν, ἀλλὰ τὸ ἀφῆκεν εἰς τὴν προαίρεσιν τῶν ἀκροατῶν Του. Δι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω»[3]. Ἐπαινῶ βεβαίως ἐκεῖνον ποὺ τὴν κατορθώνει, ἀλλὰ δὲν ἐξαναγκάζω ἐκεῖνον ποὺ δὲν θέλει, οὔτε κάμνω τοῦτο τὸ πρᾶγμα διαταγήν.

Ἐπειδὴ λοιπὸν καὶ τὸ πρᾶγμα καθεαυτὸ ἦτο σπουδαῖον, ἀλλὰ καὶ ἐθαυμάζετο πολὺ ἀπὸ τοὺς περισσοτέρους, διὰ νὰ μὴ ἐπαναπαύεται, ὅποιος τὸ κατορθώνει αὐτό, μὲ τὴν ἐντύπωσιν ὅτι ἔχει κατορθώσει τὸ πᾶν καὶ παραμελῇ τὰ ὑπόλοιπα, ἀναφέρει αὐτὴν τὴν παραβολήν, ἡ ὁποία εἶναι ἀρκετὴ νὰ πείσῃ, ὅτι ἡ παρθενία, καὶ ἂν ἀκόμη ἔχῃ ὅλα τὰ ἄλλα, ἐὰν δὲν κοσμῆται καὶ μὲ τὰ καλὰ τῆς ἐλεημοσύνης, ἀπορρίπτεται μαζὶ μὲ τοὺς πόρνους, καὶ τοποθετεῖ τὸν ἀπάνθρωπον καὶ τὸν ἀνελεήμονα μαζὶ μὲ αὐτούς. Καὶ πολὺ ὀρθῶς· διότι ὁ μὲν πόρνος ἐνικήθη ἀπὸ τὸν ἔρωτα τῶν σωμάτων, ὁ δὲ παρθένος ἀπὸ τὸν ἔρωτα τῶν χρημάτων. Δὲν εἶναι δὲ ἴσος ὁ ἔρως τῶν σωμάτων καὶ τῶν χρημάτων. Ἀλλὰ ὁ ἔρως τῶν σωμάτων εἶναι καὶ ἰσχυρότερος καὶ κατὰ πολὺ τυραννικώτερος. Ὅσον λοιπὸν πιὸ ἀδύνατος εἶναι ὁ ἀνταγωνιστής, τόσον πιὸ ἀσυγχώρητοι εἶναι ἐκεῖναι ποὺ ἐνικήθησαν. Δι' αὐτὸ καὶ τὰς ἀποκαλεῖ μωράς, διότι, ἐνῷ ἄντεξαν εἰς τὸν μεγαλύτερον πόνον, ἐπρόδωσαν τὰ πάντα ἐξ αἰτίας τοῦ μικροτέρου. Λαμπάδας δὲ ἐδῶ ὀνομάζει τὸ χάρισμα τῆς παρθενίας, τὴν καθαρότητα τῆς ἁγιωσύνης, καὶ ἔλαιον τὴν φιλανθρωπίαν, τὴν ἐλεημοσύνην, τὴν βοήθειαν πρὸς τοὺς πτωχούς.

«Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον». Δείκνυσιν οὐκ ὀλίγον τὸν χρόνον ἐσόμενον πάλιν τὸν μεταξύ, τοὺς μαθητὰς ἀπάγων τοῦ προσδοκᾶν αὐτίκα μάλα φανεῖσθαι τὴν βασιλείαν αὐτοῦ. Καὶ γὰρ τοῦτο ἤλπιζον· διὰ τοῦτο καὶ συνεχῶς αὐτοὺς ἀναχαιτίζει τῆς ἐλπίδος ταύτης. Μετὰ δὲ τούτου κἀκεῖνο ἐμφαίνει, ὅτι ὕπνος ὁ θάνατός ἐστιν. «Ἐκάθευδον» γάρ, φησί.

«Περὶ δὲ μέσας νύκτας κραυγὴ γέγονεν». Ἤτοι τῇ παραβολῇ ἐπέμεινεν, ἢ πάλιν δείκνυσιν, ὅτι ἐν νυκτὶ ἡ ἀνάστασις γίνεται. Τὴν δὲ κραυγὴν καὶ ὁ Παῦλος ἐνδείκνυται, λέγων· «Ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν ἐσχάτῃ σάλπιγγι καταβήσεται ἀπ' οὐρανοῦ». Καὶ τί βούλονται αἱ σάλπιγγες; τί δὲ ἡ κραυγὴ λέγει; «Ὁ νυμφίος ἔρχεται».

Ἐπεὶ οὖν ἐκόσμησαν τὰς λαμπάδας, «λέγουσιν αἱ μωραὶ ταῖς φρονίμοις· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν». Πάλιν αὐτὰς μωρὰς καλεῖ, δεικνὺς ὅτι οὐδὲν μωρότερον τῶν ἐνταῦθα χρηματιζομένων, καὶ γυμνῶν ἀπιόντων ἐκεῖσε, ἔνθα μάλιστα φιλανθρωπίας ἡμῖν χρεία, ἔνθα πολλοῦ τοῦ ἐλαίου. Οὐ ταύτῃ δὲ μόνον μωραί, ἀλλ' ὅτι καὶ προσεδόκησαν ἐκεῖθεν λήψεσθαι, καὶ ἀκαίρως ἐζήτησαν· καίτοιγε οὐδὲν ἐκείνων φιλανθρωπότερον ἦν τῶν παρθένων, αἳ διὰ τοῦτο μάλιστα εὐδοκίμησαν. Καὶ οὐδὲ τὸ πᾶν ζητοῦσι· «Δότε γὰρ ἡμῖν», φησίν, «ἐκ τοῦ ἐλαίου ὑμῶν»· καὶ τὸ ἀναγκαῖον τῆς χρείας ἐπιδείκνυνται· «σβέννυνται», γάρ, φησίν, «αἱ λαμπάδες ἡμῶν».

Ἀλλὰ καὶ οὕτως ἀπέτυχον· καὶ οὔτε ἡ φιλανθρωπία τῶν αἰτουμένων, οὔτε τὸ εὔκολον τῆς αἰτήσεως, οὔτε τὸ ἀναγκαῖον καὶ χρειῶδες ἐποίησεν αὐτὰς ἐπιτυχεῖν. Ἀλλὰ τί δὴ ἐντεῦθεν μανθάνομεν; Ὅτι οὐδεὶς ἡμῶν ἐκεῖ, τῶν ἐκ τῶν ἔρ-

4. Α' Θεσσ. 4, 16.

«Ἐπειδὴ δὲ ὁ νυμφίος ἐβράδυνεν, ὅλαι εἶχαν νυστάξει καὶ ἐκοιμῶντο». Μὲ αὐτὰ δείχνει πάλιν ὅτι δὲν θὰ εἶναι ὀλίγος ὁ χρόνος ποὺ θὰ μεσολαβήσῃ, διὰ νὰ ἀποτρέψῃ τοὺς μαθητὰς ἀπὸ τοῦ νὰ ἀναμένουν νὰ ἐμφανισθῇ ἡ βασιλεία Του πολὺ σύντομα. Διότι αὐτὸ ἤλπιζαν. Δι' αὐτὸ καὶ συνεχῶς τοὺς συγκρατεῖ ἀπὸ αὐτὴν τὴν ἐλπίδα. Μετὰ δὲ ἀπὸ αὐτό, φανερώνει καὶ τοῦτο, ὅτι ὕπνος εἶναι ὁ θάνατος. Διότι λέγει ὅτι ἐκοιμῶντο.

«Κατὰ τὰ μεσάνυκτα ὅμως ἠκούσθη μία φωνή». Ἐδῶ ἢ ἐπιμένει εἰς τὴν παραβολήν, ἢ πάλιν θέλει νὰ δείξῃ ὅτι ἡ ἀνάστασις θὰ γίνῃ κατὰ τὴν διάρκειαν νυκτός. Τὴν κραυγὴν μάλιστα τὴν ἀναφέρει καὶ ὁ Παῦλος, ὅταν λέγῃ «μὲ παράγγελμα, μὲ φωνὴν ἀρχαγγέλου μὲ τὴν τελευταίαν σάλπιγγα, θὰ κατεβῇ ἀπὸ τὸν οὐρανόν»[4]. Καὶ τί χρειάζονται αἱ σάλπιγγες; Τί λέγει ἡ κραυγή; «Ὁ νυμφίος ἔρχεται».

Ἀφοῦ λοιπὸν ἐτακτοποίησαν τὰς λυχνίας, λέγουν αἱ μωραὶ παρθένοι εἰς τὰς φρονίμους· «δῶστε μας ἀπὸ τὸ λάδι σας». Πάλιν τὰς ἀποκαλεῖ μωράς, διὰ νὰ δείξῃ ὅτι τίποτε δὲν εἶναι περισσότερον μωρὸν ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἀποκτοῦν, θησαυρίζουν ἐδῶ καὶ φεύγουν γυμνοὶ εἰς τὴν ἄλλην ζωήν, ὅπου κατ' ἐξοχὴν μᾶς χρειάζεται φιλανθρωπία καὶ πολὺ ἔλαιον. Καὶ δὲν εἶναι μόνον δι' αὐτὸ μωραί, ἀλλὰ καὶ διότι περίμεναν ὅτι θὰ λάβουν ἔλαιον ἀπὸ ἐκεῖ, καὶ διότι δὲν τὸ ἐζήτησαν εἰς τὸν καιρὸν ποὺ ἔπρεπεν. Ἂν καὶ τίποτε δὲν ἦτο περισσότερον φιλάνθρωπον ἀπὸ ἐκείνας τὰς παρθένους, αἱ ὁποῖαι δι' αὐτὸ ἀκριβῶς διεκρίθησαν. Ἄλλωστε δὲν ζητοῦν ὅλον τὸ ἔλαιον· διότι λέγει· «Δῶστε μας ἀπὸ τὸ λάδι σας». Δηλώνει δὲ καὶ τὴν ἀναγκαιότητα τῆς ἐλλείψεως· «διότι αἱ λαμπάδες μας σβήνουν», λέγει.

Ἀλλὰ καὶ ἔτσι ἀπέτυχαν. Καὶ οὔτε ἡ φιλανθρωπία ἐκείνων ἀπὸ τὰς ὁποίας ἐζήτησαν, οὔτε τὸ ὅτι ἦτο εὔκολος ἡ ἱκανοποίησις τοῦ αἰτήματός των, οὔτε ἡ ἄμεσος ἀνάγκη καὶ ἡ χρησιμότης αὐτοῦ τὸ ὁποῖον ἐζήτησαν συνετέλεσαν εἰς τὸ νὰ ἐπιτύχουν. Τί διδασκόμεθα λοιπὸν ἀπὸ αὐτό; Ὅτι ἐκεῖ

γων προδοθέντων, προστῆναι δυνήσεται· οὐκ ἐπειδὴ οὐ βούλεται, ἀλλ' ἐπειδὴ οὐ δύναται. Καὶ γὰρ καὶ αὗται ἐπὶ τὸ ἀδύνατον καταφεύγουσι. Τοῦτο καὶ ὁ μακάριος Ἀβραὰμ ἐδήλωσεν εἰπών, ὅτι «Χάσμα μέγα ἐστὶ μεταξὺ ὑμῶν καὶ ἡμῶν, ὥστε μηδὲ βουλομένοις ἐξεῖναι διαβῆναι. Πορεύεσθε δὲ πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε». Καὶ τίνες οἱ πωλοῦντες; Οἱ πένητες. Καὶ ποῦ οὗτοι; Ἐνταῦθα· καὶ τότε ζητῆσαι ἐχρῆν, οὐκ ἐν τῷ καιρῷ ἐκείνῳ.

2. Ὁρᾷς ὁπόση γίνεται ἀπὸ τῶν πενήτων ἡμῖν πραγματεία; κἂν τούτους ἀνέλῃς, τὴν πολλὴν τῆς σωτηρίας ἡμῶν ἀνεῖλες ἐλπίδα. Διόπερ ἐνταῦθα τὸ ἔλαιον συνάγειν χρή, ἵνα ἐκεῖ χρήσιμον γένηται, ὅταν ὁ καιρὸς ἡμᾶς καλῇ. Οὐ γὰρ ἐκεῖνός ἐστιν ὁ καιρὸς τῆς συλλογῆς, ἀλλ' οὗτος. Μὴ τοίνυν ἀνάλισκε μάτην τὰ ὄντα εἰς τρυφὰς καὶ κενοδοξίας. Πολλοῦ γάρ σοι ἐκεῖ χρεία τοῦ ἐλαίου.

Ταῦτα ἀκούσασαι ἐκεῖναι ἀπῆλθον, ἀλλ' οὐδὲν ὤνησαν. Τοῦτο δέ φησιν, ἢ τῇ παραβολῇ παραμένων, καὶ ὑφαίνων αὐτήν· ἢ καὶ διὰ τούτων δεικνύς, ὅτι κἂν φιλάνθρωποι γενώμεθα μετὰ τὸ ἀπελθεῖν, οὐδὲν ἐντεῦθεν κερδήσομεν εἰς τὸ διαφυγεῖν. Οὐκοῦν οὐδὲ ταύταις ἤρκεσεν ἡ προθυμία· ἐπειδὴ μὴ ἐνταῦθα ἀπῆλθον πρὸς τοὺς πωλοῦντας, ἀλλ' ἐκεῖ· οὔτε τῷ πλουσίῳ, ὅτε οὕτω φιλάνθρωπος γέγονεν, ὡς καὶ ὑπὲρ τῶν αὐτῷ προσηκόντων μεριμνᾶν. Ὁ γὰρ τὸν ἐν τῷ πυλῶνι κείμενον παρατρέχων, τοὺς οὐδὲ ὁρωμένους ἐξαρπάσαι τῶν κινδύνων καὶ τῆς γεέννης ἐπείγεται, καὶ παρακαλεῖ πεμφθῆναί τινας τοὺς ταῦτα ἀπαγγελοῦντας αὐτοῖς. Ἀλλ' ὅμως οὐδὲν ἐκεῖνος ἐντεῦθεν ἀπώνατο, ὥσπερ οὐδὲ αὗ-

5. Λουκᾶ 16, 26.
6. Λουκᾶ 16, 28.

κανεὶς ἀπὸ ἡμᾶς, οἱ ὁποῖοι ἐπροδόθημεν ἀπὸ τὰ ἔργα μας, δὲν θὰ ἠμπορέσωμεν νὰ ἐμφανισθῶμεν. Ὄχι διότι δὲν θέλει, ἀλλ' ἐπειδὴ δὲν ἠμπορεῖ. Διότι καὶ αἱ παρθένοι ἐπικαλοῦνται τὴν ἀδυναμίαν ἱκανοποιήσεως τοῦ αἰτήματος. Τὴν ἀδυναμίαν αὐτὴν ἐπεκαλέσθη καὶ ὁ μακάριος Ἀβραὰμ ὅταν εἶπεν ὅτι «Ὑπάρχει μεταξύ μας ἕνα μεγάλο χάσμα, εἰς τρόπον ὥστε καὶ νὰ θέλωμεν δὲν εἶναι δυνατὸν νὰ διαβοῦμεν»[5].

«Πηγαίνετε καλύτερα εἰς αὐτοὺς ποὺ πωλοῦν καὶ ἀγοράσατε». Καὶ ποῖοι εἶναι αὐτοὶ οἱ ὁποῖοι πωλοῦν; Οἱ πτωχοί. Καὶ ποῦ εὑρίσκονται αὐτοί; Ἐδῶ. Ἔπρεπε δὲ νὰ ζητήσουν τότε, ὄχι τὴν ὥραν ἐκείνην.

2. Βλέπεις πόσον μεγάλη πρέπει νὰ εἶναι ἡ φροντὶς μας διὰ τοὺς πτωχούς; Καὶ ἂν καταργήσῃς αὐτούς, κατήργησες τὴν μεγαλυτέραν ἐλπίδα τῆς σωτηρίας μας. Δι' αὐτὸ ἐδῶ πρέπει νὰ ἀποθηκεύωμεν ἔλαιον, διὰ νὰ μᾶς φανῇ χρήσιμον ἐκεῖ, ὅταν μᾶς καλέσῃ ἡ ὥρα. Διότι ὁ καιρὸς τῆς συλλογῆς δὲν εἶναι ἐκεῖνος, ἀλλὰ αὐτὸς ἐδῶ. Μὴ καταναλίσκῃς λοιπὸν ἀδίκως αὐτὰ ποὺ ἔχεις εἰς ἀπολαύσεις καὶ ματαιοδοξίας. Διότι θὰ σοῦ χρειασθῇ ἐκεῖ πολὺ ἔλαιον.

Ὅταν ἤκουσαν αὐτὰ αἱ μωραὶ παρθένοι ἀνεχώρησαν, ἀλλὰ τίποτε δὲν ἠγόρασαν. Τὸ λέγει δὲ αὐτό, ἢ διὰ νὰ συνεχίσῃ τὴν παραβολὴν καὶ νὰ τὴν ὁλοκληρώσῃ, ἢ διὰ νὰ δείξῃ μὲ αὐτὰ ὅτι καὶ ἂν ἀκόμη γίνωμεν φιλάνθρωποι μετὰ τὸν θάνατόν μας, δὲν θὰ κερδήσωμεν τίποτε ἀπὸ αὐτὸ ὥστε νὰ διαφύγωμεν. Ἄρα οὔτε εἰς αὐτὰς ἤρκεσεν ἡ προθυμία, διότι δὲν ἐπῆγαν ἐδῶ πρὸς ἐκείνους οἱ ὁποῖοι ἐπωλοῦσαν, ἀλλὰ ἐκεῖ, οὔτε εἰς τὸν πλούσιον, ὅταν ἔγινε τόσον φιλάνθρωπος, ὥστε νὰ φροντίζῃ καὶ διὰ τοὺς οἰκείους του. Διότι αὐτὸς ὁ ὁποῖος περιεφρόνει ἐκεῖνον ποὺ εὑρίσκετο εἰς τὴν πύλην του, βιάζεται νὰ γλυτώσῃ ἀπὸ τοὺς κινδύνους καὶ τὴν γέενναν τοῦ πυρὸς αὐτούς, ποὺ οὔτε κἂν φαίνονται, καὶ παρακαλεῖ νὰ σταλοῦν μερικοὶ διὰ νὰ τοὺς ἀνακοινώσουν αὐτά[6]. Ἀλλ' ὅμως τίποτε καὶ αὐτὸς μὲ αὐτὸ δὲν ὠφελήθη, ὅπως οὔτε ἐκεῖναι. Διότι μόλις ἀνεχώ-

ται. Ἐπειδὴ γὰρ ταῦτα ἀκούσασαι ἀπῆλθον, ἦλθεν ὁ νυμφίος· καὶ αἱ μὲν ἕτοιμοι, συνεισῆλθον· αἱ δὲ ἀπεκλείσθησαν.

Μετὰ τοὺς πολλοὺς πόνους, μετὰ τοὺς μυρίους ἱδρῶτας καὶ τὴν ἀφόρητον μάχην ἐκείνην, καὶ τὰ τρόπαια ἃ κατὰ τῆς φύσεως λυττώσης ἀνέστησαν, καταισχυνθεῖσαι καὶ τῶν λαμπάδων ἐσβεσμένων, ἀνεχώρουν κάτω κύπτουσαι. Οὐδὲν γὰρ ἀμαυρότερον παρθενίας, ἔλεον μὴ ἐχούσης· οὕτω καὶ οἱ πολλοὶ τοὺς ἀνελεήμονας εἰώθασι καλεῖν σκοτεινούς.

Ποῦ τοίνυν τῆς παρθενίας ὄφελος, ὅτε τὸν νυμφίον οὐκ εἶδον, καὶ οὐδὲ κρούσασαι ἤνυσαν, ἀλλὰ τὸ φοβερὸν ἐκεῖνο ἤκουσαν ῥῆμα, «Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς»; Ὅταν δὲ αὐτὸς εἴπῃ τοῦτο, οὐδὲν ἕτερον ἢ γέεννα καταλιμπάνεται καὶ ἡ ἀφόρητος κόλασις· μᾶλλον δὲ καὶ τῆς γεέννης τοῦτο τὸ ῥῆμα χαλεπώτερον. Τοῦτο τὸ ῥῆμα καὶ τοῖς τὴν ἀνομίαν ἐργαζομένοις εἶπε.

«Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν». Ὁρᾷς πῶς συνεχῶς τοῦτο ἐπιλέγει, χρησίμην δεικνὺς τὴν ἄγνοιαν τῆς ἐξόδου τῆς ἐντεῦθεν; Ποῦ νῦν εἰσιν οἱ διὰ παντὸς μὲν τοῦ βίου ῥάθυμοι, ὅταν δὲ ἐγκαλῶνται παρ' ἡμῶν, λέγοντες, ὅτι Ἐν καιρῷ τελευτῆς καταλιμπάνω τοῖς δεομένοις; Ἀκουέτωσαν τῶν ῥημάτων τούτων, καὶ διορθούσθωσαν. Καὶ γὰρ καὶ ἐν ἐκείνῳ τῷ καιρῷ πολλοὶ ἐξέπεσον τούτου, ἀθρόον ἀναρπασθέντες, καὶ οὐδὲ ἐπισκῆψαι συγχωρηθέντες τοῖς οἰκείοις ὑπὲρ ὧν ἐβούλοντο.

Αὕτη μὲν οὖν ἡ παραβολὴ τῆς διὰ χρημάτων ἐλεημοσύνης ἕνεκεν εἴρηται· ἡ δὲ μετὰ ταύτην, πρὸς τοὺς οὐ χρήμασιν, οὐ λόγῳ, οὐ προστασίᾳ, οὐχ ἑτέρῳ ὁτῳοῦν ὠφελεῖν

ρησαν, ὅταν ἤκουσαν αὐτά, ἦλθεν ὁ νυμφίος· καὶ αἱ μὲν ἕτοιμοι παρθένοι εἰσῆλθαν μαζί του, ἐνῷ αὐταὶ ἀπεκλείσθησαν.

Μετὰ ἀπὸ τοὺς τόσους κόπους, μετὰ ἀπὸ ἀπείρους ἱδρῶτας καὶ μετὰ ἀπὸ τὴν ἀνυπόφορον ἐκείνην προσπάθειαν καὶ τὰ τρόπαια, τὰ ὁποῖα ὕψωσαν ἐναντίον τῆς λυσσασμένης φύσεώς των, κατησχυμέναι καὶ μὲ ἐσβεσμένας τὰς λαμπάδας, ἀνεχώρησαν μὲ σκυμμένην τὴν κεφαλήν. Διότι δὲν ὑπάρχει τίποτε πιὸ σκοτεινὸν ἀπὸ τὴν παρθενίαν, ἡ ὁποία δὲν ἔχει ἐλεημοσύνην. Ἔτσι καὶ οἱ περισσότεροι συνηθίζουν νὰ ὀνομάζουν τοὺς ἀσπλάγχνους σκοτεινούς.

Ποῦ εἶναι λοιπὸν τὸ ὄφελος τῆς παρθενίας, ἀφοῦ οὔτε τὸν νυμφίον εἶδαν, οὔτε καὶ ὅταν ἔκρουσαν τὴν θύραν ὠφελήθησαν, ἀλλὰ ἤκουσαν τὴν φοβερὰν ἐκείνην ἀπάντησιν «Φύγετε, δὲν σᾶς γνωρίζω»; Ὅταν δὲ αὐτὸς λέγῃ τοῦτο, δὲν ἀπομένει τίποτε ἄλλο παρὰ μόνον γέεννα τοῦ πυρὸς καὶ ἀνυπόφορος κόλασις. Ἡ ἀπάντησις αὐτὴ μάλιστα εἶναι χειροτέρα καὶ ἀπὸ τὴν γέενναν τοῦ πυρός. Τὴν ἀπάντησιν δὲ αὐτὴν τὴν ἔδωσε καὶ εἰς ἐκείνους ποὺ κάμνουν τὴν παρανομίαν.

«Ἀγρυπνεῖτε λοιπόν, διότι δὲν γνωρίζετε οὔτε τὴν ἡμέραν οὔτε τὴν ὥραν». Βλέπεις ὅτι διαρκῶς τὸ ἐπαναλαμβάνει, διὰ νὰ δείξῃ ὅτι εἶναι ὠφέλιμος ἡ ἄγνοια τῆς ἐξόδου ἀπὸ τὴν ἐδῶ ζωήν; Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ εἰς ὅλην τους τὴν ζωὴν εἶναι ράθυμοι καί, ὅταν κατηγοροῦνται ἀπὸ ἡμᾶς, λέγουν ὅτι εἰς τὸν καιρὸν τοῦ θανάτου θὰ ἀφήσω εἰς τοὺς πτωχούς; Ἂς ἀκούσουν τὰ λόγια αὐτὰ καὶ ἂς διορθωθοῦν. Διότι καὶ εἰς ἐκείνην τὴν ὥραν πολλοὶ ἔπεσαν ἔξω, ἀφοῦ ἀνηρπάσθησαν διὰ μιᾶς καὶ δὲν εἶχαν τὴν εὐκαιρίαν οὔτε διὰ τοὺς οἰκείους των νὰ σκεφθοῦν αὐτὰ ποὺ ἤθελαν.

Αὐτὴ μὲν λοιπὸν ἡ παραβολὴ ἐλέχθη διὰ τὴν διὰ χρημάτων ἐλεημοσύνην. Ἡ ἄλλη ὅμως, μετὰ ἀπὸ αὐτήν, ἐλέχθη πρὸς ἐκείνους οἱ ὁποῖοι ὄχι μόνον δὲν θέλουν νὰ ὠ-

βουλομένους τοὺς πλησίον, ἀλλὰ πάντα ἀποκρύπτοντας. Καὶ τί δήποτε αὕτη μὲν ἡ παραβολὴ βασιλέα εἰσάγει, ἐκείνη δὲ νυμφίον; Ἵνα μάθῃς πῶς οἰκείως ἔχει πρὸς τὰς παρθένους ὁ Χριστός, τὰς ἀποδυομένας τὰ ὄντα· τοῦτο γὰρ καὶ παρθενία. Διὸ καὶ Παῦλος τοῦτον τίθησιν ὅρον τοῦ πράγματος. «Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου», φησί· καί, «Πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερισπάστως». Ταῦτα παραινοῦμεν, φησίν.

Εἰ δὲ ἐν τῷ Λουκᾷ ἑτέρως κεῖται ἡ τῶν ταλάντων παραβολή, ἐκεῖνο λεκτέον, ὅτι ἄλλη αὕτη, καὶ ἑτέρα ἐκείνη. Ἐν ἐκείνῃ μὲν γὰρ ἀπὸ ἑνὸς κεφαλαίου διάφορα γεγόνασιν αἱ πρόσοδοι· ἀπὸ γὰρ μιᾶς μνᾶς ὁ μὲν πέντε, ὁ δὲ δέκα προσήνεγκαν, διὸ οὐδὲ τῶν αὐτῶν ἔτυχον· ἐνταῦθα δὲ τοὐναντίον, διὸ καὶ ὁ στέφανος ἴσος. Ὁ γὰρ δύο λαβών, δύο ἔδωκε, καὶ ὁ τὰ πέντε πάλιν ὁμοίως· ἐκεῖ δέ, ἐπειδὴ ἐκ τῆς αὐτῆς ὑποθέσεως ὁ μὲν πλείονα, ὁ δὲ ἐλάττονα πρόσοδον ἐποιήσατο, εἰκότως καὶ ἐν τοῖς ἐπάθλοις οὐχ ὁμοίως ἀπολαύουσιν. Ὅρα δὲ αὐτὸν πανταχοῦ οὐκ εὐθέως ἀπαιτοῦντα. Καὶ γὰρ ἐπὶ τοῦ ἀμπελῶνος ἐξέδοτο γεωργοῖς, καὶ ἀπεδήμησε· καὶ ἐνταῦθα ἐνεπίστευσε, καὶ ἀπεδήμησεν, ἵνα μάθῃς αὐτοῦ τὴν μακροθυμίαν.

Ἐμοὶ δὲ δοκεῖ καὶ τὴν ἀνάστασιν αἰνιττόμενος ταῦτα λέγειν. Ἀλλ' ἐνταῦθα οὐκέτι γεωργοὶ καὶ ἀμπελών, ἀλλὰ πάντες ἐργάται. Οὐ γὰρ πρὸς ἄρχοντας μόνον, οὐδὲ πρὸς Ἰουδαίους, ἀλλὰ πρὸς ἅπαντας διαλέγεται. Καὶ οἱ μὲν προσφέ-

7. Α΄ Κορ. 7, 32.
8. Α΄ Κορ. 7, 35.
9. Λουκᾶ 19, 12-21.
10. Ματθ. 21, 33.

φελήσουν τοὺς πλησίον μὲ χρήματα, μὲ λόγον, μὲ προστασίαν ἢ μὲ ὁ,τιδήποτε ἄλλο, ἀλλὰ καὶ ἀποκρύπτουν τὰ πάντα. Καὶ διατί τέλος πάντων αὐτὴ μὲν ἡ παραβολὴ ἀναφέρει βασιλέα, ἐνῷ ἐκείνη νυμφίον; Διὰ νὰ μάθῃς πόσον φιλικῶς διάκειται ὁ Χριστὸς πρὸς τὰς παρθένους, αἱ ὁποῖαι ἀπαρνοῦνται τὰ ὑπάρχοντά των. Αὐτὸ ἄλλωστε εἶναι παρθενία. Δι' αὐτὸ καὶ ὁ Παῦλος ὁρίζει τὴν ἑξῆς προϋπόθεσιν αὐτῆς· «Ἡ ἄγαμος φροντίζει διὰ τὰ πράγματα τοῦ Κυρίου»[7], λέγει, καὶ «Διὰ νὰ δείξετε καλὴν συμπεριφορὰν καὶ νὰ μείνετε στερεοὶ εἰς τὸν Κύριον, χωρὶς περισπασμούς»[8]. Αὐτὰ σᾶς συμβουλεύομεν, λέγει.

Ἐὰν δὲ εἰς τὸν Λουκᾶν ἐκτίθεται κατ' ἄλλον τρόπον ἡ παραβολὴ τῶν ταλάντων[9], πρέπει νὰ λεχθῇ τοῦτο, ὅτι ἄλλη εἶναι ἡ παραβολὴ αὐτὴ καὶ ἄλλη ἐκείνη. Διότι εἰς ἐκείνην μὲν ἀπὸ τὸ ἴδιον κεφάλαιον προῆλθαν διάφορα ἔσοδα· διότι ἀπὸ μίαν μνᾶν ὁ μὲν ἕνας παρουσίασε πέντε, ὁ δὲ ἄλλος δέκα, καὶ δι' αὐτὸ καὶ δὲν ἀμείφθησαν κατὰ τὸν ἴδιον τρόπον. Ἐδῶ ὅμως συνέβη τὸ ἀντίθετον, δι' αὐτὸ καὶ ἡ βράβευσις ἦτο ἴση. Διότι ἐκεῖνος ποὺ ἔλαβε δύο τάλαντα, ἔδωσε δύο, καὶ ἐκεῖνος ποὺ ἔλαβε τὰ πέντε τάλαντα πάλιν τὸ ἴδιον. Ἐνῷ ἐκεῖ, ἐπειδὴ ὑπὸ τὰς αὐτὰς προϋποθέσεις ὁ μὲν ἕνας παρουσίασε περισσότερα, ὁ δὲ ἄλλος ὀλιγώτερα ἔσοδα, ὀρθῶς καὶ εἰς τὰ ἔπαθλα δὲν τιμῶνται καὶ οἱ δύο ἐξ ἴσου. Πρόσεξε δὲ ὅτι παντοῦ δὲν ἀπαιτεῖ ἀμέσως αὐτὰ ποὺ ἐνεπιστεύθη. Διότι εἰς τὴν παραβολὴν τοῦ ἀμπελῶνος[10], ἀφοῦ τὸν παρέδωκεν εἰς τοὺς γεωργούς, ἀπεδήμησε· καὶ ἐδῶ ἐνεπιστεύθη τὰ τάλαντα καὶ ἀπεδήμησε, διὰ νὰ μάθῃς τὴν μακροθυμίαν Του.

Ἐγὼ δὲ νομίζω ὅτι λέγων αὐτὰ ὑπαινίσσεται καὶ τὴν ἀνάστασιν. Μόνον ποὺ ἐδῶ δὲν ἀναφέρονται πλέον γεωργοὶ καὶ ἀμπελών, ἀλλὰ ὅλοι εἶναι ἐργάται. Διότι δὲν ἀναφέρεται μόνον εἰς τοὺς ἄρχοντας, οὔτε εἰς τοὺς Ἰουδαίους, ἀλλὰ εἰς ὅλους. Καὶ ἐκεῖνοι μὲν ποὺ προσφέρουν ὁ-

ροντες ὁμολογοῦσιν εὐγνωμόνως καὶ τὰ αὐτῶν καὶ τὰ τοῦ δεσπότου. Καὶ ὁ μὲν λέγει, «Κύριε, πέντε τάλαντά μοι ἔδωκας», ὁ δὲ λέγει, δύο· δεικνύντες ὅτι παρ' αὐτοῦ τὴν ἀφορμὴν ἔλαβον τῆς ἐργασίας, καὶ πολλὴν χάριν ἴσασι, καὶ τὸ πᾶν αὐτῷ λογίζονται. Τί οὖν ὁ δεσπότης; «Εὖ, δοῦλε ἀγαθέ», φησὶ (τοῦτο γάρ ἐστιν ἀγαθοῦ, τὸ εἰς τὸν πλησίον ὁρᾶν), «καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου»· τὴν πᾶσαν μακαριότητα διὰ τοῦ ῥήματος τούτου δεικνύς.

'Αλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ πῶς; «Ἤδειν ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθεὶς ἔκρυψα τὸ τάλαντόν σου· ἴδε, ἔχεις τὸ σόν». Τί οὖν ὁ δεσπότης; «Ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις», τουτέστιν, εἰπεῖν ἐχρῆν, παραινέσαι, συμβουλεῦσαι. 'Αλλ' οὐ πείθονται; 'Αλλ' οὐκ ἔστι τοῦτο πρὸς σέ. Τί τούτου γένοιτ' ἂν ἡμερώτερον;

3. Ἄνθρωποι μὲν γὰρ οὐχ οὕτω ποιοῦσιν, ἀλλ' αὐτὸν τὸν δανείσαντα, αὐτὸν καὶ ὑπεύθυνον τῆς ἀπαιτήσεως καθιστῶσιν. Αὐτὸς δὲ οὐχ οὕτως· ἀλλά, σὲ ἔδει καταβαλεῖν, φησί, καὶ τὴν ἀπαίτησιν ἐμοὶ ἐπιτρέψαι. «Κἀγὼ μετὰ τόκου ἂν ἀπήτησα»· τόκον λέγων ἀκροάσεως τὴν τῶν ἔργων ἐπίδειξιν. Σὲ ἔδει τὸ εὐκολώτερον ποιῆσαι, ἐμοὶ δὲ τὸ δυσκολώτερον ἀφεῖναι. 'Επεὶ οὖν τοῦτο οὐκ ἐποίησε, «Λάβετε», φησίν, «ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ τὰ δέκα τάλαντα ἔχοντι. Τῷ γὰρ ἔχοντι δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ».

Τί δὴ τοῦτό ἐστιν; Ὁ χάριν λόγου καὶ διδασκαλίας εἰς τὸ ὠφελεῖν ἔχων, καὶ μὴ χρώμενος αὐτῇ, καὶ τὴν χάριν

μολογοῦν μὲ εὐγνωμοσύνην καὶ τὰ ἰδικά των ἀλλὰ καὶ ὅσα τοὺς ἔδωκεν ὁ δεσπότης. Ἔτσι ὁ μὲν ἕνας λέγει· «Κύριε, πέντε τάλαντα μοῦ ἔδωσες», ὁ δὲ ἄλλος λέγει «δύο», δεικνύοντες ὅτι ἀπὸ Ἐκεῖνον ἔλαβαν τὸ κεφάλαιον τῆς ἐργασίας των, καὶ τοῦ ἀναγνωρίζουν μεγάλην χάριν, καὶ ἀποδίδουν τὸ πᾶν εἰς Αὐτόν. Τί λέγει λοιπὸν ὁ δεσπότης; «Εὖγε, δοῦλε καλέ», (διότι αὐτὸ εἶναι ἴδιον τοῦ ἀγαθοῦ, τὸ νὰ βλέπῃ εἰς τὸν πλησίον) «καὶ πιστέ· εἰς ὀλίγα ἐφάνηκες πιστός, εἰς πολλὰ θὰ σὲ ἐγκαταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου», δηλώνων μὲ τὴν ἀπάντησιν αὐτὴν ὅλην τὴν μακαριότητα.

Δὲν ὁμιλεῖ ὅμως καὶ ὁ ἄλλος ἔτσι, ἀλλὰ πῶς; «Ἐγνώριζα ὅτι εἶσαι σκληρὸς ἄνθρωπος καὶ ὅτι θερίζεις ἐκεῖ ὅπου δὲν ἔσπειρες καὶ μαζεύεις ἐκεῖ ὅπου δὲν ἐσκόρπισες· καὶ ἐπειδὴ ἐφοβήθηκα, ἔκρυψα τὸ τάλαντόν σου· ὁρίστε, πάρε αὐτὸ ποὺ εἶναι ἰδικόν σου». Τί τοῦ ἀπαντᾷ λοιπὸν ὁ δεσπότης; «Ἔπρεπε νὰ βάλῃς τὰ χρήματά σου εἰς τοὺς τραπεζίτας», δηλαδή, ἔπρεπε νὰ ὁμιλήσῃ, νὰ παραινέσῃ, νὰ συμβουλεύσῃ. Ἀλλὰ δὲν πείθονται; Αὐτὸ δὲν ἀφορᾷ ἐσένα. Τί θὰ ἠμποροῦσε νὰ γίνῃ περισσότερον λογικὸν ἀπὸ αὐτό;

3. Οἱ ἄνθρωποι ὅμως δὲν κάνουν ἔτσι, ἀλλὰ καθιστοῦν ὑπεύθυνον τοῦ ἀπαιτουμένου εἰσοδήματος τὸν ἴδιον τὸν δανειστήν των. Αὐτὸς ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλὰ λέγει ὅτι σὺ ἔπρεπε νὰ πληρώσῃς καὶ νὰ μοῦ ἐπιστρέψῃς τὸ ἀπαιτούμενον κέρδος. «Καὶ ἐγὼ θὰ τὰ ἔπαιρνα πίσω μὲ τόκον»· τόκον ἀκροάσεως ἐννοῶν τὴν ἐπίδειξιν τῶν ἔργων. Σὺ ἔπρεπε νὰ κάμῃς τὸ εὐκολώτερον καὶ νὰ ἀφήσῃς τὸ δυσκολώτερον εἰς ἐμέ. Ἐπειδὴ λοιπὸν δὲν ἔκαμεν αὐτό, λέγει· «Πάρετε τὸ τάλαντον ἀπὸ αὐτὸν καὶ δῶστε το εἰς ἐκεῖνον ποὺ ἔχει τὰ δέκα τάλαντα, διότι εἰς ἐκεῖνον ποὺ ἔχει θὰ δοθοῦν καὶ ἄλλα καὶ θὰ περισσεύσουν· ὅμως ἀπὸ ἐκεῖνον ὁ ὁποῖος δὲν ἔχει, θὰ τοῦ ἀφαιρεθῇ καὶ αὐτὸ ποὺ ἔχει».

Τί σημαίνει λοιπὸν αὐτό; Ἐκεῖνος ποὺ ἔχει τὸ χάρισμα τοῦ λόγου καὶ τῆς διδασκαλίας διὰ νὰ ὠφελῇ καὶ δὲν

ἀπολεῖ· ὁ δὲ σπουδὴν παρεχόμενος, πλείονα ἐπισπάσεται τὴν δωρεάν· ὥσπερ οὖν ἐκεῖνος καὶ ὃ ἔλαβεν ἀπόλλυσιν. Ἀλλ' οὐ μέχρι τούτου ἡ ζημία τῷ ἀργοῦντι, ἀλλὰ καὶ ἀφόρητος ἡ κόλασις, καὶ μετὰ τῆς κολάσεως ἡ ἀπόφασις πολλῆς γέμουσα τῆς κατηγορίας. «Τὸν» γὰρ «ἀχρεῖον δοῦλον ἐκβάλετε», φησίν, «εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων». Εἶδες πῶς οὐ μόνον ὁ ἁρπάζων καὶ πλεονεκτῶν, οὐδὲ ὁ κακὰ ἐργαζόμενος, ἀλλὰ καὶ ὁ ἀγαθὰ μὴ ποιῶν κολάζεται κόλασιν τὴν ἐσχάτην;

Ἀκούσωμεν τοίνυν τῶν ῥημάτων τούτων. Ὡς ἔστι καιρός, ἀντιλαβώμεθα τῆς σωτηρίας τῆς ἡμετέρας, λάβωμεν ἔλαιον εἰς τὰς λαμπάδας, ἐργασώμεθα εἰς τὸ τάλαντον. Ἂν γὰρ ὀκνήσωμεν καὶ ἐν ἀργίᾳ διατρίβωμεν ἐνταῦθα, οὐδεὶς ἡμᾶς ἐλεήσει λοιπὸν ἐκεῖ, κἂν μυρία θρηνῶμεν. Κατέγνω ἑαυτοῦ καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἔχων, καὶ οὐδὲν ὠφέλησεν. Ἀπέδωκε καὶ ἣν ἐπιστεύθη παρακαταθήκην ὁ τὸ ἓν τάλαντον, καὶ οὕτω κατεκρίθη. Παρεκάλεσαν καὶ αἱ παρθένοι, καὶ προσῆλθον, καὶ ἔκρουσαν, καὶ πάντα εἰκῇ καὶ μάτην.

Ταῦτ' οὖν εἰδότες, καὶ χρήματα, καὶ σπουδήν, καὶ προστασίαν, καὶ πάντα εἰσενέγκωμεν εἰς τὴν τῶν πλησίον ὠφέλειαν. Τάλαντα γὰρ ἐνταῦθά ἐστιν ἡ ἑκάστου δύναμις, εἴτε ἐν προστασίᾳ, εἴτε ἐν χρήμασιν, εἴτε ἐν διδασκαλίᾳ, εἴτε ἐν οἵῳ δήποτε πράγματι τοιούτῳ. Μηδεὶς λεγέτω, ὅτι Ἓν τάλαντον ἔχω, καὶ οὐδὲν δύναμαι ποιῆσαι. Δύνασαι γὰρ καὶ δι' ἑνὸς εὐδοκιμῆσαι. Οὐ γὰρ εἶ τῆς χήρας ἐκείνης πενέστερος, οὐκ εἶ Πέτρου καὶ Ἰωάννου ἀγροικότερος, οἳ καὶ ἰδιῶται καὶ ἀγράμματοι ἦσαν, ἀλλ' ὅμως ἐπειδὴ προθυμίαν ἐπεδεί-

11. Μάρκ. 12, 42.
12. Πράξ. 3, 6.

χρησιμοποιεῖ τὸ χάρισμά του, θὰ χάσῃ καὶ τὸ χάρισμα· ἐνῷ ἐκεῖνος ποὺ καταβάλλει προσπάθειαν, θὰ δεχθῇ περισσοτέραν δωρεάν· ὅπως ἐκεῖνος ποὺ χάνει καὶ αὐτὸ ποὺ εἶχε λάβει. Δὲν περιορίζεται ὅμως μόνον μέχρις ἐδῶ ἡ ζημία δι' ἐκεῖνον ὁ ὁποῖος δὲν ἐργάζεται, ἀλλὰ τὸν ἀναμένει καὶ ἀνυπόφορος τιμωρία καὶ μαζὶ μὲ τὴν τιμωρίαν καὶ ἡ ἀπόφασις ἡ ὁποία εἶναι γεμάτη μὲ βαρεῖαν κατηγορίαν. Διότι λέγει· «Τὸν ἄχρηστον δοῦλον ρίξατέ τον ἔξω εἰς τὸ σκότος, ὅπου θὰ ὑπάρχῃ τὸ κλάμα καὶ τὸ τρίξιμον τῶν ὀδόντων». Εἶδες ὅτι ὄχι μόνον ἐκεῖνος ποὺ ἁρπάζει καὶ εἶναι πλεονέκτης, οὔτε ἐκεῖνος ποὺ κάμνει κακά, ἀλλὰ τιμωρεῖται μὲ τὴν ἐσχάτην τιμωρίαν καὶ ἐκεῖνος ποὺ δὲν κάμνει ἀγαθὰς πράξεις.

Ἂς ἀκούσωμεν λοιπὸν τὰ λόγια αὐτά. Ὅσον εἶναι καιρὸς ἂς ἐπιληφθῶμεν τῆς σωτηρίας μας, ἂς πάρωμεν λάδι εἰς τὰς λαμπάδας, ἂς καλλιεργήσωμεν τὸ τάλαντον. Διότι ἐὰν ὀλιγωρήσωμεν καὶ ἐὰν διερχώμεθα τὸν χρόνον μας ἐδῶ χωρὶς νὰ ἐργαζώμεθα, δὲν θὰ μᾶς ἐλεήσῃ κανεὶς ἐκεῖ, ἔστω καὶ ἂν χύσωμεν μύρια δάκρυα. Ἐκατηγόρησε τὸν ἑαυτόν του καὶ ἐκεῖνος ποὺ εἶχε βρωμερὰ ἐνδύματα, ἀλλὰ δὲν ὠφέλησε τίποτε. Ἐπέστρεψε καὶ ὅ,τι τοῦ ἐνεπιστεύθη καὶ ἐκεῖνος ποὺ ἔλαβε τὸ ἓν τάλαντον, καὶ ὅμως κατεδικάσθη. Παρεκάλεσαν καὶ αἱ παρθένοι καὶ προσῆλθαν καὶ ἔκρουσαν τὴν θύραν, ἀλλ' ὅμως ὅλα ἀπέβησαν μάταια.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς προσφέρωμεν καὶ χρήματα καὶ προθυμίαν καὶ προστασίαν καὶ ὅλα διὰ τὴν ὠφέλειαν τοῦ πλησίον. Διότι τάλαντα ἐδῶ εἶναι ἡ δύναμις τοῦ καθενός, εἴτε εἰς προστασίαν, εἴτε εἰς χρήματα, εἴτε εἰς διδασκαλίαν, εἴτε εἰς οἱονδήποτε παρόμοιον πρᾶγμα. Ἂς μὴ προφασίζεται κανεὶς ὅτι ἕνα μόνον τάλαντον ἔχω καὶ δὲν ἠμπορῶ νὰ κάμω τίποτε. Διότι ἠμπορεῖς καὶ μὲ ἕνα νὰ προκόψῃς. Διότι δὲν εἶσαι πτωχότερος ἀπὸ ἐκείνην τὴν χήραν[11], δὲν εἶσαι περισσότερον ἀκαλλιέργητος ἀπὸ τὸν Πέτρον καὶ τὸν Ἰωάννην[12], οἱ ὁποῖοι καὶ ἄπειροι ἦσαν καὶ ἀγράμματοι, ἀλλ' ὅμως ἐπειδὴ ἔδειξαν προθυμίαν καὶ ἔκαναν τὰ πάντα

ξαντο, καὶ πρὸς τὸ κοινῇ συμφέρον πάντα ἐποίουν, τῶν οὐρανῶν ἐπελάβοντο. Οὐδὲν γὰρ οὕτως ἐστὶ τῷ Θεῷ φίλον, ὡς τὸ κοινωφελῶς ζῆν.

Διὰ τοῦτο λόγον ἡμῖν ἔδωκεν ὁ Θεός, καὶ χεῖρας, καὶ πόδας, καὶ σώματος ἰσχύν, καὶ νοῦν, καὶ σύνεσιν, ἵνα πᾶσι τούτοις καὶ εἰς τὴν ἡμῶν αὐτῶν σωτηρίαν καὶ εἰς τὴν τῶν πλησίον ὠφέλειαν χρησώμεθα. Οὐδὲ γὰρ εἰς ὕμνον ἡμῖν ὁ λόγος καὶ εὐχαριστίας χρήσιμος μόνον, ἀλλὰ καὶ εἰς διδασκαλίαν λυσιτελὴς καὶ παραίνεσιν. Κἂν μὲν εἰς τοῦτο χρησώμεθα, τὸν Δεσπότην ἐζηλώσαμεν· ἂν δὲ εἰς τἀναντία, τὸν διάβολον. Ἐπεὶ καὶ Πέτρος, ὅτε μὲν ὡμολόγησε τὸν Χριστόν, ἐμακαρίζετο ὡς τὰ τοῦ Πατρὸς εἰρηκώς· ὅτε δὲ παρῃτεῖτο τὸν σταυρὸν καὶ ἀπηγόρευσεν, ἐπετιμᾶτο σφοδρῶς, ὡς τὰ τοῦ διαβόλου φρονῶν. Εἰ δὲ ἔνθα ἀγνοίας ἦν τὸ εἰρημένον, τοσαύτη ἡ κατηγορία· ὅταν ἑκόντες πολλὰ ἁμαρτάνωμεν, ποίαν ἕξομεν συγγνώμην;

Τοιαῦτα τοίνυν φθεγγώμεθα, ἵνα αὐτόθεν ᾖ δῆλα τὰ ῥήματα τοῦ Χριστοῦ ὄντα. Οὐδὲ γὰρ ἂν εἴπω μόνον, «Ἔγειραι καὶ περιπάτει», οὐδὲ ἂν εἴπω, «Ταβιθά, ἀνάστηθι», τότε τὰ τοῦ Χριστοῦ λαλῶ· ἀλλὰ πολλῷ μᾶλλον ἂν λοιδορηθεὶς εὐλογήσω, ἂν ἐπηρεασθεὶς εὔξωμαι ὑπὲρ τοῦ ἐπηρεάζοντος. Πρώην μὲν οὖν ἔλεγον, ὅτι χείρ ἐστιν ἡ γλῶττα ἡμῶν, τῶν τοῦ Θεοῦ ἁπτομένη ποδῶν· νῦν δὲ πολλῷ πλέον λέγω, ὅτι γλῶττά ἐστιν ἡ γλῶττα ἡμῶν, τὴν τοῦ Χριστοῦ μιμουμένη, ἐὰν τὴν προσήκουσαν ἀκρίβειαν ἐπιδείξηται, ἂν ἐκεῖνα φθεγγώμεθα, ἅπερ ἐκεῖνος βούλεται. Τί δέ ἐστιν ἃ ἐκεῖνος ἡμᾶς βούλεται φθέγγεσθαι; Τὰ ἐπιεικείας γέμοντα ῥήματα καὶ πραότητος· ὥσπερ οὖν καὶ αὐτὸς ἐφθέγγετο, λέγων τοῖς ὑβρίζουσιν αὐτόν, «Ἐγὼ δαιμόνιον οὐκ ἔχω»· καὶ πάλιν· «Εἰ μὲν κα-

13. Ματθ. 16, 16-18.
14. Ματθ. 16, 22-23.
15. Πράξ. 3, 6.
16. Πράξ. 9, 40.
17. Ματθ. 5, 44.
18. Ματθ. 11, 18.

διὰ τὸ κοινὸν συμφέρον, ἐκέρδησαν τοὺς οὐρανούς. Διότι τίποτε δὲν ἀγαπᾷ ὁ Θεὸς τόσον, ὅσον τὸ νὰ ζῶμεν ἐξυπηρετοῦντες ὅλους.

Δι᾽ αὐτὸ μᾶς ἔδωκεν ὁ Θεὸς τὸν λόγον καὶ τὰ χέρια καὶ τὰ πόδια καὶ τὴν σωματικὴν δύναμιν καὶ τὸν νοῦν καὶ τὴν φρόνησιν, διὰ νὰ τὰ χρησιμοποιήσωμεν ὅλα αὐτὰ καὶ διὰ τὴν ἰδικήν μας σωτηρίαν, ἀλλὰ καὶ διὰ τὴν ὠφέλειαν τοῦ πλησίον. Διότι ὁ λόγος δὲν εἶναι χρήσιμος μόνον διὰ νὰ ὑμνῶμεν καὶ εὐχαριστῶμεν, ἀλλ᾽ εἶναι χρήσιμος καὶ εἰς τὸ νὰ διδάσκωμεν καὶ νὰ παραινῶμεν. Καὶ ἐὰν μὲν τὸν χρησιμοποιήσωμεν δι᾽ αὐτὸν τὸν σκοπόν, μιμούμεθα τὸν Δεσπότην· ἐὰν δὲ διὰ τὰ ἀντίθετα, τότε μιμούμεθα τὸν διάβολον. Διότι καὶ ὁ Πέτρος, ὅταν μὲν ὡμολόγησε τὸν Χριστόν, ἐμακαρίσθη ἐπειδὴ ὡμολόγησε τὰ λόγια τοῦ Πατρός[13], ἐνῷ ὅταν παρεκάλει τὸν Κύριον νὰ ἀποφύγῃ τὴν σταύρωσιν, ἐπετιμήθη πολύ, διότι ἐφρόνει ἐκεῖνα ποὺ ἀρέσουν εἰς τὸν διάβολον[14]. Καὶ ἐὰν ἐκεῖ, ὅπου αὐτὸ ποὺ ἐλέχθη ἦτο συνέπεια ἀγνοίας, τόση ἦτο ἡ κατηγορία, ποίαν συγγνώμην θὰ ἔχωμεν, ὅταν ἁμαρτάνωμεν πολὺ μὲ τὴν θέλησίν μας;

Ἂς ὁμιλῶμεν λοιπὸν ἔτσι, ὥστε ἀπὸ τὴν ὁμιλίαν μας νὰ γίνωνται φανερὰ τὰ λόγια τοῦ Χριστοῦ. Διότι δὲν λέγω τὰ λόγια τοῦ Χριστοῦ ἐὰν εἴπω μόνον «Σήκω καὶ περπάτησε»[15], οὔτε ἂν εἴπω «Ταβιθὰ σήκω»[16]. Ἀλλὰ πολὺ περισσότερον, ὅταν ἐνῷ ὑβρίζομαι εὐλογῶ, ἐνῷ ἀπειλοῦμαι προσεύχομαι ὑπὲρ ἐκείνου ποὺ μὲ ἀπειλεῖ[17]. Ἄλλοτε μὲν λοιπὸν ἔλεγα ὅτι ἡ γλῶσσα μας εἶναι χέρι τὸ ὁποῖο ψαύει τὰ πόδια τοῦ Θεοῦ· τώρα ὅμως μὲ πολλὴν ἐπίτασιν λέγω, ὅτι ἡ γλῶσσα μας εἶναι γλῶσσα, ἡ ὁποία μιμεῖται τὴν γλῶσσαν τοῦ Χριστοῦ, ὅταν ἐπιδεικνύῃ τὴν πρέπουσαν προσοχήν, ὅταν ὁμιλοῦμεν ὅσα Ἐκεῖνος θέλει. Ποία δὲ εἶναι αὐτὰ ποὺ Ἐκεῖνος θέλει νὰ ὡμιλοῦμεν; Εἶναι τὰ γεμᾶτα ἐπιείκειαν καὶ πραότητα λόγια. Ὅπως λοιπὸν ὡμιλοῦσε καὶ Ἐκεῖνος, λέγων πρὸς ὅσους τὸν ὕβριζαν· «Ἐγὼ δὲν ἔχω δαιμόνιον»[18], καὶ ἀλλοῦ· «Ἐὰν ὡμίλησα κακῶς μαρτύρησε τὸ κακὸν ποὺ

κῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ». Ἐὰν οὕτω καὶ σὺ λέγῃς, ἐὰν εἰς διόρθωσιν τῶν πλησίον λαλῇς, κέκτησαι γλῶτταν ἐοικυῖαν ἐκείνῃ.

Καὶ ταῦτα αὐτός φησιν ὁ Θεός· «Ὁ» γὰρ «ἐξάγων τίμιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται», φησίν. Ὅταν οὖν ἡ γλῶττά σου ὡς ἡ γλῶττα ᾖ τοῦ Χριστοῦ, καὶ τὸ στόμα σου γένηται στόμα τοῦ Πατρός, καὶ τοῦ Πνεύματος τοῦ ἁγίου ναὸς ᾖς, ποία ταύτης λοιπὸν ἴση γένοιτ' ἂν τιμή; Οὐδὲ γὰρ εἰ ἀπὸ χρυσίου συνέκειτό σου τὸ στόμα, οὐδὲ εἰ ἀπὸ λίθων τιμίων, οὕτως ἔμελλε λάμπειν ὡς νῦν, τῷ κόσμῳ τῆς ἐπιεικείας καταυγαζόμενον. Τί γὰρ στόματος ποθεινότερον οὐκ εἰδότος ὑβρίζειν, ἀλλ' εὐλογεῖν καὶ χρηστολογεῖν μεμελετηκότος; Εἰ δὲ οὐκ ἀνέχῃ εὐλογεῖν τὸν καταρώμενον, σίγησον, καὶ τοῦτο τέως κατόρθωσον· καὶ ὁδῷ προβαίνων καὶ σπουδάζων ὡς χρή, καὶ ἐπ' ἐκεῖνο ἥξεις, καὶ κτήσῃ στόμα τοιοῦτον οἷον εἰρήκαμεν.

4. Καὶ μὴ νομίσῃς τολμηρὸν εἶναι τὸ λεχθέν. Φιλάνθρωπος γάρ ἐστιν ὁ Δεσπότης, καὶ τῆς ἀγαθότητος αὐτοῦ τὸ δῶρον γίνεται. Τολμηρόν ἐστι, διαβόλῳ στόμα ἔχειν ἐοικώς, δαίμονος πονηροῦ κεκτῆσθαι γλῶτταν ὁμοίαν, μάλιστα τὸν μυστηρίων τοιούτων μετέχοντα, καὶ αὐτῇ κοινωνοῦντα τῇ σαρκὶ τοῦ Δεσπότου. Ταῦτ' οὖν ἀναλογιζόμενος, γενοῦ κατ' ἐκεῖνον εἰς δύναμιν τὴν σήν. Οὐκέτι σοι λοιπὸν ὁ διάβολος οὐδὲ ἀντιβλέψαι τοιούτῳ γενομένῳ δυνήσεται. Καὶ γὰρ ἐπιγινώσκει τὸν χαρακτῆρα τὸν βασιλικόν· οἶδε τοῦ Χριστοῦ τὰ ὅπλα, δι' ὧν ἡττήθη. Τίνα δὲ ταῦτά ἐστιν; Ἐπιείκεια καὶ πραότης. Καὶ γὰρ ὅτε ἐν τῷ ὄρει προσβάλλοντα αὐτὸν κατέρραξε καὶ ἐξέτεινεν, οὐχὶ γνωριζόμενος ὅτι Χριστὸς ἦν, ἀλλ' ἀπὸ τῶν ῥημάτων αὐτὸν ἐσαγήνευσε τούτων, ἀπὸ ἐπιεικείας εἷλεν, ἀπὸ πραότητος ἐτροπώσατο.

19. Ἰω. 18, 23.
20. Ἰερ. 15, 19.
21. Ματθ. 4, 1-11.

εἶπα»[19], ἐὰν ἔτσι ὁμιλῇς καὶ σύ, ἐὰν ὁμιλῇς ἀποβλέπων εἰς τὴν διόρθωσιν τοῦ πλησίον, ἔχεις γλῶσσαν ἡ ὁποία ὁμοιάζει πρὸς ἐκείνην.

Καὶ αὐτὰ τὰ λέγει ὁ ἴδιος ὁ Θεός· διότι, λέγει, «αὐτὸς ποὺ βγάζει ἔντιμον ἀπὸ ἀνάξιον, εἶναι ὡσὰν στόμα μου»[20]. Ὅταν λοιπὸν ἡ γλῶσσα σου εἶναι ὅπως ἡ γλῶσσα τοῦ Χριστοῦ, καὶ τὸ στόμα σου γίνῃ στόμα τοῦ Πατρός, καὶ εἶσαι ναὸς τοῦ Ἁγίου Πνεύματος, ποία τιμὴ θὰ ἠμποροῦσε νὰ γίνῃ ἰσάξια πρὸς αὐτήν; Διότι οὔτε ἐὰν τὸ στόμα σου ἦτο κατεσκευασμένον ἀπὸ χρυσάφι, οὔτε ἂν ἦτο ἀπὸ πολυτίμους λίθους, θὰ ἔλαμπε τόσον, ὅπως τώρα, φωτιζόμενον ἀπὸ τὸν κόσμον τῆς ἐπιεικείας. Διότι τί εἶναι πιὸ ποθητὸν ἀπὸ ἕνα στόμα ποὺ δὲν ξεύρει νὰ ὑβρίζῃ, ἀλλὰ ἔχει μάθει νὰ εὐλογῇ καὶ ὁμιλῇ χρηστά; Ἐὰν δὲ δὲν ἀνέχεσαι νὰ εὐλογῇς ἐκεῖνον ποὺ σὲ καταρᾶται, σιώπα, καὶ αὐτὸ κάμε το εἰς τὴν ἀρχήν. Ἔπειτα βαδίζων εἰς τὴν ὁδὸν καὶ προσέχων ὅπως πρέπει, θὰ φθάσῃς καὶ εἰς ἐκεῖνο καὶ θὰ ἀποκτήσῃς στόμα τέτοιο ποὺ εἴπαμεν.

4. Καὶ μὴ νομίσῃς πὼς εἶναι τολμηρὸν αὐτὸ ποὺ εἶπα. Διότι ὁ Δεσπότης εἶναι φιλάνθρωπος καὶ αὐτὸ θὰ σοῦ δοθῇ σὰν δῶρον τῆς ἀγαθότητός Του. Τολμηρὸν εἶναι νὰ ἔχῃ στόμα ποὺ νὰ ὁμοιάζῃ τὸν διάβολον, νὰ ἔχῃ γλῶσσαν ὁμοίαν πρὸς πονηρὸν δαίμονα, ἰδιαίτερα μάλιστα ἐκεῖνος ὁ ὁποῖος συμμετέχει εἰς τόσον μεγάλα μυστήρια καὶ κοινωνεῖ τὴν ἰδίαν τὴν σάρκα τοῦ Δεσπότου. Ἀναλογιζόμενος λοιπὸν αὐτά, γίνε ὅπως ταιριάζει εἰς Ἐκεῖνον ὅσον ἠμπορεῖς. Ὅταν λοιπὸν γίνῃς τέτοιος, δὲν θὰ ἠμπορέσῃ ὁ διάβολος πλέον νὰ σὲ ἰδῇ κατὰ πρόσωπον. Διότι διακρίνει τὸν χαρακτῆρα τὸν βασιλικόν· γνωρίζει τὰ ὅπλα τοῦ Χριστοῦ, μὲ τὰ ὁποῖα ἡττήθη. Ποῖα δὲ εἶναι αὐτά; Ἡ ἐπιείκεια καὶ ἡ πραότης. Διότι, ὅταν κατὰ τοὺς πειρασμοὺς τὸν ἐξέσχισεν εἰς τὸ ὄρος καὶ τὸν ἐξέπληξε[21], δὲν ἦτο γνωστὸν ὅτι ἦτο Χριστός, ἀλλὰ τὸν ἐδίωξε μὲ τὰ λόγια μόνον, τὸν ἐνίκησε μὲ τὴν ἐπιείκειαν, τὸν κατετρόπωσε μὲ τὴν πραότητα.

Τοῦτο καὶ σὺ ποίησον· ἂν ἴδῃς ἄνθρωπον διάβολον γενόμενον, καὶ προσιόντα σοι, οὕτω καὶ σὺ νίκησον. Ἔδωκέ σοι ὁ Χριστὸς ἐξουσίαν γενέσθαι κατ' αὐτὸν εἰς δύναμιν τὴν σήν. Μὴ φοβηθεὶς τοῦτο ἀκούων. Φόβος ἐστὶ τὸ μὴ γενέσθαι κατ' αὐτόν. Φθέγγου τοίνυν κατ' ἐκεῖνον, καὶ γέγονας κατὰ τοῦτο τοιοῦτος οἷος ἐκεῖνος, ὡς ἄνθρωπον ὄντα ἔνι γενέσθαι. Διὰ τοῦτο μείζων ὁ οὕτω λαλῶν, ἢ ὁ προφητεύων. Τὸ μὲν γὰρ χάρις ὅλον· ἐνταῦθα δὲ καὶ πόνος σὸς καὶ ἱδρώς. Δίδαξον τὴν ψυχὴν διαπλάττειν σοι στόμα στόματι Χριστοῦ ἐοικός. Δύναται γὰρ τοιαῦτα δημιουργεῖν, ἂν ἐθέλῃ· οἶδε τὴν τέχνην, ἂν μὴ ᾖ ῥάθυμος. Καὶ πῶς πλάττεται τοιοῦτον στόμα; φησί· διὰ ποίων χρωμάτων; διὰ ποίας ὕλης; Διὰ χρωμάτων μὲν καὶ ὕλης οὐδεμιᾶς· διὰ δὲ ἀρετῆς μόνης, καὶ ἐπιεικείας, καὶ ταπεινοφροσύνης.

Ἴδωμεν πῶς καὶ στόμα διαβόλου πλάττεται, ἵνα μηδέποτε ἐκεῖνο κατασκευάσωμεν. Πῶς οὖν πλάττεται; Διὰ ἀρῶν, διὰ ὕβρεων, διὰ βασκανίας, δι' ἐπιορκίας. Ὅταν γὰρ τὰ ἐκείνου φθέγγηταί τις, τὴν ἐκείνου γλῶτταν λαμβάνει. Ποίαν οὖν ἕξομεν συγγνώμην, μᾶλλον δὲ ποίαν οὐχ ὑποστησόμεθα τιμωρίαν, ὅταν τὴν γλῶτταν, ᾗ κατηξιώθημεν σαρκὸς γεύσασθαι Δεσποτικῆς, ταύτην περιίδωμεν τὰ τοῦ διαβόλου φθεγγομένην; Μὴ δὴ περιίδωμεν, ἀλλὰ πάσῃ χρησώμεθα σπουδῇ, ὥστε αὐτὴν παιδεῦσαι τὸν Δεσπότην μιμεῖσθαι τὸν ἑαυτῆς. Ἂν γὰρ αὐτὴν παιδεύσωμεν τοῦτο, μετὰ πολλῆς τῆς παρρησίας ἐπὶ τοῦ βήματος ἡμᾶς στήσει τοῦ Χριστοῦ. Ἂν μή τις οὕτως εἰδῇ λαλεῖν, οὐδὲ ἀκούσεται αὐτοῦ ὁ δικαστής. Καθάπερ γάρ, ὅταν Ρωμαῖος ὢν ὁ κριτὴς τύχῃ, οὐκ ἀκούσεται ἀπολογουμένου τοῦ οὐκ εἰδότος οὕτω φθέγγεσθαι· οὕτω

Αὐτὸ κάνε καὶ σύ. Ὅταν ἰδῇς ἄνθρωπον ὁ ὁποῖος ἔγινε διάβολος καὶ σὲ πλησιάζει, ἔτσι νίκησέ τον καὶ σύ. Σοῦ ἔδωσεν ὁ Χριστὸς τὴν δύναμιν νὰ τὸν ὁμοιάσῃς ὅσον ἐξαρτᾶται ἀπὸ σέ. Μὴ φοβηθῇς ἀκούοντας τοῦτο. Φόβος εἶναι νὰ μὴ γίνῃς ὅπως Ἐκεῖνος. Ὁμίλει λοιπὸν ὅπως Ἐκεῖνος καὶ ἔγινες ὡς πρὸς αὐτὸ τέτοιος ποὺ εἶναι Ἐκεῖνος, ὅσον ἠμπορεῖ κανεὶς ἄνθρωπος νὰ γίνῃ. Δι' αὐτὸ εἶναι ἀνώτερος ἐκεῖνος ποὺ ὁμιλεῖ ἔτσι, παρὰ ἐκεῖνος ποὺ προφητεύει. Διότι ἡ μὲν προφητεία ὁλόκληρος εἶναι χάρισμα· ἐνῷ ἐδῶ χρειάζεται καὶ κόπος ἰδικός σου καὶ ἱδρώτας. Δίδαξε τὴν ψυχήν σου νὰ σοῦ διαπλάσσῃ τὸ στόμα ἔτσι ποὺ νὰ ὁμοιάζῃ τὸ στόμα τοῦ Χριστοῦ. Διότι ἠμπορεῖ νὰ δημιουργήσῃ τέτοια, ἐὰν θέλῃ. Γνωρίζει τὸν τρόπον, ἐὰν δὲν εἶναι ράθυμος. Καὶ πῶς διαπλάσσεται τέτοιο στόμα; λέγει· μὲ ποῖα χρώματα; Μὲ ποῖον ὑλικόν; Μὲ κανένα ὑλικὸν βέβαια καὶ χρῶμα, παρὰ μόνον μὲ ἀρετὴν καὶ ἐπιείκειαν καὶ ταπεινοφροσύνην.

Ἂς ἴδωμεν πῶς διαπλάσσεται καὶ τὸ στόμα τοῦ διαβόλου, διὰ νὰ μὴ κατασκευάσωμεν ποτὲ ἐκεῖνο. Πῶς πλάσσεται λοιπόν; Μὲ κατάρας, μὲ ὕβρεις, μὲ βασκανίας, μὲ ἐπιορκίας. Διότι ὅταν κάποιος χρησιμοποιῇ τὰ ἰδικά του λόγια, λαμβάνει τὴν γλῶσσαν του. Ποίαν λοιπὸν συγχώρησιν θὰ ἔχωμεν, ἢ μᾶλλον ποίαν τιμωρίαν δὲν θὰ ὑποστοῦμεν, ὅταν ἐπιτρέπωμεν εἰς τὴν γλῶσσαν, μὲ τὴν ὁποίαν ἠξιώθημεν νὰ γευθοῦμεν τῆς σαρκὸς τοῦ Δεσπότου, νὰ χρησιμοποιῇ λόγια τοῦ διαβόλου; Ἂς μὴ τῆς ἐπιτρέψωμεν λοιπόν, ἀλλὰ ἂς καταβάλωμεν κάθε προσπάθειαν νὰ τὴν ἐκπαιδεύσωμεν νὰ μιμῆται τὸν Δεσπότην τῆς. Διότι ἂν τὴν διδάξωμεν αὐτό, μὲ πολλὴν παρρησίαν θὰ μᾶς τοποθετήσῃ εἰς τὸ βῆμα τοῦ Χριστοῦ. Ἐὰν κανεὶς δὲν γνωρίζῃ νὰ ὁμιλῇ ἔτσι, οὔτε ὁ δικαστὴς θὰ τὸν ἀκούσῃ. Διότι ὅπως, ὅταν συμβῇ νὰ εἶναι Ρωμαῖος ὁ δικαστής, δὲν θὰ ἀκούσῃ ἐκεῖνον ποὺ ἀπολογεῖται καὶ δὲν γνωρίζει νὰ ὁμιλῇ ρωμαϊκά, ἔτσι καὶ ὁ

καὶ ὁ Χριστός, ἂν μὴ κατὰ τὸν αὐτοῦ τρόπον λαλῇς, οὐκ ἀκούσεταί σου, οὐδὲ προσέξει.

Μάθωμεν τοίνυν οὕτω λαλεῖν, ὡς εἴωθεν ἀκούειν ὁ βασιλεὺς ὁ ἡμέτερος· σπουδάσωμεν ἐκείνην μιμεῖσθαι τὴν γλῶτταν. Κἂν εἰς πένθος ἐμπέσῃς, σκόπει ὅπως μὴ διαστρέψῃ σου τὸ στόμα τῆς ἀθυμίας ἡ τυραννίς, ἀλλὰ λαλήσῃς ὥσπερ ὁ Χριστός. Ἐπένθησε γὰρ καὶ αὐτὸς τὸν Λάζαρον καὶ τὸν Ἰούδαν. Ἂν εἰς φόβον ἐμπέσῃς, ζήτησον οὕτω λαλῆσαι πάλιν ὡς αὐτός. Ἐνέπεσε γὰρ καὶ αὐτὸς εἰς φόβον διὰ σὲ κατὰ τὸν τῆς οἰκονομίας λόγον. Εἰπὲ καὶ σύ· «Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ». Κἂν κλαίῃς, δάκρυσον ἠρέμα ὡς αὐτός. Κἂν εἰς ἐπιβουλὰς ἐμπέσῃς καὶ λύπην, καὶ ταῦτα ὡς ὁ Χριστὸς διατίθει. Καὶ γὰρ καὶ ἐπιβουλεύθη καὶ ἐλυπήθη, καὶ λέγει· «Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου». Καὶ πάντα σοι τὰ ὑποδείγματα παρέσχεν, ἵνα αὐτὰ διαφυλάττῃς τὰ μέτρα, καὶ τοὺς δοθέντας σοι μὴ διαφθείρῃς κανόνας. Οὕτω δυνήσῃ στόμα ἔχειν ἐοικὸς ἐκείνου τῷ στόματι· οὕτως ἐπὶ γῆς βαδίζων, τοῦ ἄνω καθημένου γλῶτταν ἡμῖν ἐπιδείξεις ὁμοίαν, τὰ μέτρα τὰ ἐν ἀθυμίᾳ, τὰ ἐν ὀργῇ, τὰ ἐν πένθει, τὰ ἐν ἀγωνίᾳ διατηρῶν. Πόσοι ὑμῶν εἰσιν οἱ ἐπιθυμοῦντες αὐτοῦ τὴν μορφὴν ἰδεῖν;

Ἰδοὺ οὐκ ἰδεῖν μόνον, ἀλλὰ καὶ γενέσθαι κατ' αὐτὸν δυνατόν, ἂν σπουδάζωμεν. Μὴ ἀναβαλλώμεθα τοίνυν. Οὐχ οὕτως ἀσπάζεται προφητῶν στόμα, ὡς ἐπιεικῶν καὶ πράων ἀνθρώπων. «Πολλοὶ γὰρ ἐροῦσί μοι», φησίν, «Οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; Καὶ ἐρῶ αὐτοῖς· Οὐκ οἶδα ὑμᾶς». Τὸ δὲ τοῦ Μωϋσέως, ἐπειδὴ σφόδρα ἐπιεικὴς ἦν καὶ πρᾶος, («Ὁ γὰρ Μωϋσῆς», φησίν, «ἄνθρωπος πραότατος παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ἐπὶ τῆς γῆς»)· οὕτως ἠσπάζετο καὶ

---

22. Ἰω. 11, 33-35.
23. Λουκᾶ 22, 42.
24. Ματθ. 26, 38.
25. Ματθ. 7, 22.

Χριστός, ἂν δὲν ὁμιλῇς μὲ τὸν ἰδικόν του τρόπον, δὲν θὰ σὲ ἀκούσῃ, οὔτε θὰ σὲ προσέξῃ.

Ἂς μάθωμεν λοιπὸν νὰ ὁμιλοῦμεν ἔτσι, ὅπως συνήθισε νὰ ἀκούῃ ὁ βασιλεὺς ὁ ἰδικός μας· ἂς προσπαθήσωμεν νὰ μιμούμεθα τὴν γλῶσσαν ἐκείνην. Καὶ ἂν εὑρεθῇς εἰς πένθος, πρόσεχε νὰ μὴ σοῦ διαστρεβλώσῃ τὸ στόμα ἡ μεγάλη λύπη, ἀλλὰ νὰ ὁμιλήσῃς ὅπως ὁ Χριστός. Διότι ἐπένθησε καὶ Αὐτὸς τὸν Λάζαρον[22] καὶ τὸν Ἰούδαν. Ἂν εὑρεθῇς εἰς φόβον, φρόντισε πάλιν νὰ ὁμιλήσῃς ὅπως Ἐκεῖνος. Διότι εὑρέθη καὶ Αὐτὸς εἰς φόβον διὰ σὲ κατ' οἰκονομίαν. Εἰπὲ καὶ σύ· «Πλὴν ἂς μὴ γίνῃ τὸ θέλημά μου ἀλλὰ τὸ ἰδικόν σου»[23]. Καὶ ὅταν κλαῖς, δάκρυσε ἤρεμα ὅπως Ἐκεῖνος. Καὶ ὅταν εὑρεθῇς εἰς σκευωρίας καὶ λύπην, καὶ αὐτὰ ἀντιμετώπισέ τα ὅπως ὁ Χριστός. Διότι καὶ μηχανορραφίας ἀντεμετώπισε καὶ ἐλυπήθη, ἀλλὰ εἶπε· «Ἡ ψυχή μου εἶναι λυπημένη μέχρι θανάτου»[24]. Καὶ σοῦ παρέσχεν ὅλα τὰ ὑποδείγματα, διὰ νὰ τηρῇς αὐτὰ ὡς μέτρον καὶ νὰ μὴ καταστρατηγῇς τοὺς κανόνας ποὺ σοῦ ἔχουν δοθῇ. Ἔτσι θὰ ἠμπορέσῃς νὰ ἔχῃς στόμα, ὅμοιον μὲ τὸ στόμα Ἐκείνου. Ἔτσι, ἐνῷ θὰ βαδίζῃς ἐπάνω εἰς τὴν γῆν, θὰ ἐπιδεικνύῃς εἰς ἡμᾶς γλῶσσαν ὁμοίαν πρὸς τὴν γλῶσσαν Ἐκείνου ποὺ κάθεται εἰς τὸν οὐρανόν, διατηρῶν τὸ μέτρον εἰς τὴν λύπην, εἰς τὴν ὀργήν, εἰς τὸ πένθος, εἰς τὴν ἀγωνίαν. Πόσοι ἀπὸ σᾶς εἶναι ἐκεῖνοι ποὺ ἐπιθυμοῦν νὰ ἰδοῦν τὴν μορφήν Του;

Νὰ λοιπόν, ὅτι εἶναι δυνατὸν ὄχι μόνον νὰ τὸν ἰδοῦμεν, ἀλλὰ καὶ νὰ γίνωμεν ὡσὰν Αὐτόν, ἐὰν προσπαθήσωμεν. Ἂς μὴν ἀναβάλλωμεν λοιπόν. Διότι δὲν ἀγαπᾷ τόσον τὸ στόμα τῶν προφητῶν, ὅσον ἐκεῖνο τῶν ἐπιεικῶν καὶ πράων ἀνθρώπων. «Πολλοί», λέγει, «θὰ μοῦ εἰποῦν, δὲν ἐπροφητεύσαμεν εἰς τὸ ὄνομά Σου; Καὶ ἐγὼ θὰ τοὺς εἰπῶ· δὲν σᾶς γνωρίζω»[25]. Τὸ δὲ στόμα τοῦ Μωυσέως, ἐπειδὴ ἦτο πολὺ ἐπιεικὴς καὶ πρᾶος (διότι «ὁ Μωυσῆς, λέγει, ἦτο ἄνθρωπος πρᾶος περισσότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς

ἐφίλει, ὡς εἰπεῖν «Ἐνώπιος ἐνωπίῳ, στόμα κατὰ στόμα ἐλάλει, ὡσανεὶ φίλος πρὸς τὸν ἑαυτοῦ φίλον». Οὐκ ἐπιτάξεις δαίμοσι νῦν, ἀλλ' ἐπιτάξεις τότε τῷ τῆς γεέννης πυρί, ἐὰν ἔχῃς τῷ στόματι τοῦ Χριστοῦ τὸ στόμα σου ἐοικός. Ἐπιτάξεις τῇ ἀβύσσῳ τοῦ πυρός, καὶ ἐρεῖς, «Σιώπα, πεφίμωσο»· καὶ μετὰ πολλῆς τῆς παρρησίας τῶν οὐρανῶν ἐπιβήσῃ, καὶ ἀπολαύσεις τῆς βασιλείας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀριθμ. 12, 3.
Ἐξ. 33, 11 καὶ Ἀριθμ. 12, 8.
Μάρκ. 4, 39.

γῆς»[26]), τόσον πολὺ τὸ ἐποθοῦσε καὶ τὸ ἠγάπα, ὥστε νὰ εἰπῇ· «ὡμιλοῦσε ἀπὸ πολὺ κοντά, στόμα μὲ στόμα, ὅπως ὁμιλεῖ ἕνας φίλος πρὸς τὸν φίλον του»[27]. Δὲν θὰ διατάσσῃς τοὺς δαίμονας τώρα, ἀλλὰ θὰ διατάσσῃς τότε τὸ πῦρ τῆς γεέννης, ἐὰν ἔχῃς τὸ στόμα σου ὅμοιον πρὸς τὸ στόμα τοῦ Χριστοῦ. Θὰ διατάσσῃς τὴν ἄβυσσον τοῦ πυρὸς καὶ θὰ λέγῃς· «Σιώπα φιμώσου»[28], καὶ μὲ πολλὴν παρρησίαν θὰ ἀναβῇς εἰς τοὺς οὐρανοὺς καὶ θὰ ἀπολαύσῃς τὴν βασιλείαν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἐμεῖς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει, μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα, ἡ δόξα, ἡ δύναμις, ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΘ΄.

Ματθ. 25, 31 - 26, 5

«Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει», φησίν, «ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ διαιρήσει τὰ πρόϐατα ἀπὸ τῶν ἐρίφων· καὶ τοὺς μὲν ἀποδέξεται, ὅτι πεινῶντα αὐτὸν ἔθρεψαν, καὶ διψῶντα ἐπότισαν, καὶ ξένον ὄντα συνήγαγον, καὶ γυμνὸν ὄντα περιέϐαλον, καὶ ἀσθενοῦντα ἐπεσκέψαντο, καὶ ἐν φυλακῇ ὄντα εἶδον· καὶ δώσει τὴν ϐασιλείαν αὐτοῖς. Τοὺς δὲ ἐπὶ τοῖς ἐναντίοις διαϐάλλων, πέμψει εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαϐόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ».

1. Τῆς περικοπῆς ταύτης τῆς ἡδίστης, ἣν συνεχῶς στρέφοντες οὐ διαλιμπάνομεν, ἀκούσωμεν νῦν μετὰ σπουδῆς καὶ κατανύξεως πάσης, εἰς ἣν καὶ ἐσχάτην ὁ λόγος ἐτελεύτησεν· εἰκότως. Καὶ γὰρ πολὺς αὐτῷ φιλανθρωπίας καὶ ἐλεημοσύνης ὁ λόγος. Διὸ καὶ ἐν τοῖς ἔμπροσθεν ὑπὲρ ταύτης διελέχθη διαφόρως, καὶ ἐνταῦθα λοιπὸν σαφέστερόν πως καὶ εὐτονώτερον, οὐ δύο πρόσωπα καὶ τρία, οὐδὲ πέντε τιθείς, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν· εἰ καὶ τὰ μάλιστα καὶ αἱ πρότεραι, αἱ διὰ τῶν δύο προσώπων, οὐ δύο πρόσωπα ἐδήλουν, ἀλλὰ μέρη δύο, τὸ μὲν παρακουόντων, τὸ δὲ ὑπακουόντων.

Ἀλλ᾽ ἐνταῦθα καὶ φρικωδέστερον μεταχειρίζει τὸν λόγον, καὶ τηλαυγέστερον. Διόπερ οὐδὲ λέγει, «Ὡμοιώθη ἡ ϐασιλεία», λοιπόν, ἀλλ᾽ ἐκκεκαλυμμένως ἑαυτὸν δείκνυσι, λέγων· «Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐ-

ΟΜΙΛΙΑ ΟΘ΄.

Ματθ. 25, 31 - 26, 5

«Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου μὲ ὅλην τὴν δόξαν τοῦ Πατρός του καὶ ὅλοι οἱ ἄγγελοι μαζί Του, τότε θὰ καθίσῃ εἰς τὸν θρόνον τῆς δόξης του καὶ θὰ χωρίσῃ τὰ πρόβατα ἀπὸ τὰ ἐρίφια καὶ τοὺς μὲν πρώτους θὰ τοὺς ἐπιδοκιμάσῃ, διότι ὅταν ἐπεινοῦσε τὸν ἔθρεψαν, ὅταν ἐδιψοῦσε τὸν ἐπότισαν, ὅταν ἦτο ξένος τὸν περιεμάζεψαν, ὅταν ἦτο γυμνὸς τὸν ἐνέδυσαν, ὅταν ἦτο ἀσθενὴς τὸν ἐπεσκέφθησαν καὶ ὅταν εὑρίσκετο εἰς τὴν φυλακὴν ἐπῆγαν καὶ τὸν εἶδαν, καὶ θὰ δώσῃ τὴν βασιλείαν Του εἰς αὐτούς. Τοὺς ἄλλους δὲ οἱ ὁποῖοι ἔκαναν τὰ ἀντίθετα, θὰ τοὺς ἀποδοκιμάσῃ καὶ θὰ τοὺς στείλῃ εἰς τὸ αἰώνιον πῦρ, ποὺ εἶναι ἑτοιμασμένον διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του».

1. Τὴν περικοπὴν αὐτὴν τὴν τόσον εὐχάριστον, εἰς τὴν ὁποίαν δὲν παραλείπομεν διαρκῶς νὰ ἐπανερχώμεθα, καὶ μὲ τὴν ὁποίαν, ὡς τελευταίαν, περαίνεται πολὺ ὀρθῶς ὁ λόγος, ἂς τὴν ἀκούσωμεν μὲ κάθε προσοχὴν καὶ κατάνυξιν. Διότι εἰς αὐτὴν γίνεται πολὺς λόγος περὶ φιλανθρωπίας καὶ ἐλεημοσύνης. Δι' αὐτὸ καὶ εἰς τὰ προηγούμενα ὡμίλησε περὶ αὐτῆς κατὰ διαφόρους τρόπους, καὶ ἐδῶ κάπως σαφέστερα καὶ ἐντονώτερα, ἀναφέρων ὄχι δύο ἢ τρία πρόσωπα μόνον, ἀλλὰ ὁλόκληρον τὴν οἰκουμένην· μολονότι εἰς τὴν πραγματικότητα καὶ αἱ προηγούμεναι περικοπαί, αἱ ὁποῖαι ἀνέφεραν δύο πρόσωπα, δὲν ἐννοοῦσαν δύο πρόσωπα, ἀλλὰ δύο κατηγορίας ἀνθρώπων, ἐκ τῶν ὁποίων ἡ μία παρήκουεν, ἡ δὲ ἄλλη ὑπήκουεν.

Ἐδῶ ὅμως χρησιμοποιεῖ τὸν λόγον πιὸ φρικώδη καὶ διαυγῆ. Δι' αὐτὸ καὶ δὲν λέγει· «ἡ Βασιλεία ὁμοιάζει», ἀλλὰ φανερὰ δείχνει τὸν ἑαυτόν Του λέγων· «ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ». Διότι τώρα ἦλθε

τοῦ». Νῦν γὰρ ἐν ἀτιμίᾳ παραγέγονε, νῦν ἐν ὕβρεσι καὶ ὀνείδεσι· τότε δὲ καθεδεῖται ἐπὶ θρόνου δόξης αὐτοῦ. Καὶ συνεχῶς μνημονεύει δόξης. Ἐπειδὴ γὰρ ὁ σταυρὸς ἐγγὺς ἦν, πρᾶγμα δοκοῦν ἐπονείδιστον εἶναι, διὰ τοῦτο ἐπαίρει τὸν ἀκροατήν, καὶ ὑπ' ὄψιν αὐτῷ τὸ δικαστήριον ἄγει, καὶ τὴν οἰκουμένην περιίστησιν ἅπασαν. Καὶ οὐ ταύτῃ μόνον φοβερὸν ποιεῖ τὸν λόγον, ἀλλὰ καὶ τῷ δεικνύναι τοὺς οὐρανοὺς κενουμένους. Πάντες γὰρ οἱ ἄγγελοι παρέσονται μετ' αὐτοῦ, φησί, καὶ αὐτοὶ μαρτυροῦντες ὅσα διηκονήσαντο πεμπόμενοι παρὰ τοῦ Δεσπότου πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν.

Καὶ πανταχόθεν φρικώδης ἡ ἡμέρα τότε ἐκείνη. Εἶτα «Συναχθήσεται», φησί, «πάντα τὰ ἔθνη», τουτέστι, πᾶσα ἡ τῶν ἀνθρώπων φύσις. «Καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν τὰ πρόβατα». Νῦν μὲν γὰρ οὐκ εἰσὶν ἀφωρισμένοι, ἀλλὰ ἀναμὶξ ἅπαντες· ἡ δὲ διαίρεσις τότε ἔσται μετὰ ἀκριβείας ἁπάσης. Καὶ τέως ἀπὸ τῆς στάσεως αὐτοὺς διαιρεῖ καὶ ποιεῖ δήλους· εἶτα καὶ ἀπὸ τῶν ὀνομάτων τὸν ἑκάστου τρόπον ἐνδείκνυται, τοὺς μὲν ἐρίφια καλῶν, τοὺς δὲ πρόβατα, ἵνα τῶν μὲν τὸ ἄκαρπον δείξῃ· οὐδεὶς γὰρ ἀπὸ ἐρίφων καρπὸς γένοιτ' ἄν· τῶν δὲ τὴν πολλὴν πρόσοδον· καὶ γὰρ πολλὴ τῶν προβάτων ἡ πρόσοδος, ἀπό τε ἐρίου, ἀπό τε γάλακτος, ἀπό τε τῶν τικτομένων, ὧν ἁπάντων ἔρημον ἔριφος. Ἀλλὰ τὰ μὲν ἄλογα ἀπὸ φύσεως ἔχει τὸ ἄκαρπον καὶ τὸ ἔγκαρπον· ἐκεῖνοι δὲ ἀπὸ προαιρέσεως· διὸ καὶ κολάζονται ἐκεῖνοι, καὶ στεφανοῦνται οὗτοι.

Καὶ οὐ πρότερον αὐτοὺς κολάζει, ἕως ἂν δικάσηται πρὸς αὐτούς· διὸ καὶ στήσας αὐτούς, λέγει τὰ ἐγκλήματα. Οἱ δὲ μετὰ ἐπιεικείας φθέγγονται, ἀλλ' οὐδὲν αὐτοῖς ὄφελος λοιπόν· καὶ μάλα εἰκότως, ὅτι πρᾶγμα οὕτω περισπούδασον παρέ-

περιφρονημένος, ἦλθε μέσα εἰς ὕβρεις καὶ προσβολάς. Τότε ὅμως θὰ κάθεται εἰς τὸν ἔνδοξον θρόνον Του. Καὶ μάλιστα τονίζει ἰδιαιτέρως τὴν δόξαν. Διότι, ἐπειδὴ ἦτο κοντὰ ἡ σταύρωσις, ἡ ὁποία ἐθεωρεῖτο ἀτιμωτική, δι' αὐτὸ ἀνυψώνει τὸν ἀκροατὴν καὶ θέτει ὑπ' ὄψιν του τὸ δικαστήριον καὶ παρουσιάζει γύρω ἀπὸ αὐτὸ ὁλόκληρον τὴν οἰκουμένην. Καὶ δὲν κάμνει τὸν λόγον τρομερὸν μόνον μὲ τὸν τρόπον αὐτόν, ἀλλὰ καὶ μὲ τὸ νὰ παρουσιάζῃ τοὺς οὐρανοὺς νὰ ἀδειάζουν. Διότι ὅλοι οἱ ἄγγελοι θὰ παρευρίσκωνται μαζί του, λέγει, καὶ θὰ μαρτυροῦν ὅσα ἔκαναν, ὅταν ἐστέλλοντο ἀπὸ τὸν Δεσπότην διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων.

Ἀλλὰ καὶ ἀπὸ παντοῦ θὰ εἶναι φρικτὴ ἡ ἡμέρα ἐκείνη. Ἔπειτα «θὰ συναχθοῦν», λέγει, «ὅλα τὰ ἔθνη», δηλαδὴ ὁλόκληρον τὸ ἀνθρώπινον γένος, «καὶ θὰ διαχωρίσῃ τοὺς μὲν ἀπὸ τοὺς δέ, ὅπως ὁ βοσκὸς τὰ πρόβατα». Διότι τώρα δὲν εἶναι χωρισμένοι, ἀλλὰ ἀνακατεμένοι ὅλοι. Ὁ χωρισμὸς θὰ γίνῃ τότε μὲ κάθε ἀκρίβειαν. Καὶ εἰς τὴν ἀρχὴν τοὺς διαιρεῖ καὶ τοὺς φανερώνει ἀπὸ τὸν τόπον εἰς τὸν ὁποῖον τοὺς τοποθετεῖ· ἔπειτα ὅμως καὶ ἀπὸ τὰ ὀνόματα ποὺ τοὺς δίνει δείχνει τὴν διαγωγὴν τοῦ καθενός, ὀνομάζων τοὺς μὲν ἐρίφια, τοὺς δὲ πρόβατα, διὰ νὰ φανερώσῃ τὴν ἀκαρπίαν τῶν μέν, διότι κανένας καρπὸς δὲν θὰ ἠμποροῦσε νὰ γίνῃ ἀπὸ τὰ ἐρίφια, καὶ τὴν μεγάλην καρποφορίαν τῶν ἄλλων, διότι τὰ ἔσοδα τῶν προβάτων εἶναι πολλὰ καὶ ἀπὸ τὸ ἔριον καὶ ἀπὸ τὸ γάλα καὶ ἀπὸ αὐτὰ ποὺ γεννοῦν, ἀπὸ τὰ ὁποῖα τὰ ἐρίφια δὲν προσφέρουν τίποτε. Ἀλλὰ τὰ μὲν ἄλογα ζῷα ἀπὸ τὴν φύσιν τους ἔχουν τὴν ἀκαρπίαν ἢ τὴν καρποφορίαν, ἐνῷ ἐκεῖνοι κατ' ἐλευθέραν ἐκλογήν. Δι' αὐτὸ καὶ ἐκεῖνοι μὲν τιμωροῦνται, αὐτοὶ δὲ βραβεύονται.

Καὶ δὲν τοὺς τιμωρεῖ ἀπὸ τὴν ἀρχήν, μέχρις ὅτου τοὺς δικάσῃ. Δι' αὐτὸ ἀφοῦ τοὺς τοποθετήσῃ εἰς τὴν θέσιν των, ἀπαγγέλλει τὰ ἁμαρτήματά των. Ἐκεῖνοι βεβαίως ἀπολογοῦνται μὲ καλωσύνην, ἀλλὰ αὐτὸ σὲ τίποτε δὲν τοὺς ὠφελεῖ, καὶ πολὺ ὀρθῶς. Διότι παρέλειψαν τόσον σημαντι-

δραμον. Καὶ γὰρ καὶ οἱ προφῆται ἄνω καὶ κάτω τοῦτο ἔλεγον, ὅτι «Ἔλεον θέλω, καὶ οὐ θυσίαν»· καὶ ὁ νομοθέτης, διὰ πάντων εἰς τοῦτο ἐνῆγε, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων· καὶ αὐτὴ ἡ φύσις τοῦτο ἐπαίδευσε.

Σκόπει δὲ αὐτοὺς οὐχ ἑνὸς καὶ δύο μόνον, ἀλλὰ πάντων ἐρήμους ὄντας. Οὐ γὰρ δὴ μόνον πεινῶντα οὐκ ἔθρεψαν, οὐδὲ γυμνὸν οὐ περιέβαλον· ἀλλ' οὐδὲ ὃ κουφότερον ἦν, οὐδὲ ἄρρωστον ἐπεσκέψαντο. Καὶ σκόπει πῶς κοῦφα ἐπιτάττει. Οὐκ εἶπεν, Ἐν φυλακῇ ἤμην, καὶ ἀπηλλάξατέ με· ἄρρωστος ἤμην, καὶ ἀνεστήσατέ με· ἀλλ', «Ἐπεσκέψασθέ με», καί, «Ἤλθετε πρός με». Καὶ οὐδὲ ἐν τῷ πεινῆν ἐπαχθὲς τὸ κελευόμενον. Οὐδὲ γὰρ πολυτελῆ ἐζήτει τράπεζαν, ἀλλὰ τὴν χρείαν μόνον, καὶ τὴν ἀναγκαίαν τροφήν, καὶ ἐζήτει ἐν ἱκέτου σχήματι. Ὥστε πάντα αὐτοὺς ἱκανὰ κολάσαι· τὸ εὔκολον τῆς αἰτήσεως, ἄρτος γὰρ ἦν· τὸ ἐλεεινὸν τοῦ αἰτοῦντος, πτωχὸς γὰρ ἦν· τὸ συμπαθὲς τῆς φύσεως, ἄνθρωπος γὰρ ἦν· τὸ ποθεινὸν τῆς ἐπαγγελίας, βασιλείαν γὰρ ἐπηγγείλατο· τὸ φοβερὸν τῆς κολάσεως, γέενναν γὰρ ἠπείλησε· τὸ ἀξίωμα τοῦ λαμβάνοντος, Θεὸς γὰρ ἦν ὁ διὰ τῶν πτωχῶν λαμβάνων· τὸ ὑπερβάλλον τῆς τιμῆς, ὅτι τοσοῦτον καταβῆναι κατηξίωσε· τὸ δίκαιον τῆς παροχῆς, ἀπὸ γὰρ τῶν ἑαυτοῦ ἐλάμβανεν.

Ἀλλὰ πρὸς ἅπαντα ταῦτα ἡ φιλαργυρία καθάπαξ ἐπήρωσε τοὺς ἁλόντας, καὶ ταῦτα τοσαύτης ἀπειλῆς κειμένης. Καὶ γὰρ καὶ ἀνωτέρω φησί, τοὺς οὐ δεχομένους τοὺς τοιούτους τῶν Σοδόμων χαλεπώτερα πείσεσθαι· καὶ ἐνταῦθά φησιν· «Ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τῶν ἐλαχίστων τούτων τῶν ἀδελφῶν μου, οὐδὲ ἐμοὶ ἐποιήσατε». Τί λέγεις; ἀδελφοί σού εἰσι· καὶ πῶς ἐλαχίστους καλεῖς; Διὰ γὰρ τοῦτο, ἀδελφοί, ἐπειδὴ ταπεινοί, ἐπειδὴ πτωχοί, ἐπειδὴ ἀπερριμμένοι. Τοὺς γὰρ τοιούτους μάλιστα εἰς ἀδελφότητα καλεῖ,

1. Ὠσηὲ 6, 6.
2. Ματθ. 10, 15.

κὸν πρᾶγμα. Διότι καὶ οἱ προφῆται ἐπάνω καὶ κάτω τὸ ἐκήρυτταν, ὅτι «ἔλεον θέλω καὶ οὐ θυσίαν»[1], καὶ ὁ νομοθέτης μὲ ὅλα εἰς αὐτὸ προέτρεπε, καὶ μὲ τὰ λόγια καὶ μὲ τὰ ἔργα, καὶ ἡ ἰδία ἡ φύσις αὐτὸ ἐδίδασκεν.

Πρόσεξε δὲ ὅτι αὐτοὶ δὲν στεροῦνται μόνον ἕνα καὶ δύο, ἀλλὰ ὅλα. Διότι ὄχι μόνον δὲν τὸν ἔθρεψαν ὅταν ἐπεινοῦσεν, οὔτε τὸν ἐνέδυσαν ὅταν ἦτο γυμνός, ἀλλὰ οὔτε τὸν ἐπεσκέφθησαν ὅταν ἦτο ἄρρωστος, πρᾶγμα ποὺ ἦτο εὐκολώτερον. Καὶ παρατήρησε πόσον εὔκολα πράγματα ἐντέλλεται. Δὲν εἶπεν ἤμουν εἰς τὴν φυλακὴν καὶ μὲ ἀπελευθερώσατε, ἤμουν ἄρρωστος καὶ μὲ ἐθεραπεύσατε· ἀλλὰ «ἐπισκέψασθέ με» καὶ «ἤλθετε πρός με». Ἐπίσης, οὔτε ὅταν ἐπεινοῦσεν εἶχε μεγάλας ἀπαιτήσεις. Διότι δὲν ἐζητοῦσε πολυτελῆ τράπεζαν, ἀλλὰ μόνον τὴν ἀπαραίτητον καὶ ἀναγκαίαν τροφήν, καὶ τὴν ἐζητοῦσε μὲ τὴν μορφὴν τοῦ ἱκέτου. Ὥστε ὅλα εἶναι ἀρκετὰ διὰ νὰ τοὺς καταδικάσουν· τὸ ἁπλοῦν αἴτημα, διότι ἦτο ἄρτος· ἡ ἀξιολύπητος ἐμφάνισις ἐκείνου ποὺ ἐζητοῦσε, διότι ἦτο πτωχός· ἡ συμπάθεια τῆς φύσεώς του, διότι ἦτο ἄνθρωπος· ἡ περιπόθητος ὑπόσχεσις, διότι ὑπεσχέθη βασιλείαν· ἡ φοβερὰ τιμωρία, διτι ἠπείλησε μὲ γέενναν τοῦ πυρός· τὸ ἀξίωμα αὐτοῦ ποὺ τὸ ἔπαιρνε, διότι ἦτο Θεὸς ἐκεῖνος ποὺ τὸ ἔπαιρνε διὰ τοὺς πτωχούς· ἡ μεγάλη τιμή, διότι κατεδέχθη νὰ ταπεινωθῇ τόσον πολύ· τὸ δίκαιον τῆς χορηγήσεως, διότι ἀπὸ τὰ ἰδικά Του ἔπαιρνε.

Ἀλλὰ πρὸς ὅλα αὐτὰ ἡ φιλαργυρία ἐτύφλωσε καθ' ὁλοκληρίαν ἐκείνους ποὺ τοὺς ἐκυρίευσε καὶ αὐτὸ ἐνῷ ὑπῆρχε τόση ἀπειλή. Διότι καὶ πιὸ ἐπάνω λέγει, ὅτι ὅσοι δὲν δέχονται τοὺς πτωχοὺς θὰ ὑποστοῦν χειρότερα ἀπὸ τὰ Σόδομα[2], καὶ ἐδῶ λέγει· «Ἐφ' ὅσον δὲν τὰ ἐκάνατε εἰς ἕναν ἀπὸ αὐτοὺς τοὺς ἀσημάντους ἀδελφούς μου, οὔτε εἰς ἐμένα δὲν τὰ ἐκάνατε». Τί λέγεις; εἶναι ἀδελφοί σου· πῶς λοιπὸν τοὺς ἀποκαλεῖς ἐλαχίστους; Διότι ἀκριβῶς δι' αὐτὸ εἶναι ἀδελφοί, ἐπειδὴ εἶναι ταπεινοί, ἐπειδὴ εἶναι πτωχοί, ἐπειδὴ εἶναι περιφρονημένοι. Διότι αὐτοὺς κατ' ἐξοχὴν

τοὺς ἀγνῶτας, τοὺς εὐκαταφρονήτους· οὐχὶ τοὺς μοναχοὺς λέγων τούτους μόνον, καὶ τοὺς τὰ ὄρη κατειληφότας, ἀλλ' ἕκαστον πιστόν· κἂν βιωτικὸς ᾖ, πεινῶν δὲ ᾖ καὶ λιμώττων, καὶ γυμνός, καὶ ξένος, πάσης αὐτὸν τῆς ἐπιμελείας ταύτης ἀπολαύειν βούλεται. Ἀδελφὸν γὰρ τὸ βάπτισμα ἐργάζεται, καὶ ἡ τῶν θείων μυστηρίων κοινωνία.

2. Εἶτα ἵνα καὶ ἑτέρωθεν ἴδῃς τὸ δίκαιον τῆς ἀποφάσεως, πρότερον ἐκείνους ἐπαινεῖ τοὺς κατωρθωκότας, καί φησι· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν»· καὶ τὰ ἑξῆς ἅπαντα. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι Οὐκ εἴχομεν, ἀπὸ τῶν συνδούλων αὐτοὺς καταδικάζει· ὥσπερ τὰς παρθένους ἀπὸ τῶν παρθένων, καὶ τὸν δοῦλον τὸν μεθύοντα καὶ γαστριζόμενον ἀπὸ τοῦ πιστοῦ δούλου, καὶ τὸν τὸ τάλαντον καταχώσαντα ἀπὸ τῶν τὰ δύο προσενεγκάντων, καὶ ἕκαστον τῶν διαμαρτανόντων ἀπὸ τῶν κατωρθωκότων. Καὶ αὕτη ποτὲ μὲν ἐξ ἴσου ἡ σύγκρισις γίνεται, ὡς ἐνταῦθα καὶ ἐπὶ τῶν παρθένων· ποτὲ δὲ ἐκ τοῦ πλεονάζοντος, ὡς ὅταν λέγῃ, «Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην, ὅτι ἐπίστευσαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε· καί, Βασίλισσα νότου κατακρινεῖ τὴν γενεὰν ταύτην, ὅτι ἦλθεν ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε»· καὶ ἀπὸ τοῦ ἰσάζοντος δὲ πάλιν, ὅτι «Αὐτοὶ κριταὶ ὑμῶν ἔσονται»· καὶ πάλιν ἀπὸ τοῦ πλεονάζοντος· «Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; μήτιγε βιωτικά;».

Καὶ ἐνταῦθα μέντοι ἀπὸ τοῦ ἰσάζοντος· καὶ γὰρ πλουσίους πλουσίοις, καὶ πένητας πένησι παραβάλλει. Οὐ ταύτῃ δὲ μόνον δείκνυσι τὴν ψῆφον δικαίως ἐκφερομένην, τῷ τοὺς

3. Ματθ. 12, 41. 4. Ματθ. 12, 42.
5. Ματθ. 12, 27. 6. Α' Κορ. 6, 3.

καλεῖ νὰ κάμῃ ἀδελφούς, τοὺς ἀφανεῖς, τοὺς περιφρονημένους. Δὲν ἐννοεῖ μόνον τοὺς μοναχοὺς καὶ ἐκείνους ποὺ κατέφυγαν εἰς τὰ ὄρη, ἀλλὰ κάθε πιστόν. Καὶ ἂν εἶναι κοσμικός, ἀλλὰ εἶναι πεινασμένος καὶ λιμοκτονεῖ, καὶ γυμνὸς καὶ ξένος, θέλει νὰ ἀπολαύσῃ καὶ αὐτὸς κάθε φροντίδα. Διότι τὸν κάμνει ἀδελφὸν τὸ βάπτισμα καὶ ἡ συμμετοχὴ εἰς τὰ θεῖα μυστήρια.

2. Ἔπειτα, διὰ νὰ ἴδῃς καὶ ἀπὸ ἄλλην πλευρὰν ὅτι ἡ ἀπόφασις εἶναι δικαία, ἐπαινεῖ κατ' ἀρχὴν τοὺς δικαίους καὶ λέγει· «Ἐλᾶτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν βασιλείαν, ἡ ὁποία εἶναι ἑτοιμασμένῃ δι' ἐσᾶς ἀπὸ τὸν καιρὸν τῆς δημιουργίας, διότι ὅταν ἐπείνασα μοῦ ἐδώσατε νὰ φάγω», καὶ ὅλα τὰ παρακάτω. Διότι, διὰ νὰ μὴ ἰσχυρίζωνται οἱ ἁμαρτωλοὶ ὅτι «δὲν εἴχαμεν», τοὺς καταδικάζει μὲ τοὺς συνανθρώπους των. Ὅπως κατεδίκασε τὰς παρθένους μὲ τὰς ἄλλας παρθένους καὶ τὸν δοῦλον ὁ ὁποῖος ἐμέθυε καὶ ἔτρωγεν ὑπερβολικά, μὲ τὸν πιστὸν δοῦλον, καὶ ἐκεῖνον ποὺ καταχώνιασε τὸ τάλαντον, μὲ τοὺς ἄλλους ποὺ ἀπέδωσαν τὰ διπλᾶ, καταδικάζει καὶ καθένα ἀπὸ τοὺς ἁμαρτωλοὺς μὲ τοὺς δικαίους. Καὶ αὐτὴ ἡ σύγκρισις ἄλλοτε μὲν γίνεται μὲ ἴσα κριτήρια, ὅπως ἐδῶ καὶ εἰς τὰς παρθένους, ἄλλοτε δὲ καὶ μὲ περισσότερα, ὅπως ὅταν λέγῃ· «Θὰ σηκωθοῦν οἱ Νινευῖται καὶ θὰ κρίνουν τὴν γενεὰν αὐτήν, διότι ἐπίστευσαν εἰς τὸ κήρυγμα τοῦ Ἰωνᾶ· ἐνῷ ἐδῶ πρόκειται διὰ κάτι μεγαλύτερον ἀπὸ τὸν Ἰωνᾶν»[3], καὶ «Ἡ βασίλισσα τοῦ νότου θὰ κρίνῃ τὴν γενεὰν αὐτήν, διότι ἦλθε νὰ ἀκούσῃ τὴν σοφίαν Σολομῶντος, ἐνῷ ἐδῶ πρόκειται διὰ κάτι πολὺ μεγαλύτερον ἀπὸ τὸν Σολομῶντα»[4]. Καὶ διὰ τὰ ἴσα κριτήρια πάλιν λέγει, ὅτι «αὐτοὶ θὰ γίνουν κριταί σας»[5], ἐνῷ διὰ τὰ περισσότερα· «δὲν γνωρίζετε ὅτι θὰ κρίνωμεν ἀγγέλους; Πόσον μᾶλλον κοσμικὰς ὑποθέσεις»[6].

Καὶ ἐδῶ μὲν τοὺς κρίνει μὲ ἴσα κριτήρια· διότι ἀντιπαραβάλλει τοὺς πλουσίους μὲ πλουσίους καὶ τοὺς πτωχοὺς μὲ πτωχούς. Ἀλλὰ δὲν δείχνει μόνον μὲ τὸν τρόπον αὐ-

ὁμοδούλους κατωρθωκέναι ἐν τοῖς αὐτοῖς ὄντας, ἀλλὰ καὶ τῷ μηδὲ ἐν τούτοις ὑπακοῦσαι, ἐν οἷς οὐδὲν ἡ πενία κώλυμα ἦν· οἷον, ἐν τῷ ποτίσαι διψῶντα, ἐν τῷ δεδεμένον ἰδεῖν, ἐν τῷ ἄρρωστον ἐπισκέψασθαι. Ἐγκωμιάσας δὲ τοὺς κατωρθωκότας δείκνυσιν ὅσον ἄνωθεν ἦν αὐτῷ πρὸς αὐτοὺς τὸ φίλτρον. «Δεῦτε» γάρ, φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου». Πόσων ἀγαθῶν τοῦτο τὸ ὄνομα ἀντάξιον, τὸ εὐλογημένους εἶναι, καὶ παρὰ Πατρὸς εὐλογημένους;

Καὶ πόθεν τοσαύτης τιμῆς ἠξιώθησαν; τίς ἡ αἰτία; «Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με», καὶ τὰ ἑξῆς. Πόσης ταῦτα τιμῆς, πόσης μακαριότητος τὰ ῥήματα; Καὶ οὐκ εἶπε, λάβετε, ἀλλά, «κληρονομήσατε», ὡς οἰκεῖα, ὡς πατρῷα, ὡς ὑμέτερα, ὡς ὑμῖν ἄνωθεν ὀφειλόμενα. Πρὶν ἢ γὰρ ὑμᾶς γενέσθαι, φησί, ταῦτα ὑμῖν ἡτοίμαστο καὶ ηὐτρέπιστο, ἐπειδὴ ᾔδειν τοιούτους ἐσομένους ὑμᾶς. Καὶ ἀντὶ τίνων τοσαῦτα λαμβάνουσιν; Ἀντὶ στέγης, ἀντὶ ἱματίου, ἀντὶ ἄρτου, ἀντὶ ὕδατος ψυχροῦ, ἀντὶ ἐπισκέψεως, ἀντὶ εἰσόδου τῆς εἰς τὸ δεσμωτήριον. Καὶ γὰρ πανταχοῦ τῆς χρείας ἐστίν· ἔστι δὲ καὶ ὅπου οὐδὲ τῆς χρείας. Οὐ γὰρ δήπου, ὅπερ ἔφην, ὁ κάμνων καὶ ὁ δεδεμένος τοῦτο ἐπιζητεῖ μόνον, ἀλλ' ὁ μὲν λυθῆναι, ὁ δὲ ἀπαλλαγῆναι τῆς ἀρρωστίας. Ἀλλ' αὐτός, ἥμερος ὤν, τὰ εἰς δύναμιν ἀπαιτεῖ· μᾶλλον δὲ καὶ τῶν εἰς δύναμιν ἐλάττω, ἡμῖν καταλιμπάνων φιλοτιμεῖσθαι ἐν τῷ πλείονι.

Ἐκείνοις δέ, «Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι»· οὐκέτι ὑπὸ τοῦ Πατρός· οὐ γὰρ αὐτὸς αὐτοὺς κατηράσατο,

τὸν ὅτι ἡ ἀπόφασις εἶναι δικαία, μὲ τὸ ὅτι δηλαδὴ οἱ συνάνθρωποί των κατώρθωσαν τὴν ἀρετὴν ἐνῷ εὑρίσκοντο εἰς τὴν αὐτὴν μὲ ἐκείνους κατάστασιν, ἀλλὰ καὶ μὲ τὸ ὅτι δὲν ἔδειξαν ὑπακοὴν οὔτε εἰς αὐτά, εἰς τὰ ὁποῖα δὲν ἀποτελοῦσε κώλυμα ἡ πενία· ὅπως τὸ νὰ δώσουν ὕδωρ εἰς τὸν διψασμένον, νὰ ἰδοῦν τὸν φυλακισμένον, νὰ ἐπισκεφθοῦν τὸν ἄρρωστον. Ἀφοῦ δὲ ἐγκωμίασε τοὺς δικαίους, δείχνει ὅτι ἡ πρὸς αὐτοὺς ἀγάπη προήρχετο ἄνωθεν. Διότι λέγει· «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν βασιλείαν ποὺ εἶναι ἑτοιμασμένη δι' ἐσᾶς ἀπὸ τὸν καιρὸν τῆς δημιουργίας». Μὲ πόσα ἀγαθὰ εἶναι ἰσάξιος ὁ χαρακτηρισμὸς αὐτός, ὅτι εἶναι εὐλογημένοι, καὶ μάλιστα εὐλογημένοι ἀπὸ τὸν Πατέρα;

Καὶ ἀπὸ ποῦ ἠξιώθησαν τόσον μεγάλης τιμῆς; Ποία ἦτο ἡ αἰτία; «Ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω· ἐδίψασα καὶ μὲ ἐποτίσατε» καὶ τὰ ἑξῆς. Πόσην τιμὴν δηλώνουν τὰ λόγια αὐτὰ καὶ πόσην μακαριότητα; Καὶ δὲν εἶπε λάβετε, ἀλλὰ «κληρονομήσατε», ὡς οἰκογενειακά, ὡς πατρικά, ὡς ἰδικά σας, ὡς κάτι ποὺ σᾶς ὀφείλεται ἀπὸ παλαιά. Διότι πρὶν ἀκόμη γεννηθῆτε, λέγει, αὐτὰ εἶχαν ἑτοιμασθῆ καὶ τακτοποιηθῆ πρὸς χάριν σας, ἐπειδὴ ἐγνώριζα ὅτι θὰ γίνετε δίκαιοι. Καὶ ἀντὶ ποίων πραγμάτων λαμβάνουν τόσα πολλά; Ἀντὶ στέγης, ἀντὶ ἱματίου, ἀντὶ ἄρτου, ἀντὶ ψυχροῦ ὕδατος, ἀντὶ ἐπισκέψεως, ἀντὶ εἰσόδου εἰς τὴν φυλακήν. Ὅτι δηλαδὴ ἦτο ἀναγκαῖον εἰς κάθε περίστασιν. Ὑπάρχουν δὲ περιπτώσεις, ποὺ οὔτε ἀνάγκη ὑπῆρχε. Διότι, ὅπως εἶπα, οὔτε ὁ ἄρρωστος, οὔτε ὁ φυλακισμένος ἐπιθυμοῦν μόνον αὐτό, ἀλλὰ ὁ μὲν ἕνας νὰ ἀποφυλακισθῇ, ὁ δὲ ἄλλος νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ἀσθένειαν. Ἀλλὰ αὐτός, ἐπειδὴ εἶναι καλωσυνᾶτος, ζητεῖ ὅ,τι εἶναι δυνατόν· ζητεῖ μάλιστα καὶ ἀπὸ αὐτὰ ποὺ εἶναι δυνατὸν νὰ γίνουν ὀλιγώτερα, ἀφήνων εἰς ἡμᾶς νὰ φιλοτιμηθοῦμεν διὰ περισσότερα.

Εἰς ἐκείνους δὲ λέγει· «Φύγετε ἀπὸ κοντά μου, καταραμένοι» ὄχι πλέον ἀπὸ τὸν Πατέρα· διότι δὲν τοὺς κατη-

ἀλλὰ τὰ οἰκεῖα ἔργα· «εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον», οὐχ ὑμῖν, ἀλλὰ «τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Περὶ μὲν γὰρ τῆς βασιλείας ὅτε ἔλεγε, «Δεῦτε, κληρονομήσατε τὴν βασιλείαν», ἐπήγαγε, «τὴν ἡτοιμασμένην ὑμῖν πρὸ καταβολῆς κόσμου»· περὶ δὲ τοῦ πυρὸς οὐκέτι, ἀλλά, «τὸ ἡτοιμασμένον τῷ διαβόλῳ». Ἐγὼ μὲν γὰρ τὴν μὲν βασιλείαν ὑμῖν ἡτοίμασα, τὸ δὲ πῦρ οὐκέτι ὑμῖν, ἀλλὰ «τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»· ἐπειδὴ δὲ ὑμεῖς ἑαυτοὺς ἐνεβάλετε, ἑαυτοὺς λογίζεσθε.

Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς, ὥσπερ ἀπολογούμενος αὐτοῖς, καὶ τὰς αἰτίας τίθησιν· «Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν». Εἰ γὰρ καὶ ἐχθρὸς ἦν ὁ προσιών, οὐχ ἱκανὰ τὰ πάθη καὶ τὸν ἀνελεῆ κατακλάσαι καὶ ἐπικάμψαι, λιμός, καὶ κρυμός, καὶ δεσμά, καὶ γυμνότης, καὶ ἀρρωστία, καὶ τὸ αἴθριον πλανᾶσθαι πανταχοῦ; Ταῦτα γὰρ καὶ ἔχθραν ἱκανὰ λῦσαι. Ἀλλὰ ὑμεῖς οὐδὲ εἰς φίλον ταῦτα ἐποιήσατε, καὶ φίλον, καὶ εὐεργέτην καὶ Δεσπότην ὄντα. Καὶ κύνα μὲν ἂν ἴδωμεν πεινῶντα, πολλάκις ἐπικλώμεθα καὶ θηρίον ἂν θεασώμεθα, ἐπικαμπτόμεθα· τὸν δὲ Δεσπότην ὁρῶν οὐκ ἐπικάμπτῃ; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια; Εἰ γὰρ τοῦτο μόνον ἦν, οὐχ ἱκανὸν εἰς ἀντίδοσιν; οὐ λέγω τὸ ἀκοῦσαι φωνῆς τοιαύτης ἐπὶ τῆς οἰκουμένης παρὰ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τοῦ πατρικοῦ, καὶ βασιλείας τυχεῖν, ἀλλ' αὐτὸ τὸ ἐργάσασθαι οὐχ ἱκανὸν εἰς ἀμοιβήν;

Νυνὶ δὲ καὶ τῆς οἰκουμένης παρούσης, καὶ τῆς ἀρρήτου δόξης ἐκείνης φαινομένης, ἀνακηρύττει σε καὶ στεφανοῖ, καὶ ὁμολογεῖ τὸν τροφέα καὶ τὸν ξενοδόχον· καὶ οὐκ αἰσχύ-

ράσθη Αὐτός, ἀλλὰ τὰ ἰδικά τους ἔργα· «εἰς τὸ πῦρ τὸ αἰώνιον, ποὺ εἶναι ἑτοιμασμένον», ὄχι δι᾽ ἐσᾶς, ἀλλὰ «διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του». Διότι, ὅταν μὲν ὡμιλοῦσε περὶ τῆς βασιλείας λέγων «ἐλᾶτε, κληρονομήσατε τὴν βασιλείαν», ἐπρόσθεσε· «ποὺ εἶναι ἑτοιμασμένη δι᾽ ἐσᾶς ἀπὸ τὸν καιρὸν τῆς δημιουργίας». Ὅταν ὅμως ὁμιλῇ περὶ τοῦ πυρός, δὲν λέγει τὸ ἴδιο, ἀλλὰ «ποὺ εἶναι ἡτοιμασμένον διὰ τὸν διάβολον». Διότι ἐγὼ τὴν μὲν βασιλείαν τὴν ἑτοίμασα πρὸς χάριν σας, τὸ δὲ πῦρ ὄχι δι᾽ ἐσᾶς, ἀλλὰ «διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του». Ἐπειδὴ ὅμως σεῖς περιελάβατε καὶ τοὺς ἑαυτούς σας, ὑπολογίζετε καὶ τοὺς ἑαυτούς σας.

Ὄχι μόνον δὲ μὲ αὐτά, ἀλλὰ καὶ μὲ ὅσα λέγει παρακάτω, ὡσὰν τρόπον τινὰ νὰ ἀπολογῆται εἰς αὐτοὺς ἐκθέτει καὶ τὰς αἰτίας, «διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω». Διότι καὶ ἐχθρὸς ἐὰν ἦτο αὐτὸς ποὺ προσῆλθε, δὲν εἶναι ἀρκετὰ τὰ παθήματά του, ἡ πεῖνα, τὸ ψῦχος, τὰ δεσμά, ἡ γύμνια, ἡ ἀρρώστια, τὸ γεγονὸς ὅτι γυρίζει ἄστεγος παντοῦ, νὰ κάμψουν καὶ νὰ συντρίψουν καὶ αὐτὸν τὸν ἄσπλαγχνον; Διότι αὐτὰ εἶναι εἰς θέσιν καὶ τὴν ἔχθραν νὰ παύσουν. Ἀλλὰ σεῖς δὲν τὰ ἐκάνατε οὔτε εἰς φίλον, ὁ ὁποῖος ἦτο καὶ φίλος καὶ εὐεργέτης καὶ Δεσπότης. Καὶ σκύλον ἀκόμη ἂν ἰδοῦμεν νὰ πεινᾷ, συχνὰ λυγίζομεν· καὶ θηρίον ἂν ἰδοῦμεν, καμπτόμεθα· σὺ δὲ βλέπων τὸν Δεσπότην δὲν κάμπτεσαι; Καὶ ποῦ εἶναι αὐτὰ ἄξια ἀπολογίας; Διότι καὶ μόνον αὐτὸ ἂν συμβαίνῃ, δὲν εἶναι ἀρκετὸν δι᾽ ἀνάλογον ἀνταμοιβήν; Παραλείπω τὸ νὰ ἀκούσῃς μίαν τέτοιαν φωνὴν μπροστὰ εἰς ὁλόκληρον τὴν οἰκουμένην ἀπὸ Ἐκεῖνον ποὺ κάθεται εἰς τὸν θρόνον τοῦ Πατρός Του καὶ νὰ κερδήσῃς τὴν βασιλείαν· ἀλλὰ αὐτὸ τὸ γεγονὸς ὅτι ἐργάσθηκες δὲν εἶναι ἀρκετὸν νὰ σὲ ἀνταμείψῃ;

Τώρα ὅμως καὶ ἐπὶ παρουσίᾳ τῆς οἰκουμένης καὶ ἐνῷ φαίνεται ἡ ἄρρητη ἐκείνη δόξα, σὲ ἀνακηρύσσει καὶ σὲ στεφανώνει καὶ σὲ ἀναγνωρίζει ὡς τὸν κατ᾽ ἐξοχὴν τροφέα

νεται τοιαῦτα λέγων, ἵνα σοι λαμπρότερον ποιήσῃ τὸν στέφανον. Διὰ δὴ τοῦτο καὶ οὗτοι δικαίως κολάζονται, κἀκεῖνοι στεφανοῦνται κατὰ χάριν. Κἂν γὰρ μυρία ὦσι πεποιηκότες, χάριτός ἐστιν ἡ φιλοτιμία, τὸ ἀντὶ μικρῶν οὕτω καὶ εὐτελῶν, οὐρανὸν τοσοῦτον καὶ βασιλείαν καὶ τηλικαύτην αὐτοῖς δοθῆναι τιμήν.

«Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι». Πάλιν εὐκαίρως περὶ τοῦ πάθους διαλέγεται, ὅτε βασιλείας ἀνέμνησε, καὶ τῆς ἀντιδόσεως τῆς ἐκεῖ, καὶ τῆς ἀθανάτου κολάσεως ὡσανεὶ ἔλεγε· Τί δεδοίκατε ἐπὶ τοῖς προσκαίροις δεινοῖς, τοιούτων ὑμᾶς ἀναμενόντων ἀγαθῶν;

3. Σὺ δέ μοι σκόπει πῶς τὸ μάλιστα λυποῦν αὐτοὺς καινοτέρως μεθώδευσε καὶ συνεσκίασεν ἐν τοῖς ἔμπροσθεν ἅπασιν. Οὐ γὰρ εἶπεν, ὅτι Οἴδατε ὅτι μετὰ δύο ἡμέρας παραδίδομαι· ἀλλὰ τί; «Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται»· καὶ τότε ἐπήγαγεν, ὅτι «παραδίδοται εἰς τὸ σταυρωθῆναι»· δεικνὺς μυστήριον ὂν τὸ γινόμενον, καὶ ἑορτὴν καὶ πανήγυριν ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης τελουμένην, καὶ ὅτι προειδὼς ἅπαντα ἔπασχε. Διὰ δὴ τοῦτο, ὡς ἀρκοῦντος τούτου εἰς παραμυθίαν αὐτοῖς, οὐδὲ εἶπεν αὐτοῖς τι νῦν περὶ ἀναστάσεως· περιττὸν γὰρ ἦν, τοσαῦτα διαλεχθέντα περὶ αὐτῆς πάλιν εἰπεῖν. Καὶ ἄλλως δέ, ὅπερ εἶπον, δείκνυσιν ὅτι καὶ αὐτὸ τὸ παθεῖν μυρίων ἀπαλλαγὴ κακῶν, διὰ τοῦ Πάσχα τῶν παλαιῶν εὐεργετημάτων τῶν κατ᾽ Αἴγυπτον ἀναμνήσας αὐτούς.

«Τότε συνήχθησαν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐν τῇ αὐλῇ τοῦ ἀρχιερέως, τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύοντο ἵνα τὸν Ἰησοῦν δό-

7. Ματθ. 26, 2.

καὶ ξενοδόχον· καὶ δὲν ἐντρέπεται λέγων αὐτά, διὰ νὰ σοῦ κάμη λαμπροτέραν τὴν τιμήν. Διὰ τοῦτο λοιπὸν καὶ αὐτοὶ δικαίως τιμωροῦνται καὶ ἐκεῖνοι βραβεύονται, κατὰ χάριν. Διότι καὶ ἂν ἀκόμη ἔχουν κάνει ἄπειρα καλά, πάλιν κατὰ χάριν γίνεται ἡ τιμητικὴ διάκρισις, ἀφοῦ ἀντὶ τόσον μικρῶν καὶ εὐτελῶν πραγμάτων, τοὺς δίδεται τόσος οὐρανὸς καὶ βασιλεία καὶ τόσον μεγάλη τιμή.

«Καὶ ὅταν ὁ 'Ιησοῦς ἐτελείωσεν αὐτοὺς τοὺς λόγους, εἶπεν εἰς τοὺς μαθητάς Του. Γνωρίζετε ὅτι ὕστερα ἀπὸ δύο ἡμέρας ἔρχεται τὸ Πάσχα καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ παραδοθῇ διὰ νὰ σταυρωθῇ»[7]. Πάλιν μόλις ὑπέμνησε τὴν βασιλείαν καὶ τὴν ἀνταπόδοσιν ποὺ θὰ γίνῃ ἐκεῖ καὶ τὴν αἰώνιον κόλασιν, εὑρίσκει τὴν εὐκαιρίαν νὰ ὁμιλήσῃ περὶ τοῦ πάθους Του, ὡσὰν νὰ τοὺς ἔλεγε· διατί φοβεῖσθε διὰ τὰ πρόσκαιρα δεινά, ἀφοῦ σᾶς περιμένουν τόσα ἀγαθά;

3. Σὺ δὲ κάνε μου τὴν χάριν νὰ προσέξῃς τὸν τρόπον μὲ τὸν ὁποῖον ἐκεῖνο ποὺ τοὺς ἐλυποῦσε πάρα πολύ, τὸ χειρίζεται μὲ νεωτέραν μέθοδον καὶ τὸ ἐπισκιάζει μὲ ὅλα τὰ προηγούμενα. Διότι δὲν εἶπε, ὅτι «γνωρίζετε ὅτι μετὰ ἀπὸ δύο ἡμέρας παραδίδομαι», ἀλλὰ τί; «γνωρίζετε ὅτι μετὰ ἀπὸ δύο ἡμέρας ἔρχεται τὸ Πάσχα»· καὶ τότε ἐπρόσθεσεν ὅτι «θὰ παραδοθῇ διὰ νὰ σταυρωθῇ», δεικνύων ὅτι αὐτὸ ποὺ γίνεται εἶναι μυστήριον καὶ ἑορτὴ καὶ πανήγυρις, ποὺ τελεῖται διὰ τὴν σωτηρίαν τῆς οἰκουμένης καὶ ὅτι ὅλα τὰ ἔπασχε γνωρίζων αὐτὰ ἐκ τῶν προτέρων. Δι' αὐτὸ μάλιστα, ἐπειδὴ τοὺς ἀρκοῦσεν αὐτὸ νὰ παρηγορηθοῦν, δὲν τοὺς ἀνέφερε τίποτε περὶ τῆς ἀναστάσεως· διότι ἦτο περιττόν, ἀφοῦ ἀνέφερε τόσα, νὰ ὁμιλήσῃ πάλιν περὶ αὐτῆς. Καὶ μὲ ἄλλον τρόπον ὅμως, ὅπως εἶπα, δείχνει ὅτι καὶ αὐτὸ τὸ Πάθος Του, θὰ γίνῃ ἀπαλλαγὴ ἀπὸ ἄπειρα κακά, διότι μὲ τὸ «Πάσχα» τοὺς ἐθύμισε τὰς παλαιὰς εὐεργεσίας τῆς Αἰγύπτου.

«Τότε συνεκεντρώθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὸ ἀνάκτορον τοῦ ἀρχιερέως, ὁ ὁποῖος ὠνομάζετο Καϊάφας, καὶ ἀπεφάσισαν νὰ

λῳ κρατήσωσι, καὶ ἀποκτείνωσιν. Ἔλεγεν δέ, Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ». Εἶδες τὴν ἄφατον τῶν Ἰουδαϊκῶν πραγμάτων διαφθοράν; Παρανόμοις πράγμασιν ἐπιχειροῦντες, πρὸς τὸν ἀρχιερέα ἔρχονται, ἐκεῖθεν βουλόμενοι τὴν ἐξουσίαν λαβεῖν, ὅθεν κωλύεσθαι ἔδει. Καὶ πόσοι ἦσαν οἱ ἀρχιερεῖς; Ὁ γὰρ νόμος ἕνα εἶναι βούλεται· ἀλλὰ τότε πολλοὶ ἦσαν. Ὅθεν δῆλον, ὅτι τὰ Ἰουδαϊκὰ ἀρχὴν ἐλάμβανε διαλύεσθαι. Ὁ μὲν γὰρ Μωϋσῆς, ὅπερ ἔφην, ἕνα εἶναι ἐκέλευσε, καὶ τελευτήσαντος τότε ἕτερον γίνεσθαι, καὶ τῇ ζωῇ τῇ τούτου τὴν φυγὴν ἐμέτρει τῶν ἀκουσίως ἐργασαμένων φόνον.

Πῶς οὖν τότε πολλοὶ ἀρχιερεῖς; Ἐνιαυσιαῖοι ὕστερον ἐγένοντο. Καὶ τοῦτο ἐδήλωσεν ὁ εὐαγγελιστής, ὅτε περὶ τοῦ Ζαχαρίου διελέγετο, εἰπὼν ἐξ ἐφημερίας αὐτὸν εἶναι Ἀβιᾶ. Αὐτοὺς οὖν ἐνταῦθά φησιν ἀρχιερεῖς, τοὺς ἀπὸ ἀρχιερέων. Τί δὲ συνεβουλεύσαντο; ἵνα κρατήσωσιν αὐτὸν λάθρα, ἢ ἵνα ἀνέλωσιν; Ἀμφότερα· ἐδεδοίκεισαν γὰρ τὸν λαόν. Διὸ καὶ τὴν ἑορτὴν ἀνέμενον παρελθεῖν· ἔλεγον γάρ, «Μὴ ἐν τῇ ἑορτῇ». Ὁ μὲν γὰρ διάβολος, ἵνα μὴ φανερὸν καταστήσῃ τὸ πάθος, οὐκ ἐβούλετο ἐν τῷ Πάσχα· ἐκεῖνοι δέ, ἵνα μὴ θόρυβος γένηται.

Σκόπει τοίνυν αὐτοὺς φοβουμένους, οὐ τὰ τοῦ Θεοῦ, οὐδὲ μὴ μίασμα αὐτοῖς μεῖζον ἀπὸ τοῦ καιροῦ γένηται· ἀλλὰ πανταχοῦ τὰ ἀνθρώπινα. Ἀλλ' ὅμως τῷ θυμῷ ζέοντες, πάλιν μετέθεντο. Εἰπόντες γάρ, «Μὴ ἐν τῇ ἑορτῇ», ἐπειδὴ τὸν προδότην εὗρον, οὐκ ἠνέσχοντο τοῦ καιροῦ, ἀλλ' ἐν αὐτῇ κατέσφαξαν. Διατί δὲ αὐτὸν τότε κατέσχον; Καὶ τῷ θυμῷ ζέοντες, ὅπερ εἶπον, καὶ τότε αὐτὸν εὑρήσειν προσεδόκησαν,

---

8. Λουκᾶ 1, 5.

συλλάβουν μὲ δόλον τὸν Ἰησοῦν καὶ νὰ τὸν σκοτώσουν. Ἔλεγαν δὲ νὰ μὴ τὸν συλλάβουν κατὰ τὴν ἑορτήν, διὰ νὰ μὴ γίνῃ θόρυβος μεταξὺ τοῦ λαοῦ». Εἶδες τὴν ἀπερίγραπτον διαφθορὰν τῶν ἰουδαϊκῶν πραγμάτων; Ἐνῷ ἐπιχειροῦν πράγματα παράνομα, ἔρχονται εἰς τὸν ἀρχιερέα, θέλοντες νὰ πάρουν τὸ δικαίωμα διὰ τὴν παρανομίαν των ἀπὸ ἐκεῖ ποὺ ἔπρεπε νὰ παρεμποδισθοῦν. Καὶ πόσοι ἦσαν οἱ ἀρχιερεῖς; Διότι ὁ νόμος θέλει νὰ εἶναι ἕνας· τότε ὅμως ἦσαν πολλοί. Ἀπὸ αὐτὸ γίνεται φανερὸν ὅτι τὰ ἰουδαϊκὰ πράγματα εἶχαν ἀρχίσει νὰ διαλύωνται. Διότι ὁ μὲν Μωυσῆς, ὅπως εἶπα, διέταξε νὰ εἶναι ἕνας καὶ ὅταν ἀποθάνῃ, τότε νὰ γίνεται ἄλλος, καὶ κατελόγιζε τὴν ἐν ζωῇ ἀπομάκρυνσιν τούτου ὡς φόνον εἰς βάρος ἐκείνων ποὺ συνετέλεσαν ἀκουσίως εἰς αὐτήν.

Πῶς λοιπὸν τότε ὑπῆρχαν πολλοὶ ἀρχιερεῖς; Ἀργότερα μάλιστα ἔγιναν ἐτήσιοι. Αὐτὸ τὸ δηλώνει ὁ εὐαγγελιστὴς ὅταν ὡμιλοῦσε περὶ τοῦ Ζαχαρίου, λέγων ὅτι εἶναι ἀπὸ τὴν τάξιν τοῦ Ἀβιᾶ[8]. Αὐτοὺς λοιπὸν λέγει ἐδῶ ἀρχιερεῖς, οἱ ὁποῖοι προέρχονται ἀπὸ τὰς τάξεις τῶν ἀρχιερέων. Διατί δὲ συνεσκέφθησαν; Διὰ νὰ τὸν συλλάβουν κρυφά, ἢ νὰ τὸν φονεύσουν; Καὶ τὰ δύο· ἀλλὰ ἐφοβοῦντο τὸν λαόν. Δι᾽ αὐτὸ ἐπερίμεναν νὰ περάσῃ ἡ ἑορτή· διότι ἔλεγαν· «ὄχι κατὰ τὴν ἑορτήν». Διότι ὁ μὲν διάβολος δὲν ἤθελε νὰ γίνῃ κατὰ τὴν διάρκειαν τοῦ Πάσχα, διὰ νὰ μὴ κάνῃ φανερὸν τὸ Πάθος· ἐκεῖνοι δὲ διὰ νὰ μὴ γίνῃ θόρυβος.

Παρατήρησε λοιπὸν ὅτι αὐτοὶ φοβοῦνται, ὄχι τὸν Θεόν, οὔτε μήπως ἡ ἁμαρτία τους γίνῃ μεγαλυτέρα λόγῳ τῆς ἑορτῆς, ἀλλὰ παντοῦ ὑπολογίζουν τὰ ἀνθρώπινα. Ἀλλ᾽ ὅμως, ἐπειδὴ ἔβραζαν ἀπὸ θυμόν, πάλιν ἄλλαξαν γνώμην. Διότι, ἂν καὶ εἶπαν «μὴ ἐν ἑορτῇ», ἐπειδὴ εὐρῆκαν τὸν προδότην, δὲν ἐκρατήθησαν ἀπὸ τὸν καιρόν, ἀλλὰ τὸν ἔσφαξαν χωρὶς οἶκτον κατὰ τὴν ἑορτήν. Διατί δὲ τὸν συνέλαβαν τότε; Καὶ ἐπειδὴ ἔβραζαν, ὅπως εἶπα, ἀπὸ τὸν θυμόν, καὶ ἐπειδὴ τότε ἤλπιζαν ὅτι θὰ τὸν εὕρουν, καὶ διότι

καὶ πάντα ὥσπερ πεπηρωμένοι ἔπραττον. Εἰ καὶ τὰ μάλιστα αὐτὸς τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν οἰκείαν ἐκέχρητο οἰκονομίαν, οὐ μὴν διὰ τοῦτο ἀνεύθυνοι, ἀλλὰ μυρίων ἄξιοι κολάσεων ἀπὸ τῆς γνώμης.

Ὅτε γοῦν ἅπαντας ἀπολύεσθαι ἔδει καὶ τοὺς ὑπευθύνους, τότε οὗτοι τὸν ἀθῶον ἀνεῖλον, τὸν μυρία εὐεργετηκότα, καὶ τῶν ἐθνῶν τέως ὑπεριδόντα δι' αὐτούς. Ἀλλά, ὢ τῆς φιλανθρωπίας! τοὺς οὕτω μοχθηρούς, τοὺς οὕτω σκαιοὺς καὶ μυρίων γέμοντας κακῶν, πάλιν σώζει, καὶ πέμπει σφαγησομένους ὑπὲρ αὐτῶν τοὺς ἀποστόλους, καὶ δι' αὐτῶν ἱκετηρίαν τίθησιν. Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν.

Τοιαῦτα τοίνυν παραδείγματα ἔχοντες, οὐ λέγω, Ἀποθάνωμεν ὑπὲρ τῶν ἐχθρῶν· ἔδει μὲν γὰρ καὶ τοῦτο, ἀλλ' ἐπειδὴ ἀσθενέστεροι ἡμεῖς, ἐκεῖνο λέγω τέως· Κἂν μὴ βασκαίνωμεν τοῖς φίλοις, μὴ φθονῶμεν τοῖς εὐεργετοῦσιν. Οὐ λέγω τέως, Τοὺς κακῶς ποιοῦντας εὐεργετήσωμεν· ἐπιθυμῶ μὲν γὰρ καὶ τοῦτο, ἀλλ' ἐπειδὴ παχύτεροι ὑμεῖς, κἂν μὴ ἀμύνησθε. Μὴ γὰρ σκηνή τίς ἐστι τὰ ἡμέτερα, καὶ ὑπόκρισις; Τί δήποτε ἐκ διαμέτρου πρὸς τὰ πράγματα ἵστασθε; Οὐχ ἁπλῶς γέγραπται τά τε ἄλλα, καὶ ὅσα παρ' αὐτὸν τὸν σταυρὸν εἰργάσατο, δυνάμεθα αὐτοὺς ἀνακαλέσασθαι· ἀλλ' ἵνα μιμήσῃ τὴν ἀγαθότητα, ἵνα ζηλώσῃς τὴν φιλανθρωπίαν. Καὶ γὰρ καὶ ὑπτίους ἔρριψε, καὶ τὸ ὠτίον ἀποκατέστησε τοῦ οἰκέτου, καὶ μετ' ἐπιεικείας διελέχθη· καὶ μεγάλα ἄνω ὧν ἐπεδείξατο θαύματα, τὰς ἀκτῖνας ἀποστρέφων, τὰς πέτρας ῥηγνύς, τοὺς τετελευτηκότας ἐγείρων, τὴν γυναῖκα τοῦ δικάζοντος φοβῶν δι' ὀνειράτων, ἐν αὐτῇ τῇ κρίσει πᾶσαν

9. Κλάδος ἐλαίας περιεστεμμένος μὲ ἔριον, τὸ ὁποῖον κατέθετε κάποιος εἰς τὴν ἑστίαν ἐκείνου πρὸς τὸν ὁποῖον κατέφευγεν ὡς ἱκέτης.
10. Ματθ. 28, 5.
11. Λουκᾶ 22, 51.
12. Λουκᾶ 23, 45, Ματθ. 27, 45.
13. Ματθ. 27, 51.
14. Ματθ. 27, 52.
15. Ματθ. 27, 19.

ὅλα τὰ ἔκαναν ὡσὰν τυφλωμένοι. Ἂν καὶ μᾶλλον Ἐκεῖνος ἐχρησιμοποιοῦσε τὴν πονηρίαν του διὰ τὸ ἰδικόν του σχέδιον, χωρὶς δι' αὐτὸ νὰ εἶναι βεβαίως ἀνεύθυνοι, ἀλλὰ ἄξιοι ἀπείρων κολάσεων, διὰ τὴν ἀπόφασίν των.

Τότε λοιπὸν ποὺ ἔπρεπε νὰ ἀφεθοῦν ἐλεύθεροι καὶ οἱ ἔνοχοι, τότε αὐτοὶ ἐφόνευσαν τὸν ἀθῶον, ὁ ὁποῖος ἀπείρους φορὰς τοὺς εἶχεν εὐεργετήσει καὶ προσφάτως εἶχε παραβλέψει τὰ ἔθνη χάριν αὐτῶν. Ἀλλὰ πόση εἶναι ἡ φιλανθρωπία Του! Αὐτοὺς τοὺς τόσον μοχθηρούς, τοὺς τόσον βαναύσους, οἱ ὁποῖοι ἦσαν γεμᾶτοι μὲ μύρια κακά, πάλιν τοὺς σώζει καὶ ἀποστέλλει τοὺς Ἀποστόλους νὰ σφαγοῦν χάριν αὐτῶν, καὶ μὲ αὐτοὺς καταθέτει ἱκετηρίαν[9]. Διότι ὅλοι μας πρεσβεύομεν ὑπὲρ τοῦ Χριστοῦ.

Ἔχοντες λοιπὸν τέτοια παραδείγματα, δὲν λέγω νὰ ἀποθάνωμεν χάριν τῶν ἐχθρῶν, διότι ἔπρεπε καὶ αὐτὸ νὰ τὸ εἰπῶ, ἀλλ' ἐπειδὴ εἴμεθα ἀσθενέστεροι, λέγω κατὰ πρῶτον τοῦτο· νὰ μὴ συκοφαντοῦμεν τοὺς φίλους, νὰ μὴ φθονοῦμεν αὐτοὺς ποὺ μᾶς εὐεργετοῦν. Δὲν λέγω ἀπὸ τὴν ἀρχὴν νὰ εὐεργετήσωμεν αὐτοὺς ποὺ μᾶς βλάπτουν· βεβαίως τὸ ἐπιθυμῶ καὶ αὐτό, ἀλλ' ἐπειδὴ εἶσθε παχύτεροι, ἀρκεῖ καὶ νὰ μὴ τοὺς ἀποκρούετε. Μήπως τὰ ἰδικά μας πράγματα εἶναι θέατρον καὶ ὑποκρισία; Διατί τότε στέκεσθε ἐκ διαμέτρου ἀντίθετοι πρὸς αὐτά; Δὲν ἔχουν γραφεῖ εἰς τὴν τύχην καὶ τὰ ἄλλα ὅλα καὶ ὅσα ἔκαμε κοντὰ εἰς τὸν Σταυρόν, τὰ ὁποῖα ἠμποροῦσαν νὰ τοὺς ἐπαναφέρουν, ἀλλὰ διὰ νὰ μιμηθῇς τὴν καλωσύνην καὶ νὰ ζηλέψῃς τὴν φιλανθρωπίαν Του. Διότι καὶ ἀνάσκελα τοὺς ἔρριψε[10] καὶ τὸ αὐτὶ τοῦ δούλου ἀποκατέστησε[11] καὶ μὲ ἐπιείκειαν ὡμίλησεν· ἀλλὰ καὶ ὅταν εὑρίσκετο ἐπάνω εἰς τὸν Σταυρὸν ἔδειξε μεγάλα θαύματα, κρύπτων τὰς ἀκτῖνας τοῦ ἡλίου[12], σπάζων τοὺς βράχους[13], ἀνιστῶν τοὺς νεκρούς[14], φοβίζων τὴν γυναῖκα αὐτοῦ ποὺ τὸν ἐδίκαζε μὲ ὄνειρα[15], ἐπιδεικνύων κατὰ τὴν δίκην κάθε πραότητα, ἡ ὁποία ἠμποροῦσε περισ-

πραότητα ἐπιδειξάμενος, θαυμάτων οὐχ ἧττον δυναμένην αὐτοὺς ἐπισπάσασθαι, μυρία προλέγων ἐν τῷ δικαστηρίῳ, ἐν αὐτῷ τῷ σταυρῷ βοῶν, «Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν». Ταφεὶς δέ, πόσα ἐπεδείξατο πρὸς τὴν ἐκείνων σωτηρίαν; ἀναστὰς δέ, οὐκ εὐθέως Ἰουδαίους ἐκάλεσεν; οὐκ ἄφεσιν ἔδωκεν ἁμαρτημάτων; οὐ τὰ μυρία ἀγαθὰ προὔθηκε; Τί τούτου παραδοξότερον; Οἱ σταυρώσαντες καὶ φόνου πνέοντες, μετὰ τὸ σταυρῶσαι γεγόνασιν υἱοὶ Θεοῦ. Τί ταύτης ἴσον τῆς κηδεμονίας;

Ταῦτα ἀκούσαντες ἐγκαλυψώμεθα, ὅτι τοσοῦτον ἀφεστήκαμεν τούτου, ὃν μιμεῖσθαι κελευόμεθα. Ἴδωμεν κἂν τὸ διάστημα ὅσον, ἵνα κἂν καταγνῶμεν ἑαυτῶν, τούτοις πολεμοῦντες, ὑπὲρ ὧν ὁ Χριστὸς τὴν ψυχὴν ἔδωκε καὶ οὐ βουλόμενοι καταλλαγῆναι, οὓς ἵνα καταλλάξῃ, οὔτε σφαγῆναι παρῃτήσατο· εἰ μὴ καὶ τοῦτο δαπάνη τίς ἐστι, καὶ χρημάτων ἀνάλωμα ὅπερ ἐν τῇ ἐλεημοσύνῃ προβάλλεσθε.

4. Ἐννόησον ὅσων ὑπεύθυνος εἶ, καὶ οὐ μόνον οὐκ ἀναδύσῃ πρὸς τὴν ἄφεσιν τῶν σε ἠδικηκότων, ἀλλὰ καὶ δραμῇ πρὸς τοὺς σὲ λελυπηκότας, ὥστε γενέσθαι σοι συγχωρήσεως ἀφορμήν, ὥστε εὑρεῖν παραμυθίαν τῶν οἰκείων κακῶν. Ἑλλήνων παῖδες, οὐδὲν μέγα προσδοκῶντες, πολλάκις ἐν τούτοις ἐφιλοσόφησαν· καὶ σὺ μέλλων ἐπὶ τοιαύταις ἐλπίσιν ἀποδημεῖν, ἀναδύῃ καὶ ὀκνεῖς; καὶ ὅπερ ὁ χρόνος ποιεῖ, τοῦτο οὐκ ἀνέχῃ πρὸ τοῦ χρόνου ποιῆσαι διὰ τὸν τοῦ Θεοῦ νόμον, ἀλλ' ἀμισθὶ μᾶλλον, ἢ ἐπὶ μισθῷ βούλει σοι σβεσθῆναι τὸ πάθος; Οὐδὲ γὰρ ἂν ἀπὸ τοῦ χρόνου γένηται τοῦτο, ἔσται σοί τι πλέον, ἀλλὰ καὶ πολλὴ ἡ κόλασις, ὅτι ὅπερ ὁ χρόνος

σότερον ἀπὸ τὰ θαύματα νὰ τοὺς κερδήσῃ, προλέγων ἄπειρα πράγματα εἰς τὸ δικαστήριον, εἰς τὸν ἴδιον τὸν Σταυρὸν λέγων, «Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν». Ὅταν ἐτάφη δὲ πόσα ἔδειξε διὰ τὴν σωτηρίαν ἐκείνων; Ὅταν πάλιν ἀνέστη, δὲν ἐκάλεσεν ἀμέσως τοὺς Ἰουδαίους; Δὲν τοὺς ἔδωσεν ἄφεσιν ἁμαρτημάτων; Δὲν τοὺς παρέθεσε τὰ ἄπειρα ἀγαθά; Τί πιὸ παράδοξον ἀπὸ αὐτό; Ἐκεῖνοι ποὺ τὸν ἐσταύρωσαν καὶ ἀπέπνεαν φόνον, μετὰ τὴν σταύρωσιν ἔγιναν υἱοὶ τοῦ Θεοῦ. Τί εἶναι ἀντάξιον αὐτῆς τῆς φροντίδος;

Τώρα ποὺ ἠκούσαμεν αὐτὰ ἂς καλύψωμεν τὸ πρόσωπόν μας ἀπὸ ἐντροπήν, διότι ἀπεμακρύνθημεν τόσον πολὺ ἀπὸ Ἐκεῖνον, τὸν ὁποῖον ἔχομεν ἐντολὴν νὰ μιμούμεθα. Ἔστω νὰ ἰδοῦμεν πόση εἶναι ἡ ἀπόστασις, ὥστε τοὐλάχιστον νὰ κατηγορήσωμεν τοὺς ἑαυτούς μας, ποὺ πολεμοῦμεν αὐτοὺς χάριν τῶν ὁποίων ὁ Χριστὸς ἔδωσε τὴν ψυχήν Του, καὶ δὲν θέλομεν νὰ συμφιλιωθοῦμεν μὲ ἐκείνους, ποὺ διὰ νὰ τοὺς συμφιλιώσῃ, δὲν ἐδίστασε καὶ νὰ σφαγῇ. Ἂς καλύψωμεν τὸ πρόσωπόν μας ἀπὸ ἐντροπήν, ἐκτὸς ἐὰν καὶ αὐτὸ ἀποτελῇ κάποιο ἔξοδον καὶ χρηματικὴν δαπάνην, ὅπως προφασίζεσθε εἰς τὴν ἐλεημοσύνην.

4. Σκέψου διὰ πόσα κακὰ εἶσαι ὑπεύθυνος, καὶ τότε ὄχι μόνον δὲν θὰ ἀποφύγῃς νὰ συγχωρήσῃς ἐκείνους ποὺ σὲ ἠδίκησαν, ἀλλὰ θὰ τρέξῃς πρὸς ὅσους σὲ ἔχουν κάνει νὰ λυπηθῇς, ὥστε νὰ εὕρῃς ἀφορμὴν συγχωρήσεως, ὥστε νὰ εὕρῃς παρηγορίαν διὰ τὰ ἰδικά σου κακά. Οἱ ἀπόγονοι τῶν Ἑλλήνων, ἂν καὶ δὲν ἤλπιζαν τίποτε τὸ σπουδαῖον, ἐφιλοσόφησαν πολλάκις ἐπάνω εἰς αὐτά. Καὶ σύ, ὁ ὁποῖος πρόκειται νὰ ἀποδημήσῃς εἰς τόσον μεγάλας ἐλπίδας, ἀποφεύγεις καὶ διστάζεις; Καὶ ἐκεῖνο τὸ ὁποῖον κάμνει ὁ χρόνος, δὲν ἀνέχεσαι νὰ τὸ κάνῃς πρὶν ἀπὸ τὸν χρόνον χάριν τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον θέλεις νὰ σοῦ σβησθῇ τὸ πάθος δωρεάν, χωρὶς νὰ πληρώσῃς; Διότι οὔτε ἐὰν τοῦτο γίνῃ μὲ τὸ πέρασμα τοῦ χρόνου, θὰ κερδήσῃς τίποτε, ἀντιθέτως μάλιστα θὰ τιμωρηθῇς περισσότερον, διότι αὐτὸ ποὺ ἔκανε

εἰργάσατο, τοῦτο ὁ τοῦ Θεοῦ νόμος οὐκ ἔπεισέ σε ποιῆσαι. Εἰ δὲ λέγεις, ὅτι φλεγμαίνεις τῆς ὕβρεως μεμνημένος, ἀναμνήσθητι εἴ τι γέγονέ σοι καλὸν παρὰ τοῦ λελυπηκότος, καὶ ὅσα σὺ ἑτέρους διέθηκας κακά.

Κακῶς σε εἶπε, καὶ κατήσχυνε; Λόγισαι ὅτι καὶ σὺ ἑτέρους εἴρηκας. Πῶς οὖν ἐπιτεύξῃ συγγνώμης, ἧς ἑτέροις οὐ μεταδίδως; Ἀλλ' οὐδένα εἴρηκας; Ἀλλ' ἤκουσας λεγόντων, καὶ ἀπεδέξω. Οὐδὲ τοῦτο ἀνεύθυνον. Θέλεις μαθεῖν ὅσον ἀγαθόν ἐστι τὸ μὴ μνησικακεῖν, καὶ πῶς μάλιστα τοῦτο τὸν Θεὸν εὐφραίνει; Τοὺς ἐφηδομένους τοῖς δικαίως παρ' αὐτοῦ κολαζομένοις τιμωρεῖται· καίτοι δικαίως κολάζονται, ἀλλὰ σὲ ἐπιχαίρειν οὐκ ἐχρῆν.

Καὶ ὁ προφήτης πολλὰ ἐγκαλέσας, καὶ τοῦτο ἐπήγαγεν εἰπών· «Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ»· καὶ πάλιν· «Οὐκ ἐξῆλθε κατοικοῦσα Ἐνὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς». Καίτοι καὶ ὁ Ἰωσήφ, τουτέστιν, αἱ φυλαὶ αἱ ἐξ αὐτοῦ, καὶ οἱ τούτων γείτονες, κατὰ Θεοῦ γνώμην ἐτιμωροῦντο· ἀλλ' ὅμως βούλεται καὶ τούτοις ἡμᾶς συναλγεῖν. Εἰ γὰρ ἡμεῖς πονηροὶ ὄντες, ὅταν τιμωρώμεθα οἰκέτην ἄν τινα τῶν συνδούλων γελάσαντα ἴδωμεν, καὶ παροξυνόμεθα μᾶλλον, καὶ ἐπ' ἐκεῖνον μετάγομεν τὴν ὀργήν· πολλῷ μᾶλλον ὁ Θεὸς τιμωρήσεται τοὺς ἐφηδομένους τοῖς κολαζομένοις. Εἰ δὲ τοῖς παρὰ Θεοῦ κολαζομένοις οὐκ ἐπεμβαίνειν, ἀλλὰ συναλγεῖν χρή, πολλῷ μᾶλλον τοῖς εἰς ἡμᾶς ἡμαρτηκόσι. Τοῦτο γὰρ ἀγάπης σημεῖον, ταύτην πάντων προτίθησιν ὁ Θεός. Καθάπερ γὰρ ἐπὶ τῆς ἁλουργίδος τῆς βασιλικῆς, ἐκεῖνά ἐστι τὰ τίμια τῶν ἀνθῶν καὶ τῶν χρωμάτων, ἅπερ τὴν χλανίδα κατασκευάζει ταύτην· οὕτω καὶ

16. Ἀμὼς 6, 6.
17. Μιχ. 1, 11.

ὁ χρόνος, δὲν σὲ ἔπεισε νὰ τὸ κάνῃς ὁ νόμος τοῦ Θεοῦ. Ἐὰν δὲ ἰσχυρίζεσαι ὅτι ταράσσεσαι ὅταν ἐνθυμῆσαι τὴν ὕβριν, ἐνθυμήσου ἐὰν σοῦ ἔγινε κάποιο καλὸν ἀπὸ ἐκεῖνον ποὺ σὲ ἐλύπησε καὶ πόσα κακὰ ἔκανες σὺ εἰς τοὺς ἄλλους.

Σοῦ ὡμίλησεν ἄσχημα καὶ σὲ ἐντρόπιασε; Σκέψου ὅτι καὶ σὺ ὡμίλησες ἄσχημα εἰς ἄλλους. Πῶς λοιπὸν θὰ τύχῃς συγγνώμης, τὴν ὁποίαν σὺ δὲν δίδεις εἰς ἄλλους; Ἴσως δὲν εἶπες κακὸν εἰς κανένα· ἤκουσες ὅμως νὰ λέγουν ἄλλοι καὶ τὸ ἐδέχθης. Οὔτε τοῦτο σὲ ἀπαλλάσσει τῆς εὐθύνης. Θέλεις νὰ μάθῃς πόσον καλὸν εἶναι τὸ νὰ μὴ μνησικακοῦμεν καὶ πόσον αὐτὸ εὐχαριστεῖ τὸν Θεόν; Τιμωρεῖ αὐτοὺς ποὺ εὐχαριστοῦνται μὲ ἐκείνους οἱ ὁποῖοι τιμωροῦνται δικαίως ἀπὸ Αὐτόν. Ἂν καὶ τιμωροῦνται δικαίως, ἐν τούτοις σὺ δὲν πρέπει νὰ χαίρεσαι δι' αὐτό.

Καὶ ὁ προφήτης ἀφοῦ ἐκατηγόρησε πολλὰ ἄλλα, ἐπρόσθεσε καὶ τοῦτο· «Δὲν ὑπέφεραν οὔτε διὰ τὴν ἀπώλειαν τοῦ Ἰωσὴφ»[16] καὶ πάλιν· «Δὲν ἐβγῆκεν αὐτὴ ποὺ κατοικοῦσεν εἰς τὴν Ἐνάν, νὰ θρηνήσῃ τὸν γειτονικόν της οἶκον»[17]. Μολονότι καὶ ὁ Ἰωσήφ, δηλαδὴ αἱ φυλαὶ ποὺ προῆλθαν ἀπὸ αὐτόν, καὶ οἱ γείτονές των ἐτιμωροῦντο κατ' ἀπόφασιν τοῦ Θεοῦ, ἀλλ' ὅμως θέλει καὶ δι' αὐτοὺς νὰ συμπάσχωμεν. Διότι, ἐὰν ἐμεῖς, ποὺ εἴμεθα πονηροί, ὅταν τιμωροῦμεν ἕνα δοῦλον, ἰδοῦμεν κάποιον ἀπὸ τοὺς συνδούλους του νὰ γελάσῃ, ὀργιζόμεθα περισσότερον καὶ μεταφέρομεν τὴν ὀργήν μας καὶ εἰς ἐκεῖνον, πολὺ περισσότερον θὰ τιμωρήσῃ ὁ Θεὸς ἐκείνους ποὺ εὐχαριστιοῦνται μὲ τοὺς τιμωρουμένους. Ἐὰν δὲ εἰς ἐκείνους ποὺ τιμωροῦνται ἀπὸ τὸν Θεὸν δὲν ἐπιτρέπεται νὰ παρεμβαίνωμεν, ἀλλὰ νὰ συμπάσχωμεν, πολὺ περισσότερον δὲν ἐπιτρέπεται τοῦτο εἰς ἐκείνους οἱ ὁποῖοι ἔκαναν κακὸν εἰς ἡμᾶς. Διότι αὐτὸ εἶναι σημεῖον τῆς ἀγάπης, τὴν ὁποίαν ὁ Θεὸς θέτει πρὶν ἀπὸ ὅλα. Διότι ὅπως εἰς τὴν βασιλικὴν ἁλουργίδα, τὰ πολυτιμώτερα χρώματα καὶ ἄνθη εἶναι ἐκεῖνα ποὺ κατασκευάζουν τὸ ἔνδυμα

ἐνταῦθα αὗταί εἰσιν αἱ ἀρεταὶ αἱ τίμιαι, αἵπερ ἂν τὴν ἀγάπην συνέχωσιν. Οὐδὲν δὲ οὕτως ἀγάπην διατηρεῖ, ὡς τὸ μὴ μεμνῆσθαι τῶν εἰς ἡμᾶς ἡμαρτηκότων.

Μὴ γὰρ οὐκ ἐφρόντισε καὶ θατέρου μέρους ὁ Θεός; μὴ γὰρ οὐκ ὦσε τὸν ἠδικηκότα πρὸς τὸν ἠδικημένον; οὐκ ἀπὸ τοῦ θυσιαστηρίου πέμπει πρὸς ἐκεῖνον αὐτόν, καὶ μετὰ τὰς καταλλαγὰς ἐπὶ τὴν τράπεζαν αὐτὸν καλεῖ; Ἀλλὰ μὴ διὰ τοῦτο περιμείνῃς ἐκεῖνον ἐλθεῖν, ἐπεὶ τὸ πᾶν ἀπώλεσας. Διὰ γὰρ τοῦτο μάλιστά σοι μισθὸν ἄφατον ὁρίζει, ἵνα φθάσῃς ἐκεῖνον· ὡς ἐὰν παρακληθεὶς καταλλαγῇς, οὐκέτι τῆς τοῦ Θεοῦ προσταγῆς γέγονεν ἡ φιλία, ἀλλὰ τῆς ἐκείνου σπουδῆς· διὸ καὶ ἀστεφάνωτος ἀναχωρεῖς, ἐκείνου τὰ βραβεῖα λαμβάνοντος. Τί λέγεις; Ἐχθρὸν ἔχεις, καὶ οὐκ αἰσχύνῃ; Οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ διάβολος, ὅτι καὶ ὁμογενεῖς ἐπισπώμεθα; Εἴθε μηδὲ ἐκεῖνος ἠθέλησεν ἡμῖν πολεμῆσαι, εἴθε μηδὲ ἐκεῖνος διάβολος ἦν! Οὐκ οἶσθα πόση ἡ ἡδονὴ μετὰ τὰς καταλλαγάς; Τί γάρ, εἰ καὶ ἐν τῇ ἔχθρᾳ οὐ σφόδρα φαίνεται; Ὅτι γὰρ ἥδιον φιλεῖν τὸν ἀδικοῦντα, ἢ μισεῖν, μετὰ τὸ λυθῆναι τὴν ἔχθραν, τότε δυνήσῃ μαθεῖν καλῶς.

5. Τί τοίνυν τοὺς μενομένους μιμούμεθα, ἀλλήλους κατεσθίοντες, τῇ οἰκείᾳ σαρκὶ πολεμοῦντες; Ἄκουσον καὶ ἐν τῇ Παλαιᾷ πόσος ἦν ὑπὲρ τούτου λόγος. «Ὁδοὶ μνησικάκων εἰς θάνατον». «Ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν, καὶ παρὰ Θεοῦ ζητεῖ ἴασιν». Καίτοι συνεχώρησεν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος· πῶς οὖν ἐγκαλεῖ; Ὅτι κἀκεῖνα συνεχώρησεν, οὐχ ἵνα ἀλλήλοις αὐτὰ ποιῶμεν, ἀλλ'

18. Ματθ. 5, 23-24.
19. Παροιμ. 12, 28.
20. Σοφ. Σειρ. 28, 3.
21. Ἐξ. 21, 24.

αὐτό, ἔτσι καὶ ἐδῶ, ἐκεῖναι εἶναι αἱ μεγαλύτεραι ἀρεταί, αἱ ὁποῖαι συγκρατοῦν τὴν ἀγάπην. Τίποτε δὲ δὲν διατηρεῖ τὴν ἀγάπην τόσον πολύ, ὅσον τὸ νὰ μὴ ἐνθυμούμεθα αὐτοὺς οἱ ὁποῖοι μᾶς ἔβλαψαν.

Μήπως δὲ δὲν ἐφρόντισε καὶ διὰ τὴν ἄλλην πλευρὰν ὁ Θεός; Μήπως δὲν ὤθησε καὶ αὐτὸν ποὺ ἠδίκησε πρὸς τὸν ἀδικημένον; Δὲν τὸν στέλνει ἀπὸ τὸ θυσιαστήριον πρὸς ἐκεῖνον ποὺ ἠδίκησε καὶ μετὰ τὴν συμφιλίωσιν τόν καλεῖ εἰς τὴν τράπεζαν;[18] Ἀλλὰ μὴ περιμένῃς, ἐξ αἰτίας αὐτοῦ, νὰ ἔλθῃ ἐκεῖνος, διότι ἔχασες τὸ πᾶν. Δι' αὐτὸ ἄλλωστε σοῦ ὑπόσχεται ἀμοιβὴν ἀνυπολόγιστον, διὰ νὰ προλάβῃς ἐκεῖνον. Διότι, ἐὰν συμφιλιωθῇς ἀφοῦ παρακληθῇς, ἡ συμφιλίωσις αὐτὴ δὲν προέρχεται ἀπὸ τὴν ὑπακοὴν εἰς τὴν ἐντολὴν τοῦ Θεοῦ, ἀλλὰ ἀπὸ τὴν προθυμίαν τοῦ ἄλλου· δι' αὐτὸ καὶ θὰ ἀναχωρήσῃς ἀβράβευτος, τὰ δὲ βραβεῖα θὰ λάβῃ ἐκεῖνος. Τί λέγεις; Ἔχεις ἐχθρὸν καὶ δὲν ἐντρέπεσαι; Δὲν μᾶς φθάνει ὁ διάβολος, ἀφοῦ καὶ συγγενεῖς πρέπει νὰ κερδήσωμεν; Εἴθε νὰ μὴ ἤθελεν οὔτε ἐκεῖνος νὰ μᾶς πολεμᾷ, εἴτε νὰ μὴ ἦτο οὔτε ἐκεῖνος διάβολος. Δὲν γνωρίζεις πόση εἶναι ἡ εὐχαρίστησις μετὰ τὴν συμφιλίωσιν; Διότι τί σημασίαν ἔχει, ἐὰν δὲν φαίνεται πολὺ μέσα εἰς τὴν ἔχθραν; Διότι ὅτι εἶναι πιὸ εὐχάριστον τὸ νὰ ἀγαπᾷς αὐτὸν ποὺ σὲ ἀδικεῖ, παρὰ νὰ τὸν μισῇς, θὰ ἠμπορέσῃς νὰ τὸ μάθῃς καλά, ὅταν σταματήσῃ ἡ ἔχθρα.

5. Διατί λοιπὸν μιμούμεθα αὐτοὺς ποὺ μαίνονται, κατατρώγοντες ὁ ἕνας τὸν ἄλλον, πολεμοῦντες τὴν ἰδίαν μας τὴν σάρκα; Ἄκουσε πόσος λόγος γίνεται περὶ αὐτοῦ καὶ εἰς τὴν Παλαιὰν Διαθήκην· «Οἱ δρόμοι τῶν μνησικάκων ὁδηγοῦν εἰς τὸν θάνατον»[19]. «Ὁ ἕνας ἄνθρωπος διατηρεῖ τὴν ὀργήν του ἐναντίον ἄλλου ἀνθρώπου καὶ ζητεῖ ἀπὸ τὸν Θεὸν θεραπείαν»[20]. Ἂν καὶ ἐπέτρεψε νὰ βγάζουν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος[21], πῶς λοιπὸν τοὺς κατηγορεῖ; Κατηγορεῖ διότι καὶ ἐκεῖνα τὰ ἐπέτρεψεν ὄχι διὰ νὰ τὰ κάνωμεν μεταξύ μας, ἀλλὰ διὰ νὰ ἀποφύγωμεν

ἵνα δέει τοῦ παθεῖν ἀπεχώμεθα τοῦ τολμᾶν. Καὶ ἄλλως δέ, ἐκεῖνα μὲν προσκαίρου τινὸς ὀργῆς ἐστι, τὸ δὲ μνησικακεῖν, ψυχῆς πονηρίαν μελετώσης. Ἀλλὰ κακῶς ἔπαθες; Ἀλλ' οὐδὲν τοσοῦτον, ὅσον σαυτὸν ἐργάσῃ μνησικακῶν. Ἄλλως δὲ οὐδὲ δυνατὸν ἄνδρα ἀγαθὸν κακόν τι παθεῖν.

Ἔστω γάρ τις καὶ παιδία ἔχων καὶ γυναῖκα, καὶ φιλοσοφείτω, ἐχέτω δὲ καὶ πολλὰς ἀφορμὰς βλάβης, καὶ χρημάτων περιουσίαν, καὶ ἀρχῆς δυναστείαν, καὶ φίλους πολλούς, καὶ τιμῆς ἀπολαυέτω, πλὴν φιλοσοφείτω· τοῦτο γὰρ δεῖ προσκεῖσθαι· καὶ προσάγωμεν αὐτῷ τὰς πληγὰς τῷ λόγῳ. Καὶ προσιών τις μοχθηρὸς ἀνὴρ περιβαλλέτω ζημίᾳ· τί οὖν πρὸς τὸν οὐδὲν ἡγούμενον εἶναι χρήματα; Τὰ τέκνα ἀναιρείτω· τί οὖν πρὸς τὸν περὶ ἀναστάσεως φιλοσοφοῦντα; Τὴν γυναῖκα σφαττέτω· καὶ τί τοῦτο πρὸς τὸν πεπαιδευμένον μὴ πενθεῖν τοὺς κεκοιμημένους; Εἰς ἀτιμίαν ἐμβαλλέτω· τί πρὸς τὸ ἄνθος χόρτου τὰ παρόντα ἡγούμενον; Εἰ βούλει, καὶ τὸ σῶμα κολαζέτω, καὶ εἰς δεσμωτήριον ἐμβαλλέτω· τί οὖν πρὸς τὸν μαθόντα, «Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται», καὶ ὅτι «Ἡ θλῖψις δοκιμὴν κατεργάζεται»; Ἐγὼ μὲν οὖν μηδὲν βλαβήσεσθαι αὐτὸν ὑπεσχόμην· ὁ δὲ λόγος προϊὼν ἔδειξεν ὅτι καὶ ὠφελεῖται ἀνακαινούμενος καὶ δόκιμος γινόμενος.

Μὴ τοίνυν πρὸς ἑτέρους ἀλγῶμεν, ἑαυτοὺς ἀδικοῦντες, καὶ ἀσθενῆ κατασκευάζοντες τὴν ψυχήν. Οὐ γὰρ τῆς τῶν πλησίον πονηρίας ἐστὶ τοσοῦτον, ὅσον τῆς ἡμετέρας ταλαιπωρίας ἡ ἀλγηδών. Διὰ τοῦτο, κἂν ὑβρίσῃ τις, δακρύομεν

22. Β' Κορ. 4, 16.
23. Ρωμ. 5, 4.

νὰ τὰ κάνωμεν ἀπὸ φόβον μήπως τὰ πάθωμεν. Καὶ δι' ἕνα ἄλλον λόγον, διότι ἐκεῖνα μὲν εἶναι ἀποτέλεσμα κάποιας στιγμιαίας ὀργῆς, ἐνῷ ἡ μνησικακία προέρχεται ἀπὸ ψυχὴν ἡ ὁποία σχεδιάζει τὴν πονηρίαν. Θὰ ἰσχυρισθῇς ἴσως ὅτι ἐκακοποιήθης· τίποτε ὅμως δὲν εἶναι τόσον κακόν, ὅσον θὰ κάνῃς σὺ εἰς τὸν ἑαυτόν σου μὲ τὴν μνησικακίαν. Ἄλλωστε δὲν εἶναι δυνατὸν ἄνδρας ἀγαθὸς νὰ πάθῃ κάτι κακόν.

Ἂς ὑποθέσωμεν ὅτι ἕνας ἔχει παιδιὰ καὶ γυναῖκα καὶ ἀντιμετωπίζει τὰ πάντα μὲ φιλοσοφικότητα, καὶ ἀκόμη ὅτι ἔχει πολλὰς ἀφορμὰς νὰ ὑποστῇ βλάβην, ἔχει καὶ χρηματικὴν περιουσίαν καὶ ἀξίωμα ἐξουσίας καὶ φίλους πολλοὺς καὶ ἐκτιμᾶται πολύ, ἀλλὰ ἀντιμετωπίζει ὅλα μὲ φιλοσοφικότητα· διότι πρέπει αὐτὸ νὰ τὸ θεωρήσωμεν ὡς δεδομένον. Καὶ ἂς ὑποθέσωμεν ὅτι τὸν πλησιάζει κάποιος μοχθηρὸς καὶ τὸν ζημιώνει· τί σημασίαν ἔχει αὐτὸ δι' ἐκεῖνον ὁ ὁποῖος δὲν ὑπολογίζει τὰ χρήματα; Ἂς τοῦ φονεύσῃ τὰ παιδιά· τί σημασίαν ἔχει αὐτὸ δι' ἐκεῖνον ὁ ὁποῖος πιστεύει εἰς τὴν ἀνάστασιν; Ἂς τοῦ σφάξῃ τὴν γυναῖκα· καὶ τί εἶναι αὐτὸ δι' ἐκεῖνον ὁ ὁποῖος ἔχει διδαχθῇ νὰ μὴ θρηνῇ τοὺς ἀποθαμένους; Ἂς τὸν ρίψῃ εἰς ἀτιμίαν· τί σημασίαν ἔχει αὐτὸ δι' ἐκεῖνον ὁ ὁποῖος θεωρεῖ ὅλα τὰ παρόντα ὡσὰν ἄνθος τοῦ ἀγροῦ; Ἐὰν θέλῃς, ἂς τοῦ κακοποιήσῃ καὶ τὸ σῶμα καὶ ἂς τὸ ρίψῃ εἰς τὴν φυλακήν. Τί σημασίαν ἔχει αὐτὸ δι' ἐκεῖνον ὁ ὁποῖος ἔμαθεν ὅτι «ἂν καὶ ὁ ἐξωτερικός μας ἄνθρωπος φθείρεται, ὁ ἐσωτερικὸς ὅμως ἀνακαινίζεται»[22] καὶ ὅτι «ἡ θλῖψις παράγει ὑπομονήν»[23]; Ἐγὼ μὲν λοιπὸν θὰ ἐβεβαίωνα ὅτι δὲν θὰ ἐπάθαινε τίποτε· ὁ δὲ λόγος παρακατιὼν θὰ δείξῃ ὅτι καὶ θὰ ὠφεληθῇ, μὲ τὸ νὰ ἀνανεώνεται καὶ νὰ γίνεται ἄξιος.

Ἂς μὴ ὑποφέρωμεν λοιπὸν ἀπὸ τοὺς ἄλλους, ἀφοῦ ἀδικοῦμεν τοὺς ἑαυτούς μας καὶ ἀρρωσταίνωμεν τὴν ψυχήν μας. Διότι ὁ πόνος δὲν ὀφείλεται τόσον εἰς τὴν πονηρίαν τῶν ἄλλων, ὅσον εἰς τὴν ἰδικήν μας ταλαιπωρίαν. Δι' αὐτὸ καὶ ὅταν μᾶς ὑβρίσῃ κάποιος, δακρύζομεν καὶ ἐξευτελιζό-

καὶ συστελλόμεθα· κἂν ἁρπάσῃ τις, τὸ αὐτὸ πάσχομεν, κατὰ τὰ παιδία ἐκεῖνα τὰ μικρά, ἅπερ οἱ τῶν ὁμηλίκων ἀστειότεροι παροξύνουσιν ὑπὲρ οὐδενὸς ἀναγκαίου, ἀλλ' ἐπὶ μικρῶν προφάσεων λυποῦντες· ἀλλ' ὅμως κἀκεῖνα, ἂν μὲν ἴδωσι κνιζόμενα, ἐπιμένουσι δάκνοντες· ἂν δὲ γελῶντα, καὶ ἀφίστανται.

Ἀλλ' ἡμεῖς καὶ τούτων ἀνοητότεροι, ὑπὲρ ὧν ἔδει γελᾶν, ὑπὲρ τούτων ὀδυρόμενοι. Διὸ παρακαλῶ, τὴν παιδικὴν ταύτην διάνοιαν ἀφέντες, τῶν οὐρανῶν ἐπιλαβώμεθα. Καὶ γὰρ ἄνδρας ἡμᾶς ὁ Χριστὸς εἶναι βούλεται, ἄνδρας τελείους. Οὕτω καὶ ὁ Παῦλος ἐκέλευσεν, «Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσί», λέγων, «ἀλλὰ τῇ κακίᾳ νηπιάζετε».

Νηπιάσωμεν τοίνυν τῇ κακίᾳ, καὶ τὴν πονηρίαν φυγόντες, τῆς ἀρετῆς ἐπιλαβώμεθα, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

24. Ἐφ. 4, 13.
25. Α΄ Κορ. 14, 20.

μεθα· καὶ ὅταν μᾶς κλέψῃ κανεὶς ὑποφέρομεν τὰ ἴδια, ὅπως ἐκεῖνα τὰ μικρὰ παιδιά, τὰ ὁποῖα οἱ πιὸ φιλοσκώμμονες ἀπὸ τοὺς συνομηλίκους των τὰ ἐρεθίζουν μὲ τὸ τίποτε καὶ τὰ στενοχωροῦν μὲ μικροαφορμάς. Ἀλλ' ὅμως καὶ ἐκεῖνα, ἂν μὲν ἰδοῦν ὅτι ἐρεθίζονται, ἐπιμένουν νὰ τὰ πειράζουν περισσότερον, ἂν ὅμως ἰδοῦν ὅτι γελοῦν, τότε παραιτοῦνται.

Ἐμεῖς λοιπὸν εἴμαστε καὶ ἀπὸ αὐτὰ πιὸ ἀνόητοι, ἀφοῦ ὀδυρόμεθα δι' αὐτά, διὰ τὰ ὁποῖα ἔπρεπε νὰ γελοῦμεν. Δι' αὐτὸ παρακαλῶ, ἀφοῦ ἀφήσωμεν αὐτὴν τὴν παιδικὴν νοοτροπίαν, ἂς προσπαθήσωμεν νὰ κερδήσωμεν τὴν βασιλείαν. Διότι ὁ Χριστὸς μᾶς θέλει νὰ εἴμεθα ἄνδρες τέλειοι[24]. Καὶ ὁ Παῦλος ἔτσι μᾶς παραγγέλλει, λέγων· «Ἀδελφοί, μὴ γίνεσθε παιδιὰ κατὰ τὸν νοῦν, ἀλλὰ νὰ εἶσθε νήπια κατὰ τὴν κακίαν»[25].

Ἂς γίνωμεν λοιπὸν νήπια ὡς πρὸς τὴν κακίαν καὶ ἀφοῦ ἀποφύγωμεν τὴν πονηρίαν, ἂς ἐπιδιώξωμεν τὴν ἀρετήν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ αἰώνια ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Π΄.

Ἰω. 26, 6 - 16

«*Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνή, ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ ἐξέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀνακειμένου*».

1. Ἡ γυνὴ αὕτη δοκεῖ μὲν εἶναι μία καὶ ἡ αὐτὴ παρὰ τοῖς εὐαγγελισταῖς ἅπασιν, οὐκ ἔστι δέ· ἀλλὰ παρὰ μὲν τοῖς τρισὶ μία τις εἶναί μοι δοκεῖ καὶ ἡ αὐτή· παρὰ δὲ τῷ Ἰωάννῃ οὐκέτι· ἀλλ' ἑτέρα τις θαυμαστή, ἡ τοῦ Λαζάρου ἀδελφή. Οὐχ ἁπλῶς δὲ τῆς λέπρας μέμνηται τοῦ Σίμωνος ὁ εὐαγγελιστής, ἀλλ' ἵνα δείξῃ πόθεν θαρροῦσα προσῆλθεν ἡ γυνή. Ἐπειδὴ γὰρ ἡ λέπρα σφόδρα ἐδόκει ἀκάθαρτον εἶναι πάθος καὶ βδελυκτόν, εἶδε δὲ τὸν Ἰησοῦν καὶ θεραπεύσαντα τὸν ἄνθρωπον (οὐ γὰρ ἂν εἵλετο μεῖναι παρὰ τῷ λεπρῷ), καὶ καταχθέντα παρ' αὐτῷ, ἐθάρσησεν ὅτι καὶ τὴν τῆς ψυχῆς αὐτῆς ἀκαθαρσίαν ἀποσμήξει ῥαδίως.

Οὐχ ἁπλῶς δὲ καὶ τὴν πόλιν φησί, τὴν Βηθανίαν, ἀλλ' ἵνα μάθῃς, ὅτι ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. Ὁ γὰρ πρὸ τούτου διαδιδράσκων αὐτούς, ὅτε μάλιστα ἐξήφθη αὐτῶν ἡ βασκανία, τότε πλησίον ἔρχεται ὡς ἀπὸ σταδίων δεκαπέντε· οὕτως οἰκονομίας ἦν καὶ τὸ πρότερον ἀναχωρεῖν. Ἰδοῦσα τοίνυν αὐτὸν ἡ γυνή, καὶ τὸ θαρρεῖν λαβοῦσα ἐντεῦθεν, προσήει. Εἰ γὰρ ἡ αἱμορροοῦσα, καίτοι οὐδὲν ἑαυτῇ συνειδυῖα τοιοῦτον, διὰ τὴν ἀπὸ τῆς φύσεως δοκοῦσαν εἶναι ἀκαθαρσίαν, τρέμουσα καὶ δεδοικυῖα προσῆλθε, πολλῷ μᾶλλον ταύ-

---

1. Τὸ στάδιον ἀντιστοιχοῦσε πρὸς δρόμον μήκους 185 μέτρων.

ΟΜΙΛΙΑ Π΄.

'Ιω. 26, 6 - 16

«Ὅταν ὁ Ἰησοῦς εὑρίσκετο εἰς τὴν Βηθανίαν, εἰς τὴν οἰκίαν τοῦ Σίμωνος τοῦ λεπροῦ, ἦλθε πρὸς αὐτὸν μία γυναῖκα, ἡ ὁποία ἐκρατοῦσεν ἕνα ἀλαβάστρινον δοχεῖον μὲ πανάκριβον μύρον, καὶ τὸ ἔχυσεν εἰς τὸ κεφάλι του, ἐνῷ Αὐτὸς ἦτο καθισμένος εἰς τὸ τραπέζι».

1. Ἡ γυναῖκα αὐτὴ φαίνεται πὼς εἶναι ἡ ἰδία εἰς ὅλους τοὺς Εὐαγγελιστάς, ὅμως δὲν εἶναι. Ἀλλὰ εἰς μὲν τοὺς τρεῖς νομίζω πὼς εἶναι μία καὶ ἡ αὐτή, εἰς τὸν Ἰωάννην ὅμως ὄχι. Ἀλλὰ κάποια ἄλλη ἀξιοθαύμαστος, ἡ ἀδελφὴ τοῦ Λαζάρου. Δὲν ἀναφέρει δὲ τυχαίως τὴν λέπραν τοῦ Σίμωνος ὁ Εὐαγγελιστής, ἀλλὰ τὸ κάμνει διὰ νὰ δείξῃ ἀπὸ ποῦ ἐπῆρε θάρρος ἡ γυναῖκα νὰ πλησιάσῃ. Διότι, ἐπειδὴ ἡ λέπρα ἐθεωρεῖτο ὅτι εἶναι πολὺ ἀκάθαρτος καὶ σιχαμερὴ ἀσθένεια, καὶ εἶδεν ὅτι ὁ Ἰησοῦς ἐθεράπευσε τὸν ἄνθρωπον (διότι ἀλλιῶς δὲν θὰ ἐπροτιμοῦσε νὰ μείνῃ εἰς τὴν οἰκίαν τοῦ λεπροῦ) καὶ κατέλυσεν εἰς αὐτόν, εἶχε τὴν πεποίθησιν ὅτι καὶ τὴν ἀκαθαρσίαν τῆς ψυχῆς της θὰ τὴν καθαρίσῃ εὔκολα.

Οὔτε καὶ τὴν πόλιν Βηθανίαν τὴν ἀναφέρει τυχαίως, ἀλλὰ διὰ νὰ μάθῃς ὅτι ἔρχεται πρὸς τὸ πάθος ἑκουσίως. Διότι Αὐτὸς ὁ ὁποῖος πρὶν ἀπὸ αὐτὸ τοὺς ἀπέφευγε, τώρα ποὺ εἶχε κατ' ἐξοχὴν ἐξαφθῆ ὁ φθόνος των, ἔρχεται κοντά τους, μέχρι δεκαπέντε στάδια[1]. Ὥστε καὶ τὸ ὅτι προηγουμένως ἀνεχώρει, ἦτο ἐνέργεια τοῦ θείου σχεδίου. Ὅταν λοιπὸν τὸν εἶδεν ἡ γυναῖκα καὶ ἔλαβε τὸ θάρρος ἀπὸ ἐδῶ, προσῆλθε. Διότι, ἐὰν ἡ αἱμορροοῦσα, μολονότι δὲν ᾐσθάνετο τίποτε τέτοιο εἰς τὸν ἑαυτόν της, μόνον διὰ τὴν φυσικήν, ὅπως ἐθεωρεῖτο, ἀκαθαρσίαν της προσῆλθε τρέμουσα καὶ φοβισμένη, ἦτο φυσικὸν πολὺ περισσότερον νὰ

την ὀκνεῖν καὶ ἀναδύεσθαι εἰκὸς ἦν, διὰ τὸ πονηρὸν συνειδός. Διὸ καὶ μετὰ πολλὰς γυναῖκας, τὴν Σαμαρεῖτιν, τὴν Χαναναίαν, τὴν αἱμορροοῦσαν, καὶ ἑτέρας πλείους προσέρχεται, διὰ τὸ πολλὴν ἑαυτῇ συνειδέναι ἀσέλγειαν· καὶ οὐδὲ δημοσίᾳ, ἀλλ' ἐν οἰκίᾳ.

Καὶ πάντων τῶν ἄλλων ὑπὲρ θεραπείας προσερχομένων σωματικῆς μόνον, αὕτη τιμῆς ἕνεκεν προσήει μόνης, καὶ τῆς κατὰ τὴν ψυχὴν διορθώσεως. Οὐδὲ γάρ τι τοῦ σώματος ἀνάπηρος ἦν· ὥστε καὶ διὰ τοῦτο μάλιστα ἄν τις αὐτὴν θαυμάσειε. Καὶ οὐδὲ ὡς ἀνθρώπῳ προσήει ψιλῷ· οὐ γὰρ ἂν ταῖς θριξὶ κατέμαξεν· ἀλλ' ὡς μείζονι ἢ κατὰ ἄνθρωπον. Διὰ τοῦτο ὃ παντὸς τοῦ σώματος τιμιώτερον ἦν μέλος, τοῦτο πρὸς τοὺς πόδας ἤνεγκε τοῦ Χριστοῦ, τὴν κεφαλὴν τὴν ἑαυτῆς.

«Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν», φησί, «λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη; Ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι τοῖς πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπε· Τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς».

Καὶ πόθεν αὐτοῖς αὕτη ἡ διάνοια; Ἤκουον τοῦ διδασκάλου λέγοντος, «Ἔλεον θέλω, καὶ οὐ θυσίαν», καὶ τοῖς Ἰουδαίοις ἐγκαλοῦντος, ὅτι τὰ βαρύτερα ἠφίεσαν, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν, καὶ πολλὰ ἐν τῷ ὄρει περὶ ἐλεημοσύνης διαλεχθέντος· καὶ ἀπὸ τούτων συνελογίζοντο

---

2. Ὠσ. 6, 6.
3. Ματθ. 5, 7 καὶ 6, 1-4.

διστάζῃ καὶ νὰ ἀποφεύγῃ αὐτή, ἐξαιτίας τῆς πονηρᾶς συνειδήσεώς της. Δι᾽ αὐτὸ καὶ προσέρχεται μετὰ ἀπὸ πολλὰς γυναῖκας, τὴν Σαμαρείτιδα, τὴν Χαναναίαν, τὴν αἱμορροοῦσαν καὶ ἄλλας πολλάς, διότι εἶχε συναίσθησιν τῆς πολλῆς ἀκολασίας της. Καὶ προσέρχεται ὄχι εἰς δημόσιον χῶρον, ἀλλὰ μέσα εἰς οἰκίαν.

Καὶ ἐνῷ ὅλοι οἱ ἄλλοι προσέρχονται χάριν σωματικῆς μόνον θεραπείας, αὐτὴ προσέρχεται μόνον χάριν τῆς τιμῆς καὶ τῆς διορθώσεως τῆς ψυχῆς της. Διότι δὲν εἶχε καμμία ἀναπηρίαν τοῦ σώματος· ὥστε καὶ ἕνεκα τούτου θὰ ἠμποροῦσε κανεὶς πολὺ νὰ τὴν θαυμάσῃ. Καὶ δὲν προσέρχεται εἰς τὸν Χριστὸν ὡς πρὸς ἁπλοῦν ἄνθρωπον, διότι δὲν θὰ τὸν ἐσκούπιζε μὲ τὰς τρίχας της· ἀλλ᾽ ὡς πρὸς ἀνώτερον ἀπὸ ἄνθρωπον. Δι᾽ αὐτὸ τὸ μέλος ποὺ εἶναι τὸ πιὸ πολύτιμον ὅλου τοῦ σώματος, τὴν κεφαλήν της, τὴν ἔφερεν εἰς τὰ πόδια τοῦ Χριστοῦ.

«Ὅταν τὸ εἶδαν αὐτὸ οἱ μαθηταὶ ἀγανάκτησαν», ἀναφέρει ὁ Εὐαγγελιστής, «καὶ εἶπαν· γιατί νὰ γίνῃ ἡ σπατάλη αὐτή; Διότι θὰ ἠμποροῦσε τὸ μύρον αὐτὸ νὰ πωληθῇ ἀντὶ μεγάλου ποσοῦ καὶ νὰ δοθῇ εἰς τοὺς πτωχούς. Ὅταν τὸ ἐκατάλαβε ὁ Ἰησοῦς τοὺς εἶπε· διατί ἐνοχλεῖτε τὴν γυναῖκα; Ἔκαμε μίαν καλὴν πρᾶξιν δι᾽ ἐμέ. Διότι τοὺς πτωχοὺς τοὺς ἔχετε πάντοτε μαζί σας, ἐνῷ ἐμένα δὲν μὲ ἔχετε. Διότι ὅταν αὐτὴ ἔχυσε τὸ μύριον αὐτὸ εἰς τὸ σῶμα μου, τὸ ἔκαμε διὰ τὸν ἐνταφιασμόν μου. Σᾶς διαβεβαιώνω ὅτι ὅπου καὶ ἂν κηρυχθῇ τὸ Εὐαγγέλιον αὐτὸ εἰς ὅλον τὸν κόσμον, θὰ διαλαληθῇ καὶ αὐτὸ ποὺ ἔκανεν αὐτὴ εἰς μνήμην της».

Ἀπὸ ποῦ τοὺς ἦλθεν αὐτὴ ἡ σκέψις; Ἤκουαν τὸν Διδάσκαλον ποὺ ἔλεγεν, «ἔλεον θέλω καὶ οὐ θυσίαν»[2], καὶ ἐκατηγοροῦσε τοὺς Ἰουδαίους ὅτι ἄφηναν τὰ σοβαρώτερα, τὴν δικαιοσύνην, τὴν ἐλεημοσύνην καὶ τὴν πίστιν, καὶ ὁ ὁποῖος εἶχεν ὁμιλήσει διὰ μακρῶν περὶ ἐλεημοσύνης ἐπάνω εἰς τὸ ὄρος[3], καὶ ἀπὸ αὐτὰ ἐσκέφθησαν καὶ ἐσυμπέρα-

πρὸς ἑαυτοὺς καὶ ἐνενόουν, ὅτι εἰ ὁλοκαυτώματα οὐ προσίεται, οὐδὲ τὴν παλαιὰν λατρείαν, πολλῷ μᾶλλον τοῦ ἐλαίου τὴν χρίσιν.

Ἀλλ' οὗτοι μὲν οὕτως ἐνόμιζον· ὁ δὲ τὴν διάνοιαν αὐτῆς ὁρῶν, ἀφίησι. Καὶ γὰρ πολλὴ ἡ εὐλάβεια ἦν, καὶ ἄφατος ἡ σπουδή· διὸ καὶ σφόδρα συγκαταβαίνων, συνεχώρησε καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ χυθῆναι τὸ ἔλαιον. Εἰ γὰρ ἄνθρωπος γενέσθαι, καὶ κυοφορηθῆναι, καὶ γαλακτοτροφηθῆναι οὐ παρῃτήσατο, τί θαυμάζεις εἰ τοῦτο οὐ διακρούεται; Ὥσπερ γὰρ ὁ Πατὴρ αὐτοῦ κνίσης ἠνέσχετο καὶ καπνοῦ, οὕτω καὶ αὐτὸς τῆς πόρνης, ὅπερ ἔφθην εἰπών, τὴν αὐτῆς διάνοιαν ἀποδεχόμενος. Καὶ γὰρ ὁ Ἰακὼβ στήλην ἤλειψε τῷ Θεῷ, καὶ ἐν ταῖς θυσίαις ἔλαιον προσήγετο, καὶ οἱ ἱερεῖς μύρῳ ἐχρίοντο.

Ἀλλ' οἱ μαθηταὶ τὴν γνώμην αὐτῆς οὐκ εἰδότες, ἀκαίρως ἐμέμφοντο, καὶ δι' ὧν ἐνεκάλουν, δεικνύουσι τῆς γυναικὸς τὴν φιλοτιμίαν. Εἰπόντες γάρ, ὅτι Ἠδύνατο τριακοσίων δηναρίων πραθῆναι, ἔδειξαν ὅσον ἀνάλωσεν εἰς τὸ μύρον αὕτη, καὶ ὅσην ἐπεδείξατο τὴν μεγαλοψυχίαν. Διὸ καὶ ἐπιτίμα αὐτοῖς, λέγων· «Τί κόπους παρέχετε τῇ γυναικί;». Καὶ λογισμὸν προστίθησι, βουλόμενος αὐτοὺς πάλιν ἀναμνῆσαι τοῦ πάθους· «Εἰς τὸν ἐνταφιασμόν μου» γάρ, φησίν, «ἐποίησε». Καὶ ἕτερον λογισμόν· «Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε»· καί, «Ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη».

Εἶδες πῶς πάλιν τὴν εἰς τὰ ἔθνη ἔξοδον προαναφωνεῖ, καὶ ταύτῃ παραμυθούμενος αὐτοὺς ὑπὲρ τοῦ θανάτου, εἴγε τοσαύτη μετὰ τὸν σταυρὸν ἡ δύναμις ἐκλάμψει, ὡς πανταχοῦ τῆς γῆς ἐκχυθῆναι τὸ κήρυγμα; Τίς οὖν οὕτως ἄθλιος,

4. Γεν. 28, 18. Πρβλ. καὶ Λευϊτ. 2, 4 καὶ 8, 10.

ναν, ὅτι ἐφ' ὅσον δὲν ἐπιδοκιμάζει τὰ ὁλοκαυτώματα, οὔτε τὴν παλαιὰν λατρείαν, πολὺ περισσότερον δὲν δέχεται τὴν ἐπάλειψιν τοῦ μύρου.

Καὶ αὐτοὶ μὲν ἔτσι ἐνόμιζαν. Ἐκεῖνος ὅμως, βλέπων τὰς σκέψεις της, τῆς ἐπιτρέπει. Διότι ἦτο μεγάλη ἡ εὐλάβειά της καὶ ἀπερίγραπτος ἡ προθυμία της· δι' αὐτὸ μὲ πολλὴν συγκατάβασιν ἐπέτρεψε νὰ χυθῇ τὸ μύρον καὶ εἰς τὴν κεφαλήν Του. Διότι, ἐφ' ὅσον δὲν ἀπηξίωσε νὰ γίνῃ ἄνθρωπος καὶ νὰ κυοφορηθῇ καὶ νὰ τραφῇ μὲ γάλα, διατί ἀπορεῖς ἐὰν δὲν ἀποκρούῃ καὶ αὐτό; Διότι ὅπως ὁ Πατήρ Του ἠνείχετο καὶ τὴν κνῖσαν καὶ τὸν καπνόν, ἔτσι καὶ Αὐτὸς ἀνέχεται τὴν πόρνην, διότι, ὅπως εἶπα ἤδη, ἐπεδοκίμαζε τὰς σκέψεις της. Ἄλλωστε καὶ ὁ Ἰακὼβ ἄλειψε μὲ ἔλαιον μίαν στήλην ἀφιερωμένην εἰς τὸν Θεόν[4], καὶ εἰς τὰς θυσίας προσφέρετο ἔλαιον καὶ οἱ ἱερεῖς ἐχρίοντο μὲ μύρον.

Οἱ μαθηταὶ ὅμως, ἐπειδὴ δὲν ἐγνώριζαν τὴν διάθεσίν της, τὴν ἐκατηγοροῦσαν ἀδίκως, μὲ τὰς κατηγορίας των δὲ ἔδειξαν τὴν γενναιοδωρίαν τῆς γυναικός. Διότι ὅταν εἶπαν ὅτι ἠμποροῦσε νὰ πωληθῇ τὸ μύρον ἐκεῖνο ἀντὶ τριακοσίων δηναρίων, ἔδειξαν πόσα ἐδαπάνησε διὰ τὸ μύρον ἐκείνη καὶ πόσον μεγαλοψυχίαν ἐπέδειξε. Δι' αὐτὸ καὶ ὁ Χριστὸς τοὺς ἐπέπληξε λέγων· «Διατί ἐνοχλεῖτε τὴν γυναῖκα;». Καὶ ἐπειδὴ ἤθελε νὰ τοὺς ὑπενθυμίσῃ τὸ πάθος, ἐπρόσθεσε τὸν ἑξῆς συλλογισμόν· «Τὸ ἔκαμε διὰ τὸν ἐνταφιασμόν μου». Καὶ ἄλλον συλλογισμόν· «Διότι τοὺς πτωχοὺς τοὺς ἔχετε πάντοτε μαζί σας, ἐνῷ ἐμένα δὲν μὲ ἔχετε πάντοτε» καὶ «ὅπου καὶ ἂν κηρυχθῇ τὸ εὐαγγέλιον, θὰ διαλαληθῇ καὶ αὐτὸ ποὺ ἔκαμεν αὐτή».

Εἶδες ὅτι πάλιν προαναγγέλλει τὴν διάδοσιν τοῦ εὐαγγελίου εἰς τοὺς ἐθνικοὺς καὶ μὲ αὐτὴν τοὺς παρηγορεῖ διὰ τὸν θάνατόν Του, ἀφοῦ τόσον μεγάλη δύναμις θὰ προκύψῃ μετὰ τὴν σταύρωσιν, ὥστε νὰ διαδοθῇ τὸ κήρυγμα εἰς ὁλόκληρον τὴν γῆν; Ποῖος λοιπὸν εἶναι τόσον κακόπιστος, ὥστε

ὡς πρὸς τοσαύτην ἀντιβλέψαι ἀλήθειαν; Ἰδοὺ γὰρ ὅπερ εἶπε, γέγονε· καὶ ὅπουπερ ἂν ἀπέλθῃς τῆς οἰκουμένης, ὄψει καὶ ταύτην ἀνακηρυττομένην. Καίτοι οὐδὲ τὸ πρόσωπον ἐπίσημον ἦν, οὔτε μάρτυρας ἔχον πολλούς, οὔτε ἐν θεάτρῳ τὸ γεγενημένον, ἀλλ' ἐν οἰκίᾳ, καὶ ἐν οἰκίᾳ λεπροῦ τινος, τῶν μαθητῶν μόνον παρόντων.

2. Τίς οὖν αὐτὸ ἐξήχησε καὶ διαδοθῆναι ἐποίησεν; Ἡ τοῦ ταῦτα λέγοντος δύναμις. Καὶ βασιλέων μὲν μυρίων καὶ στρατηγῶν ἀνδραγαθήματα, ὧν καὶ τὰ ὑπομνήματα μένει, σεσίγηνται· καὶ πόλεις ἀναστήσαντες, καὶ τείχη περιβαλόντες, καὶ πολέμους νικήσαντες, καὶ τρόπαια στήσαντες, καὶ ἔθνη πολλὰ δουλωσάμενοι, οὐδὲ ἐξ ἀκοῆς, οὐδὲ ἐξ ὀνόματός εἰσι γνώριμοι, καίτοι καὶ ἀνδριάντας ἀναστήσαντες καὶ νόμους θέντες· ὅτι δὲ πόρνη γυνὴ ἔλαιον ἐξέχεεν ἐν οἰκίᾳ λεπροῦ τινος, δέκα ἀνδρῶν παρόντων, τοῦτο πάντες ᾄδουσι κατὰ τὴν οἰκουμένην, καὶ χρόνος τοσοῦτος διῆλθε, καὶ ἡ μνήμη τοῦ γενομένου οὐκ ἐμαράνθη· ἀλλὰ καὶ Πέρσαι, καὶ Ἰνδοί, καὶ Σκύθαι, καὶ Θρᾷκες, καὶ Σαυρομάται, καὶ τὸ Μαύρων γένος, καὶ οἱ τὰς Βρεττανικὰς νήσους οἰκοῦντες τὸ ἐν Ἰουδαίᾳ γενόμενον λάθρα ἐν οἰκίᾳ παρὰ γυναικὸς πεπορνευμένης περιφέρουσι.

Μεγάλη ἡ φιλανθρωπία τοῦ Δεσπότου. Πόρνης ἀνέχεται, πόρνης πόδας φιλούσης, καὶ βρεχούσης ἐλαίῳ, καὶ καταμασσούσης ταῖς θριξί, καὶ προσίεται, καὶ ἐπιτιμᾷ τοῖς ἐγκαλοῦσιν. Οὐδὲ γὰρ ἔδει ὑπὲρ τοσαύτης σπουδῆς ἐξαπορηθῆναι τὴν γυναῖκα.

Σὺ δέ μοι κἀκεῖνο σκόπει, πῶς ἦσαν λοιπὸν ὑψηλοὶ καὶ πρόθυμοι πρὸς ἐλεημοσύνην. Καὶ διατί μὴ ἁπλῶς εἶπεν, ὅτι Ἔργον καλὸν ἐποίησεν· ἀλλὰ πρότερον, «Τί κόπους παρέχετε τῇ γυναικί;». Ἵνα μάθωσι μὴ ἐκ προοιμίων τὰ ὑψη-

νὰ ἀντικρύση τόσην ἀλήθειαν; Διότι νά, ὅ,τι εἶπεν ἔγινε καὶ ὅπου καὶ ἂν γυρίσῃς εἰς τὴν οἰκουμένην, θὰ ἰδῇς νὰ διακηρύσσεται καὶ ἡ γυναῖκα αὐτή. Ἂν καὶ οὔτε πρόσωπον ἐπίσημον ἦτο, οὔτε μάρτυρας πολλοὺς εἶχεν, οὔτε τὸ γεγονὸς ἔλαβε χώραν εἰς τὸ θέατρον, ἀλλὰ μέσα εἰς οἰκίαν, καὶ μάλιστα εἰς τὴν οἰκίαν κάποιου λεπροῦ, μὲ μόνην τὴν παρουσίαν τῶν μαθητῶν.

2. Ποῖος λοιπὸν τὸ ἀντήχησε καὶ τὸ ἔκανε νὰ διαδοθῇ; Ἡ δύναμις Ἐκείνου ὁ ὁποῖος λέγει αὐτά. Ἔτσι, ἀπείρων μὲν βασιλέων καὶ στρατηγῶν τὰ ἀνδραγαθήματα, τῶν ὁποίων ὑπάρχουν καὶ ἀπομνημονεύματα, ἔχουν λησμονηθῆ· καὶ ἐνῷ ἵδρυσαν πόλεις καὶ τὰς ὠχύρωσαν μὲ τείχη καὶ ἐνίκησαν εἰς πολέμους καὶ ἔστησαν τρόπαια καὶ ὑπεδούλωσαν πολλὰ ἔθνη, δὲν εἶναι γνωστοὶ οὔτε ἐξ ἀκοῆς, οὔτε κατ' ὄνομα, ἂν καὶ ἔστησαν καὶ ἀνδριάντας καὶ ἐνομοθέτησαν· τὸ ὅτι δὲ μία γυναῖκα πόρνη ἔχυσεν ἔλαιον εἰς τὴν οἰκίαν κάποιου λεπροῦ, ἐπὶ παρουσίᾳ δέκα ἀνδρῶν, αὐτὸ ὅλοι τὸ διηγοῦνται εἰς τὴν οἰκουμένην καί, παρ' ὅλον ὅτι ἐπέρασε τόσος χρόνος, δὲν ἔσβησεν ἡ ἀνάμνησις τοῦ γεγονότος ἐκείνου· ἀντιθέτως μάλιστα, καὶ οἱ Πέρσαι καὶ οἱ Ἰνδοὶ καὶ οἱ Σκύθαι καὶ οἱ Θρᾷκες καὶ οἱ Σαυρομάται καὶ τὸ γένος τῶν Μαύρων καὶ ἐκεῖνοι ποὺ κατοικοῦν τὰς Βρεττανικὰς νήσους, διηγοῦνται αὐτὸ ποὺ ἔγινεν εἰς τὴν Ἰουδαίαν κρυφὰ μέσα εἰς μίαν οἰκίαν ἀπὸ γυναῖκα πόρνην.

Μεγάλη ἡ φιλανθρωπία τοῦ Δεσπότου! Ἀνέχεται πόρνην, ἡ ὁποία τοῦ φιλεῖ τὰ πόδια καὶ τὰ βρέχει μὲ μύρον καὶ τὰ σκουπίζει μὲ τὰς τρίχας της, καὶ τὴν ἐπιδοκιμάζει, καὶ ἐπιπλήττει ἐκείνους ποὺ τὴν κατηγοροῦν. Διότι δὲν ἔπρεπε νὰ εὑρεθῇ εἰς ἀμηχανίαν ἡ γυναῖκα διὰ τὸν τόσον ζῆλον της.

Σὺ δὲ πρόσεξε καὶ τοῦτο, ὅτι ἦσαν ἀνώτεροι καὶ πρόθυμοι πρὸς τὴν ἐλεημοσύνην. Καὶ διατὶ δὲν εἶπεν ἁπλῶς ὅτι ἔκανεν ἔργον καλόν, ἀλλὰ πρῶτον εἶπε· «διατί ἐνοχλεῖτε τὴν γυναῖκα;». Διὰ νὰ μάθουν νὰ μὴ ζητοῦν ἀπὸ τοὺς

λότερα τοὺς ἀσθενεστέρους ἀπαιτεῖν. Διὰ τοῦτο οὐδὲ αὐτὸ καθ' ἑαυτὸ ἁπλῶς τὸ πρᾶγμα ἐξετάζει, ἀλλὰ μετὰ τοῦ προσώπου τῆς γυναικός. Καίτοι εἰ ἐνομοθέτει, οὐκ ἂν προσέθηκε τὴν γυναῖκα· ἀλλ' ἵνα μάθῃς, ὅτι δι' αὐτὴν ταῦτα εἴρηται, ἵνα μὴ τὴν βλαστήσασαν αὐτῆς πίστιν πηρώσωσιν, ἀλλ' ἐκθρέψωσι μᾶλλον, διὰ τοῦτό φησι, παιδεύων ἡμᾶς ὅπερ ἂν γίνηται καλὸν παρ' ὁτουοῦν, κἂν μὴ σφόδρα ἠκριβωμένον ᾖ, δέχεσθαι αὐτὸ καὶ θάλπειν, καὶ ἐπὶ τὸ μεῖζον ἄγειν, καὶ μὴ παρὰ τὴν ἀρχὴν πᾶσαν ἐπιζητεῖν ἀκρίβειαν.

Ἐπεὶ ὅτι γε καὶ αὐτὸς τοῦτο μᾶλλον ἠβούλετο, δῆλοι ἐξ ὧν καὶ γλωσσόκομον βαστάζεσθαι ἐκέλευσεν, ὁ μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι. Ἀλλὰ τότε οὐκ ἀπῄτει τοῦτο ὁ καιρός, ὥστε διορθῶσαι τὸ γεγενημένον, ἀλλ' ὥστε ἀποδέξασθαι μόνον. Ὥσπερ γὰρ εἴ τις αὐτὸν ἤρετο χωρὶς τοῦ ποιῆσαι τοῦτο τὴν γυναῖκα, οὐκ ἂν τοῦτο ἀπεφήνατο· οὕτως ἐπειδὴ ἐποίησεν, εἰς ἓν ὁρᾷ λοιπόν, ὅπως ἂν μὴ διαπορηθῇ ἐκ τῆς τῶν μαθητῶν ἐπιτιμήσεως, ἀλλ' ἐκ τῆς αὐτοῦ θεραπείας εὐθυμοτέρα γενομένη καὶ ἀμείνων ἀπέλθῃ. Καὶ γὰρ μετὰ τὸ χυθῆναι τὸ ἔλαιον, οὐδὲ καιρὸν εἶχεν αὐτῶν ἡ ἐπιτίμησις.

Καὶ σὺ τοίνυν ἂν μέν τινα ἴδῃς σκεύη κατασκευάσαντα ἱερὰ καὶ προσάγοντα, ἢ ἄλλον τινὰ Ἐκκλησίας κόσμον περὶ τοίχους καὶ ἔδαφος φιλοπονοῦντα, μὴ κέλευε πραθῆναι, ἢ ἀνατραπῆναι τὸ γινόμενον, ἵνα μὴ πηρώσῃς αὐτοῦ τὴν προθυμίαν. Ἂν δὲ πρὶν ἢ κατασκευάσαι τις ἔρηται, κέλευε δοθῆναι πτωχοῖς· ἐπεὶ καὶ αὐτός, ὥστε μὴ πηρῶσαι τὴν γνώμην τῆς γυναικός, τοῦτο ἐποίησε, καὶ ὅσα φησίν, εἰς παραμυθίαν αὐτῆς λέγει.

Εἶτα ἐπειδὴ εἶπεν, «Εἰς τὸν ἐνταφιασμόν μου ἐποίησεν»·

ἀσθενεστέρους ἀπὸ τὴν ἀρχὴν τὰ ὑψηλότερα. Δι' αὐτὸ καὶ δὲν ἐξετάζει ἁπλῶς αὐτὸ καθεαυτὸ τὸ γεγονός, ἀλλὰ μαζὶ μὲ τὸ πρόσωπον τῆς γυναικός. Ἂν καί, ἐὰν ἐνομοθετοῦσε, δὲν θὰ ἐπρόσθετε τὴν γυναῖκα. Τὸ κάμνει ὅμως, διὰ νὰ μάθῃς, ὅτι χάριν αὐτῆς ἐλέχθησαν αὐτά, διὰ νὰ μὴ ἀκρωτηριάσουν τὴν πίστιν της, ποὺ μόλις ἐβλάστησεν, ἀλλ' ἀντιθέτως νὰ τὴν αὐξήσουν. Δι' αὐτὸ τὰ λέγει, διὰ νὰ μᾶς διδάξῃ νὰ δεχώμεθα καὶ νὰ ἐνισχύωμεν κάθε καλὸν ἀπὸ ὁποιονδήποτε καὶ ἂν γίνεται, ἔστω καὶ ἂν δὲν εἶναι πλήρως ἐξακριβωμένον, καὶ νὰ τὸ κατευθύνωμεν πρὸς τὸ καλύτερον.

Ὅτι βέβαια καὶ ὁ ἴδιος αὐτὸ μᾶλλον ἐπροτιμοῦσε, φαίνεται ἀπὸ τὸ γεγονὸς ὅτι εἶχε προτρέψει νὰ κρατοῦν ταμεῖον, Αὐτὸς ποὺ δὲν εἶχε ποῦ νὰ κλίνῃ τὴν κεφαλήν. Ἀλλὰ τότε ὁ καιρὸς δὲν ἐπέτρεπε νὰ διορθώσῃ ὅ,τι εἶχε γίνει, καὶ δὲν ἠμποροῦσε παρὰ νὰ τὸ δεχθῇ. Διότι ὅπως, ἐὰν κανεὶς τὸν ἐρωτοῦσε, χωρὶς νὰ τὸ κάνῃ ἡ γυναῖκα, δὲν θὰ τὸ ἐπέτρεπεν, ἔτσι καὶ τώρα, ἐπειδὴ ἡ γυναῖκα ἤδη τὸ ἔκανεν, εἰς ἕνα πρᾶγμα ἀποβλέπει μόνον, πῶς νὰ μὴ εὑρεθῇ εἰς ἀδιέξοδον μὲ τὴν ἐπίπληξιν τῶν μαθητῶν, καί, ἀφοῦ ἀναθαρρήσῃ ἀπὸ τὴν περιποίησιν Ἐκείνου, νὰ ἀναχωρήσῃ καλυτέρα. Ἄλλωστε μετὰ τὸ χύσιμον τοῦ μύρου δὲν εἶχε θέσιν ἡ ἐπίπληξίς των.

Καὶ σὺ λοιπόν, ἐὰν ἰδῇς κάποιον ὁ ὁποῖος κατεσκεύασεν ἱερὰ σκεύη νὰ τὰ προσφέρῃ ἢ νὰ φιλοτεχνῇ ἄλλου εἴδους διάκοσμον εἰς τοὺς τοίχους καὶ τὸ δάπεδον τῆς Ἐκκλησίας, μὴ τὸν προτρέπῃς νὰ τὰ πωλήσῃ, ἢ νὰ καταστρέψῃ ὅ,τι ἔγινε, διὰ νὰ μὴ σακατεύσῃς τὴν διάθεσίν Του. Ἐὰν ὅμως σὲ ἐρωτήσῃ κάποιος πρὶν νὰ τὸ κατασκευάσῃ, συμβούλεψέ τον νὰ τὰ δώσῃ εἰς τοὺς πτωχούς· διότι καὶ Ἐκεῖνος τὸ ἔκανε, διὰ νὰ μὴ ἀκρωτηριάσῃ τὴν διάθεσιν τῆς γυναικός, καὶ ὅσα λέγει, τὰ λέγει διὰ νὰ παρηγορήσῃ αὐτήν.

Ἔπειτα, ἐπειδὴ εἶπεν «τὸ ἔκαμε διὰ τὸν ἐνταφιασμόν

ἵνα μὴ δόξῃ ἀπορεῖν τὴν γυναῖκα, τοῦ τοιούτου πράγματος ἀναμνήσας, τάφου καὶ θανάτου λέγω, ὅρα διὰ τῶν ἑξῆς πῶς αὐτὴν ἀνακτᾶται πάλιν λέγων· «Ἐν ὅλῳ τῷ κόσμῳ λαληθήσεται ὃ ἐποίησεν αὕτη». Τοῦτο δὲ καὶ τῶν μαθητῶν παραμυθία, κἀκείνης παράκλησις καὶ ἔπαινος ἦν. Πάντες γὰρ αὐτήν, φησίν, ᾄσονται μετὰ ταῦτα· καὶ νῦν δὲ προανεκήρυξε τὸ πάθος, τὰ πρὸς κηδείαν προσάγουσα· μὴ τοίνυν τις αὐτῇ ἐπιτιμάτω. Ἐγὼ γὰρ τοσοῦτον ἀπέχω τοῦ καταδικάσαι αὐτὴν ὡς κακῶς πεποιηκυῖαν, ἢ μέμψασθαι ὡς οὐκ ὀρθῶς ἐργασαμένην, ὅτι οὐδὲ ἀφήσω λαθεῖν τὸ γεγενημένον, ἀλλ' ὁ κόσμος εἴσεται τὸ ἐν οἰκίᾳ εἰργασμένον, καὶ ἐν κρυπτῷ. Καὶ γὰρ ἀπὸ διανοίας εὐλαβοῦς ἦν τὸ γεγενημένον, καὶ πίστεως θερμῆς, καὶ συντετριμμένης ψυχῆς. Καὶ διατί μηδὲν πνευματικὸν ὑπέσχετο τῇ γυναικί, ἀλλὰ τὴν εἰς ἀεὶ μνήμην; Ἀπὸ τούτων καὶ περὶ ἐκείνων θαρρεῖν παρασκευάζων. Εἰ γὰρ ἔργον καλὸν ἐποίησεν, εὔδηλον ὅτι καὶ μισθὸν ἄξιον λήψεται.

«Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπε· Τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ παραδώσω ὑμῖν αὐτόν;». «Τότε», πότε; Ὅτε ταῦτα ἐλέγετο, ὅτε εἶπεν, «Εἰς τὸν ἐνταφιασμόν»· καὶ οὐδὲ ἐντεῦθεν κατενύγη, οὔτε ἀκούσας, ὅτι κηρυχθήσεται τὸ εὐαγγέλιον πανταχοῦ, ἔδεισε· (καὶ γὰρ δυνάμεως ἀφάτου τὸ εἰρημένον ἦν)· ἀλλ' ὅτε γυναῖκες τοσαύτην ἐπεδείξαντο τιμήν, καὶ γυναῖκες πεπορνευμέναι, τότε αὐτὸς τὰ διαβόλου εἰργάζετο.

Τί δήποτε λέγουσιν αὐτοῦ τὸ παράσημον; Ὅτι ἦν καὶ ἄλλος Ἰούδας. Καὶ οὐδὲ παραιτοῦνται εἰπεῖν, ὅτι ἀπὸ τῶν δώδεκα ἦν· οὕτως οὐδὲν κρύπτουσι τῶν δοκούντων εἶναι ἐπονειδίστων. Καίτοι ἐνῆν εἰπεῖν οὕτως ἁπλῶς, ὅτι τῶν μα-

μου», διὰ νὰ μὴ ἀπορήσῃ ἡ γυναῖκα μὲ τὴν ἀνάμνησιν αὐτοῦ τοῦ πράγματος, δηλαδὴ τοῦ τάφου καὶ τοῦ θανάτου, κύττα πῶς τὴν ξανακερδίζει πάλιν μὲ τὰ παρακάτω λέγων· «θὰ διαλαληθῇ εἰς ὅλον τὸν κόσμον αὐτὸ ποὺ ἔκαμεν αὐτή». Αὐτὸ μάλιστα ἦτο καὶ διὰ τοὺς μαθητὰς παρηγοριὰ καὶ δι᾽ ἐκείνην ἐξήγησις καὶ ἔπαινος. Διότι λέγει ὅτι εἰς τὸ μέλλον ὅλοι θὰ τὴν ὑμνήσουν, ἐπειδὴ τώρα προανήγγειλε τὸ πάθος μὲ τὸ νὰ προσφέρῃ τὰ χρειώδη διὰ τὴν κηδείαν. Ἂς μὴ τὴν ἐπιπλήττῃ λοιπὸν κανείς. Διότι ἐγὼ τόσον πολὺ ἀπέχω ἀπὸ τοῦ νὰ τὴν καταδικάσω, διότι ἔκαμε κακῶς ὅ,τι ἔκαμεν, ἢ νὰ τὴν κατηγορήσω ὅτι δὲν ἐνήργησε καλῶς, ὥστε οὔτε θὰ ἀφήσω νὰ διαφύγῃ αὐτὸ ποὺ ἔγινεν, ἀλλὰ θὰ μάθῃ ὅλος ὁ κόσμος αὐτὸ ποὺ ἔγινε μέσα εἰς τὴν οἰκίαν καὶ εἰς τὰ κρυφά. Διότι ὅ,τι ἔγινε προήρχετο ἀπὸ εὐλαβῆ διάθεσιν καὶ θερμὴν πίστιν καὶ θλιμμένην ψυχήν. Καὶ διατί δὲν ὑπεσχέθη τίποτε τὸ πνευματικὸν εἰς τὴν γυναῖκα, παρὰ μόνον ὅτι ἡ πρᾶξις της θὰ μνημονεύεται διὰ παντός; Διὰ νὰ τὴν προετοιμάση ἀπὸ αὐτὰ νὰ ἐλπίζῃ καὶ εἰς ἐκεῖνα. Διότι, ἐὰν ἔκαμε καλὸν ἔργον, εἶναι ὁλοφάνερον ὅτι θὰ ἀνταμειφθῇ καὶ ἐπαξίως.

«Τότε ἕνας ἀπὸ τοὺς δώδεκα ὁ ὀνομαζόμενος Ἰούδας ὁ Ἰσκαριώτης, ἐπῆγεν εἰς τοὺς ἀρχιερεῖς καὶ εἶπε· τί θέλετε νὰ μοῦ δώσετε καὶ ἐγὼ θὰ σᾶς τὸν παραδώσω». «Τότε», πότε; Ὅταν ἐλέγοντο αὐτά, ὅταν εἶπεν· «εἰς τὸν ἐνταφιασμόν»· καὶ οὔτε ἀπὸ αὐτὸ συνεκινήθη, οὔτε ὅταν ἤκουσεν ὅτι τὸ εὐαγγέλιον θὰ κηρυχθῇ παντοῦ ἐφοβήθη· (διότι αὐτὸ ποὺ ἐλέχθη ἦτο καρπὸς ἀπεριγράπτου δυνάμεως)· ἀντιθέτως, ὅταν αἱ γυναῖκες ἔδειχναν τόσον μεγάλον σεβασμόν, καὶ μάλιστα γυναῖκες πόρναι, τότε ἀκριβῶς αὐτὸς ἔκανε τὰ ἔργα τοῦ διαβόλου.

Καὶ διατί προσθέτουν καὶ τὸ διακριτικόν του ὄνομα; Ἐπειδὴ ὑπῆρχε καὶ ἄλλος Ἰούδας· καὶ οὔτε παραλείπουν νὰ εἰποῦν, ὅτι ἦτο ἕνας ἀπὸ τοὺς δώδεκα μαθητάς. Ἔτσι, δὲν ἀποκρύπτουν τίποτε ἀπὸ ὅσα θεωροῦνται ἀξιοκατάκριτα. Ἂν

θητῶν αὐτοῦ τις ἦν· ἦσαν γὰρ καὶ ἄλλοι. Νῦν δὲ προστιθέασι, «Τῶν δώδεκα», ὡσανεὶ ἔλεγον, τοῦ πρώτου χοροῦ τῶν ἀριστίνδην ἐξειλεγμένων, τῶν μετὰ Πέτρου καὶ Ἰωάννου. Ἑνὸς γὰρ αὐτοῖς ἔμελε, τῆς ἀληθείας μόνης, οὐ τοῦ συσκιάσαι τὰ γινόμενα. Διὰ τοῦτο τῶν μὲν σημείων πολλὰ παρατρέχουσι, τῶν δὲ δοκούντων ἐπονειδίστων εἶναι οὐδὲν ἀποκρύπτονται, ἀλλὰ κἂν ῥῆμα, κἂν πρᾶγμα, κἂν ὁτιοῦν ᾖ τοιοῦτον, μετὰ παρρησίας ἀνακηρύττουσι.

3. Καὶ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ τὰ ὑψηλότερα φθεγγόμενος Ἰωάννης. Αὐτὸς γὰρ μάλιστα λέγει καὶ τὰς ὕβρεις καὶ τὰ ὀνείδη τὰ εἰς αὐτὸν γενόμενα. Καὶ ὅρα πόση ἡ κακία τοῦ Ἰούδα, ὅταν αὐτομάτως προσίῃ, ὅταν ἀργυρίου τοῦτο ποιῇ, καὶ ἀργυρίου τοσούτου. Ὁ δὲ Λουκᾶς φησιν, ὅτι τοῖς στρατηγοῖς συνέθετο. Ἐπειδὴ γὰρ ἐστασίαζον οἱ Ἰουδαῖοι, τοὺς τῆς εὐταξίας αὐτῶν ἐπιμελησομένους ἐπέστησαν αὐτοῖς οἱ Ῥωμαῖοι. Καὶ γὰρ ἡ ἀρχὴ αὐτῶν μεταπεσοῦσα λοιπὸν ἦν κατὰ τὴν προφητείαν.

Τούτοις οὖν προσελθών φησι· «Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ». Καὶ γὰρ ἐδεδοίκει τὸν ὄχλον, καὶ μόνον ἀπολαβεῖν ἤθελεν. Ὦ τῆς ἀνοίας! πῶς αὐτὸν καθάπαξ ἐπήρωσεν ἡ φιλαργυρία! Ὁ γὰρ πολλάκις ἰδὼν αὐτὸν διὰ μέσου διελθόντα, καὶ μὴ κατασχεθέντα, καὶ τῆς αὐτοῦ θεότητος καὶ δυνάμεως πολλὰς παρασχόντα τὰς ἀποδείξεις, προσεδόκησεν αὐτὸν καθέξειν· καὶ ταῦτα, τοσαῦτα αὐτῷ κατεπᾴδοντα καὶ φοβερὰ καὶ προσηνῆ ῥήματα, ὥστε καταλῦσαι τὴν πονηρὰν ταύτην ἔννοιαν. Οὐδὲ γὰρ ἐν τῷ δείπνῳ ταύτης ἀπέστη τῆς

---

5. Λουκᾶ 22, 4-5.

καὶ ἠμποροῦσαν νὰ εἰποῦν ἔτσι ἁπλῶς, ὅτι ἦτο κάποιος ἀπὸ τοὺς μαθητάς Του· διότι ὑπῆρχαν καὶ ἄλλοι. Τώρα ὅμως προσθέτουν· «τῶν Δώδεκα», ὡσὰν νὰ ἔλεγαν ὅτι ἦτο ἀπὸ τὸν πρῶτον κύκλον τῶν μαθητῶν Του, οἱ ὁποῖοι εἶχαν ἐκλεγῆ μεταξὺ τῶν καλυτέρων, ἀπὸ τὸν κύκλον εἰς τὸν ὁποῖον ἀνῆκαν ὁ Πέτρος καὶ ὁ Ἰωάννης. Διότι δι' ἕνα πρᾶγμα ἐνδιεφέροντο, διὰ μόνην τὴν ἀλήθειαν, καὶ ὄχι νὰ συγκαλύψουν αὐτὰ ποὺ ἔγιναν. Δι' αὐτὸ ἀπὸ μὲν τὰ θαύματα πολλὰ παραλείπουν, ἐνῷ ἀπὸ ἐκεῖνα ποὺ θεωροῦνται ἀξιοκατάκριτα δὲν ἀποκρύπτουν τίποτε, ἀλλὰ τὸ διακηρύσσουν μὲ θάρρος, εἴτε εἶναι λέξις, εἴτε εἶναι πρᾶγμα, εἴτε ὁ,τιδήποτε παρόμοιον.

3. Καὶ τὸ κάνουν ὄχι μόνον αὐτοί, ἀλλὰ καὶ αὐτὸς ὁ Ἰωάννης ὁ ὁποῖος περιγράφει τὰ ἀνώτερα. Διότι αὐτὸς κυρίως ἀναφέρει καὶ τὰς ὕβρεις καὶ τὰ χλευάσματα ποὺ ἔγιναν εἰς Αὐτόν. Καὶ κύττα πόσον μεγάλη εἶναι ἡ κακία τοῦ Ἰούδα, ὁ ὁποῖος πηγαίνει αὐτοπροαιρέτως καὶ τὸ κάμνει αὐτὸ χάριν τοῦ ἀργυρίου, καὶ μάλιστα διὰ τόσον ἀργύριον. Ὁ Λουκᾶς μάλιστα λέγει ὅτι συνεζήτησε μὲ τοὺς στρατηγούς[5]. Διότι, ἐπειδὴ ἐπαναστατοῦσαν οἱ Ἰουδαῖοι, οἱ Ρωμαῖοι ἐτοποθέτησαν ἐκείνους ποὺ θὰ ἐφρόντιζαν διὰ τὴν τήρησιν τῆς τάξεως μεταξὺ αὐτῶν. Διότι πράγματι ἡ ἐξουσία των εἶχε ξεπέσει σύμφωνα μὲ τὴν προφητείαν.

Εἰς αὐτοὺς λοιπὸν προσῆλθε καὶ λέγει· «τί θέλετε νὰ μοῦ δώσετε διὰ νὰ σᾶς τὸν παραδώσω; Αὐτοὶ δὲ τοῦ ἐζύγισαν τριάντα ἀργύρια, καὶ ἀπὸ τότε ἐζητοῦσεν εὐκαιρίαν διὰ νὰ τὸν παραδώσῃ». Διότι ἐφοβεῖτο τὸν ὄχλον καὶ τὸ μόνον ποὺ ἤθελε νὰ κερδήσῃ χρήματα. Πόση ἦτο ἡ μωρία του! Πόσον πολὺ τὸν εἶχε τυφλώσει ἡ φιλαργυρία! Διότι, αὐτὸς ποὺ τὸν εἶχεν ἰδεῖ πολλὲς φορὲς νὰ διέρχεται διὰ μέσου ἐκείνων καὶ νὰ μὴ συλλαμβάνεται, καὶ νὰ δίνῃ πολλὰς ἀποδείξεις τῆς θεότητος καὶ τῆς δυνάμεώς Του, ἐνόμισεν ὅτι θὰ τὸν κατακρατήσῃ. Καὶ ὅλα αὐτά, ἐνῷ τόσον σπουδαῖα καὶ φοβερὰ καὶ καταδεκτικὰ λόγια τοῦ ἔλεγε διαρκῶς, διὰ νὰ τοῦ διαλύσῃ αὐτὴν τὴν πονηρὰν σκέψιν. Διότι

ἐπιμελείας, ἀλλ᾿ ἕως ἐσχάτης ἡμέρας ὑπὲρ τούτων αὐτῷ διελέγετο. Ἀλλ᾿ οὐδὲν ἐκεῖνος ἐκέρδανεν. Οὐ μὴν διὰ τοῦτο ὁ Δεσπότης ἐπαύσατο τὰ αὐτοῦ ποιῶν.

Ταῦτ᾿ οὖν καὶ ἡμεῖς εἰδότες, μὴ διαλιμπάνωμεν πάντα ποιοῦντες εἰς τοὺς ἁμαρτάνοντας καὶ ῥαθύμους, νουθετοῦντες, διδάσκοντες, παρακαλοῦντες, παραινοῦντες, συμβουλεύοντες, κἂν μηδὲν ὠφελῶμεν. Καὶ γὰρ ὁ Χριστὸς προήδει τὸ ἀδιόρθωτον τοῦ προδότου· ἀλλ᾿ ὅμως οὐκ ἐπαύσατο τὰ παρ᾿ ἑαυτοῦ εἰσφέρων, καὶ νουθετῶν, καὶ ἀπειλῶν, καὶ ταλανίζων, καὶ οὐδαμοῦ σαφῶς, οὐδὲ δήλως, ἀλλ᾿ ἐπικεκρυμμένως. Ἐν αὐτῷ δὲ τῷ καιρῷ τῆς προδοσίας καὶ φιλῆσαι αὐτὸν κατεδέξατο· ἀλλ᾿ οὐδὲν ἐκεῖνον ὤνησε τοῦτο. Τοσοῦτον ἡ φιλαργυρία κακόν· αὕτη γὰρ αὐτὸν καὶ προδότην καὶ ἱερόσυλον ἐποίησεν.

Ἀκούσατε, πάντες οἱ φιλάργυροι, οἱ τὸ τοῦ Ἰούδα νόσημα ἔχοντες· ἀκούσατε καὶ φυλάξασθε τὸ πάθος. Εἰ γὰρ ὁ συνὼν τῷ Χριστῷ, καὶ σημεῖα ἐργασάμενος, καὶ τοσαύτης ἀπολαύσας διδασκαλίας, ἐπειδὴ μὴ ἀπηλλάγη τοῦ νοσήματος, εἰς τοσοῦτον κατηνέχθη βάραθρον· πολλῷ μᾶλλον ὑμεῖς, οἱ μηδὲ Γραφῶν ἀκούοντες, οἱ διαπαντὸς τοῖς παροῦσι προσηλωμένοι, εὐάλωτοι τῷ πάθει τούτῳ γενήσεσθε, εἰ μὴ συνεχοῦς ἀπολαύοιτε ἐπιμελείας.

Καθ᾿ ἑκάστην ἡμέραν συνῆν ἐκείνῳ, τῷ μὴ ἔχοντι ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ καθ᾿ ἑκάστην ἐπαιδεύετο τὴν ἡμέραν, δι᾿ ἔργων, διὰ ῥημάτων, μὴ χρυσίον, μὴ ἀργύριον, μὴ δύο χιτῶνας ἔχειν, καὶ ὅμως οὐκ ἐσωφρονίσθη· καὶ πῶς σὺ προσδοκᾷς διαφεύξεσθαι τὸ νόσημα, μὴ σφοδρᾶς ἀπολαύων θεραπείας, καὶ πολλῇ τῇ σπουδῇ κεχρημένος; Δεινὸν γάρ, δεινὸν τουτὶ τὸ θηρίον· ἀλλ᾿ ὅμως ἂν ἐθέλῃς, ῥᾳδίως περιέ-

οὔτε εἰς τὸ Δεῖπνον παρῃτήθη ἀπὸ αὐτὴν τὴν φροντίδα, ἀλλ' ἀντιθέτως μέχρι τὴν τελευταίαν ἡμέραν τοῦ ὡμιλοῦσε περὶ αὐτῶν. Ἀλλ' ἐκεῖνος δὲν ἐκέρδιζε τίποτε. Ὁ Δεσπότης ὅμως δὲν ἔπαυσεν ἕνεκα τούτου νὰ κάμνῃ τὰ ἰδικά Του.

Αὐτὰ λοιπὸν γνωρίζοντες καὶ ἐμεῖς, ἂς μὴ παραλείπωμεν νὰ κάνωμεν τὰ πάντα χάριν ἐκείνων ποὺ ἁμαρτάνουν καὶ εἶναι ράθυμοι, νουθετοῦντες, διδάσκοντες, παρακαλοῦντες, παραινοῦντες, συμβουλεύοντες, ἔστω καὶ ἂν δὲν ὠφελοῦμεν εἰς τίποτε. Διότι καὶ ὁ Χριστὸς ἐγνώριζεν ἐκ τῶν προτέρων ὅτι ὁ προδότης εἶναι ἀδιόρθωτος, καὶ ὅμως δὲν ἔπαυσε νὰ προσφέρῃ τὰ ἰδικά του, καὶ νὰ νουθετῇ, νὰ ἀπειλῇ, νὰ ἐλεεινολογῇ, καὶ πουθενὰ μὲ σαφήνειαν, οὔτε φανερά, ἀλλὰ συγκεκαλυμμένα. Ἀκόμη καὶ κατὰ τὴν στιγμὴν τῆς προδοσίας κατεδέχθη καὶ νὰ τὸν φιλήσῃ. Ἀλλὰ εἰς τίποτε δὲν τὸν ὠφέλησεν ἐκεῖνον αὐτό. Τόσον μεγάλο κακὸν εἶναι ἡ φιλαργυρία· διότι αὐτὴ τὸν ἔκανε καὶ προδότην καὶ ἱερόσυλον.

Ἀκοῦστε, ὅλοι οἱ φιλάργυροι, ὅσοι ἔχετε τὴν ἀσθένειαν τοῦ Ἰούδα. Ἀκοῦστε καὶ φυλαχθῆτε ἀπὸ τὸ πάθος. Διότι, ἐὰν αὐτὸς ὁ ὁποῖος ἦτο μαζὶ μὲ τὸν Χριστὸν καὶ ἔκανε θαύματα καὶ ἀπήλαυσε τόσην διδασκαλίαν, ἐπειδὴ δὲν ἀπηλλάγη ἀπὸ τὸ νόσημά του, κατέπεσε εἰς τόσον βαθὺ βάραθρον, πολὺ περισσότερον σεῖς, οἱ ὁποῖοι δὲν ἀκούετε οὔτε τὰς Γραφὰς καὶ εἶσθε διαρκῶς προσηλωμένοι εἰς τὰ παρόντα, θὰ γίνετε ὑποχείριοι αὐτοῦ τοῦ πάθους, ἐὰν δὲν τύχετε διαρκοῦς φροντίδος.

Καθημερινῶς εὑρίσκετο μὲ Ἐκεῖνον, ὁ ὁποῖος δὲν εἶχε ποῦ νὰ κλίνῃ τὴν κεφαλὴν καὶ καθημερινῶς ἐδιδάσκετο μὲ ἔργα καὶ λόγια νὰ μὴ ἔχῃ χρυσόν, οὔτε ἀργύριον, οὔτε δύο χιτῶνας, καὶ ὅμως δὲν ἐσυνετίσθη. Πῶς λοιπὸν σὺ περιμένεις νὰ ἀποφύγῃς τὸ νόσημα τῆς φιλαργυρίας, χωρὶς νὰ τύχῃς ἐπιμελοῦς φροντίδος καὶ χωρὶς νὰ καταβάλῃς πολλὴν προσπάθειαν; Διότι εἶναι πολὺ φοβερὸν αὐτὸ τὸ θηρίον· ὅμως ἐὰν θέλῃς θὰ ἀπαλλαγῇς ἀπὸ αὐτὸ εὔκολα.

ση. Οὐ γάρ ἐστιν ἡ ἐπιθυμία φυσική· καὶ δῆλον τοῦτο ἐκ τῶν ἀπηλλαγμένων αὐτῆς. Τὰ γὰρ τῆς φύσεως κοινὰ πάντων ἐστίν· αὕτη δὲ ἐκ ῥαθυμίας ἡ ἐπιθυμία γίνεται μόνης· ἐντεῦθεν φύεται, ἐντεῦθεν αὔξεται· καὶ τοὺς πρὸς αὐτὴν κεχηνότας ὅταν ἕλῃ, παρὰ φύσιν ποιεῖ ζῆν. Ὅταν γὰρ ἀγνοῶσι τοὺς ὁμοφύλους„ τοὺς φίλους, τοὺς ἀδελφούς, τοὺς συγγενεῖς, ἅπαντας ἁπλῶς καὶ μετὰ τούτων καὶ ἑαυτούς, παρὰ φύσιν τοῦτό ἐστι ζῆν. Ὅθεν δῆλον, ὅτι παρὰ φύσιν ἡ κακία, καὶ τὸ τῆς φιλαργυρίας νόσημα, ᾧ καὶ Ἰούδας περιπεσών, προδότης ἐγένετο.

Καὶ πῶς τοιοῦτος γέγονε, φησί, κληθεὶς ὑπὸ τοῦ Χριστοῦ; Ὅτι οὐκ ἀναγκαστικὴ τοῦ Θεοῦ ἡ κλῆσις, οὐδὲ βιάζεται τὴν γνώμην τῶν μὴ βουλομένων ἀρετὴν ἑλέσθαι, ἀλλὰ παραινεῖ μὲν καὶ συμβουλεύει, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πεῖσαι γενέσθαι χρηστούς· εἰ δὲ μὴ ἀνάσχοιντό τινες, οὐκ ἀναγκάζει. Εἰ δὲ βούλει μαθεῖν, πόθεν αὐτὸς γέγονε τοιοῦτος, εὑρήσεις ἀπὸ τῆς φιλαργυρίας αὐτὸν ἀπολωλότα. Καὶ πῶς ὑπὸ τοῦ πάθους ἑάλω τούτου; φησίν. Ἐπειδὴ ἐρρᾳθύμησεν. Ἐντεῦθεν γὰρ αἱ τοιαῦται μεταβολαί, ὥσπερ οὖν ἀπὸ σπουδῆς αἱ πρὸς τὸ ἐναντίον.

Πόσοι γοῦν βίαιοι γενόμενοι, προβάτων εἰσὶν ἡμερώτεροι νῦν; πόσοι ἀσελγεῖς, σώφρονες μετὰ ταῦτα κατέστησαν; πόσοι πλεονέκται πρὸ τούτου, νῦν δὲ καὶ τὰ ἑαυτῶν ἔρριψαν; Καὶ τοὐναντίον πάλιν ἀπὸ ῥαθυμίας συνέβη. Καὶ γὰρ ὁ Γιεζῆ ἀνδρὶ ἁγίῳ συνέζη, καὶ γέγονε μοχθηρὸς καὶ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ νοσήματος. Τὸ γὰρ πάντων χαλεπώτατον τοῦτο τὸ πάθος. Ἐντεῦθεν τυμβωρύχοι, ἐντεῦθεν ἀνδραφόνοι, ἐντεῦθεν πόλεμοι καὶ μάχαι, καὶ ὅπερ ἂν εἴπῃς κακόν, ἐντεῦθεν. Καὶ πανταχοῦ ἄχρηστος ὁ τοιοῦτος, ἄν τε στρατηγῇ-

---

6. Δ′ Βασιλ. 5, 20 ἑ.

Διότι ἡ ἐπιθυμία αὐτὴ δὲν εἶναι φυσική· καὶ τοῦτο εἶναι φανερὸν ἀπὸ ἐκείνους ποὺ εἶναι ἀπηλλαγμένοι ἀπὸ αὐτήν. Διότι τὰ φυσικὰ πράγματα εἶναι κοινὰ εἰς ὅλους· ἐνῷ αὐτὴ προέρχεται μόνον ἀπὸ τὴν νωθρότητα. Ἀπὸ αὐτὴν βλαστάνει, ἀπὸ αὐτὴν αὐξάνεται, καὶ ὅταν κυριεύσῃ ἐκείνους ποὺ χάσκουν πρὸς αὐτὴν τοὺς κάμνει νὰ ζοῦν παρὰ φύσιν. Διότι ὅταν ἀγνοοῦν τοὺς ὁμοφύλους, τοὺς φίλους, τοὺς ἀδελφούς, τοὺς συγγενεῖς, γενικῶς ὅλους καὶ μαζὶ μὲ αὐτοὺς καὶ τοὺς ἑαυτούς των, αὐτὸ εἶναι ἡ παρὰ φύσιν ζωή. Ἀπὸ αὐτὸ γίνεται φανερόν, ὅτι παρά φύσιν εἶναι ἡ κακία καὶ ἡ ἀσθένεια τῆς φιλαργυρίας, εἰς τὴν ὁποίαν ἐπειδὴ περιέπεσε καὶ ὁ Ἰούδας, κατήντησε προδότης.

Καὶ πῶς ἔγινε τέτοιος, λέγει, ἀφοῦ ἐκλήθη ἀπὸ τὸν Χριστόν; Ἔγινε, διότι δὲν εἶναι ἀναγκαστικὴ ἡ κλῆσις τοῦ Θεοῦ, οὔτε ἐκβιάζει τὴν γνώμην ἐκείνων ποὺ δὲν θέλουν νὰ προτιμήσουν τὴν ἀρετήν, ἀλλὰ προτρέπει μὲν καὶ συμβουλεύει καὶ κάμνει τὰ πάντα καὶ μετέρχεται κάθε τρόπον, ὥστε νὰ μᾶς πείσῃ νὰ γίνωμεν ἀγαθοί· ἐὰν δὲ μερικοὶ δὲν συναινοῦν, δὲν τοὺς ἀναγκάζει. Ἐὰν δὲ θέλῃς νὰ μάθῃς, ἀπὸ ποῦ αὐτὸς ἔγινε τέτοιος, θὰ εὕρῃς ὅτι χάθηκε ἀπὸ τὴν φιλαργυρίαν. Καὶ πῶς ἐκυριεύθη ἀπὸ τὸ πάθος αὐτό; Ἐρωτᾷ. Ἐπειδὴ ἦτο ὀκνηρός. Διότι ἀπὸ ἐκεῖ προέρχονται αἱ μεταπτώσεις αὐταί, ὅπως καὶ ἀπὸ τὴν προθυμίαν προέρχονται αἱ ἀντίθετοι.

Πόσοι λοιπὸν ἀπὸ ἐκείνους ποὺ ἦσαν βίαιοι, τώρα εἶναι πιὸ ἥμεροι ἀπὸ τὰ πρόβατα; Πόσοι ἀσελγεῖς ἔγιναν κατόπιν ἐγκρατεῖς; Πόσοι πλεονέκται ἀρχικῶς, τώρα δὲν διεσκόρπισαν καὶ τὰ ἰδικά των; Καὶ τὸ ἀντίθετον πάλιν συνέβη ἀπὸ τὴν ὀκνηρίαν. Διότι πράγματι ὁ Γιεζῆ ἐζοῦσε μαζὶ μὲ ἄνδρα ἅγιον καὶ ἔγινε μοχθηρὸς καὶ αὐτὸς ἀπὸ τὸ ἴδιον νόσημα[6]. Διότι τὸ πάθος αὐτὸ εἶναι τὸ πιὸ χειρότερον ἀπὸ ὅλα. Ἀπὸ ἐδῶ γίνονται οἱ τυμβωρύχοι, ἀπὸ ἐδῶ οἱ ἀνθρωποκτόνοι, ἀπὸ ἐδῶ πόλεμοι καὶ μάχαι, καὶ ὁποιοδήποτε κακὸν ἀναφέρεις προέρχεται ἀπὸ ἐδῶ. Καὶ παντοῦ

σαι, ἄν τε δημαγωγῆσαι δέῃ· μᾶλλον δὲ οὐκ ἐν τοῖς κοινοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἰδίοις. Κἂν γυναῖκα ἄγεσθαι μέλλῃ, οὐ λήψεται τὴν ἐνάρετον, ἀλλὰ τὴν πασῶν φαυλοτάτην· κἂν οἰκίαν πρίασθαι, οὐ τὴν ἐλευθέρῳ πρέπουσαν, ἀλλὰ τὴν πολὺν δυναμένην τὸν μισθὸν ἐνεγκεῖν· κἂν οἰκέτας, κἂν ὁτιοῦν ἕτερον ὠνεῖσθαι μέλλῃ, τὸ φαυλότατον λήψεται.

Καὶ τί λέγω στρατηγίαν, καὶ δημαγωγίαν, καὶ οἰκονομίας; Κἂν γὰρ βασιλεὺς ᾖ, πάντων ἐστὶν ἀθλιώτερος καὶ λύμη τῆς οἰκουμένης, καὶ πάντων πενέστερος. Ὡς γὰρ εἷς τῶν πολλῶν διακείσεται, οὐχὶ τὰ πάντων αὐτοῦ νομίζων εἶναι, ἀλλ' αὐτὸν ἕνα τῶν πάντων· καὶ τὰ πάντων ἁρπάζων, πάντων ἐλάττονα ἔχειν νομίζει. Τῇ γὰρ τῶν οὐδέπω κτηθέντων ἐπιθυμίᾳ τὰ παρόντα μετρῶν, οὐδὲν ταῦτα πρὸς ἐκεῖνα εἶναι ἡγήσεται.

4. Διὸ καί τίς φησι· «Φιλαργύρου μὲν οὐδὲν ἀνομώτερον». Ὁ γὰρ τοιοῦτος καὶ ἑαυτὸν ἀποδίδοται, καὶ κοινὸς περιέρχεται τῆς οἰκουμένης ἐχθρός, ἀλγῶν ὅτι μὴ χρυσίον φέρει ἀντὶ τῶν ἀσταχύων ἡ γῆ, καὶ ἀντὶ τῶν ναμάτων αἱ κρῆναι, καὶ ἀντὶ τῶν λίθων τὰ ὄρη· δυσχεραίνων πρὸς τὴν εὐετηρίαν, ἐν τοῖς κοινοῖς ἀγαθοῖς συνεσταλμένος· πᾶσαν ἀποστρεφόμενος πρόφασιν ὅθεν οὐκ ἔστιν ἀργύριον λαβεῖν· πάντα ὑπομένων, ὅθεν καὶ δύο συλλέξαι μόνον ὀβολοὺς ἔνι· ἅπαντας μισῶν, τοὺς πένητας, τοὺς πλουτοῦντας· τοὺς μὲν πένητας, μήποτε προσελθόντες αἰτήσωσι· τοὺς δὲ πλουτοῦντας, ὅτι μὴ τὰ ἐκείνων ἔχει.

Ἅπαντας τὰ αὐτοῦ νομίζει κεκτῆσθαι, καὶ ὡς παρὰ πάντων ἠδικημένος, οὕτω πρὸς πάντας δυσχεραίνει. Πλη-

7. Σοφ. Σειρ. 10, 9.

εἶναι ἄχρηστος ὁ φιλάργυρος, εἴτε χρειασθῇ νὰ ἡγηθῇ τοῦ στρατοῦ, εἴτε νὰ ἡγηθῇ τοῦ λαοῦ. Ἢ μᾶλλον ὄχι μόνον εἰς τὰ κοινά, ἀλλὰ καὶ εἰς τὰ ἀτομικά του. Εἴτε πρόκειται νὰ νυμφευθῇ, δὲν θὰ πάρῃ τὴν ἐνάρετον, ἀλλὰ τὴν πιὸ διεστραμμένην ἀπὸ ὅλας· εἴτε πρόκειται νὰ ἀγοράσῃ οἰκίαν, δὲν θὰ ἀγοράσῃ ἐκείνην ποὺ ἁρμόζει εἰς τὸν ἐλεύθερον, ἀλλὰ ἐκείνη ἡ ὁποία ἠμπορεῖ νὰ ἀποφέρῃ μεγάλο κέρδος· εἴτε ὑπηρέτας, εἴτε ὁ,τιδήποτε ἄλλο πρόκειται νὰ ἀγοράσῃ, θὰ πάρῃ τὸ πιὸ χειρότερον.

Καὶ διατί ἀναφέρω τὴν στρατηγίαν, τὴν δημαγωγίαν καὶ τὰς οἰκονομίας; Διότι καὶ βασιλεὺς ἂν εἶναι, εἶναι ὁ πιὸ ἄθλιος ἀπὸ ὅλους καὶ καταστροφὴ τῆς οἰκουμένης καὶ ὁ πιὸ πτωχὸς ἀπὸ ὅλους. Διότι θὰ συμπεριφέρεται ὡσὰν ἕνας ἀπὸ τοὺς πολλοὺς καὶ δὲν θὰ πιστεύῃ ὅτι ὅσα ἔχουν ὅλοι εἶναι ἰδικά του, ἀλλ᾽ ὅτι καὶ αὐτὸς εἶναι ἕνας ἀπὸ ὅλους· καὶ ἐνῷ θὰ ἁρπάζῃ τὰ ὑπάρχοντα ὅλων, θὰ νομίζῃ ὅτι ἔχει ὀλιγώτερα ἀπὸ ὅλους. Διότι, ἐπειδὴ μετρᾷ τὰ παρόντα μὲ τὴν ἐπιθυμίαν αὐτῶν ποὺ οὐδέποτε ἀπέκτησε, τὰ θεωρεῖ ἀσήμαντα ἐν συγκρίσει πρὸς ἐκεῖνα.

4. Δι᾽ αὐτὸ καὶ κάποιος λέγει· «τίποτε δὲν εἶναι πιὸ παράνομον ἀπὸ τὸν φυλάργυρον»[7]. Διότι ὁ φιλάργυρος καὶ τὸν ἑαυτόν του παραδίδει καὶ καταντᾷ κοινὸς ἐχθρὸς τῆς οἰκουμένης. Ὑποφέρει, ἐπειδὴ δὲν παράγει χρυσὸν ἀντὶ στάχυων ἡ γῆ, ἀντὶ ὕδατος αἱ κρῆναι καὶ ἀντὶ λίθων τὰ ὄρη· δυσανασχετεῖ εἰς περιόδους εὐφορίας, ἐπειδὴ συστέλλεται μὲ τὰ κοινὰ ἀγαθά· ἀποστρέφεται κάθε εὐκαιρίαν, ἀπὸ τὴν ὁποίαν δὲν ὑπάρχει δυνατότης νὰ λάβῃ ἀργύριον· ὑπομένει τὰ πάντα ἐκεῖ ὅπου εἶναι δυνατὸν νὰ συλλέξῃ ἔστω καὶ δύο ὀβολούς· μισεῖ ὅλους, τοὺς πτωχοὺς καὶ τοὺς πλουσίους· τοὺς μὲν πτωχούς, ἀπὸ φόβον μήπως ἔλθουν καὶ τοῦ ζητήσουν· τοὺς δὲ πλουσίους, ἐπειδὴ δὲν ἔχει καὶ τὰ ἰδικά των.

Νομίζει πὼς ὅλοι ἔχουν εἰς τὴν κατοχήν των τὰ ἰδικά του, καὶ ἐπειδὴ αἰσθάνεται ἀδικημένος ἀπὸ ὅλους, τοὺς ἀ-

σμονὴν οὐκ οἶδε, κόρον οὐκ ἐπίσταται, πάντων ἐστὶν ἀθλιώτερος· ὥσπερ οὖν ὁ τούτων ἀπηλλαγμένος καὶ φιλοσοφῶν, ζηλωτότερος πάντων. Ὁ μὲν γὰρ ἐνάρετος, κἂν οἰκέτης ᾖ, κἂν δεσμώτης, πάντων ἐστὶ μακαριώτερος. Οὐδεὶς γὰρ αὐτὸν ποιήσει κακῶς, οὐδ' ἂν οἱ ἐκ τῆς οἰκουμένης συνέλθωσιν ἅπαντες, ὅπλα καὶ στρατόπεδα κινοῦντες, καὶ πολεμοῦντες αὐτῷ.

Ὁ δὲ μοχθηρὸς καὶ φαῦλος, καὶ τοιοῦτος οἷον διεγράψαμεν, κἂν βασιλεὺς ᾖ, κἂν μυρία περικέηται διαδήματα, καὶ παρὰ τοῦ τυχόντος τὰ ἔσχατα πείσεται. Οὕτως ἡ κακία ἀσθενές· οὕτως ἰσχυρὸν ἡ ἀρετή. Τί τοίνυν πενθεὶς ἐν πενίᾳ ὤν; τί θρηνεῖς ἑορτὴν ἄγων; καὶ γὰρ ἑορτῆς ὁ καιρός. Τί κλαίεις; καὶ γὰρ πανήγυρις ἡ πτωχεία, ἂν σωφρονῇς. Τί ὀδύρῃ, παιδίον; παιδίον γὰρ δεῖ τὸν τοιοῦτον καλεῖν. Ἐτύπτησέ σε ὁ δεῖνα; Καὶ τί τοῦτο; καρτερικώτερον ἐποίησεν. Ἀλλ' ἀφείλετο χρήματα; Τὸ πλέον ὑπετέμετο τοῦ φορτίου. Ἀλλὰ τὴν δόξαν περιέκοψε; Πάλιν ἄλλης ἐλευθερίας εἶδός μοι λέγεις.

Ἄκουσον καὶ τῶν ἔξωθεν ταῦτα φιλοσοφούντων, καὶ λεγόντων· Οὐδὲν κακὸν πέπονθας, ἂν μὴ προσποιῇ. Ἀλλὰ τὴν οἰκίαν ἀφείλετο, τὴν μεγάλην ἐκείνην καὶ περιβόλους ἔχουσαν; Ἀλλ' ἰδοὺ πᾶσα ἡ γῆ ἐνώπιόν σου, τὰ δημόσια οἰκοδομήματα, εἴτε εἰς τέρψιν, εἴτε εἰς χρείαν ἔχειν ἐθέλοις. Καὶ τί τερπνότερον ἢ ὡραιότερον τοῦ στερεώματος τοῦ οὐρανοῦ; Μέχρι τίνος πτωχοὶ καὶ πένητες; Οὐκ ἔστι πλούσιον εἶναι τὸν μὴ ψυχῇ πλουτοῦντα· ὥσπερ οὐκ ἔνι πτωχὸν

ποστρέφεται ὅλους. Χορτασμὸν δὲν ξεύρει, κόρον δὲν γνωρίζει, εἶναι ὁ πιὸ ἄθλιος ἀπὸ ὅλους· ὅπως, ἀντιθέτως, ἐκεῖνος ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ αὐτὰ καὶ τὰ ἀντιμετωπίζει μὲ φιλοσοφικότητα, εἶναι ὁ πιὸ ἀξιοζήλευτος ἀπὸ ὅλους. Διότι ὁ μὲν ἐνάρετος, καὶ ὅταν ἀκόμη εἶναι ὑπηρέτης, ἢ φυλακισμένος, εἶναι ὁ πιὸ εὐτυχὴς ἀπὸ ὅλους. Διότι κανεὶς δὲν θὰ τὸν κακοποιήσῃ, οὔτε ἀκόμη καὶ ἂν συγκεντρωθοῦν ὅλοι οἱ κάτοικοι τῆς οἰκουμένης, θέτοντες εἰς ἐνέργειαν ὅπλα καὶ στρατόπεδα καὶ πολεμοῦντες ἐναντίον του.

Ἀντιθέτως, ὁ μοχθηρὸς καὶ κακὸς καὶ τέτοιος ὅπως τὸν περιεγράψαμεν, καὶ ἂν ἀκόμη εἶναι βασιλεύς, ἢ φορῇ ἄπειρα στέμματα, ἠμπορεῖ νὰ χάσῃ καὶ τὴν ζωήν του ἀπὸ τὸν πρῶτον τυχόντα. Τόσον ἀδύνατον πρᾶγμα εἶναι ἡ κακία· τόσον ἰσχυρὰ εἶναι ἡ ἀρετή. Διατί λοιπὸν λυπεῖσαι εὑρισκόμενος εἰς πενίαν; Διατί θρηνεῖς ἐνῷ ἑορτάζεις; Διότι πράγματι ὁ καιρὸς εἶναι καιρὸς ἑορτῆς. Διατί κλαῖς; Διότι ὄντως ἡ πτωχεία εἶναι πανήγυρις ἐὰν εἶσαι σώφρων. Διατί ὀδύρεσαι παιδί μου; Διότι αὐτὸν πρέπει νὰ τὸν ἀποκαλοῦμεν παιδί. Σὲ ἐκτύπησεν ὁ δεῖνα; Καὶ τί ἔγινεν; Σὲ ἔκανε περισσότερον καρτερικόν. Σοῦ ἀφῄρεσε μήπως χρήματα; Σοῦ ἀπέκοψε τὸ περιττὸν φορτίον. Μήπως σοῦ ἐστέρησε τὴν δόξαν; Πάλιν μοῦ ἀναφέρεις ἄλλην μορφὴν ἐλευθερίας.

Ἄκουσε καὶ τοὺς θύραθεν οἱ ὁποῖοι τὰ ἀντιμετωπίζουν μὲ περίσκεψιν καὶ λέγουν· δὲν ἔπαθες κανένα κακόν, ἐκτὸς ἐὰν προσποιῆσαι. Μήπως ὅμως σοῦ ἀφῄρεσε τὴν οἰκίαν ἐκείνην τὴν μεγάλην ἡ ὁποία ἔχει καὶ περίβολον; Ἀλλὰ νά, μπροστά σου εἶναι ὅλη ἡ γῆ καὶ τὰ δημόσια κτίρια, εἴτε τὰ θέλεις διὰ νὰ εὐχαριστηθῇς, εἴτε θέλεις νὰ τὰ χρησιμοποιήσῃς. Ἀλλὰ τί πιὸ εὐχάριστον καὶ ὡραῖον ἀπὸ τὸ στερέωμα τοῦ οὐρανοῦ; Μέχρι πότε θὰ ὑπάρχουν πτωχοὶ καὶ πένητες; Δὲν γίνεται νὰ εἶναι πλούσιος, ἐκεῖνος ποὺ δὲν εἶναι πλούσιος εἰς τὴν ψυχήν· ὅπως δὲν εἶναι δυνατὸν νὰ θεωρηθῇ πτωχός, ἐκεῖνος ποὺ δὲν ἔχει τὴν πενίαν εἰς τὴν σκέψιν

εἶναι τὸν μὴ ἐν διανοίᾳ ἔχοντα τὴν πενίαν. Εἰ γὰρ κυριώτερον τοῦ σώματος ἡ ψυχή, οὐκ ἰσχύει τὰ ἀκυρότερα αὐτὴν διαθεῖναι πρὸς ἑαυτά· ἀλλ' ἡ κυρία τὰ μὴ οὕτω κύρια πρὸς ἑαυτὴν ἐφέλκεται καὶ μεταβάλλει.

Καὶ γὰρ ἡ καρδία, ὅταν τινὰ δέξηται βλάβην, ἅπαν τὸ σῶμα οὕτω διατίθησι· κἂν δύσκρατος γένηται, τῷ παντὶ λυμαίνεται· κἂν εὔκρατος, τὸ πᾶν ὀνίνησιν. Ἂν δέ τι τῶν λοιπῶν διαφθαρῇ, ταύτης μενούσης ὑγιοῦς, εὐκόλως κἀκείνων τὴν λύμην ἀποτινάσσεται. Ἵνα δὲ καὶ σαφέστερον ὁ λέγω ποιήσω, τί κλάδων ὄφελος, εἰπέ μοι, χλωρῶν, ὅταν ἡ ῥίζα μαραίνηται; τί δὲ βλάβος τῶν ἄνωθεν ξηρανθέντων φύλλων, ταύτης οὔσης ὑγιοῦς; Οὕτω καὶ ἐνταῦθα οὐδὲν ὄφελος χρημάτων, ψυχῆς οὔσης πενιχρᾶς· οὐδὲ βλάβος πενίας, ψυχῆς οὔσης πλουσίας.

Καὶ πῶς ἂν γένοιτο πλουσία, φησί, ψυχή, ἐν πενίᾳ χρημάτων οὖσα; Μάλιστα ἂν τότε γένοιτο· τότε γὰρ καὶ πλουτεῖν εἴωθεν. Εἰ γάρ, καθὼς πολλάκις ἐδείξαμεν, τοῦτο πλουτοῦντος τεκμήριον, τὸ καταφρονεῖν χρημάτων καὶ μηδενὸς δεῖσθαι, καὶ πενίας πάλιν τὸ δεῖσθαι· εὐκολώτερον δ' ἄν τις ἐν πενίᾳ ἢ ἐν πλούτῳ καταφρονήσειε χρημάτων· εὔδηλον ὅτι μάλιστα τὸ ἐν πενίᾳ εἶναι μᾶλλον ποιεῖ πλουτεῖν. Καὶ γὰρ ὅτι μᾶλλον ἐφίεται χρημάτων ὁ πλούσιος ἢ ὁ πένης, παντί που δῆλον· ὥσπερ ὁ μεθύων μᾶλλον διψᾷ τοῦ μετασχόντος αὐτάρκως τοῦ πόματος. Οὐδὲ γὰρ τοιαύτη ἐστὶν ἡ ἐπιθυμία, ὥστε τῷ πλείονι σβέννυσθαι, ἀλλὰ τοὐναντίον ἀνάπτεσθαι πέφυκε τούτῳ.

του. Διότι ἐὰν ἡ ψυχὴ ἔχει περισσότερον κῦρος ἀπὸ τὸ σῶμα, δὲν ἠμποροῦν αὐτὰ ποὺ ἔχουν ὀλιγώτερον κῦρος νὰ τὴν παρασύρουν πρὸς τὸ μέρος τους· ἀντιθέτως μάλιστα ἡ κυρία ἑλκύει πρὸς τὸ μέρος καὶ μεταβάλλει ἐκεῖνα ποὺ στεροῦνται κυριότητος.

Πράγματι· ὅταν ἡ καρδία ὑποστῇ κάποιαν βλάβην, ἐπηρεάζεται ὅλον τὸ σῶμα· ἂν παρουσιάσῃ δυσκολίαν λειτουργίας, βλάπτει ὁλόκληρον τὸ σῶμα· ἂν πάλιν λειτουργῇ καλῶς, προκαλεῖ γενικὴν εὐεξίαν. Ἐνῷ, ἐὰν καταστραφῇ κάποιο ἀπὸ τὰ ἄλλα μέλη τοῦ σώματος, ἐνῷ αὐτὴ παραμένει ὑγιής, εὐκόλως θὰ ἀποτινάξῃ καὶ τὴν βλάβην ἐκείνου. Διὰ νὰ καταστήσω δὲ περισσότερον σαφὲς αὐτὸ ποὺ λέγω, εἰπέ μου, ποῖον εἶναι τὸ ὄφελος ἀπὸ τὰ πράσινα κλαδιὰ ἑνὸς δένδρου, ὅταν μαραθῇ ἡ ρίζα του; Ποία, ἀντιθέτως, εἶναι ἡ ζημία ἂν ξηρανθοῦν τὰ ἐπάνω φύλλα, ὅταν αὐτὴ εἶναι ὑγιής; Ἔτσι καὶ ἐδῶ, κανένα ὄφελος δὲν φέρνουν τὰ χρήματα, ἐὰν ἡ ψυχὴ εἶναι πτωχή· οὔτε καμμίαν ζημίαν ἔχομεν ἀπὸ τὴν πενίαν, ἐὰν ἡ ψυχή μας εἶναι πλουσία.

Πῶς ὅμως θὰ ἠμποροῦσε νὰ γίνῃ πλουσία ἡ ψυχή, ἰσχυρίζεται, ὅταν ἀντιμετωπίζῃ ἔλλειψιν χρημάτων; Τότε πρὸ πάντων γίνεται πλουσία· διότι τότε συνηθίζει καὶ νὰ πλουτίζῃ. Διότι ἐάν, πρᾶγμα τὸ ὁποῖον πολλάκις ἀπεδείξαμεν, τεκμήριον ἐκείνου ποὺ εἶναι πλούσιος ἀποτελεῖ τοῦτο, τὸ νὰ περιφρονῇ τὰ χρήματα καὶ νὰ μὴ ἔχῃ ἀνάγκην ἀπὸ τίποτε, τεκμήριον δὲ τῆς πενίας ἡ ἔνδεια· καὶ ὅτι εἶναι εὐκολώτερον νὰ περιφρονήσῃ κάποιος τὰ χρήματα ὅταν εἶναι πτωχός, παρὰ ὅταν εἶναι πλούσιος· τότε εἶναι ὁλοφάνερον πλέον, ὅτι τὸ νὰ εἶσαι πτωχὸς σὲ κάνει νὰ πλουτῇς. Διότι ὅτι περισσότερον ἐπιθυμεῖ τὰ χρήματα ὁ πλούσιος παρὰ ὁ πτωχός, εἶναι παντοῦ φανερόν· ὅπως ὁ μέθυσος διψᾷ περισσότερον ἀπὸ ἐκεῖνον ποὺ συμμετέσχεν εἰς τὸ ποτὸν μὲ αὐτάρκειαν. Διότι ἡ ἐπιθυμία δὲν εἶναι τέτοια, ὥστε νὰ σβήνῃ μὲ τὸ περισσότερον, ἀντιθέτως μάλιστα εἶναι ἔτσι καμωμένη ἀπὸ τὴν φύσιν της, ὥστε νὰ ἀνάβῃ μὲ αὐτό.

Καὶ γὰρ τὸ πῦρ ὅταν πλείονα λάβῃ τροφήν, τότε μάλιστα ἀγριοῦται· καὶ ἡ τῶν χρημάτων ἐπιθυμία, ὅταν πλέον ἐμβάλῃς χρυσίον, τότε μάλιστα αἴρεται. Εἰ τοίνυν τὸ πλειόνων ἐφίεσθαι, πενίας, ὁ δὲ ἐν πλούτῳ τοιοῦτος, οὗτος μάλιστα ἐν πενίᾳ. Ὁρᾷς ὅτι τότε μάλιστα πένεται ἡ ψυχή, ὅταν πλουτῇ, καὶ τότε πλουτεῖ, ὅταν ἐν πενίᾳ ᾖ; Εἰ δὲ βούλει, καὶ ἐπὶ προσώπων τὸν λόγον γυμνάσωμεν, καὶ ἔστωσαν δύο τινές, ὁ μὲν ἔχων μυρία τάλαντα, ὁ δὲ δέκα· καὶ ἀμφοτέρους ταῦτα ἀφαιρώμεθα· τίς οὖν μᾶλλον ἀλγήσει; Ὁ τὰ μυρία ἀπολέσας. Οὐκ ἂν δὲ μᾶλλον ἤλγησεν, εἰ μὴ μᾶλλον ἐφίλει· εἰ δὲ μᾶλλον φιλεῖ, μᾶλλον ἐπιθυμεῖ· εἰ δὲ ἐπιθυμεῖ μᾶλλον, μᾶλλόν ἐστιν ἐν πενίᾳ. Τούτου γὰρ μάλιστα ἐπιθυμοῦμεν, οὗ μάλιστα ἐν ἐνδείᾳ ἐσμέν· ἀπὸ γὰρ ἐνδείας ἡ ἐπιθυμία. Ἔνθα γὰρ ἂν ᾖ κόρος, ἐπιθυμίαν οὐκ ἔστιν εἶναι. Καὶ γὰρ τότε μάλιστα διψῶμεν, ὅταν ἐνδεῶς ἔχωμεν ποτοῦ.

Ταῦτα δέ μοι ἅπαντα εἴρηται, ὥστε δεῖξαι, ὅτι ἂν νήφωμεν, οὐδεὶς ἡμᾶς λυμανεῖται· καὶ ὅτι οὐ παρὰ πενίαν, ἀλλὰ παρ' ἡμᾶς αὐτοὺς ἡ βλάβη γίνεται. Διὸ παρακαλῶ πάσῃ σπουδῇ τὴν νόσον τῆς φιλαργυρίας ἐκβαλεῖν, ἵνα καὶ ἐνταῦθα πλουτῶμεν, καὶ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πράγματι· ἡ φωτιὰ ὅταν δεχθῇ περισσοτέραν τροφήν, τότε ἐξαγριώνεται περισσότερον· καὶ ἡ ἐπιθυμία τῶν χρημάτων, ὅταν βάλῃς περισσότερον χρυσίον, τότε αὐξάνεται περισσότερον. Ἐὰν λοιπὸν τὸ νὰ θέλωμεν περισσότερα εἶναι δεῖγμα πενίας, ἐκεῖνος δὲ ὁ ὁποῖος ἔχει πλοῦτον εἶναι τέτοιος, αὐτὸς προπάντων εἶναι πτωχός. Βλέπεις ὅτι τότε κυρίως πένεται ἡ ψυχή, ὅταν πλουτίζῃ, καὶ τότε πλουτίζει, ὅταν εἶναι πτωχή; Ἐὰν δὲ θέλῃς, ἂς ἐφαρμόσωμεν τὰ λεγόμενα καὶ εἰς τὰ πρόσωπα καὶ ἂς ὑποθέσωμεν ὅτι ὑπάρχουν δύο ὁποιοιδήποτε, ἐκ τῶν ὁποίων ὁ μὲν ἕνας ἔχει δέκα χιλιάδας τάλαντα, ὁ δὲ ἄλλος μόνον δέκα· καὶ ἀφαιροῦμεν τὰ τάλαντα αὐτὰ καὶ ἀπὸ τοὺς δύο· Ποῖος θὰ πονέσῃ περισσότερον; Ἐκεῖνος ποὺ ἔχασε τὰς δέκα χιλιάδας. Καὶ δὲν θὰ ἐπονοῦσε περισσότερον, ἐὰν δὲν τὰ ἀγαποῦσε περισσότερον· καὶ ἐὰν τὰ ἀγαπᾷ περισσότερον, περισσότερον καὶ τὰ ἐπιθυμεῖ· ἐὰν δὲ τὰ ἐπιθυμῇ πολύ, εἶναι ὁπωσδήποτε πτωχός. Διότι ἐπιθυμοῦμεν πάρα πολύ, ὅ,τι στερούμεθα· διότι ἡ ἐπιθυμία πηγάζει ἀπὸ τὴν ἀνέχειαν. Ἐνῷ ὅπου ὑπάρχει χορτασμός, δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ ἐπιθυμία. Καὶ πράγματι· τότε διψῶμεν περισσότερον, ὅταν δὲν ἔχωμεν ποτόν.

Ὅλα αὐτὰ δὲ τὰ ἀνέφερα διὰ νὰ ἀποδείξω, ὅτι ἐὰν ἔχωμεν πνευματικὴν διαύγειαν, κανεὶς δὲν θὰ μᾶς βλάψῃ καὶ ὅτι ὄχι ἀπὸ τὴν πενίαν, ἀλλὰ ἀπὸ ἐμᾶς τοὺς ἰδίους προέρχεται ἡ βλάβη. Δι' αὐτὸ σᾶς παρακαλῶ μὲ κάθε βιασύνην νὰ ἀποβάλεται τὴν νόσον τῆς φιλαργυρίας, εἰς τρόπον ὥστε καὶ ἐδῶ νὰ εἴμεθα πλούσιοι καὶ νὰ ἀπολαύσωμεν τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΑ΄.

Ματθ. 26, 17-25

«Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες, Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; Ὁ δὲ εἶπεν· Ὑπάγεται εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· Ὁ Διδάσκαλος λέγει, Ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου.

1. Πρώτην τῶν ἀζύμων, τὴν πρὸ τῶν ἀζύμων φησίν· εἰώθασι γὰρ ἀπὸ τῆς ἑσπέρας ἀεὶ ἀριθμεῖν τὴν ἡμέραν· καὶ ταύτης μνημονεύει, καθ' ἣν ἐν τῇ ἑσπέρᾳ τὸ Πάσχα ἔμελλε θύεσθαι· τῇ γὰρ πέμπτῃ τοῦ Σαββάτου προσῆλθον. Καὶ ταύτην ὁ μὲν τὴν πρὸ τῶν ἀζύμων καλεῖ, τὸν καιρὸν λέγων, καθ' ὃν προσῆλθον· ὁ δὲ οὕτω λέγει· «῏Ηλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ Πάσχα»· τό, «῏Ηλθε», τοῦτο λέγων, Ἐγγὺς ἦν, ἐπὶ θύραις ἦν, τῆς ἑσπέρας δηλονότι μεμνημένος ἐκείνης. Ἀπὸ γὰρ τῆς ἑσπέρας ἤρχοντο· διὸ καὶ ἕκαστος προστίθησιν, «Ὅτε ἐθύετο τὸ Πάσχα».

Καὶ λέγουσι· «Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα;». Ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐκ ἦν αὐτῷ οἰκία, οὐκ ἦν καταγώγιον· ἐγὼ δὲ οἶμαι μηδὲ αὐτοὺς ἔχειν. ῏Η γὰρ ἂν αὐτὸν ἐκεῖ παρεκάλεσαν ἐλθεῖν. Ἀλλ' οὐκ ἦν οὐδὲ τούτοις, πᾶσιν ἀποταξαμένοις λοιπόν. Τίνος δὲ ἕνεκεν τὸ Πάσχα ἐπετέλει. Διὰ πάντων δεικνὺς μέχρι τῆς ἐσχάτης ἡμέρας, ὅτι οὐ ἔστιν ἐναντίος τῷ νόμῳ. Καὶ τί δήποτε πρὸς ἀγνῶτα πέμπει ἄνθρωπον; Δεικνὺς κἀντεῦθεν, ὅτι ἠδύνατο

1. Λουκᾶ 22, 1.

ΟΜΙΛΙΑ ΠΑ΄.

Ματθ. 26, 17-25

«Κατὰ τὴν πρώτην ἡμέραν τῆς ἑορτῆς τῶν ἀζύμων ἦλθαν οἱ μαθηταὶ εἰς τὸν Ἰησοῦν καὶ τοῦ εἶπαν· ποῦ θέλεις νὰ σοῦ ἑτοιμάσωμεν νὰ φάγῃς τὸ Πάσχα; Ἐκεῖνος δὲ εἶπε· πηγαίνετε εἰς τὴν πόλιν πρὸς τὸν τάδε καὶ εἴπατέ του· ὁ Διδάσκαλος λέγει, ὁ καιρός μου πλησιάζει, θὰ ἑορτάσω κοντά σου τὸ Πάσχα μαζὶ μὲ τοὺς μαθητάς μου».

1. Πρώτην τῶν ἀζύμων ὀνομάζει τὴν προηγουμένην τῶν ἀζύμων· διότι ἐσυνήθιζαν πάντοτε νὰ ὑπολογίζουν τὴν ἡμέραν ἀπὸ τὴν ἑσπέραν· καὶ ἀναφέρει τὴν ἡμέραν ἐκείνην, κατὰ τὴν ἑσπέραν τῆς ὁποίας ἐπρόκειτο νὰ θυσιάσουν τὸν πασχάλιον ἀμνόν· διότι εἶχαν ἔλθει τὴν Πέμπτην ἡμέραν τῆς ἑβδομάδος. Αὐτὴν τὴν ἡμέραν λοιπόν, ὁ μὲν ἕνας τὴν ὀνομάζει πρὸ τῶν ἀζύμων, ἐννοῶν τὸν χρόνον κατὰ τὸ ὁποῖον προσῆλθαν· ὁ δὲ ἄλλος λέγει ὡς ἑξῆς· «ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, κατὰ τὴν ὁποίαν ἔπρεπε νὰ θυσιάσουν τὸν πασχάλιον ἀμνόν»[1]. Μὲ τὸ «ἦλθεν» αὐτὸ ἐννοεῖ ὅτι ἐπλησίασεν, ἦτο ἐπὶ θύραις, ἀναφέρεται δηλαδὴ εἰς τὴν ἑσπέραν ἐκείνην, διότι ἀπὸ τὴν ἑσπέραν ἄρχιζαν. Δι' αὐτὸ καὶ ὁ καθένας προσθέτει «ὅταν ἐθυσιάζετο τὸ Πάσχα».

Καὶ τοῦ λέγουν· «ποῦ θέλεις νὰ σοῦ ἑτοιμάσωμεν νὰ φάγῃς τὸ Πάσχα;». Ὥστε καὶ ἀπὸ αὐτὸ εἶναι φανερόν, ὅτι δὲν εἶχεν οἰκίαν, δὲν εἶχε κατάλυμα. Ἐγὼ μάλιστα νομίζω ὅτι οὔτε αὐτοὶ εἶχαν. Διότι ὁπωσδήποτε θὰ τὸν παρακαλοῦσαν νὰ μεταβῇ ἐκεῖ. Ἀλλὰ δὲν εἶχαν οὔτε αὐτοί, διότι ὅλα τὰ εἶχαν ἀπαρνηθῆ. Διὰ ποῖον δὲ λέγουν ἐτελοῦσε τὸ Πάσχα; Διὰ νὰ δείξῃ μὲ ὅλα μέχρι τὴν τελευταίαν ἡμέραν, ὅτι δὲν εἶναι ἀντίθετος μὲ τὸν νόμον. Καὶ διατί τοὺς στέλνει πρὸς ἄγνωστον ἄνθρωπον; Διὰ νὰ ἀποδείξῃ μὲ αὐ-

μὴ παθεῖν. Ὁ γὰρ τὴν διάνοιαν τούτου πείσας, ὥστε αὐτοὺς ὑποδέξασθαι, καὶ ταῦτα ἀπὸ ῥημάτων, τί οὐκ ἂν εἰργάσατο ἐν τοῖς σταυροῦσιν αὐτόν, εἴ γε ἐβούλετο μὴ παθεῖν; Καὶ ὅπερ ἐπὶ τῆς ὄνου ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. Καὶ γὰρ ἐκεῖ φησιν· «Ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει»· οὕτω καὶ ἐνταῦθα· «Ὁ Διδάσκαλος εἶπε, Πρὸς σὲ ποιῶ τὸ Πάσχα».

Ἐγὼ δὲ οὐ τοῦτο θαυμάζω μόνον, ὅτι αὐτὸν ὑπεδέξατο ἄγνωστος ὤν, ἀλλ' ὅτι προσδοκῶν ἔχθραν ἐπισπάσασθαι τοσαύτην καὶ πόλεμον ἄσπονδον, κατεφρόνησε τῆς τῶν πολλῶν ἀπεχθείας.

Εἶτα ἐπειδὴ ἠγνόουν, καὶ σημεῖον αὐτοῖς δίδωσιν, οἷον ἐπὶ τοῦ Σαοὺλ ὁ προφήτης λέγων· «Εὑρήσεις τινὰ ἀναβαίνοντα καὶ ἀσκὸν ἔχοντα»· καὶ ἐνταῦθα, «Κεράμιον βαστάζοντα». Καὶ ὅρα πάλιν τὴν ἐπίδειξιν τῆς δυνάμεως. Οὐ γὰρ εἶπε μόνον, «Τὸ Πάσχα ποιῶ»· ἀλλὰ καὶ ἕτερον προστίθησιν, «Ὁ καιρός μου ἐγγύς ἐστι». Τοῦτο δὲ ἐποίει, ἅμα μὲν τοὺς μαθητὰς συνεχῶς ὑπομιμνήσκων τοῦ πάθους, ὥστε τῇ πυκνότητι τῆς προρρήσεως ἐγγυμνασθέντας μελετῆσαι τὸ συμβησόμενον· ἅμα δὲ δεικνὺς αὐτοῖς τε ἐκείνοις, καὶ τῷ ὑποδεχομένῳ, καὶ πᾶσιν Ἰουδαίοις, ὃ πολλάκις εἶπον, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται. Προστίθησι δέ, «Μετὰ τῶν μαθητῶν μου», ὥστε καὶ ἀρκοῦσαν γενέσθαι τὴν παρασκευήν, κἀκεῖνον μὴ νομίσαι κρύπτεσθαι αὐτόν.

«Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν». Βαβαὶ τῆς ἀναισχυντίας, Ἰούδα! Καὶ γὰρ καὶ αὐτὸς ἐκεῖ παρῆν, καὶ ἦλθε κοινωνήσων καὶ μυστηρίων καὶ ἁλῶν, καὶ παρ' αὐτὴν ἐλέγχεται τὴν τράπεζαν, ὅτε καὶ θηρίον εἰ ἦν, πρᾳότερον ἐγεγόνει ἄν. Διὰ γὰρ τοῦτο καὶ ὁ εὐαγ-

2. Ματθ. 21, 3.
3. Α΄ Βασιλ. 10, 3.
4. Λουκᾶ 22, 10.

τὸ ὅτι ἠμποροῦσε νὰ μὴ ὑποστῇ τὸ πάθος. Διότι αὐτὸς ποὺ ἔπεισε τὸν νοῦν ἐκείνου ὥστε νὰ τοὺς δεχθῇ, καὶ αὐτὸ μόνον μὲ τὰ λόγια, τί δὲν θὰ ἠμποροῦσε νὰ κάμῃ ἐναντίον τῶν σταυρωτῶν του, ἐὰν βεβαίως δὲν ἤθελε νὰ πάθῃ;

Καὶ ἔκαμε καὶ ἐδῶ ὅ,τι ἔκαμε καὶ μὲ τὸν ὄνον. Διότι καὶ ἐκεῖ λέγει· «Ἐὰν κανεὶς σᾶς εἰπῇ τίποτε, εἰπέτε του ὅτι ὁ Κύριος τὸν χρειάζεται»[2]. Ἔτσι καὶ ἐδῶ· «ὁ Διδάσκαλος εἶπε, θὰ ἑορτάσω κοντά σου τὸ Πάσχα».

Ἐγὼ δὲ δὲν θαυμάζω μόνον αὐτό, ὅτι τὸν ὑπεδέχθη ἐνῷ ἦτο ἄγνωστος, ἀλλὰ τὸ ὅτι ἐνῷ περίμενε νὰ προκαλέσῃ τόσην ἔχθραν καὶ ἄσπονδον πόλεμον, περιεφρόνησε τὸ μῖσος τῶν πολλῶν.

Ἔπειτα, ἐπειδὴ ἀγνοοῦσαν, τοὺς ἔδωσε καὶ σημάδι, ὅμοιον μὲ ἐκεῖνο ποὺ ἔδωσεν ὁ προφήτης εἰς τὸν Σαοὺλ λέγων· «θὰ εὕρῃς κάποιον ποὺ ἀνεβαίνει καὶ θὰ κρατῇ ἀσκόν»[3]. Καὶ ἐδῶ, «νὰ κρατῇ μίαν στάμναν»[4]. Καὶ κύτταξε πάλιν τὴν ἐπίδειξιν τῆς δυνάμεως· διότι δὲν εἶπε μόνον «τὸ Πάσχα ποιῶ», ἀλλὰ προσθέτει καὶ ἄλλο· «ὁ καιρός μου πλησιάζει». Αὐτὸ δὲ τὸ ἔκανε, ἀφ' ἑνὸς μὲν διὰ νὰ ὑπενθυμίζῃ συνεχῶς εἰς τοὺς μαθητὰς τὸ πάθος, ὥστε μὲ τὴν συχνὴν ἐπανάληψιν νὰ ἀσκηθοῦν καὶ νὰ συνηθίσουν εἰς αὐτὸ ποὺ θὰ συμβῇ· ἀφ' ἑτέρου δὲ διὰ νὰ δείξῃ καὶ εἰς ἐκείνους καὶ εἰς αὐτὸν ποὺ τοὺς ὑπεδέχετο καὶ εἰς ὅλους τοὺς Ἰουδαίους, αὐτὸ ποὺ πολλάκις εἶπα, ὅτι δὲν ἔρχεται εἰς τὸ πάθος ἄθελά του. Προσθέτει δὲ «μετὰ τῶν μαθητῶν μου», ὥστε καὶ ἡ προετοιμασία νὰ εἶναι ἀρκετὴ καὶ νὰ μὴ νομίσῃ ὁ οἰκοδεσπότης ὅτι πηγαίνει ἐκεῖ διὰ νὰ κρυφθῇ.

«Ὅταν ἐβράδυασεν ἦτο εἰς τὸ τραπέζι μὲ τοὺς δώδεκα μαθητάς Του». Πώ, πώ, ἀναίδεια τοῦ Ἰούδα! Διότι καὶ αὐτὸς ἦτο παρὼν ἐκεῖ καὶ εἶχεν ἔλθει διὰ νὰ λάβῃ μέρος καὶ εἰς τὰ μυστήρια καὶ εἰς τὴν τράπεζαν, καὶ κατὰ τὴν διάρκειαν τῆς τραπέζης ἐλέγχεται, ὁπότε καὶ θηρίον ἐὰν ἦτο, θὰ ἠμποροῦσε νὰ γίνῃ ἡμερώτερος. Δι' αὐτὸ καὶ ὁ εὐαγγε-

γελιστὴς ἐπισημαίνεται, ὅτι ἐσθιόντων αὐτῶν διαλέγεται περὶ τῆς προδοσίας ὁ Χριστός, ἵνα καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τῆς τραπέζης δείξῃ τὴν πονηρίαν τοῦ προδότου. Ὡς γὰρ ἐποίησαν οἱ μαθηταί, καθὼς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, «Ὀψίας γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα. Ἐσθιόντων δὲ αὐτῶν εἶπε», φησίν, «Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με». Πρὸ δὲ τοῦ δείπνου καὶ τοὺς πόδας αὐτοῦ ἔνιψε.

Καὶ ὅρα πῶς φείδεται τοῦ προδότου. Οὐ γὰρ εἶπεν, Ὁ δεῖνά με παραδώσει· ἀλλ', «Εἷς ἐξ ὑμῶν», ὥστε πάλιν δοῦναι αὐτῷ μετανοίας ἐξουσίαν τῷ λαθεῖν· καὶ αἱρεῖται φοβῆσαι ἅπαντας, ὑπὲρ τοῦ διασῶσαι τοῦτον. Ἐξ ὑμῶν τῶν δώδεκα, φησί, τῶν πανταχοῦ μοι συμπαρόντων, ὧν τοὺς πόδας ἔνιψα, οἷς τοσαῦτα ἐπηγγειλάμην. Πένθος ἄρα ἀφόρητον τὸν χορὸν τότε τὸν ἅγιον ἐκεῖνον κατέλαβε. Καὶ ὁ μὲν Ἰωάννης φησίν, «Ἠποροῦντο, καὶ εἰς ἀλλήλους ἔβλεπον», καὶ ἕκαστος αὐτῶν ἠρώτα δεδοικὼς ὑπὲρ ἑαυτοῦ, καίτοι μηδὲν ἑαυτοῖς συνειδότες τοιοῦτον· οὗτος δέ φησιν, ὅτι «Λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος, Μήτι ἐγώ, Κύριε; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω».

Ὅρα πότε αὐτὸν ἐξεκάλυψεν, ὅτε τοὺς λοιποὺς ἀπαλλάξαι τῆς ταραχῆς ταύτης ἠθέλησε· καὶ γὰρ καὶ ἀποτεθνήκεισαν τῷ δέει· διὸ καὶ ἐπέκειντο ἐρωτῶντες. Οὐκ ἐκείνους δὲ ἀνεῖναι βουλόμενος μόνον τῆς ἀγωνίας, τοῦτο ἐποίει, ἀλλὰ καὶ τὸν προδότην διορθῶσαι θέλων. Ἐπειδὴ γὰρ πολλάκις ἀκούσας ἀδιορίστως, ἀδιόρθωτος ἔμενεν, ἀνάλγητος ὤν, βουλόμενος αὐτοῦ καθικέσθαι μᾶλλον, περιαιρεῖ τὸ προσωπεῖον αὐτοῦ. Ἐπειδὴ γὰρ λυπούμενοι ἤρξαντο λέγειν, «Μήτι

5. Ἰω. 13, 22.

λιστὴς τονίζει, ὅτι καθὼς ἔτρωγαν ὡμιλοῦσεν ὁ Χριστὸς περὶ τῆς προδοσίας, διὰ νὰ καταδείξῃ τὴν πονηρίαν τοῦ προδότου καὶ ἀπὸ τὴν ὥραν καὶ ἀπὸ τὴν τράπεζαν. Διότι, ἀφοῦ οἱ μαθηταὶ ἔκαναν, ὅπως τοὺς διέταξεν ὁ Κύριος, «ὅταν ἐβράδυασεν ἦτο εἰς τὸ τραπέζι μὲ τοὺς δώδεκα. Καὶ καθὼς ἔτρωγαν, λέγει ὁ εὐαγγελιστής, εἶπε· «ἀλήθεια σᾶς λέγων, ἕνας ἀπὸ σᾶς θὰ μὲ παραδώσῃ». Πρὶν ἀπὸ τὸ δεῖπνον μάλιστα ἔνιψε καὶ τὰ πόδια του.

Κύτταξε δὲ πῶς φροντίζει τὸν προδότην. Διότι δὲν εἶπεν ὁ δεῖνα θὰ μὲ προδώσῃ, ἀλλὰ «ἕνας ἀπὸ σᾶς», ὥστε καὶ πάλιν νὰ τοῦ δώσῃ εὐκαιρίαν μετανοίας μὲ τὸ ὅτι ἔμεινεν ἄγνωστος. Καὶ προτιμᾷ νὰ προκαλέσῃ φόβον εἰς ὅλους, διὰ νὰ γλυτώσῃ αὐτόν. Ἀπὸ σᾶς τοὺς δώδεκα, λέγει, οἱ ὁποῖοι ἤσασθε παντοῦ μαζί μου, τῶν ὁποίων τὰ πόδια ἔνιψα, εἰς τοὺς ὁποίους τόσα πολλὰ ἔχω ὑποσχεθῆ. Λύπη μεγάλη, ὅπως ἦτο φυσικόν, κατέλαβε τότε τὴν ἁγίαν ἐκείνην ὁμάδα. Καὶ ὁ μὲν Ἰωάννης λέγει· «ἀποροῦσαν καὶ ἐκύτταζαν ὁ ἕνας τὸν ἄλλον»[5] καὶ ὁ καθένας ἀπὸ αὐτοὺς ἐρωτοῦσε φοβισμένος διὰ τὸν ἑαυτόν του, ἂν καὶ δὲν ᾐσθάνοντο κάτι τέτοιο διὰ τὸν ἑαυτόν τους. Ὁ Ματθαῖος δὲ λέγει, ὅτι «ἐλυπήθησαν πάρα πολὺ καὶ ἄρχισαν νὰ τοῦ λέγουν ὁ καθένας ἀπὸ αὐτούς· μήπως εἶμαι ἐγώ, Κύριε; Αὐτὸς δὲ ἀπεκρίθη· ἐκεῖνος εἰς τὸν ὁποῖον θὰ δώσω τὸ ψωμί, ἀφοῦ τὸ βουτήξω εἰς τὸ ποτήριον».

Κύτταξε πότε τὸν ἐφανέρωσεν, ὅταν ἠθέλησε νὰ ἀπαλλάξῃ ἀπὸ τὴν ταραχὴν αὐτὴν τοὺς ἄλλους. Διότι ἠμποροῦσαν καὶ νὰ ἀποθάνουν ἀπὸ τὴν ἀγωνίαν· δι' αὐτὸ καὶ ἐπετίθεντο μὲ ἐρωτήσεις. Δὲν τὸ ἔκαμε δὲ αὐτὸ μόνον ἐπειδὴ ἤθελε νὰ ἀπαλλάξῃ ἐκείνους ἀπὸ τὴν ἀγωνίαν, ἀλλὰ διότι ἤθελε νὰ διορθώσῃ καὶ τὸν προδότην. Ἐπειδή, ἂν καὶ ἤκουσε πολλὲς φορὲς περὶ τοῦ προδότου ἀκαθορίστως, ἔμενεν ἀδιόρθωτος, διότι ἦτο ἀνάλγητος, θέλων νὰ τὸν κεντήσῃ περισσότερον, ἀφαιρεῖ τὸ προσωπεῖον του. Ἐπειδὴ μὲ

ἐγώ, Κύριε;», ἀποκριθεὶς εἶπεν· «Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος». Τινὲς μὲν οὖν φασιν, ὅτι οὕτως ἰταμὸς ἦν, ὡς μὴ τιμᾶν τὸν Διδάσκαλον, ἀλλὰ μετ' αὐτοῦ βάπτειν· ἐμοὶ δὲ δοκεῖ καὶ τοῦτο ποιῆσαι ὁ Χριστός, μᾶλλον αὐτὸν ἐντρέπων, καὶ εἰς διάθεσιν ἐπισπώμενος· ἔχει γάρ τι καὶ τοῦτο πλέον.

2. Ταῦτα δὲ οὐχ ἁπλῶς παρατρέχειν δεῖ, ἀλλ' ἐμπεπηγέναι ἡμῶν ταῖς διανοίαις, καὶ οὐκ ἄν ποτε χώραν σχοίη θυμός. Τίς γὰρ ἐννοῶν τὸ δεῖπνον ἐκεῖνο, καὶ τὸν προδότην κατακείμενον μετὰ τοῦ πάντων Σωτῆρος, καὶ τὸν προδίδοσθαι μέλλοντα οὕτως ἐπιεικῶς διαλεγόμενον, οὐκ ἂν πάντα τὸν ἐκβάλοι θυμοῦ καὶ ὀργῆς;

Ὅρα γοῦν πῶς πράως αὐτῷ προσφέρεται. «Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθώς ἐστι γεγραμμένον περὶ αὐτοῦ». Ταῦτα δὲ πάλιν καὶ τοὺς μαθητὰς ἀνακτώμενος ἔλεγεν, ἵνα μὴ νομίσωσιν ἀσθενείας εἶναι τὸ πρᾶγμα, καὶ τὸν προδότην διορθούμενος.

«Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος». Ὅρα πάλιν ἐν τοῖς ἐλέγχοις ἄφατον τὴν πραότητα. Οὐδὲ γὰρ ἐνταῦθα καταφορικῶς, ἀλλ' ἐλεεινότερον μᾶλλον τὸν λόγον προσάγει, καὶ συνεσκιασμένως πάλιν· καίτοιγε οὐχ ἡ ἔμπροσθεν μόνον ἀναισθησία, ἀλλὰ καὶ ἡ μετὰ ταῦτα ἀναισχυντία ἀξία τῆς ἐσχάτης ἀγανακτήσεως ἦν. Μετὰ γὰρ τὸν ἔλεγχον τοῦτόν φησι· «Μήτι ἐγώ εἰμι, Κύ-

---

6. Τὸ τρυβλίον ἦτο εἶδος κούπας.

λύπην ἄρχισαν νὰ ἐρωτοῦν «μήπως εἶμαι ἐγώ, Κύριε»; τοὺς ἀπεκρίθη· «Ἐκεῖνος ποὺ ἐβούτηξε μαζί μου τὸ χέρι εἰς τὸ τρυβλίον[6], αὐτὸς θὰ μὲ παραδώσῃ. Καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου πηγαίνει ὅπως εἶναι γραμμένον δι᾽ αὐτόν, ἀλλοίμονον ὅμως εἰς τὸν ἄνθρωπον ἐκεῖνον διὰ τοῦ ὁποίου ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδεται. Θὰ ἦτο καλύτερα δι᾽ αὐτὸν νὰ μὴ εἶχε γεννηθῇ». Μερικοὶ μὲν λοιπὸν λέγουν, ὅτι τόσον θρασὺς ἦτο, ὥστε δὲν ἐσέβετο τὸν Δεσπότην καὶ ἐβούτηξε μαζί Του εἰς τὸ ποτήριον. Ἐγὼ ὅμως νομίζω ὅτι καὶ αὐτὸ τὸ ἔκαμεν ὁ Χριστός, διὰ νὰ τὸν μεταστρέψῃ καὶ καὶ νὰ τὸν φέρῃ εἰς συναίσθησιν τῆς θέσεώς του· διότι ἔχει ὁπωσδήποτε καὶ αὐτὸ ἐπὶ πλέον.

2. Αὐτὰ δὲ δὲν πρέπει νὰ τὰ ἀντιπαρερχώμεθα ἐπιπολαίως, ἀλλὰ νὰ τὰ βάλωμεν καλὰ εἰς τὸν νοῦν μας καὶ νὰ μὴ μᾶς καταλάβῃ ποτὲ θυμός. Διότι ποῖος, ἐνθυμούμενος τὸ δεῖπνον ἐκεῖνο καὶ τὸν προδότην ἐξαπλωμένον μαζὶ μὲ τὸν Σωτῆρα τῶν ὅλων, καὶ ἐκεῖνον ποὺ πρόκειται νὰ προδοθῇ νὰ ὁμιλῇ μὲ τόσην πραότητα, δὲν θὰ θυμώσῃ καὶ ὀργισθῇ;

Κύτταξε λοιπὸν μὲ πόσην πραότητα τοῦ προσφέρεται· «ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου πηγαίνει ὅπως εἶναι γραμμένον δι᾽ Αὐτόν». Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ ξανακερδήσῃ πάλιν τοὺς μαθητάς του, διὰ νὰ μὴ νομίσουν ὅτι τὸ πάθος ὀφείλεται εἰς ἀδυναμίαν, καὶ διὰ νὰ διορθώσῃ τὸν προδότην.

«Ἀλλοίμονον δὲ εἰς τὸν ἄνθρωπον ἐκεῖνον, διὰ τοῦ ὁποίου ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδεται. Θὰ ἦτο καλύτερον δι᾽ αὐτὸν νὰ μὴ εἶχε γεννηθῇ ὁ ἄνθρωπος ἐκεῖνος». Βλέπε καὶ εἰς τοὺς ἐλέγχους τὴν ἀπερίγραπτον πραότητα. Διότι οὔτε ἐδῶ δὲν ὁμιλεῖ ὁρμητικά, ἀλλὰ μᾶλλον μὲ συμπάθειαν καὶ πάλιν συγκεκαλυμμένως· ἂν καὶ ὄχι μόνον ἡ προηγουμένη ἀναισθησία του, ἀλλὰ καὶ ἡ ἐν συνεχείᾳ ἀναίδειά του, ἦτο ἀξία μεγάλης ἀγανακτήσεως. Διότι μετὰ ἀπὸ αὐτὸν τὸν ἔλεγχον ἐρωτᾷ· «μήπως εἶμαι ἐγώ, Κύριε;». Πό-

ρις;». Ὢ τῆς ἀναισθησίας! Ἐξετάζει συνειδὼς ἑαυτῷ τοιαῦτα. Καὶ γὰρ ὁ εὐαγγελιστὴς θαυμάζων αὐτοῦ τὴν ἰταμότητα, τοῦτό φησι.

Τί οὖν ὁ πρᾳότατος καὶ ἡμερώτατος Ἰησοῦς; «Σὺ εἶπας». Καίτοιγε ἐνῆν εἰπεῖν· Ὢ μιαρὲ καὶ παμμίαρε, ἐναγὲς καὶ βέβηλε· τοσοῦτον χρόνον ὠδίνων τὸ κακόν, καὶ ἀπελθών, καὶ συμβόλαια σατανικὰ ποιήσας, καὶ ἀργύριον συνθέμενος λαμβάνειν, καὶ παρ᾿ ἐμοῦ δὲ διαλεχθείς, ἔτι τολμᾷς ἐρωτᾶν; Ἀλλ᾿ οὐδὲν τούτων εἴρηκεν· ἀλλὰ πῶς; «Σὺ εἶπας»· ὅρους ἡμῖν καὶ κανόνας ἀνεξικακίας πηγνύς.

Ἀλλ᾿ ἐρεῖ τις· Καὶ μὴν εἰ γέγραπται παθεῖν αὐτὸν ταῦτα, διατί ἐγκαλεῖται Ἰούδας; τὰ γὰρ γεγραμμένα ἐποίησεν. Ἀλλ᾿ οὐ ταύτῃ τῇ γνώμῃ, ἀλλὰ διὰ πονηρίαν. Εἰ δὲ μὴ τὸν σκοπὸν ἐξετάζοις, καὶ τὸν διάβολον ἀπαλλάξεις τῶν ἐγκλημάτων. Ἀλλ᾿ οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Μυρίων γὰρ ἄξιοι κολάσεων καὶ οὗτος κἀκεῖνος, εἰ καὶ ἡ οἰκουμένη ἐσώθη. Οὐδὲ γὰρ ἡ προδοσία τοῦ Ἰούδα τὴν σωτηρίαν ἡμῖν εἰργάσατο, ἀλλ᾿ ἡ τοῦ Χριστοῦ σοφία, καὶ τῆς αὐτοῦ εὐμηχανίας τὸ εὔπορον, ταῖς ἑτέρων πονηρίαις εἰς τὸ ἡμῖν συμφέρον ἀποχρωμένου.

Τί οὖν; φησίν· εἰ καὶ Ἰούδας μὴ προὔδωκεν, ἕτερος οὐκ ἂν προὔδωκε; Καὶ τί τοῦτο πρὸς τὸ ζητούμενον; Ὅτι εἰ σταυρωθῆναι ἔδει τὸν Χριστόν, φησί, διά τινος ἔδει· εἰ δὲ διά τινος ἔδει, δι᾿ ἀνθρώπου πάντως τοιούτου. Εἰ δὲ πάντες ἦσαν ἀγαθοί, ἐνεποδίσθη ἂν ἡ οἰκονομία ἡ ὑπὲρ ἡμῶν. Μὴ γένοιτο! Αὐτὸς γὰρ ὁ πάνσοφος ᾔδει πῶς οἰκονομήσει τὰ ἡμέτερα, καὶ τούτου συμβάντος· εὔπορος γὰρ αὐτοῦ ἡ σο-

ση ἀναισθησία! Ἐρωτᾷ, ἐνῷ γνωρίζει ὅτι εἰς αὐτὸν ἀναφέρονται αὐτά. Καὶ ὁ εὐαγγελιστὴς τὸ ἀναφέρει αὐτό, ἐπειδὴ ἀπορεῖ διὰ τὸ θράσος του.

Τί λέγει ὅμως ὁ πραότερος καὶ ἡμερώτατος Ἰησοῦς; «Σὺ τὸ εἶπες». Ἂν καὶ ἠμποροῦσε νὰ εἴπῃ· κατεργάρη καὶ ἀχρεῖε, βδελυρὲ καὶ βέβηλε· ἀφοῦ τόσον καιρὸν κυοφορῇς τὸ κακὸν καὶ ἐπῆγες εἰς τοὺς ἀρχιερεῖς καὶ ἔκανες σατανικὰ συμβόλαια καὶ ἐσυμφώνησες νὰ λάβῃς ἀργύριον καὶ ἀπὸ ἐμὲ ἔχεις ἐλεγχθῆ καὶ τολμᾷς ἀκόμη νὰ ἐρωτᾷς; Τίποτε ὅμως ἀπὸ αὐτὰ δὲν εἶπε· ἀλλὰ πῶς τοῦ ἀπήντησε; «Σὺ τὸ εἶπες», ὁρίζων εἰς ἡμᾶς τὰ ὅρια καὶ τοὺς κανόνας τῆς ἀνεξικακίας.

Θὰ ἐρωτήσῃ ὅμως κάποιος· ἐφ' ὅσον ἦτο γραμμένον νὰ τὰ πάθῃ αὐτὰ ὁ Χριστός, διατί κατηγορεῖται ὁ Ἰούδας; Διότι ἔκανεν αὐτὰ ποὺ ἦσαν γραμμένα. Δὲν τὰ ἔκανεν ὅμως μὲ τὴν σκέψιν αὐτήν, ἀλλὰ ἕνεκα πονηρίας. Ἐὰν δὲ δὲν λαμβάνῃς ὑπ' ὄψιν τὸν σκοπόν, τότε θὰ ἀπαλλάξῃς καὶ τὸν διάβολον ἀπὸ τὰ ἐγκλήματα. Δὲν εἶναι ὅμως δυνατὰ αὐτά, δὲν εἶναι. Διότι καὶ αὐτὸς καὶ ἐκεῖνος εἶναι ἄξιοι ἀπείρων τιμωριῶν, ἂν καὶ ἐσώθη ἡ οἰκουμένη. Διότι δὲν μᾶς ἔφερε τὴν σωτηρίαν ἡ προδοσία τοῦ Ἰούδα, ἀλλὰ ἡ σοφία τοῦ Χριστοῦ καὶ ἡ ἄπειρη ἱκανότης Του νὰ χρησιμοποιῇ τὰς πονηρίας τῶν ἄλλων πρὸς τὸ ἰδικόν μας συμφέρον.

Τί λοιπόν; λέγει· ἐὰν δὲν ἐπρόδιδεν ὁ Ἰούδας, δὲν θὰ ἐπρόδιδεν ἄλλος; Ποίαν σχέσιν ἔχει αὐτὸ πρὸς τὸ θέμα μας; Διότι ἔτσι, ἐφ' ὅσον ἔπρεπε νὰ σταυρωθῇ ὁ Χριστός, λέγει, ἔπρεπε νὰ σταυρωθῇ ἀπὸ κάποιον· ἐφ' ὅσον δὲ ἔπρεπε μὲ κάποιον, ὁπωσδήποτε αὐτὸς θὰ ἦτο ἄνθρωπος. Ἐὰν δὲ ὅλοι ἦσαν ἐνάρετοι, θὰ ἐματαιοῦτο τὸ σχέδιον τῆς θείας οἰκονομίας διὰ τὴν σωτηρίαν μας. Μὴ γένοιτο! Διότι ὁ ἴδιος ὁ πάνσοφος Θεὸς ἐγνώριζε πῶς θὰ ἐνεργοῦσε τὴν σωτηρίαν μας καὶ ἂν ἀκόμη συνέβαινεν αὐτό· διότι ἡ σοφία Του εἶναι ἄπειρος καὶ ἀκατάληπτος. Ἄλλωστε δι' αὐτό,

φία καὶ ἀκατάληπτος. Διὰ γὰρ τοῦτο ἵνα μή τις νομίσῃ, ὅτι οἰκονομίας ὑπηρέτης ἐγένετο, ταλανίζει τὸν ἄνθρωπον.

Ἀλλ' ἐρεῖ τις πάλιν· Καὶ εἰ καλὸν ἦν τὸ μὴ γεννηθῆναι αὐτόν, τίνος ἕνεκεν εἴασεν εἰς μέσον ἐλθεῖν, καὶ τοῦτον καὶ τοὺς πονηροὺς ἅπαντας; Δέον σε τοῖς πονηροῖς ἐγκαλεῖν, ὅτι κύριοι ὄντες μὴ γενέσθαι τοιοῦτοι, γεγόνασι πονηροί, σὺ δὲ τοῦτο ἀφείς, πολυπραγμονεῖς τὰ τοῦ Θεοῦ, καὶ περιεργάζῃ· καίτοι εἰδώς, ὡς οὐκ ἀνάγκῃ τίς ἐστι πονηρός. Ἀλλὰ τοὺς ἀγαθοὺς ἔδει γενέσθαι μόνους, φησί, καὶ γεέννης οὐκ ἦν χρεία, οὐδὲ κολάσεως καὶ τιμωρίας, οὐδὲ κακίας ἴχνος· τοὺς δὲ πονηροὺς ἢ μὴ γενέσθαι, ἢ γενομένους εὐθέως ἀπελθεῖν.

Πρῶτον μὲν οὖν ἄξιον πρὸς σὲ εἰπεῖν τὸ ἀποστολικόν· «Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, Τί με ἐποίησας οὕτως;». Εἰ δὲ καὶ λογισμοὺς ἀπαιτεῖς, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι μειζόνως θαυμάζονται οἱ ἀγαθοὶ μεταξὺ πονηρῶν ὄντες· καὶ γὰρ ἡ ἀνεξικακία καὶ ἡ πολλὴ φιλοσοφία αὐτῶν τότε μάλιστα δείκνυται. Σὺ δὲ ὑπόθεσιν ἀναιρεῖς παλαισμάτων καὶ ἀγώνων, ταῦτα λέγων.

Τί οὖν; ἵνα οὗτοι καλοὶ φανῶσι, κολάζονται ἕτεροι; φησί. Μὴ γένοιτο! ἀλλὰ διὰ τὴν ἑαυτῶν πονηρίαν. Οὐδὲ γὰρ ἐπειδὴ παρήχθησαν, γεγόνασι πονηροί, ἀλλὰ διὰ τὴν ἑαυτῶν ῥαθυμίαν· διὸ καὶ κολάζονται. Πῶς γὰρ οὐκ ἂν εἶεν κολάσεως ἄξιοι, τοσούτους διδασκάλους ἔχοντες ἀρετῆς, καὶ μηδὲν ἐντεῦθεν κερδαίνοντες; Ὥσπερ γὰρ οἱ καλοὶ καὶ ἀγαθοὶ διπλῆς ἄξιοι τιμῆς, ὅτι καὶ χρηστοὶ γεγόνασι, καὶ οὐδὲν παρὰ τῶν πονηρῶν ἐβλάβησαν· οὕτω καὶ οἱ φαῦλοι διπλῆς ἄ-

7. Ρωμ. 9, 20.

διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι ὁ Ἰούδας ἔγινεν ὑπηρέτης τῆς θείας οἰκονομίας, τὸν οἰκτίρει.

Ἀλλὰ θὰ ἐρωτήσῃ πάλιν κάποιος· ἐὰν ἦτο καλὸν νὰ μὴ γεννηθῇ αὐτός, διατί τὸν ἄφησε νὰ ἔλθῃ εἰς τὸν κόσμον καὶ αὐτὸν καὶ ὅλους τοὺς πονηρούς; Πρέπει νὰ κατηγορήσῃς τοὺς πονηρούς, οἱ ὁποῖοι, ἐνῷ ἦσαν ἐλεύθεροι νὰ μὴ γίνουν τέτοιοι, ἔγιναν πονηροί, σὺ δὲ ἄφησες αὐτὸ καὶ λεπτολογεῖς καὶ περιεργάζεσαι τὰ ἔργα τοῦ Θεοῦ· ἂν καὶ γνωρίζεις, ὅτι δὲν γίνεται ἀναγκαστικὰ κανεὶς πονηρός. Θὰ ἔπρεπε, λέγει, νὰ γίνουν μόνον οἱ ἀγαθοὶ καὶ νὰ μὴ ὑπάρχῃ ἀνάγκη γεέννης, οὔτε κολάσεως καὶ τιμωρίας, οὔτε ἴχνος κακίας νὰ ὑπάρχῃ· οἱ δὲ πονηροί, ἢ νὰ μὴ γίνουν, ἢ ὅταν γίνουν ἀμέσως νὰ ἀπέλθουν.

Κατὰ πρῶτον ἀξίζει νὰ σοῦ ἀναφέρω τὸ ἀποστολικὸν ρητόν· «Ἀλλὰ ποῖος εἶσαι σύ, ἄνθρωπέ μου, ποὺ ἀντιλέγεις εἰς τὸν Θεόν; Μήπως εἶναι δυνατὸν νὰ εἰπῇ τὸ πλάσμα εἰς τὸν πλάστην· διατί μὲ ἔπλασες ἔτσι;»[7]. Ἐὰν δὲ θέλῃς καὶ δικαιολογίαν, θὰ ἠμπορούσαμεν νὰ σοῦ εἴπουμεν τοῦτο· ὅτι οἱ ἐνάρετοι ἐκτιμῶνται περισσότερον ὅταν εὑρίσκωνται μεταξὺ τῶν πονηρῶν· ἄλλωστε καὶ ἡ ἀνεξικακία καὶ ἡ μεγάλη καρτερικότης των τότε ἀναδεικνύονται καλύτερα. Ἐνῷ σύ, λέγων αὐτά, καταργεῖς τὸν σκοπὸν τῶν κατορθωμάτων καὶ τῶν ἀγώνων.

Τί λοιπόν; Τιμωροῦνται ἄλλοι, λέγει, διὰ ν᾽ ἀποδειχθοῦν αὐτοὶ καλοί; Ὄχι βέβαια· ἀλλὰ τιμωροῦνται ἐξ αἰτίας τῆς πονηρίας των. Διότι δὲν ἔγιναν πονηροὶ παρασυρθέντες, ἀλλὰ ἐξ αἰτίας τῆς ραθυμίας των· δι᾽ αὐτὸ τιμωροῦνται. Διότι πῶς δὲν θὰ ἦσαν ἄξιοι τιμωρίας, αὐτοὶ οἱ ὁποῖοι ἐνῷ εἶχαν τόσους διδασκάλους ἀρετῆς, δὲν ἐκέρδησαν τίποτε ἀπὸ αὐτούς; Ὅπως ἀκριβῶς οἱ καλοὶ καὶ ἀγαθοὶ εἶναι ἄξιοι διπλῆς τιμῆς, ἐπειδὴ καὶ ἀγαθοὶ ἔγιναν καὶ δὲν ἐπηρεάσθησαν καθόλου ἀπὸ τοὺς κακούς, ἔτσι καὶ οἱ φαῦλοι εἶναι ἄξιοι διπλῆς τιμωρίας, καὶ διότι ἔγιναν κα-

ξιοι κολάσεως, ὅτι τε πονηροὶ γεγόνασι, δυνάμενοι γενέσθαι καλοὶ (καὶ δηλοῦσιν οἱ γενόμενοι)· καὶ ὅτι οὐδὲν ἀπὸ τῶν ἀγαθῶν ἐκέρδαναν.

Ἀλλ' ἴδωμεν τί φησιν ὁ δείλαιος οὗτος διελεγχόμενος παρὰ τοῦ διδασκάλου. Τί οὖν φησι; «Μήτι ἐγώ εἰμι, Ραββί;». Καὶ διατί μὴ ἐξ ἀρχῆς τοῦτο ἠρώτησεν; Ἐνόμισε λανθάνειν τῷ εἰρῆσθαι, «Εἷς ἐξ ὑμῶν»· ὅτε δὲ αὐτὸν δῆλον ἐποίησεν, ἐτόλμησε πάλιν ἐρέσθαι, τῇ ἐπιεικείᾳ τοῦ Διδασκάλου θαρρῶν, ὡς οὐκ ἐλέγξοντος αὐτόν. Διὰ τοῦτο γοῦν καὶ Ραββὶ ἐκάλεσεν.

3. Ὢ τῆς πηρώσεως! ποῦ αὐτὸν ἐξήγαγε; Τοιοῦτον γὰρ ἡ φιλαργυρία· μωροὺς καὶ ἀνοήτους ἐργάζεται, ἰταμοὺς καὶ κύνας ἀντὶ ἀνθρώπων· μᾶλλον δὲ καὶ κυνῶν χαλεπωτέρους, καὶ δαίμονας ἀπὸ κυνῶν. Οὗτος γοῦν τὸν μὲν διάβολον προσίετο καὶ ἐπιβουλεύοντα, τὸν δὲ Ἰησοῦν καὶ εὐεργετοῦντα προὔδωκε, διάβολος ἤδη γενόμενος τῇ προαιρέσει. Τοιούτους γὰρ ποιεῖ ἡ ἀκόρεστος τῶν χρημάτων ἐπιθυμία, ἔκφρονας, παραπλήγας, ὅλους τοῦ λήμματος, καθάπερ καὶ Ἰούδας ἐγένετο.

Πῶς δὲ ὁ μὲν Ματθαῖός φησι καὶ οἱ ἄλλοι, ὅτι ὅτε συνετάξατο περὶ τῆς προδοσίας, τότε αὐτὸν ὁ διάβολος εἷλεν· ὁ δὲ Ἰωάννης, ὅτι «Μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς»; Καὶ αὐτὸς τοῦτο οἶδεν. Ἀνωτέρω γάρ φησι· «Δείπνου γενομένου, καὶ τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα αὐτὸν παραδῷ». Πῶς οὖν φησι, «Μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς»; Ὅτι οὐκ ἂν ἀθρόον εἰσέρχεται, οὐδὲ ἐφ' ἕν, ἀλλὰ πολλὴν ποιεῖται τὴν ἀπόπειραν πρῶτον· ὃ δὴ καὶ ἐνταῦθα γέγονε. Διακωδωνίσας γὰρ αὐτὸν ἐν ἀρχῇ, καὶ προσβαλὼν ἠρέμα, ἐπειδὴ εἶδεν ἐ-

8. Ἰω. 13, 2.
9. Αὐτόθι 27.

κοί, ἐνῷ ἠμποροῦσαν νὰ γίνουν καλοὶ (αὐτὸ τὸ ἀποδεικνύουν ἐκεῖνοι ποὺ ἔγιναν), καὶ διότι δὲν ἐκέρδησαν τίποτε ἀπὸ τοὺς ἀγαθούς.

Ἀλλὰ ἂς ἴδωμεν τί λέγει αὐτὸς ὁ ἄθλιος, ὅταν ὑποβάλεται εἰς αὐστηρὸν ἔλεγχον ἀπὸ τὸν Διδάσκαλον. Τὶ λέγει λοιπόν; «Μήπως εἶμαι ἐγώ, Ραββί;». Καὶ διατί δὲν τὸ ἐρώτησαν αὐτὸ ἀπὸ τὴν ἀρχήν; Ἐνόμισεν ὅτι θὰ διαφύγῃ μὲ τὴν φράσιν «ἕνας ἀπὸ σᾶς»· ὅταν ὅμως τὸν ἐφανέρωσεν, ἐτόλμησε πάλιν νὰ ἐρωτήσῃ, βασιζόμενος εἰς τὴν καλωσύνην τοῦ Διδασκάλου, μὲ τὴν ἐλπίδα ὅτι δὲν θὰ τὸν ἐλέγξῃ. Δι' αὐτὸ ἀκριβῶς καὶ τὸν ἀπεκάλεσε Ραββί.

3. Πόση τύφλωσις! Ποῦ τὸν ὡδήγησε; Διότι τέτοια εἶναι ἡ φιλαργυρία· τοὺς κάνει μωροὺς καὶ ἀνοήτους, θρασεῖς καὶ σκύλους ἀντὶ ἀνθρώπων. Ἢ μᾶλλον καὶ χειροτέρους ἀπὸ σκύλους, καὶ δαίμονας ἀπὸ σκύλους. Διότι αὐτός, τὸν μὲν διάβολον τὸν ἐπεδοκίμαζε καὶ ὅταν ἀκόμη ἐμηχανορραφοῦσε, τὸν δὲ Ἰησοῦν, ποὺ εὐηργέτει, τὸν ἐπρόδωσε, γενόμενος διάβολος ἤδη καὶ αὐτὸς κατ' ἐλευθέραν ἐκλογήν. Διότι τέτοιους κάνει ἡ ἀκόρεστος ἐπιθυμία τῶν χρημάτων, παράφρονας, παραλύτους, ὅλους μόνον εἰς τὸ νὰ λαμβάνουν, ὅπως ἔγινε καὶ ὁ Ἰούδας.

Διατί ὅμως ὁ μὲν Ματθαῖος καὶ οἱ ἄλλοι εὐαγγελισταὶ λέγουν, ὅτι ὅταν ἀπεφάσισε τὴν προδοσίαν, τότε τὸν ἐκυρίευσεν ὁ διάβολος· ἐνῷ ὁ Ἰωάννης λέγει ὅτι· «μετὰ τὸ ψωμὶ εἰσῆλθε μέσα του ὁ σατανᾶς»; Τὸ ἐγνώριζε καὶ αὐτός. Διότι πιὸ ἐπάνω λέγει· «κατὰ τὴν διάρκειαν τοῦ δείπνου καὶ ἐνῷ ὁ διάβολος εἶχεν ἤδη βάλει εἰς τὴν καρδίαν τοῦ Ἰούδα τὴν ἰδέαν νὰ Τὸν παραδώσῃ»[8]. Πῶς λοιπὸν λέγει «μετὰ τὸ ψωμὶ εἰσῆλθε μέσα του ὁ Σατανᾶς»[9]; Διότι δὲν εἰσέρχεται μονομιᾶς, οὔτε μὲ τὸ πρῶτον, ἀλλὰ ἀφοῦ προηγουμένως ἐπιχειρήσῃ πολλὰς ἀποπείρας· ὅπως ἀκριβῶς ἔγινε καὶ ἐδῶ. Διότι, ἀφοῦ τὸν ἐδοκίμασεν ἀρχικῶς μὲ κωδούνισμα καὶ τὸν προσέβαλε μὲ ἠρεμίαν, ὅταν εἶδεν ὅτι

πιτήδειον πρὸς ὑποδοχήν, ὅλος λοιπὸν ἐνταῦθα ἔπνευσε, καὶ ὁλοσχερῶς αὐτοῦ περιγέγονε.

Πῶς δέ, εἰ τὸ Πάσχα ἤσθιον, παρανόμως ἤσθιον; οὐ γὰρ ἀνακειμένους ἔδει φαγεῖν. Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι μετὰ τὸ φαγεῖν, ἀνέκειντο λοιπὸν ἑστιώμενοι. Ἕτερος δὲ εὐαγγελιστής φησιν, ὅτι κατὰ τὴν ἑσπέραν ἐκείνην οὐκ ἤσθιε μόνον τὸ Πάσχα, ἀλλὰ καὶ ἔλεγεν «Ἐπιθυμίᾳ ἐπεθύμησα τὸ Πάσχα τοῦτο φαγεῖν μεθ' ὑμῶν· τουτέστι, κατὰ τὸν ἐνιαυτὸν τοῦτον. Τί δήποτε; Ὅτι τότε ἔμελλε τῆς οἰκουμένης ἡ σωτηρία γίνεσθαι, καὶ τὰ μυστήρια παραδίδοσθαι, καὶ τὰ λυπηρὰ λύεσθαι διὰ τοῦ θανάτου· οὕτω κατὰ γνώμην αὐτῷ ὁ σταυρὸς ἦν. Ἀλλ' οὐδὲν τὸν ἀνήμερον θῆρα ἐμάλαξεν, οὐδὲ ἔκαμψεν, οὐδὲ ἐνέτρεψεν.

Ἐταλάνισεν αὐτὸν εἰπών· «Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ». Ἐφόβησεν αὐτὸν πάλιν εἰπών· «Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη». Ἐνέτρεψεν αὐτὸν εἰπών· «Ὧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω». Καὶ οὐδὲν τούτων αὐτὸν κατέσχεν, ἀλλ' ὥσπερ ὑπὸ μανίας τινὸς ἑάλω τῆς φιλαργυρίας, μᾶλλον δὲ ὑπὸ χαλεπωτέρου νοσήματος. Καὶ γὰρ αὕτη χαλεπωτέρα ἡ μανία. Τί γὰρ ἂν τοιοῦτον εἰργάσατο ὁ μαινόμενος; Οὐ προΐετο ἀφρὸν ἐκ τοῦ στόματος οὗτος, ἀλλὰ προΐετο φόνον Δεσποτικόν· οὐκ ἐστραγγάλου τὰς χεῖρας, ἀλλὰ προέτεινεν εἰς ὠνὴν αἵματος τιμίου. Διὸ μείζων ἡ μανία, ὅτι ὑγιαίνων ἐμαίνετο.

Ἀλλ' οὐ φθέγγεται ἄσημα; Καὶ τί τῆς φωνῆς ταύτης ἀσημότερον. «Τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν παραδώσω αὐτόν;». «Παραδώσω»· ὁ διάβολος ἤχησε διὰ τοῦ στόματος ἐκείνου. Ἀλλ' οὐκ ἐπάταξε τὴν γῆν τοῖς ποσὶ σπαίρων; Καὶ

10. Λουκᾶ 22, 15.

εἶναι ἕτοιμος νὰ δεχθῇ, εἰσέβαλε μέσα του ὁλόκληρος καὶ τὸν ἐκυρίευσεν ἐντελῶς.

Πῶς δέ, ἐὰν ἔτρωγαν τὸ πασχάλιον δεῖπνον, ἔτρωγαν παρανόμως; Διότι δὲν ἔπρεπε νὰ φάγουν ἐξαπλωμένοι. Τί ἠμποροῦμεν λοιπὸν νὰ εἰποῦμεν; Ὅτι μετὰ τὸ δεῖπνον ἦσαν ἐξαπλωμένοι φιλοξενούμενοι. Ἄλλος μάλιστα εὐαγγελιστὴς λέγει, ὅτι κατὰ τὴν ἑσπέραν ἐκείνην δὲν ἔφαγαν μόνον τὸ πασχάλιον δεῖπνον, ἀλλὰ καὶ εἶπεν ὁ Ἰησοῦς· «πολὺ ἐπεθύμησα νὰ φάγω αὐτὸ τὸ Πάσχα μαζί σας»[10], δηλαδὴ κατὰ τὸν χρόνον αὐτόν. Διατί τέλος πάντων; Διότι τότε ἐπρόκειτο νὰ συντελεσθῇ ἡ σωτηρία τῆς οἰκουμένης καὶ νὰ παραδοθοῦν τὰ μυστήρια καὶ νὰ καταλυθῇ ἡ λύπη τοῦ θανάτου μὲ τὸν θάνατον· ἔτσι ἡ σταύρωσις ἦτο ἐν γνώσει του. Ἀλλὰ τίποτε δὲν ἐμάλαξε τὸ ἀνήμερον θηρίον, οὔτε τὸ ἔκαμψεν, οὔτε τὸ ἐντρόπιασεν.

Τὸν ἐταλάνισεν ὅταν εἶπεν· «Ἀλλοίμονον εἰς τὸν ἄνθρωπον ἐκεῖνον». Τὸν ἐφόβησεν ἐπίσης ὅταν εἶπεν· «ἦτο καλύτερα δι' αὐτὸν νὰ μὴ εἶχε γεννηθῇ». Τὸν ἐντρόπιασεν ὅταν εἶπεν· «ἐκεῖνος εἰς τὸν ὁποῖον θὰ δώσω τὸ ψωμὶ ἀφοῦ τὸ βουτήξω». Καὶ τίποτε ἀπὸ αὐτὰ δὲν τὸν συνεκράτησεν, ἀλλὰ ὡσὰν νὰ εἶχε κυριευθῇ ἀπὸ κάποιαν μανίαν τῆς φιλαργυρίας, ἢ μᾶλλον ἀπὸ χειρότερον νόσημα· διότι αὐτὴ ἡ μανία εἶναι χειροτέρα. Διότι τί παρόμοιον θὰ ἠμποροῦσε νὰ κάνῃ ὁ μαινόμενος; Διότι αὐτὸς δὲν ἔβγαλεν ἀπὸ τὸ στόμα του ἀφρόν, ἀλλ' ἔβγαλε φόνον Δεσποτικόν· δὲν ἐσπραγγάλιζε τὰ χέρια, ἀλλὰ τὰ ἅπλωνε διὰ νὰ πωλήσῃ τίμιον αἷμα; Δι' αὐτὸ εἶναι μεγαλυτέρα ἡ μανία του, διότι ἐμαίνετο ἐνῷ ἦτο ὑγιής.

Ἀλλ' ἴσως ἰσχυρισθῇ κανεὶς ὅτι δὲν ὁμιλεῖ ἀσυνάρτητα. Καὶ τί εἶναι πιὸ ἀσυνάρτητον ἀπὸ τὰ λόγια αὐτά· «Τί θέλετε νὰ μοῦ δώσετε, διὰ νὰ σᾶς τὸν παραδώσω;». «Παραδώσω» ὁ διάβολος ὡμίλησε μὲ τὸ στόμα ἐκείνου. Διατί δὲν ἐκτύπησεν εἰς τὴν γῆν τὰ πόδια του σπαράζοντας; Πόσον

πόσῳ βέλτιον ἐκείνως σπαίρειν, ἢ οὕτως ἑστάναι ὀρθόν; Ἀλλὰ λίθοις ἑαυτὸν οὐκ ἔκοπτε; Καὶ πόσῳ ἄμεινον ἦν, ἢ τοιαῦτα ἐργάσασθαι;

Βούλεσθε εἰς μέσον ἀγάγωμεν τοὺς δαιμονῶντας καὶ τοὺς φιλαργύρους, καὶ ποιήσωμεν σύγκρισιν ἑκατέρων; Ἀλλὰ μηδεὶς οἰκείαν ἡγείσθω τὸ πρᾶγμα ὕβριν. Οὐ γὰρ τὴν φύσιν ὑβρίζομεν, ἀλλὰ τὸ πρᾶγμα κακίζομεν. Οὐδέποτε ἐνεδιδύσκετο ἱμάτια, λίθοις ἑαυτὸν κατακόπτων, ὁ δαιμονῶν, καὶ τὰς ἀβάτους ὁδοὺς καὶ τὰς τραχείας ἐπήει τρέχων, καὶ κατὰ κράτος, ἐλαυνόμενος ὑπὸ τοῦ δαίμονος. Οὐ δοκεῖ ταῦτα φρικτὰ εἶναι; Τί οὖν ἂν δείξω τοὺς φιλαργύρους τούτων χαλεπώτερα ἐργαζομένους τὴν ψυχὴν τὴν ἑαυτῶν, καὶ οὕτω χαλεπώτερα, ὡς ταῦτα παιδιὰν πρὸς ἐκεῖνα νομίζεσθαι; Ἆρα ἀποστήσεσθε τῆς νόσου;

Φέρε οὖν, ἴδωμεν εἴ τι ἀνεκτότερον αὐτῶν διάκεινται. Οὐδέν· ἀλλὰ καὶ χαλεπώτερον· καὶ γὰρ μυρίων γυμνῶν εἰσιν αἰσχρότεροι. Πολλῷ γὰρ βέλτιον γυμνὸν εἶναι ἱματίων, ἢ τὰ ἀπὸ πλεονεξίας ἐνδεδυμένον περιιέναι κατὰ τοὺς βακχευομένους τῷ Διονύσῳ. Καθάπερ γὰρ ἐκεῖνοι προσωπεῖα καὶ ἱμάτια μαινομένων ἔχουσιν, οὕτω καὶ οὗτοι. Καὶ καθάπερ τὴν γύμνωσιν τῶν δαιμονώντων ποιεῖ μανία, οὕτω καὶ τὴν περιβολὴν ταύτην μανία ἐργάζεται· καὶ τῆς γυμνώσεως ἡ περιβολὴ ἐλεεινοτέρα.

Καὶ τοῦτο ἐντεῦθεν δεῖξαι πειράσομαι. Τίνα γὰρ ἂν εἴποιμεν μᾶλλον φαίνεσθαι ἐν αὐτοῖς τοῖς μαινομένοις; εἴ τις ἑαυτὸν κατακόπτοι, ἢ εἴ τις μεθ' ἑαυτοῦ καὶ τοὺς ἀπαντῶν-

11. Λουκᾶ 8, 27.

προτιμότερον θὰ ἦτο νὰ σπαράζῃ ἔτσι, παρὰ νὰ στέκεται ὄρθιος τοιουτοτρόπως; Διατί δὲν ἐκτυποῦσε τὸν ἑαυτόν του εἰς τοὺς λίθους; Πόσον καλύτερον θὰ ἦτο ἀπὸ τοῦ νὰ κάμῃ αὐτὰ ποὺ ἔκαμεν;

Θέλετε νὰ φέρωμεν ἐνώπιόν μας τοὺς δαιμονιζομένους καὶ τοὺς φιλαργύρους καὶ νὰ κάνωμεν σύγκρισιν τῶν δύο; Ἂς μὴ τὸ θεωρήσῃ ὅμως κανεὶς προσωπικήν του προσβολήν. Διότι δὲν προσβάλλομεν τὴν φύσιν, ἀλλὰ κατηγοροῦμεν τὸ γεγονός. Ὁ δαιμονιζόμενος δὲν ἐφοροῦσεν ἐνδύματα, ἐκτυποῦσε τὸν ἑαυτόν του εἰς τοὺς λίθους καὶ ἔφευγε τρέχων εἰς τοὺς ἀβάτους καὶ ἀνωμάλους δρόμους[11], κυριευμένος καθ' ὁλοκληρίαν ἀπὸ τὸν δαίμονα. Δὲν νομίζεις ὅτι ὅλα αὐτὰ εἶναι φρικτά; Τί θὰ εἴπῃς λοιπόν, ἐὰν ἀποδείξω ὅτι οἱ φιλάργυροι κάνουν χειρότερα ἀπὸ αὐτὰ εἰς τὴν ψυχήν των, καὶ μάλιστα τόσον χειρότερα, ὥστε αὐτὰ νὰ φαίνωνται παιγνίδια συγκρινόμενα πρὸς ἐκεῖνα; Ἆρά γε θὰ ἀπομακρυνθῆτε ἀπὸ τὴν νόσον;

Ἂς ἴδωμεν λοιπόν, ἐὰν εὑρίσκωνται εἰς ἀνεκτοτέραν κάπως κατάστασιν ἀπὸ ἐκείνους. Καθόλου· ἀντιθέτως εἰς χειροτέραν· διότι εἶναι πιὸ αἰσχροὶ ἀπὸ μυρίους γυμνούς. Διότι εἶναι κατὰ πολὺ καλύτερον νὰ εἶσαι γυμνὸς ἀπὸ ἐνδύματα, παρὰ νὰ περιφέρεσαι ἐνδεδυμένος ὅσα ἀπέκτησες μὲ τὴν πλεονεξίαν, ὅπως ἐκεῖνοι ποὺ καταλαμβάνονται ἀπὸ βακχικὴν μανίαν πρὸς τιμὴν τοῦ Διονύσου. Διότι, ὅπως ἐκεῖνοι φοροῦν προσωπεῖα καὶ ἐνδύματα μαινομένων, ἔτσι καὶ αὐτοί. Καὶ ὅπως τὴν γυμνότητα τῶν δαιμονιζομένων τὴν κάμνει ἡ μανία, ἔτσι καὶ τὴν ἐνδυμασίαν αὐτὴν τὴν κάμνει ἡ μανία. Καὶ εἶναι ἡ ἐνδυμασία αὐτὴ πιὸ ἐλεεινὴ ἀπὸ τὴν γυμνότητα.

Καὶ αὐτὸ ἐδῶ θὰ ἀποπειραθῶ νὰ τὸ ἀποδείξω. Διότι ποῖος μεταξὺ τῶν μαινομένων θὰ ἐλέγαμεν ὅτι μαίνεται περισσότερον; ἐκεῖνος ποὺ κτυπᾷ τὸν ἑαυτόν του εἰς τοὺς λίθους, ἢ ἐκεῖνος ὁ ὁποῖος μαζὶ μὲ τὸν ἑαυτόν του κτυπᾷ

τας ἅπαντας; Εὔδηλον ὅτι οὗτος. Οὐκοῦν ἐκεῖνοι μὲν ἑαυτοὺς ἐγύμνουν, οὗτοι δὲ ἅπαντας τοὺς ἀπαντῶντας. Ἀλλὰ διασχίζουσιν ἐκεῖνοι τὰ ἱμάτια. Καὶ πόσῳ ἂν κατεδέξατο τῶν ἠδικημένων ἕκαστος ἱμάτιον διαρραγῆναι, ἢ πᾶσαν ἀποδυθῆναι τὴν οὐσίαν; Ἀλλὰ πληγὰς οὐκ ἐντείνουσιν εἰς τὸ πρόσωπον. Μάλιστα μὲν καὶ τοῦτο ποιοῦσιν οἱ πλεονέκται· εἰ δὲ μὴ πάντες, ἀλλ᾽ εἰς τὴν γαστέρα διὰ τοῦ λιμοῦ καὶ τῆς πενίας χαλεπωτέρας ἅπαντες ἐνιᾶσι τὰς ὀδύνας.

Ἀλλ᾽ οὐ δάκνουσιν ὀδοῦσιν. Εἴθε ὀδοῦσι, καὶ μὴ βέλεσι πλεονεξίας χαλεπωτέροις ὀδόντων. «Οἱ γὰρ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη». Τίς γὰρ μᾶλλον ἀλγήσει, ὁ δηχθεὶς ἅπαξ καὶ εὐθέως θεραπευθείς, ἢ ὁ διαπαντὸς τοῖς ὀδοῦσι τῆς πενίας κατεσθιόμενος; Πενία γὰρ ἀκούσιος, καὶ καμίνου καὶ θηρίου χαλεπώτερον.

Ἀλλ᾽ οὐ διώκουσι τὰς ἐρημίας, καθάπερ οἱ δαιμονῶντες. Εἴθε τὰς ἐρημίας, καὶ μὴ τὰς πόλεις κατέτρεχον, καὶ πάντες ἂν οἱ ἐν πόλεσιν ἀδείας ἀπήλαυσαν. Νυνὶ δὲ καὶ ταύτῃ πάντων ἐκείνων εἰσὶν ἀφορητότεροι, ὅτι ἐν ταῖς πόλεσι ταῦτα ποιοῦσιν, ἅπερ ἐν ἐρημίαις ἐκεῖνοι, τὰς πόλεις ἐρημίας ἐργαζόμενοι, καὶ καθάπερ ἐν ἐρημίᾳ οὐδενὸς ὄντος τοῦ κωλύοντος, οὕτω τὰ πάντων συλῶντες.

Ἀλλ᾽ οὐ βάλλουσι λίθοις τοὺς ἀπαντῶντας. Καὶ τί τοῦτο; Λίθους μὲν γὰρ ῥᾴδιον καὶ φυλάξασθαι· ἃ δὲ διὰ χάρτου καὶ μέλανος ἐργάζονται τοῖς ταλαιπώροις πένησι τραύματα,

12. Ψαλμ. 56, 5.

καὶ ὅλους ὅσους συναντᾷ; Εἶναι ὁλοφάνερον ὅτι αὐτός. Συνεπῶς ἐκεῖνοι μὲν ἀπεγύμνωναν τοὺς ἑαυτούς των, ἐνῷ αὐτοὶ ὅλους ὅσους συναντοῦν. Ἀλλὰ ἐκεῖνοι, θὰ ἀντείπῃς, σχίζουν τὰ ἐνδύματα. Πόσον ὅμως θὰ ἐπροτιμοῦσε καθένας ἀπὸ τοὺς ἀδικημένους νὰ τοῦ σχισθῇ τὸ ἔνδυμα παρὰ νὰ ἀπογυμνωθῇ ἀπὸ ὅλην τὴν περιουσίαν του; Ἀλλά, θὰ εἰπῇς, ὅτι αὐτοὶ δὲν καταφέρουν πλήγματα εἰς τὸ πρόσωπον. Ἀντιθέτως, καὶ αὐτὸ τὸ κάνουν οἱ πλεονέκται εἰς μεγαλύτερον βαθμόν· ἴσως βέβαια ὄχι ὅλοι, ἀλλὰ μὲ τὴν πεῖναν καὶ τὴν πενίαν προκαλοῦν ὅλοι εἰς τὰς γαστέρας χειροτέρους πόνους.

Ἀλλὰ αὐτοὶ δὲν δαγκώνουν μὲ τὰ δόντια τους. Μακάρι νὰ ἐδάγκωναν μὲ τὰ δόντια καὶ ὄχι μὲ τὰ βέλη τῆς πλεονεξίας, ποὺ εἶναι χειρότερα ἀπὸ τὰ δόντια. «Διότι τὰ δόντια των εἶναι ὅπλα καὶ βέλη»[12]. Διότι ποῖος θὰ πονέσῃ περισσότερον, ἐκεῖνος ποὺ θὰ δαγκωθῇ μίαν φορὰν καὶ ἀμέσως θὰ θεραπευθῇ, ἢ ἐκεῖνος ποὺ θὰ κατατρώγεται παντοτεινὰ μὲ τὰ δόντια τῆς πενίας; Διότι ἡ ἀκουσία πενία εἶναι χειροτέρα καὶ ἀπὸ κάμινον καὶ ἀπὸ θηρίον.

Ἀλλὰ δὲν καταφεύγουν εἰς τὰς ἐρημίας, ὅπως οἱ δαιμονιζόμενοι. Μακάρι νὰ ἔφευγαν εἰς τὰς ἐρημίας καὶ νὰ μὴ κατεδυνάστευαν τὰς πόλεις, διὰ νὰ ἠμποροῦν ὅσοι εὑρίσκονται εἰς τὰς πόλεις νὰ ζοῦν ἐν ἀσφαλείᾳ. Τώρα ὅμως καὶ εἰς αὐτὸ ἀπὸ ὅλους ἐκείνους εἶναι πιὸ ἀνυπόφοροι, διότι κάνουν εἰς τὰς πόλεις αὐτά, τὰ ὁποῖα ἐκεῖνοι κάνουν εἰς τὰς ἐρημίας, μεταβάλλοντες τὰς πόλεις εἰς ἐρήμους, καὶ καθὼς εἰς τὴν ἔρημον δὲν ὑπάρχει κανεὶς νὰ τοὺς ἐμποδίσῃ, ἁρπάζουν τὰ ὑπάρχοντα ὅλων.

Ἀλλὰ δὲν κτυποῦν μὲ λίθους ὅσους συναντοῦν. Καὶ τί μ' αὐτό; Διότι ἀπὸ τοὺς λίθους μὲν εἶναι εὔκολον καὶ νὰ φυλαχθῇ κανείς· τὰ τραύματα ὅμως ποὺ κάνουν μὲ χαρτὶ καὶ μελάνι εἰς τοὺς ταλαιπώρους πτωχούς, συντάσσοντες γραμμάτια ποὺ εἶναι γεμᾶτα μὲ μυρίας πληγάς, ποῖος θὰ

γραμματεῖα μυρίων πληγῶν γέμοντα συντιθέντες, τίς ἄν ποτε ῥαδίως φυλάξαιτο τῶν ἐμπεσόντων.

4. Ἴδωμεν δὲ καὶ ἑαυτοὺς ὅσα ἐργάζονται. Γυμνοὶ περιπατοῦσι κατὰ τὴν πόλιν· ἱμάτιον γὰρ αὐτοῖς οὐκ ἔστιν ἀρετῆς. Εἰ δὲ οὐ δοκεῖ τοῦτο αὐτοῖς αἰσχρὸν εἶναι, καὶ τοῦτο τῆς ὑπερβαλλούσης αὐτῶν μανίας, ὅτι οὐδὲ αἰσθάνονται τῆς ἀσχημοσύνης· ἀλλὰ σῶμα μὲν γυμνωθέντες αἰσχύνονται, τὴν δὲ ψυχὴν γυμνὴν περιφέροντες ἐγκαλλωπίζονται. Εἰ δὲ βούλεσθε, καὶ τὸ αἴτιον τῆς ἀναισθησίας ἐρῶ.

Τί οὖν τὸ αἴτιον; Ἐν πολλοῖς οὕτω γυμνουμένοις γυμνοῦνται, διόπερ οὐδὲ αἰσχύνονται, καθάπερ οὐδὲ ἐν τοῖς βαλανείοις ἡμεῖς. Ὡς εἴγε πολλοὶ ἦσαν οἱ τὴν ἀρετὴν περιβεβλημένοι, τότε ἂν μειζόνως τὸ αἶσχος αὐτῶν ἐφάνη. Νῦν δὲ τοῦτο μάλιστά ἐστι τὸ πολλῶν δακρύων ἄξιον, ὅτι διὰ τὸ πολλοὺς εἶναι κακοὺς οὐδὲ ἐν αἰσχύνῃ τὰ κακά. Μετὰ γὰρ τῶν ἄλλων καὶ τοῦτο εἰργάσατο ὁ διάβολος, τὸ μηδὲ αἴσθησιν ἀφιέναι λαβεῖν τῶν κακῶν, ἀλλὰ τῷ πλήθει τῶν μετιόντων τὴν πονηρίαν συσκιάζειν αὐτῆς τὴν αἰσχύνην· ἐπεὶ εἰ συνέβη ἐν πλήθει πολλῶν εἶναι φιλοσοφούντων, μᾶλλον ἂν εἶδεν αὐτοῦ τὴν γύμνωσιν ὁ τοιοῦτος.

Ὅτι μὲν οὖν τῶν δαιμονώντων εἰσὶ γυμνότεροι, δῆλον ἐκ τούτων· ὅτι δὲ καὶ ἐρήμους ἐπέρχονται, οὐδὲ τοῦτο ἄν τις ἀντείποι. Ἡ γὰρ πλατεῖα καὶ εὐρύχωρος ἐρήμου πάσης ἐρημοτέρα. Εἰ γὰρ καὶ πολλοὺς ἔχει τοὺς ὁδεύοντας, ἀλλ' ὅμως ἀνθρώπων οὐδένα, ἀλλ' ὄφεις, σκορπίους, λύκους, ἔχεις, ἀσπίδας. Τοιοῦτοι γὰρ οἱ τὴν πονηρίαν μετιόντες. Οὐκ

ἠμποροῦσεν εὔκολα νὰ προφυλαχθῇ ἀπὸ ἐκείνους ποὺ θὰ πέσουν εἰς τὰ χέρια τους;

4. Ἂς ἴδωμεν ὅμως ὅσα κάμνουν καὶ εἰς τοὺς ἑαυτούς των. Περιπατοῦν εἰς τὴν πόλιν γυμνοί· διότι τὸ ἔνδυμα δὲν εἶναι δι' αὐτοὺς ἔντιμον πρᾶγμα. Ἐὰν δὲ αὐτὸ δὲν φαίνεται εἰς αὐτοὺς ὅτι εἶναι αἰσχρόν, καὶ αὐτὸ συμβαίνει ἀπὸ τὴν ὑπερβολικὴν μανίαν των, διότι οὔτε κἂν αἰσθάνονται τὴν ἀσχημοσύνην· ἀλλά, ὅταν μὲν γυμνώσουν τὸ σῶμα των ἐντρέπονται, ὅταν ὅμως περιφέρουν τὴν ψυχήν των γυμνὴν κομπάζουν. Ἐὰν μάλιστα θέλετε, θὰ σᾶς ἀναφέρω καὶ τὴν αἰτίαν τῆς ἀναισθησίας των.

Ποία λοιπὸν εἶναι ἡ αἰτία; Γυμνώνονται ἔτσι ἀνάμεσα εἰς πολλοὺς γυμνούς, δι' αὐτὸ καὶ δὲν ἐντρέπονται, ὅπως οὔτε καὶ ἐμεῖς ἐντρεπόμεθα εἰς τὰ λουτρά. Ἐνῷ, ἐὰν ἦσαν πολλοὶ ἐκεῖνοι ποὺ εἶναι ἐνδεδυμένοι τὴν ἀρετήν, τότε τὸ αἶσχος τους θὰ ἐφαίνετο περισσότερον. Τώρα ὅμως αὐτὸ εἶναι κυρίως τὸ ἄξιον πολλῶν δακρύων, ὅτι ἐπειδὴ ὑπάρχουν πολλοὶ κακοί, δὲν φαίνονται τὰ κακὰ μέσα εἰς τὴν αἰσχύνην. Διότι μαζὶ μὲ τὰ ἄλλα ὁ διάβολος ἔκανε καὶ τοῦτο, ὅτι δὲν ἀφήνει νὰ ἔχωμεν οὔτε συναίσθησιν τῶν κακῶν, ἀλλὰ ἐπισκιάζει τὴν αἰσχύνην τῆς πονηρίας μὲ τὸ πλῆθος ἐκείνων ποὺ τὴν μετέρχονται. Ἐνῷ, ἐὰν συνέβαινε νὰ εὑρεθῇ ἀνάμεσα εἰς πλῆθος συνετῶν, θὰ ἔβλεπε καλύτερα τὴν γύμνωσίν του ὁ φιλάργυρος.

Ὅτι μὲν λοιπὸν εἶναι περισσότερον γυμνοὶ ἀπὸ τοὺς δαιμονισμένους, γίνεται φανερὸν ἀπὸ αὐτά. Ὅτι δὲ καὶ εἰς τὰς ἐρήμους πηγαίνουν, οὔτε αὐτὸ θὰ ἠμποροῦσε νὰ τὸ ἀμφισβητήσῃ κανείς. Διότι ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς εἶναι περισσότερον ἔρημος ἀπὸ κάθε ἔρημον. Διότι μολονότι ἔχει πολλοὺς ποὺ βαδίζουν, ἐν τούτοις δὲν ἔχει κανένα ἄνθρωπον, παρὰ μόνον φίδια, σκορπιούς, λύκους, ἐχίδνας, ἀσπίδας. Διότι τέτοιοι εἶναι ὅσοι μετέρχονται τὴν πονηρίαν. Δὲν εἶναι δὲ μόνον ἔρημος αὐτὴ ἡ ὁδός, ἀλλὰ

ἐρήμη δὲ μόνον αὕτη, ἀλλὰ καὶ τραχυτέρα ἐκείνης. Καὶ τοῦτο δῆλον ἐντεῦθεν. Οὐ γὰρ οὕτω πλήττουσι λίθοι καὶ φάραγγες καὶ ἀκρώρειαι τοὺς ἀναβαίνοντας αὐτάς, ὡς ἁρπαγὴ καὶ πλεονεξία τὰς μετιούσας αὐτὴν ψυχάς.

Ὅτι δὲ καὶ παρὰ τὰ μνημεῖα ζῶσι, καθάπερ οἱ δαιμονῶντες, μᾶλλον δὲ καὶ αὐτοὶ μνήματά εἰσι, δῆλον ἐντεῦθεν. Τί γάρ ἐστι μνημεῖον; Λίθος, σῶμα νεκρὸν ἔχων ἐγκείμενον. Τί οὖν ἐκείνων διαφέρει τῶν λίθων τὰ τούτων σώματα; μᾶλλον δὲ καὶ ἐκείνων ἐλεεινότερα ταῦτα. Οὐ γὰρ λίθος ἐστὶ σῶμα νεκρὸν ἔχων, ἀλλὰ σῶμα λίθων ἀναισθητότερον, ψυχὴν περιφέρον νεκράν. Διὸ οὐκ ἄν τις ἁμάρτοι τάφους αὐτοὺς προσειπών. Καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν οὕτως ἐκάλεσε τοὺς Ἰουδαίους, διὰ τοῦτο μάλιστα· ἐπήγαγε γοῦν λέγων· «Ἔσωθεν δὲ γέμουσιν ἁρπαγῆς καὶ πλεονεξίας».

Βούλεσθε λοιπὸν δείξω, πῶς καὶ λίθοις τὰς ἑαυτῶν κατατέμνουσι κεφαλάς; Πόθεν οὖν πρῶτον, εἰπέ μοι, τοῦτο βούλει μαθεῖν; ἀπὸ τῶν ἐντεῦθεν, ἢ ἀπὸ τῶν μελλόντων; Ἀλλὰ τῶν μελλόντων αὐτοῖς οὐ πολὺς ὁ λόγος· οὐκοῦν τὰ ἐνταῦθα ῥητέον. Πόσων γὰρ λίθων οὐ χαλεπώτεραι αἱ φροντίδες, οὐ κεφαλὰς τιτρώσκουσι, ἀλλὰ ψυχὴν δαπανῶσαι; Δεδοίκασι γάρ, μήποτε δικαίως ἐκ τῆς αὐτῶν οἰκίας ἐξέλθη τὰ ἀδίκως ἐπεισελθόντα· τρέμουσιν ὑπὲρ τῶν ἐσχάτων, ὀργίζονται, παροξύνονται, πρὸς οἰκείους, πρὸς ἀλλοτρίους· καὶ νῦν μὲν ἀθυμία, νῦν δὲ φόβος, νῦν δὲ θυμὸς αὐτοὺς διαδέχεται, καὶ καθάπερ κρημνοὺς ἀπὸ κρημνῶν διαβαίνοντες, καὶ τὰ μηδέπω κτηθέντα καθ' ἑκάστην καραδοκοῦσι τὴν ἡμέραν. Διόπερ οὐδὲ ἥδονται ὑπὲρ ὧν ἔχουσι, τῷ τε μὴ θαρ-

13. Ματθ. 23, 25.

καὶ περισσότερον ἀνώμαλος ἀπὸ ἐκείνην. Καὶ αὐτὸ εἶναι φανερὸν ἀπὸ ἐδῶ. Διότι δὲν κτυποῦν τόσον οἱ λίθοι καὶ αἱ φάραγγες καὶ αἱ κορυφαὶ τῶν βουνῶν ἐκείνους ποὺ τὰς ἀνεβαίνουν, ὅσον ἡ ἁρπαγὴ καὶ ἡ πλεονεξία πληγώνουν τὰς ψυχὰς ποὺ μετέρχονται τὴν πονηρίαν.

Ὅτι δὲ ζοῦν καὶ κοντὰ εἰς τοὺς τάφους, ὅπως οἱ δαιμονιζόμενοι, ἢ μᾶλλον ὅτι καὶ οἱ ἴδιοι εἶναι τάφοι, φαίνεται ἀπὸ ἐδῶ. Διότι τί εἶναι οἱ τάφοι; Εἶναι λίθοι, οἱ ὁποῖοι περιέχουν μέσα τους νεκρὰ σώματα. Κατὰ τί λοιπὸν διαφέρουν ἀπὸ ἐκείνους τοὺς λίθους τὰ σώματα αὐτῶν; Μᾶλλον εἶναι καὶ πιὸ ἐλεεινὰ ἀπὸ ἐκείνους. Διότι δὲν εἶναι λίθος ποὺ περιέχει σῶμα νεκρόν, ἀλλὰ σῶμα πιὸ ἀναίσθητον καὶ ἀπὸ τοὺς λίθους, τὸ ὁποῖον περιφέρει νεκρὰν ψυχήν. Δι' αὐτὸ δὲν θὰ ἔκανε σφάλμα κανεὶς ἂν τοὺς ἀποκαλέσῃ τάφους· διότι καὶ ὁ Κύριός μας ἔτσι ὠνόμασε τοὺς Ἰουδαίους, καὶ μάλιστα διὰ τὸ ἴδιον πρᾶγμα· ἐπρόσθεσε λοιπὸν τὰ ἑξῆς· «ἐνῷ ἀπὸ μέσα εἶναι γεμᾶτοι ἀπὸ ἁρπαγὴν καὶ ἀδικίαν»[13].

Θέλετε λοιπὸν νὰ ἀποδείξω, ὅτι κτυποῦν καὶ τὰς κεφαλάς των εἰς τοὺς λίθους; Κατὰ πρῶτον ὅμως εἰπέ μου, ἀπὸ ποῦ θέλεις νὰ τὸ μάθῃς αὐτό; Ἀπὸ τὰ παρόντα ἢ ἀπὸ τὰ μέλλοντα; Ἀλλὰ περὶ τῶν μελλόντων αὐτοὶ δὲν κάμνουν πολὺν λόγον· ἐπομένως ἂς εἰπωθοῦν τὰ ἐδῶ. Διότι πόσων λίθων δὲν εἶναι χειρότεραι αἱ φροντίδες, αἱ ὁποῖαι δὲν πληγώνουν τὰς κεφαλάς, ἀλλὰ καταστρέφουν τὴν ψυχήν; Διότι φοβοῦνται μήπως φύγουν ποτὲ ἀπὸ τὴν οἰκίαν των, ὅπως εἶναι δίκαιον, ὅλα ἐκεῖνα ποὺ συνεκεντρώθησαν κατὰ τρόπον ἄδικον. Τρέμουν διὰ τὸ τέλος τῆς ζωῆς των, ὀργίζονται, ἐρεθίζονται ἐναντίον οἰκείων καὶ ξένων. Καὶ ἄλλοτε μὲν τοὺς καταλαμβάνει δυσφορία, ἄλλοτε δὲ φόβος καὶ ἄλλοτε θυμός, καὶ διαβαίνοντες οἱονεὶ ἀπὸ κρημνοὺς εἰς κρημνούς, καιροφυλακτοῦν κάθε ἡμέραν καὶ ἐκεῖνα τὰ ὁποῖα δὲν ἔχουν ἀκόμη ἀποκτήσει. Δι' αὐτὸ καὶ δὲν εὐχαριστοῦνται μὲ ἐκεῖνα ποὺ ἔχουν, ἀφ' ἑνὸς διότι

ρεῖν ὑπὲρ τῆς ἀσφαλείας αὐτῶν, τῷ τε ὅλῃ τῇ διανοίᾳ πρὸς τὰ μηδέπω ληφθέντα κεχηνέναι. Καὶ καθάπερ ὁ διηνεκῶς διψῶν, κἂν μυρίας ἐκπίῃ πηγάς, οὐκ αἰσθάνεται τῆς ἡδονῆς, διὰ τὸ μὴ λαμβάνειν κόρον· οὕτω καὶ οὗτοι, οὐ μόνον οὐχ ἥδονται, ἀλλὰ καὶ βασανίζονται, ὅσῳ ἂν περιβάλλωνται, τῷ μηδὲν εἰδέναι πέρας τῆς τοιαύτης ἐπιθυμίας.

Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· εἴπωμεν δὲ καὶ περὶ τῆς μελλούσης ἡμέρας. Εἰ γὰρ καὶ αὐτοὶ μὴ προσέχουσιν, ἀλλ' ἡμῖν ἀναγκαῖον εἰπεῖν. Κατὰ τὴν μέλλουσαν οὖν ἡμέραν πανταχοῦ κολαζομένους ἴδοι τις ἂν τοὺς τοιούτους. Καὶ γὰρ ὅταν λέγῃ, «Ἐπείνων, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψων, καὶ οὐκ ἐποτίσατέ με», τούτους κολάζει· καὶ ὅταν λέγῃ, «Πορεύεσθε εἰς τὸ πῦρ τὸν αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ», τοὺς κακῶς πλουτοῦντας ἐκεῖ παραπέμπει. Καὶ ὁ δοῦλος ὁ πονηρός, ὁ μὴ διδοὺς τοῖς συνδούλοις τὰ ὑπάρχοντα τὰ δεσποτικά, τῆς τούτων μερίδος ἐστί· καὶ ὁ τὸ τάλαντον κατορύξας, καὶ αἱ πέντε παρθένοι. Καὶ ὅπου δ' ἂν ἀπέλθῃς, τοὺς φιλαργύρους κολαζομένους ὄψει.

Καὶ νῦν μὲν ἀκούσονται, «Χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν»· νῦν δέ, «Πορεύεσθε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον»· καὶ νῦν μὲν διχοτομηθέντες ἀπελεύσονται ἔνθα ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ πάντοθεν αὐτοὺς ἐλαυνομένους ἴδοι τις ἄν, καὶ οὐδαμοῦ χώραν ἔχοντας, ἀλλ' εἰς τὴν γέενναν μόνην συναγομένους.

5. Τί τοίνυν τῆς ὀρθῆς ἡμῖν πίστεως ὄφελος εἰς σωτηρίαν, ὅταν ταῦτα ἀκούσωμεν; Ἐκεῖ ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ σκότος ἐξώτερον, καὶ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ,

14. Ματθ. 25, 42.
15. Αὐτόθι.
16. Ματθ. 24, 49.
17. Ματθ. 25, 25.
18. Ματθ. 25, 1 ἑ.
19. Λουκᾶ 16, 26.
20. Ματθ. 25, 41.
21. Ματθ. 24, 51.

δὲν τὰ θεωροῦν ἀσφαλῆ, καὶ ἀφ' ἑτέρου διότι μὲ ὅλην τὴν σκέψιν των χάσκουν πρὸς ἐκεῖνα ποὺ δὲν ἔχουν ἀκόμη ἀποκτήσει. Καὶ ὅπως ἐκεῖνος ποὺ διψᾷ συνεχῶς, καὶ ὅταν ἀκόμη πιῇ ἀπείρους πηγάς, δὲν αἰσθάνεται εὐχαρίστησιν, διότι δὲν χορταίνει τὴν δίψαν του, ἔτσι καὶ αὐτοί, ὄχι μόνον δὲν εὐχαριστοῦνται, ἀλλὰ καὶ βασανίζονται, μὲ ὅσα καὶ ἂν ἀποκτήσουν, διότι δὲν γνωρίζουν τέρμα τῆς ἐπιθυμίας των αὐτῆς.

Καὶ τὰ μὲν παρόντα εἶναι τέτοια. Ἂς ὁμιλήσωμεν ὅμως καὶ περὶ τῆς μελλούσης ἡμέρας. Διότι καὶ ἂν ἀκόμη αὐτοὶ δὲν τὴν προσέχουν, εἶναι ἀναγκαῖον εἰς ἡμᾶς νὰ ὁμιλήσωμεν. Κατὰ τὴν μέλλουσαν λοιπὸν ἡμέραν θὰ τοὺς βλέπῃ κανεὶς αὐτοὺς παντοῦ νὰ κολάζωνται. Διότι, ὅταν λέγῃ· «ἐπεινοῦσα καὶ δὲ μοῦ ἐδώσατε νὰ φάγω, ἐδιψοῦσα καὶ δὲν μὲ ἐποτίσατε»[14], αὐτοὺς τιμωρεῖ· καὶ ὅταν λέγῃ· «πηγαίνετε εἰς τὸ πῦρ τὸ αἰώνιον ποὺ εἶναι ἑτοιμασμένον διὰ τὸν διάβολον»[15], παραπέμπει ἐκεῖ ἐκείνους ποὺ πλουτίζουν κακῶς. Καὶ ὁ δοῦλος ὁ πονηρός, ὁ ὁποῖος δὲν δίνει εἰς τοὺς συνδούλους του τὰ ὑπάρχοντα τοῦ Δεσπότου[16], ἀνήκει εἰς τὴν κατηγορίαν αὐτῶν· καὶ ἐκεῖνος ὁ ὁποῖος ἔκρυψεν εἰς τὴν γῆν τὸ τάλαντον[17], καὶ αἱ πέντε παρθένοι[18]. Καὶ ὅπου καὶ ἂν μεταβῇς, θὰ ἰδῇς τοὺς φιλαργύρους νὰ κολάζωνται.

Καὶ ἄλλοτε μὲν θὰ ἀκούουν· «ὑπάρχει χάος μεταξύ μας»[19], ἄλλοτε δέ· «φύγετε ἀπὸ ἐμένα εἰς τὸ πῦρ ποὺ εἶναι ἑτοιμασμένον»[20]. Καὶ ἄλλοτε μὲν ἀφοῦ διχοτομηθοῦν θὰ μεταβοῦν ἐκεῖ ὅπου ὑπάρχει ὁ βρυγμὸς τῶν ὀδόντων[21]· καὶ ἀπὸ παντοῦ θὰ τοὺς ἰδῆτε νὰ ἐκδιώκωνται, χωρὶς νὰ ἔχουν πουθενὰ θέσιν, ἀλλὰ νὰ συγκεντρώνωνται μόνον εἰς τὴν γέενναν τοῦ πυρός.

5. Ποῖον θὰ εἶναι λοιπὸν τὸ ὄφελος ἀπὸ τὴν ὀρθὴν πίστιν διὰ τὴν σωτηρίαν μας, ὅταν ἀκούσωμεν αὐτά; Ἐκεῖ θὰ μᾶς ἀναμένῃ ὁ βρυγμὸς τῶν ὀδόντων καὶ τὸ ἐξώτερον

καὶ τὸ διχοτομεῖσθαι, καὶ τὸ ἐλαύνεσθαι· ἐνταῦθα ἀπέχθεια, κακηγορίαι, διαβολαί, κίνδυνοι, φροντίδες, ἐπιβουλαί, τὸ παρὰ πάντων μισεῖσθαι, τὸ παρὰ πάντων βδελύττεσθαι, καὶ παρ' αὐτῶν τῶν δοκούντων κολακεύειν. Ὥσπερ γὰρ τοὺς ἀγαθοὺς οὐχ οἱ ἀγαθοὶ μόνον, ἀλλὰ καὶ οἱ πονηροὶ θαυμάζουσιν, οὕτω τοὺς κακοὺς οὐχ οἱ χρηστοὶ μόνον, ἀλλὰ καὶ οἱ φαῦλοι μισοῦσι.

Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, τοὺς φιλαργύρους ἡδέως ἂν ἐροίμην, εἰ μὴ πρὸς ἀλλήλους ἀηδῶς ἔχουσι, καὶ τῶν τὰ μέγιστα ἠδικηκότων πολεμωτέρους εἶναι νομίζουσιν, εἰ μὴ καὶ ἑαυτῶν κατηγοροῦσιν, εἰ μὴ ὕβριν τὸ πρᾶγμά φασιν, ὅταν τις αὐτοῖς τοῦτο προσενέγκῃ τὸ ὄνειδος. Καὶ γὰρ ὄνειδος ἔσχατον τοῦτο, καὶ πολλῆς κακίας ἀπόδειξις. Εἰ γὰρ χρημάτων ὑπεριδεῖν οὐκ ἀνέχῃ, τίνος περιέσῃ ποτέ; ἐπιθυμίας, καὶ δοξομανίας, καὶ θυμοῦ, καὶ ὀργῆς; Καὶ πῶς ἄν τις πεισθείη; Ἐπιθυμίας μὲν γὰρ ἕνεκεν τῆς τῶν σωμάτων, καὶ ὀργῆς καὶ θυμοῦ, πολλοὶ καὶ τῇ τῆς σαρκὸς κατασκευῇ λογίζονται καὶ τὰς ὑπερβολὰς ἀνατιθέασιν ἰατρῶν παῖδες· καὶ τὸν μὲν θερμότερον καὶ ὑγρότερον λαγνότερον εἶναί φασι, τὸν δὲ πρὸς ξηροτέραν ἐκπεσόντα δυσκρασίαν, ὁρμητίαν καὶ ἀκρόχολον καὶ θυμώδη, φιλαργυρίας δὲ ἕνεκεν οὐδεὶς οὐδέποτε αὐτῶν ἤκουσεν οὐδὲν εἰρηκότων τοιοῦτον. Οὕτω ῥαθυμίας μόνης ἐστὶ καὶ ψυχῆς ἀναλγήτου τὸ νόσημα.

Διὸ παρακαλῶ, σπουδάζωμεν πάντα τὰ τοιαῦτα διορθοῦν, καὶ τὰ καθ' ἑκάστην ἡμῖν ἡλικίαν ἐπιγινόμενα πάθη πρὸς τὸ ἐναντίον μετατιθέναι. Ἂν δὲ καθ' ἕκαστον μέρος τῆς ζωῆς

σκότος καὶ τὸ πῦρ, τὸ ὁποῖον εἶναι ἑτοιμασμένον διὰ τὸν διάβολον, καὶ ἡ διχοτόμησις καὶ ὁ διωγμός. Ἐδῶ πάλιν ἡ ἀποστροφή, αἱ κακολογίαι, αἱ διαβολαί, οἱ κίνδυνοι, αἱ μέριμναι, αἱ σκευωρίαι, τὸ μῖσος ἀπὸ ὅλους, ἡ ἀποστροφὴ ἀπὸ ὅλους, ἀκόμη καὶ ἀπὸ αὐτοὺς ποὺ φαίνονται νὰ μᾶς κολακεύουν. Διότι ὅπως τοὺς ἀγαθοὺς τοὺς θαυμάζουν ὄχι μόνον οἱ ἀγαθοί, ἀλλὰ καὶ οἱ πονηροί, ἔτσι καὶ τοὺς κακοὺς τοὺς μισοῦν ὄχι μόνον οἱ ἀγαθοί, ἀλλὰ καὶ οἱ κακοί.

Καὶ ὅτι αὐτὸ εἶναι ἀληθές, θὰ ἐρωτοῦσα εὐχαρίστως τοὺς φιλαργύρους, ἐὰν δὲν αἰσθάνωνται ἀποστροφὴν μεταξύ τους καὶ δὲν θεωροῦν τοὺς ἄλλους φιλαργύρους, ἐχθροὺς περισσότερον καὶ ἀπὸ ἐκείνους ποὺ τοὺς ἀδίκησαν πάρα πολύ, ἐὰν δὲν κατηγοροῦν καὶ τοὺς ἑαυτούς των ἀκόμη, ἐὰν δὲν θεωροῦν ὕβριν τὴν φιλαργυρίαν, ὅταν, κάποιος τοὺς προσδώσῃ αὐτὴν τὴν μομφήν. Διότι πράγματι ἡ φιλαργυρία εἶναι μομφὴ μεγίστη καὶ δεῖγμα πολλῆς κακίας. Διότι, ἐὰν δὲν ἠμπορῇς νὰ περιφρονήσῃς τὰ χρήματα, τί τάχα θὰ ἠμπορέσῃς νὰ ξεπεράσῃς; Τὴν κακὴν ἐπιθυμίαν, τὴν δοξομανίαν, τὸν θυμόν, ἢ τὴν ὀργήν; Καὶ πῶς θὰ πεισθῇ κανεὶς περὶ αὐτοῦ; Διότι ἐξ αἰτίας τῆς ἐπιθυμίας τῶν σωμάτων καὶ τῆς ὀργῆς καὶ τοῦ θυμοῦ, πολλοὶ θεωροῦνται ὅτι εἶναι ἔτσι ἀπὸ τὴν κατασκευὴν τῆς σαρκός των, εἰς τὴν ὁποίαν οἱ ἰατροὶ ἀποδίδουν τὰς ὑπερβολάς· καὶ ὁ μὲν περισσότερον θερμόαιμος καὶ φιλήδονος, λέγουν ὅτι εἶναι περισσότερον ἀκόλαστος, ἐνῷ ἐκεῖνος ποὺ ἔχει κρᾶσιν ἰσχνὴν (μαραμμένην) εἶναι ἐπιθετικός, εὐερέθιστος καὶ θυμώδης. Ἐξ ἀφορμῆς ὅμως τῆς φιλαργυρίας κανεὶς δὲν τοὺς ἤκουσε νὰ λέγουν κάτι τέτοιο. Ἔτσι ἡ ἀσθένεια αὐτὴ εἶναι ἀποτέλεσμα μόνον τῆς ραθυμίας καὶ τῆς ἀναλγήτου ψυχῆς.

Διὰ τοῦτο σᾶς παρακαλῶ, ἂς φροντίσωμεν ὅλα αὐτὰ νὰ τὰ διορθώνωμεν καὶ νὰ στρέφωμεν τὰ πάθη ποὺ ἐμφανίζονται εἰς κάθε ἡλικίαν μας νὰ τὰ μεταστρέφωμεν εἰς τὸ ἀντίθετον. Ἂν δὲ εἰς κάθε περίοδον τῆς ζωῆς μας παρα-

ἡμῶν παραπλέωμεν τοὺς τῆς ἀρετῆς πόνους, πανταχοῦ ναυάγια ὑπομένοντες, ἐπὶ τὸν λιμένα ἐλθόντες ἔρημοι φορτίων πνευματικῶν, τὰ ἔσχατα ὑπομενοῦμεν. Πέλαγος γάρ ἐστι τεταμένον ὁ παρὼν βίος. Καὶ ὥσπερ ἐν τῇ θαλάττῃ ταύτῃ διάφοροι κόλποι, διαφόρους ἔχοντες χειμῶνας· καὶ ὁ μὲν Αἰγαῖος διὰ τὰ πνεύματά ἐστι χαλεπός· ὁ δὲ πορθμὸς ὁ Τυρρηνικός, διὰ τὴν στενοχωρίαν· ἡ δὲ Χάρυβδις ἡ πρὸς τῇ Λιβύῃ, διὰ τὰ τέλματα· ἡ Προποντὶς ἡ ἔξω τοῦ Εὐξείνου πόντου, διὰ τὸ ραγδαῖον καὶ ρόθιον· τὰ ἔξω Γαδείρων, διὰ τὴν ἐρημίαν καὶ τὸ ἀτριβὲς καὶ τὸ ἀνιστόρητον τῶν τόπων· καὶ ἄλλο μέρος δι' ἕτερον· οὕτω καὶ ἐπὶ τῆς ζωῆς τῆς ἡμετέρας.

Καὶ πρῶτον πέλαγος ἔστιν ἰδεῖν τὸ τῆς παιδικῆς ἡλικίας, πολὺν ἔχον τὸν σάλον διὰ τὸ ἀνόητον, διὰ τὴν εὐκολίαν, διὰ τὸ μὴ πεπηγέναι. Διὰ τοῦτο καὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐφιστῶμεν, τὸ λεῖπον τῇ φύσει διὰ τῆς ἐπιμελείας εἰσφέροντες, ὥσπερ ἐκεῖ διὰ τῆς τέχνης τῆς κυβερνητικῆς.

Μετὰ ταύτην τὴν ἡλικίαν ἡ τοῦ μειρακίου διαδέχεται θάλαττα, ἔνθα σφοδρὰ τὰ πνεύματα, καθάπερ ἐν τῷ Αἰγαίῳ, τῆς ἐπιθυμίας ἡμῖν αὐξανομένης. Καὶ αὕτη μάλιστα ἡ ἡλικία διορθώσεως ἔρημος· οὐ διὰ τὸ ἐνοχλεῖσθαι μόνον σφοδρότερον, ἀλλὰ καὶ διὰ τὸ τὰ ἁμαρτήματα μὴ ἐλέγχεσθαι· καὶ γὰρ καὶ διδάσκαλος καὶ παιδαγωγὸς λοιπὸν ὑπεξίστανται. Ὅταν οὖν τὰ μὲν πνεύματα σφοδρότερον διαπνέῃ, ὁ δὲ κυβερνήτης ἀσθενέστερος ᾖ, καὶ ὁ ἀμύνων μηδεὶς ᾖ, ἐννόησον τοῦ χειμῶνος τὸ μέγεθος.

22. Ἀρχαία πόλις τῆς Ἱσπανίας παρὰ τὸ Γιβραλτάρ.

κάμπτωμεν τοὺς κόπους τῆς ἀρετῆς καὶ παθαίνωμεν παντοῦ ναυάγια, ὅταν φθάσωμεν εἰς τὸν λιμένα χωρὶς πνευματικὰ φορτία, θὰ ὑποστῶμεν τὰς πλέον βαρείας συνεπείας. Διότι ἡ παροῦσα ζωὴ εἶναι πέλαγος ἐκτεταμένον. Καὶ ὅπως εἰς τὴν θάλασσαν αὐτὴν ὑπάρχουν διάφορα πελάγη, τὰ ὁποῖα παρουσιάζουν διαφορετικὰς κακοκαιρίας, καὶ τὸ μὲν Αἰγαῖον εἶναι ἐπικίνδυνον ἐξ αἰτίας τῶν ἀνέμων· ὁ Τυρρηνικὸς πορθμός, διὰ τὴν στενότητα τοῦ χώρου· ἡ Χάρυβδις, ποὺ βρίσκεται πρὸς τὴν Λιβύην, διὰ τὰ τέλματά της· ἡ Προποντίς, ποὺ εἶναι ἔξω ἀπὸ τὸν Εὔξεινον Πόντον, διὰ τὴν ὁρμητικότητα καὶ βιαιότητά της· ἡ θάλασσα ἔξω ἀπὸ τὰ Γάδειρα[22], ἐπειδὴ εἶναι ἔρημος καὶ ἀπάτητος καὶ εἶναι ἄγνωστα τὰ μέρη της· καὶ ἄλλα πελάγη δι' ἄλλους λόγους· ἔτσι καὶ εἰς τὴν ἰδικήν μας ζωήν.

Καὶ πρῶτον πέλαγος ἠμποροῦμεν νὰ θεωρήσωμεν τὴν παιδικὴν ἡλικίαν, ἡ ὁποία παρουσιάζει πολὺν σάλον, ἐξ αἰτίας τῆς ἀπερισκεψίας, τοῦ εὐμεταβλήτου καὶ τοῦ ὅτι δὲν ἔχει ἀκόμη σταθεροποιηθῆ. Δι' αὐτὸ προσλαμβάνομεν παιδαγωγοὺς καὶ διδασκάλους, συμπληροῦντες μὲ τὴν ἐπιμέλειαν ἐκεῖνο τὸ ὁποῖον λείπει ἀπὸ τὴν φύσιν, ὅπως γίνεται εἰς τὴν θάλασσαν μὲ τὴν τέχνην κυβερνήσεως τῶν πλοίων.

Μετὰ ἀπὸ αὐτὴν τὴν ἡλικίαν ἔρχεται ἡ θάλασσα τοῦ ἀνηλίκου νέου, εἰς τὴν ὁποίαν πνέουν ἰσχυροὶ ἄνεμοι, ὅπως εἰς τὸ Αἰγαῖον, διότι ἡ ἐπιθυμία μέσα μας αὐξάνει. Αὐτὴ ἡ ἡλικία δὲ εἶναι πιὸ δύσκολος εἰς τὴν διόρθωσιν· ὄχι μόνον διότι ἐνοχλεῖται περισσότερον, ἀλλὰ καὶ διότι τὰ ἁμαρτήματά της δὲν ἐλέγχονται· διότι καὶ ὁ διδάσκαλος καὶ ὁ παιδαγωγὸς ἀκόμη κάμνουν παραχωρήσεις. Ὅταν λοιπὸν οἱ μὲν ἄνεμοι φυσοῦν ἰσχυρώτερα, ὁ δὲ κυβερνήτης τοῦ πλοίου εἶναι ἀσθενέστερος καὶ δὲν ὑπάρχει κανεὶς νὰ τὸν βοηθήσῃ σκέψου πόσον γίνεται τὸ μέγεθος τῆς κακοκαιρίας.

Μετὰ τοῦτο πάλιν ἕτερον μέρος τῆς ἡλικίας, τὸ τῶν ἀνδρῶν ἔπεισιν, ἐν ᾧ τὰ τῆς οἰκονομίας ἐπίκειται· ὅτε γυνή, καὶ γάμος, καὶ παιδοποιΐα, καὶ οἰκίας προστασία, καὶ πολλαὶ τῶν φροντίδων νιφάδες. Τότε μάλιστα καὶ φιλαργυρία ἀνθεῖ καὶ βασκανία.

Ὅταν οὖν ἕκαστον μέρος ἡλικίας παρερχώμεθα μετὰ ναυαγίων, πῶς ἀρκέσομεν τῇ παρούσῃ ζωῇ; πῶς τὴν μέλλουσαν διαφευξόμεθα κόλασιν; Ὅταν γὰρ ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ μηδὲν μανθάνωμεν ὑγιές, ἐν δὲ τῇ νεότητι μὴ σωφρονήσωμεν, καὶ ἄνδρες γενόμενοι φιλαργυρίας μὴ περιγενώμεθα, ὥσπερ εἴς τινα ἀντλίαν τὸ γῆρας ἐλθόντες, καὶ πάσαις ταῖς πληγαῖς ταύταις τὸ σκάφος τῆς ψυχῆς ἀσθενέστερον κατασκευάσαντες, τῶν σανίδων διαλελυμένων, ἀπαντησόμεθα εἰς ἐκεῖνον τὸν λιμένα, πολὺν ἐπιφερόμενοι φορυτὸν ἀντὶ πνευματικῆς ἐμπορίας, καὶ τῷ μὲν διαβόλῳ παρέξομεν γέλωτα, θρῆνον δὲ ἡμῖν αὐτοῖς, καὶ τὰς ἀφορήτους ἐπισπασόμεθα τιμωρίας.

Ἵν' οὖν μὴ ταῦτα γένηται πάντοθεν ἑαυτοὺς συσφίγξαντες, καὶ πρὸς πάντα τὰ πάθη στάντες, ἐκβάλωμεν τοῦ πλούτου τὴν ἐπιθυμίαν· ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

23. Ἀντλία ἐδῶ εἶναι τὸ μέρος τοῦ κύτους τοῦ πλοίου, εἰς τὸ ὁποῖον συγκεντρώνονται τὰ εἰσρέοντα θαλάσσια ὕδατα.

Μετὰ ἀπὸ αὐτὸ ἀκολουθεῖ πάλιν ἄλλη περίοδος τῆς ἡλικίας, ἡ ἀνδρική, κατὰ τὴν ὁποίαν ἔχομεν τὰ οἰκονομικὰ προβλήματα· τότε ἔρχεται ἡ γυναῖκα καὶ ὁ γάμος καὶ ἡ ἀπόκτησις παιδιῶν καὶ ἡ προστασία τῆς οἰκογενείας καὶ συσσωρεύονται πολλαὶ αἱ νιφάδες τῶν φροντίδων. Ἀκριβῶς τότε ἐμφανίζεται καὶ ἡ φιλαργυρία καὶ ὁ φθόνος.

Ὅταν λοιπὸν κάθε περίοδον τῆς ἡλικίας τὴν διερχώμεθα μὲ ναυάγια, πῶς θὰ ἐπαρκέσωμεν εἰς τὴν παροῦσαν ζωήν; Πῶς θὰ διαφύγωμεν τὴν μέλλουσαν κόλασιν; Διότι, ὅταν εἰς μὲν τὴν πρώτην ἡλικίαν δὲν μαθαίνωμεν τίποτε τὸ ὑγιές, εἰς δὲ τὴν νεότητα δὲν σωφρονοῦμεν, καὶ ὅταν γινώμεθα ἄνδρες δὲν κατανικῶμεν τὴν φιλαργυρίαν, τότε, ὅταν φθάσωμεν εἰς τὸ γῆρας, ὡς ἄλλην ἀντλίαν[23], καὶ μὲ ὅλα τὰ κτυπήματα αὐτὰ ἔχωμεν κάνει τὸ σκάφος τῆς ψυχῆς ἀσθενέστερον, μὲ τὰς σανίδας διαλελυμένας, θὰ ἐμφανισθῶμεν εἰς ἐκεῖνον τὸν λιμένα προσκομίζοντες πολλὰ φρύγανα ἀντὶ πνευματικοῦ ἐμπορεύματος καὶ εἰς μὲν τὸν διάβολον θὰ προκαλέσωμεν γέλια, εἰς τοὺς ἑαυτούς μας δὲ θρῆνον καὶ θὰ ἐπισύρωμεν τὰς πλέον ἀνυποφόρους τιμωρίας.

Διὰ νὰ μὴ συμβοῦν λοιπὸν αὐτά, ἀφοῦ περισφίξωμεν τοὺς ἑαυτούς μας ἀπὸ παντοῦ καὶ ἀφοῦ ἀντισταθῶμεν εἰς ὅλα τὰ πάθη, ἂς ἀποβάλωμεν τὴν ἐπιθυμίαν τοῦ πλούτου, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ μέλλοντα ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΒ΄.

Ματθ. 26, 26-35

«Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν».

1. Βαβαί, πόση ἡ πήρωσις τοῦ προδότου. Καὶ τῶν μυστηρίων μετέχων, ἔμενεν ὁ αὐτός· καὶ τῆς φρικωδεστάτης ἀπολαύων τραπέζης, οὐ μετεβάλλετο. Καὶ τοῦτο ὁ Λουκᾶς δηλοῖ λέγων, ὅτι μετὰ τοῦτο εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς, οὐ τοῦ σώματος καταφρονῶν τοῦ δεσποτικοῦ, ἀλλὰ τῆς ἀναισχυντίας καταγελῶν τοῦ προδότου λοιπόν. Καὶ γὰρ μεῖζον τὸ ἁμάρτημα ἐγίνετο ἑκατέρωθεν· καὶ ὅτι μετὰ τοιαύτης γνώμης τοῖς μυστηρίοις προσήει, καὶ ὅτι προσελθὼν οὐκ ἐγένετο βελτίων, οὔτε ἀπὸ τοῦ φόβου, οὔτε ἀπὸ τῆς εὐεργεσίας, οὔτε ἀπὸ τῆς τιμῆς.

Ὁ δὲ Χριστὸς οὐκ ἐκώλυσεν αὐτόν, καίτοι πάντα εἰδώς· ἵνα μάθῃς ὅτι οὐδὲν παραλιμπάνει τῶν εἰς διόρθωσιν ἡκόντων. Διὰ τοῦτο καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο συνεχῶς ὑπεμίμνησκε καὶ κατεῖχε, καὶ δι' ἔργων, καὶ διὰ λόγων, καὶ διὰ φόβου, καὶ διὰ θεραπείας, καὶ δι' ἀπειλῆς, καὶ διὰ τιμῆς. Ἀλλ' οὐδὲν αὐτὸν ἀφίστη τοῦ νοσήματος ἐκείνου τοῦ χαλεποῦ. Διὸ λοιπὸν ἐκεῖνον ἀφείς, τοὺς μαθητὰς διὰ τῶν μυστηρίων ἀναμιμνήσκει πάλιν τῆς σφαγῆς, καὶ μεταξὺ τῆς τραπέζης περὶ τοῦ σταυροῦ διαλέγεται, τῇ συνεχείᾳ τῆς προρ-

ΟΜΙΛΙΑ ΠΒ΄.

Ματθ. 26, 26-35

«Ἐνῷ δὲ ἔτρωγαν, ὁ Ἰησοῦς ἐπῆρεν ἄρτον καὶ ἀφοῦ τὸν ηὐλόγησε, τὸν ἔκοψεν, ἔδωσεν εἰς τοὺς μαθητὰς καὶ εἶπε· 'λάβετε, φάγετε· αὐτὸ εἶναι τὸ σῶμά μου'. Ἔπειτα, ἐπῆρε τὸ ποτήριον καὶ ἀφοῦ τὸ ηὐλόγησε τοὺς τὸ ἔδωσε καὶ εἶπε· 'πίετε ἀπὸ αὐτὸ ὅλοι, διότι αὐτὸ εἶναι τὸ αἷμά μου τῆς Νέας Διαθήκης, τὸ ὁποῖον χύνεται πρὸς χάριν πολλῶν, εἰς ἄφεσιν ἁμαρτιῶν'».

1. Πώ, πώ, πόση ἦτο ἡ τύφλωσις τοῦ προδότου! Καὶ ὅταν ἀκόμη συμμετεῖχαν εἰς τὰ μυστήρια, ἔμενεν ὁ ἴδιος· καὶ ὅταν ἀπελάμβανε τῆς πιὸ φρικτῆς τραπέζης, δὲν μετεβάλλετο. Καὶ αὐτὸ τὸ δηλώνει ὁ Λουκᾶς ὅταν λέγῃ, ὅτι μετὰ ἀπὸ αὐτὸ εἰσῆλθε μέσα του ὁ Σατανᾶς, ὄχι περιφρονῶν τὸ σῶμα τοῦ Δεσπότου, ἀλλὰ περιπαίζων τὴν ἀναισχυντίαν τοῦ προδότου. Διότι τὸ ἁμάρτημα ἦτο πολὺ μεγάλο καὶ ἀπὸ τὸ ἕνα καὶ ἀπὸ τὸ ἄλλος μέρος· καὶ ὅτι μὲ τοιαύτην σκέψιν προσήρχετο εἰς τὰ Μυστήρια, καὶ ὅτι ὅταν προσῆλθε δὲν ἔγινε καλύτερος, οὔτε ἀπὸ τὸν φόβον, οὔτε ἀπὸ τὴν εὐργεσίαν, οὔτε ἀπὸ τὴν τιμὴν ποὺ τοῦ ἐγίνετο.

Ὁ δὲ Χριστὸς δὲν τὸν ἠμπόδισεν, ἂν καὶ ἐγνώριζε τὰ πάντα, διὰ νὰ μάθῃς ὅτι δὲν ἐγκαταλείπει ἐκείνους ποὺ προσέρχονται πρὸς διόρθωσιν. Δι' αὐτὸ καὶ πρὶν ἀπὸ αὐτὸ καὶ μετὰ ἀπὸ αὐτὸ διαρκῶς τοῦ ὑπενθύμιζε καὶ τὸν ἐσυγκρατοῦσε, καὶ μὲ ἔργα καὶ μὲ λόγια καὶ μὲ φόβον καὶ μὲ περιποίησιν καὶ μὲ ἀπειλὴν καὶ μὲ τιμήν. Ἀλλὰ τίποτε δὲν τὸν ἀπεμάκρυνεν ἀπὸ ἐκεῖνο τὸν φοβερὸν νόσημα. Καὶ δι' αὐτό, ἀφοῦ ἄφησεν ἐκεῖνον, ὑπενθυμίζει πάλιν εἰς τοὺς μαθητὰς τὴν σφαγὴν καὶ κατὰ τὴν διάρκειαν τοῦ δείπνου ὁμιλεῖ περὶ τῆς σταυρώσεως, προσπαθῶν μὲ τὴν συνεχῆ

ρήσεως εὐπαράδεκτον αὐτοῦ ποιῶν τὸ πάθος. Εἰ γὰρ τοσούτων γενομένων καὶ προλεχθέντων, ἐθορυβήθησαν, εἰ μηδὲν τούτων ἠκηκόεισαν, τί οὐκ ἂν ἔπαθον;

«Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ἄρτον ἔκλασε». Τί δήποτε τότε κατὰ τὸν καιρὸν τοῦ Πάσχα τὸ μυστήριον ἐπετέλει τοῦτο; Ἵνα μάθῃς πάντοθεν καὶ τῆς παλαιᾶς αὐτὸν ὄντα νομοθέτην, καὶ τὰ ἐν ἐκείνῃ διὰ ταῦτα προσκιογραφηθέντα. Διά τοι τοῦτο ἔνθα ὁ τύπος, τὴν ἀλήθειαν ἐπιτίθησιν. Ἡ δὲ ἑσπέρα τοῦ πληρώματος τῶν καιρῶν τεκμήριον ἦν, καὶ τοῦ πρὸς αὐτὸ λοιπὸν ἥκειν τὸ τέλος τὰ πράγματα.

Καὶ εὐχαριστεῖ, διδάσκων ἡμᾶς ὅπως δεῖ τὸ μυστήριον τοῦτο ἐπιτελεῖν, καὶ δεικνὺς ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, καὶ παιδεύων ἡμᾶς, ὅπερ ἂν πάσχωμεν, εὐχαρίστως φέρειν, καὶ χρηστὰς κἀντεῦθεν ὑποτείνων τὰς ἐλπίδας. Εἰ γὰρ ὁ τύπος τοσαύτης δουλείας γέγονεν ἀπαλλαγή, πολλῷ μᾶλλον ἡ ἀλήθεια τὴν οἰκουμένην ἐλευθερώσει, καὶ ἐπὶ εὐεργεσίᾳ τῆς ἡμετέρας παραδοθήσεται φύσεως. Διά τοι τοῦτο οὐδὲ πρὸ τούτου παρέδωκε τὸ μυστήριον, ἀλλ' ὅτε λοιπὸν παύσασθαι ἔδει τὰ νομικά.

Καὶ τὸ κεφάλαιον δὲ τῶν ἑορτῶν αὐτῶν καταλύει, ἐφ' ἑτέραν αὐτοὺς μετατιθεὶς τράπεζαν φρικωδεστάτην, καί φησι· «λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ πολλῶν κλώμενον». Καὶ πῶς οὐκ ἐθορυβήθησαν τοῦτο ἀκούσαντες; Ὅτι πολλὰ καὶ μεγάλα περὶ τούτου καὶ ἔμπροσθεν αὐτοῖς ἦν προδιαλεχθείς. Διόπερ ἐκεῖνο μὲν οὐκέτι κατασκευάζει· καὶ γὰρ αὐτάρκως ἦσαν ἀκούσαντες· τὴν δὲ αἰτίαν λέγει τοῦ πάθους, τῶν ἁμαρτημάτων τὴν ἀναίρεσιν. Καὶ αἷμα

---

1. Α΄ Κορ. 11, 24.

ἐπανάληψιν τῆς προρρήσεώς του, νὰ κάνῃ τὸ πάθος πιὸ εὐπρόσδεκτον. Διότι, ἐὰν ἐθορυβήθησαν ὕστερα ἀπὸ τόσα ποὺ ἔγιναν καὶ προελέχθησαν, τί θὰ ἐπάθαιναν ἐὰν δὲν εἶχαν ἀκούσει τίποτε ἀπὸ αὐτά;

«Καὶ καθὼς ἔτρωγαν αὐτοί, ἐπῆρεν ἄρτον καὶ τὸν ἔκοψεν». Διατί ἆρά γε ἔκαμε τὸ μυστήριο αὐτὸ τότε, κατὰ τὴν περίοδον τοῦ Πάσχα; Διὰ νὰ μάθῃς ἀπὸ παντοῦ, ὅτι καὶ τῆς Παλαιᾶς Διαθήκης αὐτὸς ἦτο ὁ νομοθέτης καὶ ὅτι ὅσα περιλαμβάνονται εἰς ἐκείνην δι᾿ αὐτὰ ἔχουν προδιαγραφῆ. Δι᾿ αὐτὸ ἀκριβῶς ἐκεῖ ὅπου ὑπάρχει ἡ προτύπωσις προσθέτει καὶ τὴν ἐπαλήθευσίν της. Ἡ δὲ ἑσπέρα ἦτο ἀπόδειξις ὅτι εἶχεν ἔλθει τὸ πλήρωμα τοῦ χρόνου καὶ ὅτι τὰ πράγματα φθάνουν πρὸς τὸ τέλος τους.

Καὶ εὐχαριστεῖ, διὰ νὰ μᾶς διδάξῃ πῶς πρέπει νὰ τελοῦμεν τὸ μυστήριον καὶ διὰ νὰ δείξῃ ὅτι δὲν ἐπήγαινεν εἰς τὸ πάθος χωρὶς τὴν θέλησίν Του, ἀλλὰ καὶ διὰ νὰ μᾶς διδάξῃ ὅτι πρέπει νὰ ὑπομένωμεν εὐχαρίστως ὅ,τι καὶ ἂν πάσχωμεν, ἐνισχύων ἔτσι τὰς ἀγαθὰς ἐλπίδας μας. Διότι, ἐὰν τὸ τυπικὸν πάσχα ἀπήλλαξε τοὺς Ἰουδαίους ἀπὸ τόσον σκληρὰν δουλείαν, πολὺ περισσότερον τὸ ἀληθινὸν Πάσχα θὰ ἐλευθερώσῃ τὴν οἰκουμένην καὶ θὰ παραδοθῇ πρὸς εὐεργεσίαν τῆς ἁμαρτωλῆς φύσεώς μας. Δι᾿ αὐτὸ ἀκριβῶς δὲν μᾶς παρέδωσε τὸ μυστήριον πρὶν ἀπὸ τὸ Πάσχα, ἀλλὰ τὸ παρέδωσε τότε, ὅταν ἔπρεπε νὰ παύσουν αἱ νομικαὶ προτυπώσεις.

Καταργεῖ λοιπὸν τὴν κυριωτέραν ἀπὸ τὰς ἑορτὰς ἐκείνας, μεταφέρων τοὺς μαθητὰς εἰς ἄλλην τράπεζαν περισσότερον φρικώδη καὶ λέγει· «λάβετε, φάγετε· αὐτὸ εἶναι τὸ σῶμά μου ποὺ θυσιάζεται πρὸς χάριν πολλῶν»[1]. Πῶς ὅμως δὲν ἀνησύχησαν ὅταν ἄκουσαν αὐτό; Διότι καὶ εἰς τὸ παρελθὸν τοὺς εἶχε προείπει πολλὰ καὶ σπουδαῖα διὰ τὸ θέμα αὐτό. Διὰ τοῦτο, ἐκεῖνο μὲν δὲν τὸ ἀποδεικνύει, διότι εἶχαν ἀκούσει ἀρκετὰ περὶ αὐτοῦ, ἀλλὰ ἀναφέρει τὴν αἰτίαν τοῦ πάθους, τὴν κατάργησιν τῶν ἁμαρτημάτων. Καὶ ὁ-

καινῆς διαθήκης καλεῖ, τουτέστι, τῆς ὑποσχέσεως, τῆς ἐπαγγελίας, τοῦ νόμου τοῦ καινοῦ. Τοῦτο γὰρ καὶ ὑπέσχετο πάλαι, καὶ τὴν διαθήκην τοῦτο συνέχει τὴν ἐν τῇ καινῇ. Καὶ ὥσπερ ἡ παλαιὰ πρόβατα καὶ μόσχους εἶχεν, οὕτως αὕτη τὸ αἷμα τὸ δεσποτικόν. Κἀντεῦθεν δείκνυσιν, ὅτι καὶ μέλλει τελευτᾶν· διὸ καὶ διαθήκης μέμνηται· καὶ ἀναμιμνήσκει δὲ τῆς προτέρας· καὶ γὰρ καὶ ἐκείνη δι' αἵματος ἐγκεκαίνιστο.

Καὶ πάλιν λέγει τοῦ θανάτου τὴν αἰτίαν· «τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν»· καί φησι, «τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν». Εἶδες πῶς ἐξάγει τῶν Ἰουδαϊκῶν ἐθῶν, καὶ ἀφίστησι; Καθάπερ γὰρ ἐκεῖνο ἐποιεῖτε, φησίν, εἰς ἀνάμνησιν τῶν ἐν Αἰγύπτῳ θαυμάτων, οὕτω καὶ τοῦτο εἰς ἐμήν. Ἐκεῖνο ἐξεχύθη εἰς σωτηρίαν τῶν πρωτοτόκων· τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν τῆς οἰκουμένης ἁπάσης. «Τοῦτο γάρ ἐστι τὸ αἷμά μου», φησί, «τὸ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν». Τοῦτο δὲ ἔλεγε, κἀντεῦθεν δεικνὺς ἅμα ὅτι μυστήριόν ἐστι τὸ πάθος καὶ ὁ σταυρός, καὶ διὰ τούτου πάλιν παρακαλῶν τοὺς μαθητάς.

Καὶ καθάπερ Μωϋσῆς φησι, «τοῦτο μνημόσυνον ὑμῖν αἰώνιον»· οὕτω καὶ αὐτός, «εἰς ἐμὴν ἀνάμνησιν», ἕως ἂν παραγένωμαι. Διὰ τοῦτο καί, «ἐπιθυμίᾳ ἐπεθύμησα», φησί, «τὸ Πάσχα τοῦτο φαγεῖν»· τουτέστι, παραδοῦναι ὑμῖν τὰ καινὰ πράγματα, καὶ πάσχα δοῦναι, καθ' ὃ μέλλω πνευματικοὺς ποιεῖν. Καὶ αὐτὸς ἔπιεν ἐξ αὐτοῦ. Ἵνα γὰρ μὴ ταῦτα ἀκούοντες εἴπωσι, τί οὖν; αἷμα πίνομεν, καὶ σάρκα ἐσθίομεν; καὶ θορυβηθῶσι τότε· (καὶ γὰρ ὅτε τοὺς περὶ τούτων ἐκίνει λόγους, καὶ πρὸς τὰ ῥήματα αὐτὰ πολλοὶ ἐσκανδαλίζοντο)· ἵν' οὖν μὴ καὶ τότε ταραχθῶσι πρῶτος αὐτὸς τοῦτο ἐποίησεν,

2. Ἑβρ. 9, 12-22.
3. Α' Κορ. 11, 25.
4. Ἐξ. 12, 13 καὶ 23.
5. Ἐξ. 3, 15.

νομάζει τὸ αἷμά Του αἷμα τῆς Νέας Διαθήκης, δηλαδὴ τῆς ὑποσχέσεως, τῆς προσφορᾶς, τοῦ νέου νόμου. Διότι αὐτὸ ὑπέσχετο παλαιότερα καὶ αὐτὸ διαφυλάσσει τὴν συμφωνίαν τῆς Νέας Διαθήκης. Καὶ ὅπως ἡ Παλαιὰ Διαθήκη περιεῖχε πρόβατα καὶ μόσχους[2], ἔτσι καὶ αὐτὴ περιέχει τὸ αἷμα τοῦ Δεσπότου. Καὶ μὲ αὐτὸ δείχνει ὅτι πρόκειται νὰ ἀποθάνη, δι' αὐτὸ ἐνθυμεῖται τὴν Διαθήκην καὶ ἐνθυμεῖται τὴν προηγουμένην Διαθήκην, διότι καὶ ἐκείνη εἶχεν ἐγκαινιασθῆ μὲ αἷμα.

Καὶ πάλιν ἀναφέρει τὴν αἰτίαν τοῦ θανάτου Του· «αὐτὸ ποὺ χύνεται πρὸς χάριν πολλῶν, εἰς ἄφεσιν ἁμαρτιῶν» καὶ λέγει· «αὐτὸ τὸ κάνετε διὰ νὰ μὲ ἐνθυμῆσθε»[3]. Εἶδες πῶς τοὺς βγάζει ἀπὸ τὰ ἰουδαϊκὰ ἔθιμα καὶ τοὺς ἀπομακρύνει; Ὅπως ἐκάνατε ἐκεῖνο, τοὺς λέγει, διὰ νὰ ἐνθυμῆσθε τὰ θαύματα τῆς Αἰγύπτου, ἔτσι νὰ κάνετε καὶ αὐτὸ διὰ νὰ ἐνθυμῆσθε ἐμένα. Τὸ αἷμα ἐκεῖνο εἶχε χυθῆ διὰ νὰ σωθοῦν τὰ πρωτότοκα[4]. Αὐτὸ χύνεται διὰ νὰ συγχωρηθοῦν αἱ ἁμαρτίαι ὁλοκλήρου τῆς οἰκουμένης. Διότι «αὐτὸ εἶναι τὸ αἷμά μου, λέγει, τὸ ὁποῖον χύνεται διὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν». Τὸ ἔλεγε δὲ αὐτὸ διὰ νὰ δείξη καὶ μὲ αὐτὸ ταυτοχρόνως, ὅτι τὸ πάθος καὶ ἡ σταύρωσις εἶναι μυστήριον, καὶ νὰ παρηγορήση πάλιν μὲ αὐτὸ τοὺς μαθητάς.

Καὶ ὅπως ὁ Μωϋσῆς λέγει «αὐτὸ θὰ εἶναι αἰωνία ἀνάμνησις δι' ἐσᾶς»[5], ἔτσι καὶ αὐτὸς «διὰ νὰ μὲ ἐνθυμῆσθε» μέχρις ὅτου ἐπανέλθω. Δι' αὐτὸ καὶ λέγει· «ἐπεθύμησα πάρα πολὺ νὰ φάγω αὐτὸ τὸ Πάσχα», ἤτοι νὰ σᾶς παραδώσω τὰ νέα πράγματα, καὶ νὰ σᾶς δώσω πάσχα, κατὰ τὸ ὁποῖον πρόκειται νὰ σᾶς κάνω πνευματικούς. Καὶ ὁ ἴδιος ἔπιεν ἀπὸ ἐκεῖνο. Διὰ νὰ εἰποῦν, ὅταν ἤκουσαν αὐτά· τί λοιπόν, πίνομεν αἷμα καὶ τρώγωμεν σάρκα; καὶ ἐνοχληθοῦν τότε (διότι καὶ ὅταν ἔκανε λόγον διὰ τὰ πράγματα αὐτά, πολλοὶ ἐσκανδαλίζοντο καὶ μὲ τὰς λέξεις αὐτὰς ἀκόμη)· διὰ νὰ μὴ ταραχθοῦν λοιπὸν τότε, πρῶτος ἐκεῖνος τὸ ἔκανεν αὐτό,

ἐνάγων αὐτοὺς ἀταράχως εἰς τὴν κοινωνίαν τῶν μυστηρίων. Διὰ τοῦτο τὸ ἑαυτοῦ αἷμα αὐτὸς ἔπιεν.

Τί οὖν; κἀκεῖνο χρὴ ποιεῖν τὸ παλαιόν; φησίν. Οὐδαμῶς. Διὰ γὰρ τοῦτο εἶπε, «τοῦτο ποιεῖτε», ἵνα ἐκείνου ἀπαγάγῃ. Εἰ γὰρ τοῦτο ἄφεσιν ἁμαρτιῶν ἐργάζεται, ὥσπερ οὖν καὶ ἐργάζεται, περιττὸν ἐκεῖνο λοιπόν. Ὥσπερ οὖν ἐπὶ τῶν Ἰουδαίων, οὕτω καὶ ἐνταῦθα τῆς εὐεργεσίας ἐγκατέδησε τὸ μνημόσυνον τῷ μυστηρίῳ, κἀντεῦθεν ἐμφράττων τῶν αἱρετικῶν τὰ στόματα. Ὅταν γὰρ λέγωσι, πόθεν δῆλον ὅτι ἐτύθη ὁ Χριστός; μετὰ τῶν ἄλλων καὶ ἀπὸ τῶν μυστηρίων αὐτοὺς ἐπιστομίζομεν. Εἰ γὰρ μὴ ἀπέθανεν ὁ Ἰησοῦς, τίνος σύμβολα τὰ τελούμενα;

2. Ὁρᾷς ὅση γέγονε σπουδή, ὥστε ἀεὶ ἀναμιμνήσκεσθαι, ὅτι ἀπέθανεν ὑπὲρ ἡμῶν; Ἐπειδὴ γὰρ ἔμελλον οἱ περὶ Μαρκίωνα καὶ Οὐαλεντῖνον καὶ Μανιχαῖον φύεσθαι, ταύτην ἀρνούμενοι τὴν οἰκονομίαν, διηνεκῶς ἀναμιμνήσκει τοῦ πάθους καὶ διὰ τῶν μυστηρίων, ὥστε μηδένα παραλογισθῆναι· ὁμοῦ μὲν σώζων, ὁμοῦ δὲ παιδεύων διὰ τῆς ἱερᾶς τραπέζης ἐκείνης. Καὶ γὰρ τὸ κεφάλαιον τῶν ἀγαθῶν τοῦτο. Διὸ καὶ ὁ Παῦλος τοῦτο ἄνω καὶ κάτω στρέφει.

Εἶτα ἐπειδὴ παρέδωκε, φησίν· «Οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν μεθ' ἡμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου». Ἐπειδὴ γὰρ περὶ πάθους αὐτοῖς καὶ σταυροῦ διελέχθη, καὶ τὸν περὶ τῆς ἀναστάσεως πάλιν εἰσάγει λόγον, βασιλείας εἰς μέσον ἀναμνήσας, καὶ τὴν ἀνάστασιν οὕτω τὴν ἑαυτοῦ καλέσας. Καὶ τίνος ἕνεκεν ἀναστὰς ἔπιεν; Ἵνα μὴ νομίσωσιν οἱ παχύτεροι φαντασίαν εἶναι τὴν ἀνάστασιν. Τοῦ γὰρ ἀναστῆναι τοῦτο τεκμήριον ἐτίθεντο οἱ πολλοί. Διὸ καὶ οἱ ἀπό-

εἰσάγων αὐτοὺς ψύχραιμα εἰς τὴν κοινωνίαν τῶν μυστηρίων. Δι' αὐτὸ ἔπιεν ἀπὸ τὸ ἰδικό του αἷμα καὶ ὁ ἴδιος.

Τί λοιπόν; Πρέπει νὰ κάνωμεν καὶ ἐκεῖνο τὸ παλαιόν; λέγει. Ὄχι. Διότι δι' αὐτὸ εἶπεν· «αὐτὸ νὰ κάνετε», διὰ νὰ μᾶς ἀπομακρύνῃ ἀπὸ ἐκεῖνο. Διότι ἐὰν αὐτὸ ἐπιφέρῃ συγχώρησιν τῶν ἁμαρτιῶν, ὅπως καὶ ἐπιφέρει, κατὰ συνέπειαν ἐκεῖνο εἶναι περιττόν. Ὅπως λοιπὸν εἰς τοὺς Ἰουδαίους, ἔτσι καὶ ἐδῶ, τὴν ἀνάμνησιν τῆς εὐεργεσίας τὴν ἐξασφαλίζει μὲ τὸ μυστήριον, καὶ φράσσει ἔτσι τὰ στόματα τῶν αἱρετικῶν. Διότι ὅταν λέγουν, ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι ἐθυσιάσθη ὁ Χριστός; Μαζὶ μὲ τὰ ἄλλα, τοὺς ἀποστομώνομεν καὶ μὲ τὰ μυστήρια. Διότι, ἐὰν δὲν ἀπέθανεν ὁ Χριστός, τίνος σύμβολα εἶναι αὐτὰ ποὺ τελοῦνται;

2. Βλέπεις πόση προσπάθεια καταβάλλεται, ὥστε διαρκῶς νὰ ὑπενθυμίζεται ὅτι ἀπέθανε πρὸς χάριν μας; Διότι, ἐπειδὴ ἐπρόκειτο νὰ ἐμφανισθοῦν οἱ ὀπαδοὶ τοῦ Μαρκίωνος, τοῦ Οὐαλεντίνου καὶ τοῦ Μανιχαίου, οἱ ὁποῖοι ἀρνοῦνται αὐτὴν τὴν θείαν οἰκονομίαν, ὑπενθυμίζει τὸ πάθος διαρκῶς μὲ τὰ μυστήρια, ὥστε κανεὶς νὰ μὴ κάνῃ ἐσφαλμένους συλλογισμούς· ἔτσι, μὲ τὸ ἱερὸν ἐκεῖνο δεῖπνον, ἀφ' ἑνὸς μὲν σώζει, ἀφ' ἑτέρου δὲ διδάσκει. Διότι τὸ μυστήριον αὐτὸ ἀποτελεῖ τὸ κυριώτερον ἀπὸ τὰ ἀγαθά. Δι' αὐτὸ καὶ ὁ Παῦλος τὸ ἀνακατώνει.

Ἔπειτα, ἀφοῦ τὸ παρέδωσε, λέγει· «δὲν θὰ ξαναπιῶ ἀπὸ τὸν καρπὸν αὐτὸν τῆς ἀμπέλου μέχρι τὴν ἡμέραν ἐκείνην, ποὺ θὰ τὸ πίνω μαζί σας καινούργιο εἰς τὴν βασιλείαν τοῦ Πατρός μου». Ἐπειδὴ τοὺς ὡμίλησε περὶ τοῦ πάθους καὶ τῆς σταυρώσεως, κάμνει λόγον πάλιν περὶ τῆς ἀναστάσεως, ὑπομνήσας ἐνδιαμέσως τὴν βασιλείαν καὶ ὑπαινιχθεὶς ἔτσι τὴν ἀνάστασίν Του. Καὶ διατί ἔπιεν ὅταν ἀνεστήθη; Διὰ νὰ μὴ νομίσουν οἱ ἀνόητοι ὅτι ἡ ἀνάστασις εἶναι πλάσμα φανταστικόν. Διότι ὁ κοινὸς λαὸς τὸ θεωρεῖ αὐτὸ ἀπόδειξιν τῆς ἀναστάσεως. Δι' αὐτὸ καὶ οἱ ἀπόστολοι εἰς τὴν προσπάθειάν των νὰ τοὺς πείσουν περὶ τῆς Ἀνα-

στολοι πείθοντες αὐτοὺς περὶ ἀναστάσεως, τοῦτο ἔλεγον· «οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ».

Δηλῶν τοίνυν ὅτι αὐτὸν ὄψονται ἀναστάντα λαμπρῶς, καὶ μετ᾽ αὐτῶν ἔσται πάλιν, καὶ αὐτοὶ μαρτυρήσουσι τοῖς γινομένοις, καὶ δι᾽ ὄψεως καὶ διὰ πραγμάτων, φησίν· «ἕως ἂν αὐτὸ πίω καινὸν μεθ᾽ ὑμῶν», ὑμῶν μαρτυρούντων. Ὑμεῖς γάρ με ὄψεσθε ἀναστάντα.

Τί δέ ἐστι, «καινόν»; Καινῶς, τουτέστι ξένως, οὐ σῶμα παθητὸν ἔχων, ἀλλ᾽ ἀθάνατον λοιπὸν καὶ ἄφθαρτον, καὶ οὐ δεόμενον τροφῆς. Οὐ τοίνυν διὰ χρείαν μετὰ τὴν ἀνάστασιν ἔφαγέ τε καὶ ἔπιεν· οὐδὲ γὰρ ἐδεῖτο λοιπὸν τὸ σῶμα τούτων· ἀλλὰ δι᾽ ἀναστάσεως πληροφορίαν.

Καὶ τίνος ἕνεκεν οὐχ ὕδωρ ἔπιεν ἀναστάς, ἀλλ᾽ οἶνον; Ἄλλην αἵρεσιν πονηρὰν πρόρριζον ἀνασπῶν. Ἐπειδὴ γάρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκεν, οἶνον παρέδωκε, καὶ ἡνίκα ἀναστὰς χωρὶς μυστηρίων ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐκέχρητο, «ἐκ τοῦ γεννήματος», φησί, «τῆς ἀμπέλου». Ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ.

«Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν». Ἀκουέτωσαν ὅσοι καθάπερ χοῖροι ἐσθίοντες ἁπλῶς λακτίζουσι τὴν τράπεζαν τὴν αἰσθητήν, καὶ ἀνίστανται μετὰ μέθης, δέον εὐχαριστεῖν καὶ εἰς ὕμνον τελευτᾶν. Ἀκούσατε ὅσοι τὴν τελευταίαν πάλιν εὐχὴν οὐκ ἀναμένετε τῶν μυστηρίων· αὕτη γὰρ ἐκείνης σύμβολον. Ηὐχαρίστησε πρὸ τοῦ δοῦναι τοῖς μαθηταῖς, ἵνα καὶ ἡμεῖς εὐχαριστῶμεν. Ηὐχαρίστησε καὶ ὕμνησε μετὰ τὸ δοῦναι, ἵνα καὶ ἡμεῖς αὐτὸ τοῦτο ποιῶμεν.

---

6. Πράξ. 10, 41.

στάσεως ἔλεγαν τοῦτο· «ἐμεῖς οἱ ὁποῖοι ἐφάγαμεν καὶ ἤπιαμε μαζί Του»[6].

Διὰ νὰ δηλώσῃ λοιπόν, ὅτι θὰ τὸν ἰδοῦν ἀνεστημένον μεγαλοπρεπῶς καὶ ὅτι θὰ εἶναι πάλιν μαζί τους, καὶ ὅτι αὐτοὶ θὰ γίνουν μάρτυρες ὅσων συμβαίνουν καὶ μὲ τὰ μάτια τους καὶ ἐκ τῶν πραγμάτων, λέγει· «μέχρις ὅτου θὰ τὸ πίνω μαζὶ μὲ σᾶς», οἱ ὁποῖοι θὰ εἶσθε μάρτυρες. Διότι σεῖς θὰ μὲ ἰδῆτε ἀνεστημένον.

Τί δὲ σημαίνει «καινόν»; Καινῶς, δηλαδὴ κατὰ τρόπον παράξενον, χωρὶς νὰ ἔχῃ σῶμα φθαρτόν, ἀλλὰ ἀθάνατον καὶ ἄφθαρτον, ποὺ δὲν ἔχει ἀνάγκην τροφῆς. Δὲν ἔφαγε καὶ ἔπιε μετὰ τὴν ἀνάστασιν ἀπὸ ἀνάγκην, διότι δὲν εἶχεν ἀνάγκην ἀπὸ τέτοια τὸ σῶμα Του, ἀλλὰ διὰ νὰ γνωστοποιηθῆ ἡ ἀνάστασις.

Καὶ διὰ ποῖον λόγον δὲν ἔπιεν ὕδωρ ὅταν ἀνεστήθη, παρὰ οἶνον; Διὰ νὰ ξερριζώσῃ σύρριζα μίαν ἄλλην πονηρὰν αἵρεσιν. Διότι, ἐπειδὴ ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι χρησιμοποιοῦν εἰς τὰ μυστήρια ὕδωρ, δείχνει ὅτι καὶ ὅταν παρέδωκε τὰ μυστήρια, ἐχρησιμοποίησεν οἶνον, καὶ ὅταν μετὰ τὴν ἀνάστασιν παρέθετεν ἁπλῆν τράπεζαν χωρὶς μυστηριακὸν χαρακτῆρα, πάλιν ἐχρησιμοποίησεν οἶνον. «Ἀπὸ τὸν καρπόν», λέγει, «τῆς ἀμπέλου». Ἡ ἄμπελος δὲ παράγει οἶνον καὶ ὄχι ὕδωρ.

«Καὶ ἀφοῦ ἀνέπεμψαν ὕμνον, ἐβγῆκαν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν». Ἂς τὰ ἀκούουν ὅλοι ἐκεῖνοι, οἱ ὁποῖοι ἀφοῦ φάγουν ὡσὰν χοῖροι κλωτσοῦν τὴν ὑλικὴν τράπεζαν καὶ σηκώνονται μεθυσμένοι, ὅτι πρέπει νὰ εὐχαριστοῦν καὶ νὰ τελειώνουν μὲ ὕμνον. Ἀκούσατε ἐπίσης ὅλοι ὅσοι δὲν περιμένετε τὴν τελευταίαν εὐχὴν τῶν μυστηρίων· διότι αὐτὴ ἡ εὐχὴ εἶναι σύμβολον τῆς προσευχῆς ἐκείνης. Ἀπηύθυνεν εὐχαριστήριον προσευχὴν πρὶν νὰ δώσῃ εἰς τοὺς μαθητάς, διὰ νὰ κάνωμεν καὶ ἐμεῖς εὐχαριστήριον προσευχήν. Ἀπηύθυνεν εὐχαριστήριον προσευχὴν καὶ ὕμνους μετὰ τὴν προσφοράν, διὰ νὰ κάνωμεν καὶ ἐμεῖς τὸ ἴδιον.

Τί δήποτε δὲ εἰς τὸ ὄρος ἐξέρχεται; Δῆλον ἑαυτὸν ποιῶν πρὸς τὸ ληφθῆναι, ἵνα μὴ δόξῃ κρύπτεσθαι. Ἔσπευδε γὰρ ἐπὶ τὸν τόπον ἐλθεῖν, τὸν καὶ Ἰούδᾳ γνώριμον.

«Τότε λέγει αὐτοῖς· πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοί». Εἶτα λέγει καὶ προφητείαν· «Γέγραπται γάρ· πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσεται τὰ πρόβατα»· ὁμοῦ μὲν πείθων αὐτοὺς ἀεὶ προσέχειν τοῖς γεγραμμένοις, ὁμοῦ δὲ δηλῶν ὅτι κατὰ Θεοῦ γνώμην ἐσταυροῦτο, καὶ πανταχόθεν δεικνὺς οὐκ ἀλλότριον ὄντα ἑαυτὸν τῆς παλαιᾶς, οὐδὲ τοῦ ἐν αὐτῇ καταγγελλομένου Θεοῦ, καὶ ὅτι οἰκονομία τὸ γινόμενον ἦν, καὶ πάντα προανεκήρυξαν οἱ προφῆται ἄνωθεν τὰ ἐν τῷ πράγματι, ὥστε αὐτοὺς καὶ περὶ τῶν χρηστοτέρων σφόδρα θαρρεῖν.

Καὶ διδάσκει εἰδέναι, τίνες μὲν πρὸ τοῦ σταυροῦ οἱ μαθηταί, τίνες δὲ μετὰ τὸν σταυρόν. Καὶ γὰρ οἱ σταυρουμένου μηδὲ στῆναι δυνάμενοι, οὗτοι μετὰ θάνατον σφοδροὶ καὶ ἀδάμαντος ἰσχυρότεροι. Καὶ τοῦτο δὲ αὐτὸ ἀπόδειξις τοῦ θανάτου, ἡ φυγὴ τῶν μαθητῶν καὶ ἡ δειλία. Εἰ γὰρ τοσαῦτα γέγονέ τε καὶ ἐλέχθη, καὶ ἀναισχυντοῦσί τινες, καί φασιν αὐτὸν μὴ ἐσταυρῶσθαι, εἰ μηδὲν τούτων συνέβη, ποῦ οὐκ ἂν ἐξέπεσον παρανομίας; Διά τοι τοῦτο οὐχὶ διὰ τῶν οἰκείων παθῶν μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐν τοῖς μαθηταῖς βεβαιοῖ τὸν περὶ τοῦ θανάτου λόγον, καὶ διὰ τῶν μυστηρίων, πάντοθεν καταισχύνων τοὺς τὰ Μαρκίωνος νοσοῦντας.

Διὰ τοῦτο καὶ τὸν κορυφαῖον ἀφίησιν ἀρνήσασθαι. Εἰ δὲ μὴ ἐδέθη, μηδὲ ἐσταυρώθη, πόθεν καὶ ἐκείνῳ καὶ τοῖς λοιποῖς τοσοῦτος ἐγένετο φόβος; Οὐ μὴν ἀφῆκεν αὐτοὺς πά-

7. Ζαχ. 13, 7.

Διατί ὅμως ἐξέρχεται εἰς τὸ ὄρος; Διὰ νὰ κάνῃ τὸν ἑαυτόν Του φανερόν, ὥστε νὰ συλληφθῇ· διὰ νὰ μὴ νομισθῇ ὅτι κρύπτεται. Διότι ἐβιάζετο νὰ φθάσῃ εἰς τὸν τόπον, ὁ ὁποῖος ἦτο γνωστὸς καὶ εἰς τὸν Ἰούδαν.

Τότε τοὺς λέγει· «θὰ κλονισθῇ ὅλων σας ἡ ἐμπιστοσύνη εἰς ἐμέ». Ἔπειτα λέγει καὶ προφητείαν· «διότι εἶναι γραμμένον· θὰ κτυπήσω τὸν ποιμένα καὶ θὰ διασκορπισθοῦν τὰ πρόβατα»[7]. Μὲ αὐτὰ θέλει ἀφ' ἑνὸς μὲν νὰ τοὺς πείσῃ νὰ προσέχουν πάντοτε εἰς ἐκεῖνα ποὺ ἔχουν γραφῆ, ἀφ' ἑτέρου δὲ νὰ δηλώσῃ ὅτι ἐσταυρώνετο μὲ ἀπόφασιν τοῦ Θεοῦ καὶ ἀπὸ κάθε πλευρὰν νὰ δείξῃ ὅτι ὁ ἑαυτός του δὲν εἶναι ξένος τῆς Παλαιᾶς Διαθήκης, οὔτε τοῦ Θεοῦ ὁ ὁποῖος κηρύσσεται εἰς αὐτὴν καὶ ὅτι αὐτὸ ποὺ ἐγίνετο ἦτο θεία οἰκονομία καὶ ὅτι ὅλα τὰ σχετικὰ μὲ αὐτὸ τὰ εἶχαν προαναγγείλει οἱ προφῆται φωτισθέντες ἄνωθεν, ὥστε αὐτοὶ νὰ ἔχουν μεγάλην ἐμπιστοσύνην καὶ διὰ τὰ καλύτερα.

Τοὺς διδάσκει ἀκόμη νὰ γνωρίζουν ποῖοι εἶναι πρὶν ἀπὸ τὴν σταύρωσιν οἱ μαθηταί Του, καὶ ποῖοι θὰ εἶναι μετὰ τὴν σταύρωσιν. Διότι ἐκεῖνοι οἱ ὁποῖοι ὅταν ἐσταυρώνετο δὲν ἠμποροῦσαν οὔτε νὰ σταθοῦν, αὐτοὶ μετὰ τὸν θάνατόν του θὰ γίνουν ὁρμητικοὶ καὶ ἰσχυρότεροι ἀπὸ ἀδάμαντα. Αὐτὸ δὲ τοῦτο τὸ γεγονὸς τῆς φυγῆς τῶν μαθητῶν καὶ τῆς δειλίας των εἶναι ἀπόδειξις τοῦ θανάτου. Διότι ἐάν, ὕστερα ἀπὸ ὅσα ἔγιναν καὶ ἐλέχθησαν, ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι ἀναισχυντοῦν καὶ ἰσχυρίζονται ὅτι δὲν ἐσταυρώθη, ἐὰν δὲν συνέβαινε τίποτε ἀπὸ αὐτά, εἰς ποῖον σημεῖον παρανομίας δὲν θὰ ἔφθαναν; Δι' αὐτὸ ἀκριβῶς πιστοποιεῖ τὸν περὶ τοῦ θανάτου Του λόγον, ὄχι μόνον μὲ τὰ ἰδικά του πάθη, ἀλλὰ καὶ μὲ τὰ πάθη τῶν μαθητῶν Του καὶ μὲ τὰ μυστήρια, καταισχύνων ἀπὸ παντοῦ ἐκείνους οἱ ὁποῖοι κατέχονται ἀπὸ τὴν νόσον τοῦ Μαρκίωνος.

Διὰ τοῦτο ἐπιτρέπει καὶ εἰς τὸν κορυφαῖον ἀπόστολον νὰ τὸν ἀρνηθῇ. Ἐνῷ ἐὰν δὲν εἶχε δεθῇ, οὔτε σταυρωθῇ, ἀπὸ ποῦ προεκλήθη τόσον μεγάλος φόβος καὶ εἰς ἐκεῖνον

λιν μέχρι τῶν σκυθρωπῶν μεῖναι, ἀλλὰ τί φησι; «Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν». Οὐδὲ γὰρ ἀπὸ οὐρανοῦ φαίνεται εὐθέως, οὐδὲ εἰς μακράν τινα χώραν ἄπεισιν, ἀλλ' ἐν αὐτῷ τῷ ἔθνει, ἐν ᾧ καὶ ἐσταυρώθη, ἐν αὐτοῖς σχεδὸν τοῖς χωρίοις, ὥστε καὶ ἐντεῦθεν αὐτοὺς πιστώσασθαι, ὅτι ὁ σταυρωθεὶς αὐτὸς ἦν καὶ ὁ ἀναστάς, καὶ ταύτῃ σκυθρωπάζοντας μειζόνως παραμυθήσασθαι. Διὰ τοῦτο καί, «ἐν τῇ Γαλιλαίᾳ», εἶπεν, ἵνα τοῦ φόβου τῶν Ἰουδαίων ἀπαλλαγέντες, πιστεύσωσι τῷ λεγομένῳ. Διὸ καὶ ἐκεῖ ἐφάνη. «Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν· εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἀλλ' ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι».

3. Τί φής, ὦ Πέτρε; ὁ προφήτης εἶπεν, ὅτι σκορπισθήσεται τὰ πρόβατα· ὁ Χριστὸς ἐβεβαίωσε τὸ εἰρημένον· καὶ σὺ λέγεις, οὐχί; Οὐκ ἀρκεῖ τὰ πρότερα, ὅτε εἶπες, «ἵλεώς σοι», καὶ ἐπεστομίσθης; Διὰ τοῦτο τοίνυν ἀφίησιν αὐτὸν πεσεῖν, παιδεύων αὐτὸν ἐντεῦθεν πάντα πείθεσθαι τῷ Χριστῷ, καὶ τῆς οἰκείας συνειδήσεως πιστοτέραν ἡγεῖσθαι τὴν ἀπόφασιν τὴν αὐτοῦ.

Καὶ οἱ λοιποὶ δὲ οὐ μικρὸν ἐκαρπώσαντο ἀπὸ τῆς ἀρνήσεως τῆς αὐτοῦ, τὴν ἀνθρωπίνην ἀσθένειαν κατανοήσαντες, καὶ τὴν τοῦ Θεοῦ ἀλήθειαν. Ὅταν γὰρ αὐτός τι προείπῃ, οὐκέτι σοφίζεσθαι χρή, οὐδὲ τῶν πολλῶν κατεξανίστασθαι. «Τὸ γὰρ καύχημα», φησίν, «εἰς ἑαυτὸν ἕξεις, καὶ οὐκ εἰς τὸν ἕτερον». Δέον γὰρ δεηθῆναι καὶ εἰπεῖν, βοήθησον ἡμῖν, ὥστε μὴ ἀποσχισθῆναι, ὁ δὲ ἑαυτῷ θαρρεῖ, καί φησι· «καὶ εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἀλλ' ἐγὼ οὐδέποτε»·

---

8. Ζαχ. 13, 7.
9. Ματθ. 16, 22.
10. Γαλ. 6, 4.
11. Μάρκ. 9, 22.

καὶ εἰς τοὺς ὑπολοίπους μαθητάς; Δὲν τοὺς ἄφησεν ὅμως νὰ μείνουν μόνον μὲ αὐτὰ τὰ μελαγχολικά, ἀλλὰ τί τοὺς λέγει; «Μετὰ τὴν ἀνάστασίν μου ὅμως θὰ σᾶς συναντήσω εἰς τὴν Γαλιλαίαν». Οὔτε ἐξ ἄλλου ἐμφανίζεται ἀμέσως ἀπὸ τὸν οὐρανόν, οὔτε πηγαίνει εἰς κάποιαν μακρυνὴν χώραν, ἀλλὰ εἰς τὸ ἴδιον τὸ ἔθνος, εἰς τὸ ὁποῖον ἐσταυρώθη, σχεδὸν εἰς τὰ ἴδια τὰ μέρη, ὥστε καὶ μὲ αὐτὸ νὰ τοὺς βεβαιώσῃ ὅτι αὐτὸς ποὺ ἐσταυρώθη εἶναι καὶ ἐκεῖνος ποὺ ἀνεστήθη, καὶ μὲ τὸν τρόπον αὐτὸν ἐνῷ ἦσαν σκυθρωποὶ νὰ τοὺς παρηγορήσῃ περισσότερον. Δι' αὐτὸ καὶ εἶπεν «εἰς τὴν Γαλιλαίαν», διὰ νὰ πιστεύσουν εἰς αὐτὸ ποὺ τοὺς ἔλεγεν, ἀφοῦ ἀπαλλαγοῦν ἀπὸ τὸν φόβον τῶν Ἰουδαίων. Δι' αὐτὸ καὶ ἐφανερώθη ἐκεῖ. «Ὁ δὲ Πέτρος ἔλαβε τὸν λόγον καὶ εἶπεν· ἐὰν ἀκόμη ὅλοι χάσουν τὴν ἐμπιστοσύνην τους εἰς σέ, ἐγὼ ποτὲ δὲν θὰ τὴν χάσω».

3. Τί λέγεις, Πέτρε; ὁ προφήτης εἶχεν εἴπει ὅτι θὰ σκορπισθοῦν τὰ πρόβατα[8]· ὁ Χριστὸς ἐπιστοποίησεν αὐτὸ ποὺ ἐλέχθη· καὶ σὺ λέγεις ὄχι; Δὲν σοῦ φθάνουν τὰ προηγούμενα, ὅταν εἶπες· «ὁ Θεὸς νὰ σὲ λυπηθῇ» καὶ ἀπεστομώθης;[9] Δι' αὐτὸ λοιπὸν τὸν ἀφήνει νὰ πέσῃ, διὰ νὰ τὸν διδάξῃ μὲ τὸν τρόπον αὐτὸν νὰ πείθεται εἰς ὅλα εἰς τὸν Χριστὸν καὶ νὰ θεωρῇ τὴν ἀπόφασιν Αὐτοῦ περισσότερον ἀξιόπιστον ἀπὸ τὴν ἰδικήν του συνείδησιν.

Καὶ οἱ ὑπόλοιποι μαθηταὶ ὅμως δὲν ὠφελήθησαν ὀλίγον ἀπὸ τὴν ἄρνησιν αὐτοῦ, διότι κατενόησαν τὴν ἀνθρωπίνην ἀδυναμίαν καὶ τὴν ἀλήθειαν τοῦ Θεοῦ. Διότι ὅταν Αὐτὸς προείπῃ κάτι, δὲν πρέπει νὰ ἐκφράζεσαι σοφιστικὰ καὶ νὰ ἀγανακτῇς ἐναντίον τῶν πολλῶν, διότι «ὁ λόγος τῆς καυχήσεως», λέγει, «θὰ εἶναι εἰς τὸν ἑαυτόν σου μόνον καὶ ὄχι ἐν συγκρίσει μὲ ἄλλον»[10]. Διότι πρέπει νὰ παρακαλέσωμεν καὶ νὰ εἴπωμεν «βοήθησέ μας»[11], ὥστε νὰ μὴ ἀποχωρισθῶμεν, ἐνῷ αὐτὸς ἐμπιστεύεται εἰς τὸν ἑαυτόν του καὶ λέγει· «καὶ ἂν ἀκόμη ὅλοι χάσουν τὴν ἐμπιστοσύνην των εἰς σέ, ἐγὼ οὐδέποτε». Καὶ ἂν ἀκόμη αὐτὸ τὸ πάθουν

κἂν πάντες τοῦτο πάθωσι, φησίν, ἐγὼ οὐ πείσομαι· ὅπερ εἰς αὐθάδειαν αὐτὸν ἦγε κατὰ μικρόν.

Τοῦτο τοίνυν καταστεῖλαι βουλόμενος ὁ Χριστός, συνεχώρησε τὴν ἄρνησιν. Ἐπειδὴ γὰρ οὐδὲ αὐτοῦ ἠνέσχετο, οὔτε τοῦ προφήτου· (καίτοι διὰ τοῦτο καὶ τὸν προφήτην ἐπηγάγετο, ἵνα μὴ ἀντείπωσιν)· ἀλλ' ὅμως ἐπειδὴ οὐκ ἠνέσχετο τῶν ῥημάτων, παιδεύεται διὰ τῶν ἔργων. Ὅτι γὰρ διὰ τοῦτο συνεχώρησεν, ἵνα τοῦτο ἐν αὐτῷ κατορθώσῃ, ἄκουσον τί φησιν· «ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ σου ἡ πίστις». Τοῦτο γὰρ σφόδρα αὐτοῦ καθαπτόμενος ἔλεγε, καὶ δηλῶν ὅτι τὸ πτῶμα αὐτοῦ τῶν ἄλλων χαλεπώτερον, καὶ πλείονος δεόμενον βοηθείας. Καὶ γὰρ δύο τὰ ἐγκλήματα ἦν, καὶ ὅτι ἀντεῖπε, καὶ ὅτι τῶν ἄλλων ἑαυτὸν προὔθηκε· μᾶλλον δὲ καὶ τρίτον, ὅτι τὸ πᾶν ἑαυτῷ ἀνέθηκε.

Ταῦτα οὖν ἰώμενος, εἴασε γενέσθαι τὸ πτῶμα· καὶ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἀφείς, πρὸς αὐτὸν ἀποτείνεται. «Σίμων» γάρ, φησί, «Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἠτήσατο ὑμᾶς σινιάσαι ὡς τὸν σῖτον»· τουτέστι, θορυβῆσαι, ταράξαι, πειράσαι· «Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ σου ἡ πίστις». Καὶ διατί, εἰ πάντας ᾐτήσατο, οὐ περὶ πάντων εἶπεν, «ἐδεήθην»; Οὐκ εὔδηλον, ὅτι τοῦτό ἐστιν, ὅπερ ἔμπροσθεν εἶπον, ὅτι καθαπτόμενος αὐτοῦ, καὶ δεικνὺς ὅτι χαλεπώτερον τῶν ἄλλων αὐτοῦ τὸ πτῶμα, πρὸς αὐτὸν πρέπει τὸν λόγον;

Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἐγὼ δὲ οὐκ εἴασα, ἀλλ', «ἐδεήθην»; Ταπεινὰ λοιπὸν φθέγγεται, πρὸς τὸ πάθος ἰών, ἵνα τὸ ἀνθρώπινον δείξῃ. Ὁ γὰρ τὴν ἐκκλησίαν ἐπὶ τῇ ὁμολογίᾳ αὐτοῦ οἰκοδομήσας, καὶ οὕτω τειχίσας αὐτήν, ὡς

---

12. Λουκᾶ 22, 32.
13. Αὐτόθι 31.
14. Αὐτόθι 32.

ὅλοι, λέγει, ἐγὼ δὲν θὰ πεισθῶ, πρᾶγμα τὸ ὁποῖον παρ' ὀλίγον νὰ τὸν ὁδηγήσῃ εἰς αὐθάδειαν.

Θέλων λοιπὸν νὰ συγκρατήσῃ αὐτὸ ὁ Χριστός, συγχωρεῖ τὴν ἄρνησιν. Διότι, ἐπειδὴ δὲν ἐπίστευψεν εἰς Ἐκεῖνον οὔτε εἰς τὸν προφήτην (ἂν καὶ δι' αὐτὸ ἐπρόσθεσε καὶ τὸν προφήτην, διὰ νὰ μὴ ἀντείπουν), ἀλλ' ὅμως ἐπειδὴ δὲν ἐπίστευψεν εἰς τὰ λόγια, διδάσκεται μὲ τὰ ἔργα. Διότι, ὅτι δι' αὐτὸ τὸν συνεχώρησε, διὰ νὰ τὸν πείσῃ περὶ αὐτοῦ, ἄκουσε τί λέγει· «ἐγὼ δὲ προσευχήθηκα δι' ἐσένα, νὰ μὴ χαθῇ ἡ πίστις σου»[12]. Διότι τὸ ἔλεγεν αὐτό, ἀφ' ἑνὸς προσβάλλων αὐτὸν ὑπερβολικά, καὶ ἀφ' ἑτέρου διὰ νὰ δηλώσῃ ὅτι ἡ ἰδική του πτῶσις θὰ εἶναι χειροτέρα καὶ ὅτι ἔχει ἀνάγκην μεγαλυτέρας βοηθείας. Διότι δύο ἦσαν τὰ παραπτώματά του, καὶ ὅτι ἀντιμίλησεν καὶ ὅτι ἐξεχώρισε τὸν ἑαυτόν του ἀπὸ τοὺς ἄλλους· ἢ μᾶλλον καὶ τρίτον παράπτωμα, ὅτι ὅλα τὰ ἀνέθεσεν εἰς τὸν ἑαυτόν του.

Διὰ νὰ θεραπεύσῃ λοιπὸν αὐτά, ἄφησε νὰ γίνῃ ἡ πτῶσις· καὶ δι' αὐτό, ἀφοῦ ἄφησε τοὺς ἄλλους ἀπευθύνεται πρὸς αὐτόν. Διότι λέγει· «Σίμων, Σίμων, νὰ ὁ Σατανᾶς ἐπεξίωξε νὰ σᾶς κοσκινίσῃ ὅπως τὸν σῖτον»[13], δηλαδὴ νὰ σᾶς κάνῃ νὰ ἀνησυχήσετε, νὰ ταραχθῆτε, νὰ σᾶς βάλῃ εἰς πειρασμόν. Ἐγὼ ὅμως προσευχήθηκα δι' ἐσένα, διὰ νὰ μὴ χαθῇ ἡ πίστις»[14]. Καὶ διατί δὲν εἶπε δι' ὅλους «ἐδεήθην», ἐὰν ἐζήτησε δι' ὅλους; Δὲν εἶναι ὁλοφάνερον, ὅτι εἶναι αὐτὸ ποὺ εἶπα προηγουμένως, ἐπειδὴ δηλαδὴ ἤθελε νὰ τὸν προσβάλῃ καὶ νὰ δείξῃ ὅτι ἡ πτῶσις ἡ ἰδική του ἦτο χειροτέρα ἀπὸ τὴν πτῶσιν τῶν ἄλλων, δι' αὐτὸ ἀπευθύνει τὸν λόγον πρὸς αὐτόν;

Καὶ διατί δὲν εἶπεν «ἐγὼ δὲν ἐπέτρεψα», ἀλλὰ λέγει «προσευχήθηκα»; Ὁμιλεῖ μὲ ταπεινοφροσύνην ἐπειδὴ ἔρχεται πρὸς τὸ πάθος, διὰ νὰ δείξῃ τὴν ἀνθρωπίνην φύσιν Του. Διότι πῶς εἶναι δυνατόν, Αὐτὸς ὁ ὁποῖος οἰκοδόμησε τὴν Ἐκκλησίαν ἐπὶ τῆς ὁμολογίας αὐτοῦ καὶ μὲ τὸν τρόπον αὐτὸν τὴν περιετείχισεν ἔτσι ὥστε νὰ μὴ ἠμποροῦν μύ-

μυρίους κινδύνους καὶ θανάτους αὐτῆς μὴ περιγενέσθαι, ὁ τῶν οὐρανῶν αὐτῷ τὰς κλεῖς δεδωκώς, καὶ τοσαύτης ἐξουσίας ποιήσας κύριον, καὶ μηδαμοῦ εὐχῆς εἰς ταῦτα δεηθείς· (οὐδὲ γὰρ εἶπεν, 'ἐδεήθη'· ἀλλὰ μετὰ αὐθεντίας, «Οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ δώσω σοι τὰς κλεῖς τῶν οὐρανῶν»)· πῶς εὐχῆς ἐδεῖτο, ἵνα ἑνὸς ἀνθρώπου σαλευομένην περισφίγξῃ ψυχήν;

Τίνος οὖν ἕνεκεν οὕτως εἶπε; Διὰ τὴν αἰτίαν ἣν εἴρηκα, καὶ διὰ τὴν ἐκείνων δὲ ἀσθένειαν· οὐδέπω γὰρ ἦσαν τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχοντες. Πῶς οὖν ἠρνήσατο; Οὐκ εἶπεν, ἵνα μὴ ἀρνήσῃ, ἀλλ', ὥστε μὴ ἐκλιπεῖν τὴν πίστιν, ὥστε μὴ τέλεον ἀπολέσθαι. Τῆς γὰρ αὐτοῦ κηδεμονίας τοῦτο γέγονε. Καὶ γὰρ ὁ φόβος πάντα ἐξέβαλεν· ἄμετρος γὰρ ἦν· ἄμετρος δὲ ἐγένετο, ἐπειδὴ σφόδρα αὐτὸν ἐγύμνωσεν ὁ Θεὸς τῆς ἑαυτοῦ ῥοπῆς· ἐγύμνωσε δὲ σφόδρα, ἐπειδὴ καὶ σφοδρὸν ἐν αὐτῷ τὸ πάθος ἦν τῆς αὐθαδείας καὶ τῆς ἀντιρρήσεως. Ἵν' οὖν πρόρριζον ἀνέλῃ, διὰ τοῦτο εἴασεν οὕτω κατασχεῖν αὐτὸν τὴν ἀγωνίαν.

Ὅτι γὰρ χαλεπὸν ἦν ἐν αὐτῷ τὸ πάθος τοῦτο, οὐκ ἠρκέσθη τοῖς προτέροις, καὶ προφήτῃ καὶ Χριστῷ ἀντειπών, ἀλλὰ καὶ μετὰ ταῦτα εἰπόντος αὐτῷ τοῦ Χριστοῦ, «Ἀμὴν λέγω σοι, ὅτι ταύτῃ τῇ νυκτί, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με», λέγει· «Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι». Ὁ δὲ Λουκᾶς ἐπισημαίνεται, ὅτι ὅσῳ ἀπηγόρευεν ὁ Χριστός, τοσούτῳ ἠναντιοῦτο ὁ Πέτρος ἐκ περισσοῦ. Τί ταῦτα ὦ Πέτρε; Ὅτε μὲν ἔλεγεν, «Εἷς ἐξ ὑμῶν παραδώσει με», ἐφοβοῦ μὴ σὺ ᾖς ὁ προδότης, καὶ ἠνάγκαζες τὸν μαθητὴν ἐρωτῆσαι, καίτοι οὐδὲν σαυτῷ συνει-

---

15. Ματθ. 16, 19.
16. Λουκᾶ 22, 33.

ριοι κίνδυνοι καὶ θάνατοι νὰ τὴν κυριεύσουν, Αὐτὸς ὁ ὁποῖος τοῦ ἔδωσε τὰ κλειδιὰ τῶν οὐρανῶν καὶ τὸν ἔκαμε κύριον τόσης ἐξουσίας[15], χωρὶς νὰ χρειασθῇ δι' ὅλα αὐτὰ καμμίαν προσευχὴν (διότι δὲν εἶπεν «προσευχήθηκα», ἀλλὰ μὲ κῦρος· «θὰ οἰκοδομήσω τὴν Ἐκκλησίαν μου καὶ θὰ σοῦ δώσω τὰ κλειδιὰ τῶν οὐρανῶν»), πῶς εἶναι δυνατὸν νὰ ἔχῃ ἀνάγκην προσευχῆς, διὰ νὰ στερεώσῃ τὴν ψυχὴν ἑνὸς ἀνθρώπου ποὺ κλονίζεται;

Διατί λοιπὸν ὡμίλησεν ἔτσι; Διὰ τὸν λόγον ποὺ εἶπα καὶ ἐξ αἰτίας τῆς ἀσθενείας ἐκείνων, διότι δὲν εἶχαν ἀκόμη σχηματίσει τὴν ὀρθὴν περὶ Αὐτοῦ γνώμην. Διατί λοιπὸν τὸν ἠρνήθη; Δὲν εἶπε 'διὰ νὰ μὴ μὲ ἀρνηθῇς', ἀλλὰ «διὰ νὰ μὴ σὲ ἐγκαταλείψῃ ἡ πίστις σου», διὰ νὰ μὴ ἀπωλεσθῇ τελείως. Διότι αὐτὸ ἔγινεν ἀπὸ ἐνδιαφέρον δι' αὐτόν. Διότι ὁ φόβος τὰ εἶχεν ἀποβάλει ὅλα, ἐπειδὴ ἦτο ὑπερβολικός. Ἔγινε δὲ ὑπερβολικὸς ἐπειδὴ ὁ Θεὸς τὸν εἶχε τελείως ἀπογυμνώσει ἀπὸ τὴν ἀπόκλισιν ἀπὸ Αὐτόν. Καὶ τὸν ἀπεγύμνωσε τελείως, ἐπειδὴ καὶ τὸ πάθος τῆς αὐθαδείας καὶ ἀντιρρήσεως μέσα του ἦτο ἰσχυρόν. Διὰ νὰ τὸ ξερριζώσῃ σύρριζα, δι' αὐτὸ ἄφησε νὰ τὸν κυριεύσῃ ἡ ἀγωνία τόσον πολύ.

Ἀπόδειξις ὅτι τὸ πάθος αὐτὸ μέσα του ἦτο ἰσχυρόν, φαίνεται ἀπὸ τὸ ὅτι δὲν ἠρκέσθη εἰς τὰ προηγούμενα, μὲ τὰ ὁποῖα ἀντιμίλησε καὶ εἰς τὸν προφήτην καὶ εἰς τὸν Χριστόν, ἀλλὰ καὶ μετὰ ἀπὸ αὐτά, ὅταν τοῦ εἶπεν ὁ Χριστὸς «σοῦ λέγω ἀλήθεια, ὅτι τὴν νύκτα αὐτήν, πρὶν ἀκόμη λαλήσῃ ὁ πετεινός, θὰ μὲ ἀπαρνηθῇς τρεῖς φορές», ἀπαντᾷ· «καὶ ἂν ἀκόμη χρειασθῇ νὰ πεθάνω μαζί σου, δὲν θὰ σὲ ἀπαρνηθῶ». Ὁ Λουκᾶς μάλιστα σημειώνει ἐπιπροσθέτως, ὅτι ὅσον περισσότερον τοῦ ἀπηγόρευεν ὁ Χριστός, τόσον περισσότερον ἀντέλεγεν ὁ Πέτρος[16]. Διατί αὐτά, Πέτρε; Ὅταν μὲν ἔλεγεν· «ἕνας ἀπὸ σᾶς θὰ μὲ παραδώσῃ», ἐφοβεῖσο μήπως εἶσαι σὺ ὁ προδότης καὶ ἐπίεζες τὸν μαθητὴν νὰ ἐρωτήσῃ, ἂν καὶ τίποτε τέτοιο δὲν αἰσθανόσουν μέσα σου. Τώ-

δὼς τοιοῦτον· νυνὶ δὲ διαρρήδην αὐτοῦ βοῶντος καὶ λέγοντος, ὅτι «Πάντες σκανδαλισθήσεσθε», ἀντιλέγεις; καὶ οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ πολλάκις; Τοῦτο γὰρ ὁ Λουκᾶς φησι.

Πόθεν οὖν αὐτῷ τοῦτο συνέβη; Ἀπὸ πολλῆς ἀγάπης, ἀπὸ πολλῆς ἡδονῆς. Ἐπειδὴ γὰρ ἀπηλλάγη τῆς ἀγωνίας ἐκείνης τῆς κατὰ τὴν προδοσίαν, καὶ τὸν προδότην εἶδε, θαρρῶν ἔλεγε λοιπόν, καὶ τῶν ἄλλων κατεξανίστατο λέγων· «Κἂν πάντες σκανδαλισθήσονται, ἀλλ' ἐγὼ οὐ σκανδαλισθήσομαι». Ἠρέμα δὲ καὶ φιλοτιμίας τὸ πρᾶγμα ἦν· καὶ γὰρ ἐν τῷ δείπνῳ, τίς αὐτῶν μείζων ἐστίν, ἐλογίζοντο· οὕτως αὐτοῖς παρηνόχλει τὸ πάθος. Διὰ τοῦτο αὐτὸν ἐκώλυεν, οὐκ ὠθῶν αὐτὸν ἐπὶ τὴν ἄρνησιν· μὴ γένοιτο· ἀλλ' ἔρημον τῆς αὐτοῦ βοηθείας ἀφείς, καὶ τὴν φύσιν ἐλέγχων τὴν ἀνθρωπίνην.

Ὅρα γοῦν μετὰ ταῦτα πῶς κατεσταλμένος ἐστί. Καὶ γὰρ μετὰ τὴν ἀνάστασιν, ἐπειδὴ εἶπεν, «Οὗτος δὲ τί;» καὶ ἐπεστομίσθη, οὐδὲν ἀντειπεῖν λοιπὸν ὡς ἐνταῦθα ἐτόλμησεν, ἀλλ' ἐσίγησε. Πάλιν πρὸς τῇ ἀναλήψει ἀκούσας, «Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς», πάλιν σιγᾷ καὶ οὐκ ἀντιλέγει. Μετὰ ταῦτα ἐπὶ τοῦ δώματος καὶ τῆς σινδόνος, ἀκούσας φωνῆς λεγούσης αὐτῷ, «ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου», καὶ οὐδὲ σαφῶς εἰδὼς τέως τί ποτέ ἐστι τὸ λεγόμενον, ἡσυχάζει καὶ οὐ φιλονεικεῖ.

4. Ταῦτα δὲ πάντα τὸ πτῶμα ἐκεῖνο εἰργάσατο. Καὶ πρὸ μὲν τούτου τὸ πᾶν ἑαυτῷ ἀνατίθησι, λέγων· «κἂν πάντες σκανδαλισθήσονται, ἀλλ' ἐγὼ οὐ σκανδαλισθήσομαι»· «κἂν δέῃ με ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι»· δέον εἰπεῖν, ἂν ἀπολαύσω τῆς παρὰ σοῦ ῥοπῆς. Μετὰ δὲ ταῦτα τοὐναντίον ἅπαν· «τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιη-

17. Ἰω. 21, 22.
18. Πράξ. 1, 7.
19. Πράξ. 10, 15.

ρα δὲ ποὺ Αὐτὸς φωνάζει ἀπερίφραστα καὶ λέγει ὅτι «ὅλων ἡ ἐμπιστοσύνη θὰ κλονισθῇ» ἀντιλέγεις; Καὶ μάλιστα ὄχι μίαν μόνον φοράν, ἀλλὰ καὶ δύο καὶ περισσοτέρας; Διότι αὐτὸ λέγει ὁ Λουκᾶς.

Ἀπὸ ποῦ λοιπὸν τοῦ συνέβη αὐτό; Ἀπὸ τὴν πολλὴν ἀγάπην, ἀπὸ τὴν πολλὴν χαράν. Διότι, ἐπειδὴ ἀπηλλάγη ἀπὸ τὴν ἀγωνίαν ἐκείνην τὴν σχετικὴν μὲ τὴν προδοσίαν καὶ εἶδε τὸν προδότην, ἀπὸ θάρρος ὡμιλοῦσε καὶ ἀγανακτοῦσεν ἐναντίον τῶν ἄλλων, ὅταν ἔλεγε «καὶ ἂν ἀκόμη ὅλων ἡ ἐμπιστοσύνη κλονισθῇ, ἡ ἰδική μου δὲν θὰ κλονισθῇ». Τὸ θέμα ἦτο θέμα ἠρεμίας καὶ φιλοτιμίας· διότι καὶ εἰς τὸ Δεῖπνον ἐσκέπτοντο ποῖος ἀπὸ αὐτοὺς εἶναι ἀνώτερος· τόσον πολὺ τοὺς ἀπησχόλει τὸ πάθος. Δι' αὐτὸ τὸν ἐμπόδιζεν, χωρὶς νὰ τὸν ὠθῇ πρὸς τὴν ἄρνησιν, μὴ γένοιτο, ἀλλὰ ἀφήνοντάς τον χωρὶς τὴν βοήθειάν Του καὶ ἐλέγχων τὴν ἀνθρωπίνην φύσιν.

Βλέπε λοιπὸν πόσον συγκρατημένος εἶναι μετὰ ἀπὸ αὐτά. Διότι ὅταν μετὰ τὴν Ἀνάστασιν εἶπεν· «εἰς αὐτὸν τί θὰ συμβῇ;»[17] καὶ ἀπεστομώθη, τίποτε δὲν ἐτόλμησε νὰ ἀντείπῃ, ὅπως κάνει ἐδῶ, ἀλλὰ ἐσιώπησεν. Ἐπίσης κατὰ τὴν Ἀνάληψιν, ὅταν ἤκουσεν «δὲν εἶναι ἰδική σας ὑπόθεσις νὰ γνωρίζετε τοὺς χρόνους ἢ τοὺς καιρούς»[18], πάλιν σιωπᾷ καὶ δὲν ἀντιλέγει. Καὶ ἀργότερα, ὅταν ἐπάνω εἰς τὸ δῶμα μὲ τὸ ὅραμα τῆς σινδόνος ἤκουσε φωνὴν ἡ ὁποία τοῦ ἔλεγεν· «ἐκεῖνα ποὺ ὁ Θεὸς τὰ ἐκαθάρισε, σὺ μὴ τὰ θεωρῇς ἀκάθαρτα»[19], χωρὶς μάλιστα νὰ γνωρίζῃ σαφῶς τί ἀκριβῶς σημαίνει αὐτὸ ποὺ λέγεται, ἡσυχάζει καὶ δὲν φιλονεικεῖ.

4. Ὅλα αὐτὰ δὲ τὰ ἔκαμεν ἐκείνη ἡ πτῶσις. Καὶ πρὶν μὲν ἀπὸ αὐτήν, ὅλα τὰ ἀναθέτει εἰς τὸν ἑαυτόν του λέγων· «καὶ ἂν ἀκόμη ὅλων ἡ ἐμπιστοσύνη κλονισθῇ, ἡ ἰδική μου δὲν θὰ κλονισθῇ· καὶ ἂν ἀκόμη χρειασθῇ νὰ ἀποθάνω, δὲν θὰ Σὲ ἀπαρνηθῶ»· ἔπρεπε νὰ εἰπῇ· 'ἐὰν θὰ ἔχω τὴν ἰδικήν Σου συγκατάνευσιν'. Μετὰ ὅμως ἀπὸ τὰ γεγονότα αὐτὰ ἐντελῶς τὸ ἀντίθετον· «διατί ἔχετε προσηλωμένον τὸ βλέμμα

κόσι τοῦ περιπατεῖν αὐτόν;». Ἐντεῦθεν μανθάνομεν δόγμα μέγα, ὡς οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ τῆς ἄνωθέν τις ἀπολαύσῃ ῥοπῆς· καὶ ὅτι πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης.

Καὶ ταῦτα ἀμφότερα δείκνυσιν Ἰούδας καὶ Πέτρος· ὁ μὲν γὰρ πολλῆς ἀπολαύσας βοηθείας, οὐδὲν ὠφελήθη, ἐπειδὴ μὴ ἠθέλησε, μηδὲ τὰ παρ' ἑαυτοῦ συνεισήνεγκεν· οὗτος δὲ καὶ προθυμηθείς, ἐπειδὴ μηδεμιᾶς ἀπήλαυσε βοηθείας, κατέπεσε. Καὶ γὰρ ἀπὸ δυοῖν τούτων ἡ ἀρετὴ ὑφαίνεται. Διὸ παρακαλῶ, μήτε τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντας, αὐτοὺς καθεύδειν, μήτε σπουδάζοντας, νομίζειν οἰκείοις πόνοις τὸ πᾶν κατορθοῦν.

Οὔτε γὰρ ὑπτίους ἡμᾶς αὐτοὺς εἶναι βούλεται ὁ Θεός· διὰ τοῦτο οὐ τὸ πᾶν αὐτὸς ἐργάζεται· οὔτε ἀλαζόνας· διὰ τοῦτο οὐ τὸ πᾶν ἡμῖν ἔδωκεν· ἀλλ' ἑκατέρου τὸ βλαβερὸν ἀνελών, τὸ χρήσιμον ἡμῖν εἴασε. Διὰ τοῦτο καὶ τὸν κορυφαῖον ἀφῆκε πεσεῖν, συνεσταλμένον τε αὐτὸν κατασκευάζων, καὶ εἰς πλείονα λοιπὸν ἀγάπην ἀλείφων. «Ὧ γὰρ πλέον», φησίν, «ἀφείθη, μειζόνως ἀγαπήσει».

Πειθώμεθα τοίνυν πανταχοῦ τῷ Θεῷ, καὶ μηδὲν ἀντιλέγωμεν, κἂν ἐναντίον εἶναι δοκῇ τοῖς ἡμετέροις λογισμοῖς καὶ ταῖς ὄψεσι τὸ λεγόμενον· ἀλλ' ἔστω καὶ λογισμῶν καὶ ὄψεως κυριώτερος αὐτοῦ ὁ λόγος. Οὕτω καὶ ἐπὶ τῶν μυστηρίων ποιῶμεν, οὐ τοῖς κειμένοις μόνον ἐμβλέποντες, ἀλλὰ τὰ ῥήματα αὐτοῦ κατέχοντες. Ὁ μὲν γὰρ λόγος αὐτοῦ ἀπαραλόγιστος· ἡ δὲ αἴσθησις ἡμῶν εὐεξαπάτητος. Οὗτος οὐδέποτε διέπεσεν· αὕτη δὲ τὰ πλείονα σφάλλεται.

Ἐπεὶ οὖν ὁ λόγος φησί, «τοῦτό ἐστι τὸ σῶμά μου», καὶ

20. Πράξ. 3, 12.
21. Λουκᾶ 7, 43.

σας εἰς ἐμᾶς, ὡσὰν νὰ τὸν εἴχαμεν κάμει νὰ περιπατῇ μὲ ἰδικήν μας δύναμιν ἢ εὐσέβειαν;»[20]. Ἀπὸ ἐδῶ μαθαίνομεν μίαν μεγάλην ἀλήθειαν, ὅτι δὲν ἀρκεῖ ἡ προθυμία τοῦ ἀνθρώπου, ἐὰν κανεὶς δὲν ἔχῃ τὴν ἄνωθεν συγκατάνευσιν· καὶ ὅτι ἐπίσης τίποτε δὲν θὰ κερδήσωμεν ἀπὸ τὴν ἄνωθεν συγκατάνευσιν, ἐὰν δὲν ὑπάρχῃ προθυμία.

Καὶ τὰ δύο αὐτὰ τὰ δείχνουν ὁ Ἰούδας καὶ ὁ Πέτρος· διότι ἐκεῖνος μέν, ἂν καὶ ἐβοηθήθη πολύ, τίποτε δὲν ὠφελήθη, ἐπειδὴ δὲν ἠθέλησεν, οὔτε προσέφερεν ὅ,τι ἐξηρτᾶτο ἀπὸ αὐτόν· αὐτὸς ὅμως, ἂν καὶ ἔδειξε προθυμίαν, κατέπεσεν ἐπειδὴ δὲν ἔτυχε καμμιᾶς βοηθείας. Διότι πράγματι ἀπὸ τὰ δύο αὐτὰ συνίσταται ἡ ἀρετή. Δι' αὐτὸ παρακαλῶ, οὔτε νὰ ἐπαναπαύεσθε ἀναθέτοντες τὰ πάντα εἰς τὸν Θεόν, οὔτε νὰ καταβάλετε προσπάθειαν, νομίζοντες ὅτι μὲ τοὺς κόπους σας θὰ κατορθώσετε τὰ πάντα.

Διότι οὔτε ἐξαπλωμένοι νὰ εἴμαστε θέλει ὁ Θεός, δι' αὐτὸ καὶ δὲν κάνει τὰ πάντα Ἐκεῖνος· οὔτε ὑπερόπται, δι' αὐτὸ δὲν μᾶς τὰ ἔδωσεν ὅλα· ἀλλὰ ἀπὸ τὸ καθένα, ἀφοῦ κατήργησεν ὅ,τι βλαβερὸν ὑπῆρχεν, ἄφησεν εἰς ἡμᾶς τὸ χρήσιμον. Δι' αὐτὸ καὶ ἄφησε τὸν κορυφαῖον νὰ πέσῃ· καὶ διὰ νὰ τὸν κάμῃ συγκρατημένον καὶ διότι τὸν προητοίμαζε διὰ μεγαλυτέραν ἀγάπην. Διότι λέγει· «ἐκεῖνος εἰς τὸν ὁποῖον ἐχάρισε τὰ περισσότερα, θὰ ἀγαπήσῃ πιὸ πολύ»[21].

Ἂς πειθώμεθα λοιπὸν παντοῦ εἰς τὸν Θεὸν καὶ τίποτε νὰ μὴ ἀντιλέγωμεν, ἔστω καὶ ἂν φαίνεται ὅτι εἶναι ἀντίθετον πρὸς τὰς ἰδικάς μας σκέψεις καὶ βλέψεις αὐτὸ τὸ ὁποῖον λέγεται· ἀλλὰ ὁ λόγος Αὐτοῦ ἂς εἶναι ἐπικρατέστερος καὶ ἀπὸ ὅ,τι σκεπτόμεθα καὶ ἀπὸ ὅ,τι βλέπομεν. Ἔτσι ἂς κάνωμεν καὶ εἰς τὰ μυστήρια. Νὰ μὴ προσέχωμεν μόνον αὐτὰ τὰ ὁποῖα γίνονται, ἀλλὰ νὰ κατανοοῦμεν καὶ τοὺς λόγους αὐτῶν. Διότι ὁ μὲν λόγος τοῦ μυστηρίου δὲν παραλογίζεται, ἐνῷ ἡ αἴσθησίς μας εἶναι εὐέξαπτος. Αὐτὸς οὐδέποτε ἔσφαλεν· ἐνῷ αὐτὴ εἰς τὰ περισσότερα κάνει σφάλματα.

Ὅταν λοιπὸν ὁ λόγος λέγῃ· «αὐτὸ εἶναι τὸ σῶμά μου»,

πειθώμεθα καὶ πιστεύωμεν, καὶ νοητοῖς αὐτὸ βλέπωμεν ὀφθαλμοῖς. Οὐδὲν γὰρ αἰσθητὸν παρέδωκεν ἡμῖν ὁ Χριστός· ἀλλ' ἐν αἰσθητοῖς μὲν πράγμασι, πάντα δὲ νοητά. Οὕτω καὶ ἐν τῷ βαπτίσματι, δι' αἰσθητοῦ μὲν πράγματος γίνεται τοῦ ὕδατος τὸ δῶρον, νοητὸν δὲ τὸ ἀποτελούμενον, ἡ γέννησις καὶ ἡ ἀνακαίνισις. Εἰ μὲν γὰρ ἀσώματος ἦς, γυμνὰ ἂν αὐτά σοι τὰ ἀσώματα παρέδωκε δῶρα· ἐπειδὴ δὲ σώματι συμπέπλεκται ἡ ψυχή, ἐν αἰσθητοῖς τὰ νοητά σοι παραδίδωσι.

Πόσοι νῦν λέγουσιν, ἐβουλόμην αὐτοῦ τὴν μορφὴν ἰδεῖν, τὸν τύπον, τὰ ἱμάτια, τὰ ὑποδήματα. Ἰδοὺ αὐτὸν ὁρᾷς, αὐτοῦ ἅπτῃ, αὐτὸν ἐσθίεις. Καὶ σὺν μὲν ἱμάτια ἐπιθυμεῖς ἰδεῖν· αὐτὸς δὲ ἑαυτόν σοι δίδωσιν, οὐκ ἰδεῖν μόνον, ἀλλὰ καὶ ἅψασθαι, καὶ φαγεῖν, καὶ λαβεῖν ἔνδον.

Μηδεὶς τοίνυν ναυτιῶν προσίτω, μηδεὶς ἐκλελυμένος· ἅπαντες πεπυρωμένοι, ἅπαντες ζέοντες καὶ διεγηγερμένοι. Εἰ γὰρ Ἰουδαῖοι ἑστῶτες, καὶ τὰ ὑποδήματα καὶ τὰς βακτηρίας ἔχοντες ἐν ταῖς χερσίν, ἤσθιον μετὰ σπουδῆς, πολλῷ μᾶλλον σὲ νήφειν δεῖ. Ἐκεῖνοι μὲν γὰρ εἰς Παλαιστίνην ἔμελλον ἐξιέναι, διὸ καὶ ὁδοιπόρων σχῆμα εἶχον σὺ δὲ εἰς τὸν οὐρανὸν μέλλεις ἀποδημεῖν.

5. Διὸ χρὴ πάντοθεν ἐγρηγορέναι· καὶ γὰρ οὐ μικρὰ κεῖται κόλασις τοῖς ἀναξίως μετέχουσιν. Ἐννόησον πῶς ἀγανακτεῖς κατὰ τοῦ προδότου, κατὰ τῶν σταυρωσάντων. Σκόπει τοίνυν, μὴ καὶ αὐτὸς ἔνοχος γένῃ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. Ἐκεῖνοι κατέσφαξαν τὸ πανάγιον σῶμα, σὺ δὲ ῥυπαρᾷ ὑποδέχῃ ψυχῇ μετὰ τοσαύτας εὐεργεσίας. Οὐδὲ γὰρ ἤρκεσεν αὐτῷ τὸ γενέσθαι ἄνθρωπον, τὸ ῥαπισθῆναι καὶ σφαγῆναι, ἀλλὰ καὶ ἀναφύρει ἑαυτὸν ἡμῖν· καὶ οὐ τῇ

22. Ἐξ. 12, 11.

ἂς πειθώμεθα καὶ ἂς πιστεύωμεν καὶ ἂς τὸ βλέπωμεν μὲ τοὺς νοητοὺς ὀφθαλμούς μας. Διότι τίποτε τὸ αἰσθητὸν δὲν μᾶς παρέδωκεν ὁ Χριστός· ἀλλὰ μὲ αἰσθητὰ μὲν πράγματα, ὅλα ὅμως νοητά. Ἔτσι καὶ εἰς τὸ Βάπτισμα, ἡ μὲν δωρεὰ τοῦ ὕδατος γίνεται μὲ αἰσθητὸν πρᾶγμα, ἀλλὰ τὸ συντελούμενον, δηλαδὴ ἡ ἀναγέννησις καὶ ἀνακαίνισις, εἶναι νοητόν. Διότι, ἐὰν μὲν ἤσουν ἀσώματος, γυμνὰ θὰ σοῦ παρέδιδε τὰ ἀσώματα αὐτὰ δῶρα. Ἐπειδὴ ὅμως ἡ ψυχὴ εἶναι στενὰ συνδεδεμένη μὲ τὸ σῶμα, μὲ αἰσθητὰ πράγματα σοῦ παραδίδει τὰ νοητά.

Πόσοι τώρα λέγουν· 'ἤθελα νὰ ἰδῶ τὴν μορφήν Του, τὰ χαρακτηριστικά Του, τὰ ἐνδύματα, τὰ ὑποδήματα'! Νά, τὸν βλέπεις, τὸν ἐγγίζεις, τὸν τρώγεις. Καὶ σὺ μὲν ἐπιθυμεῖς νὰ ἰδῇς ἐνδύματα, ἐνῷ αὐτὸς σοῦ δίδει τὸν ἑαυτόν Του, ὄχι μόνον νὰ τὸν ἰδῇς, ἀλλὰ καὶ νὰ τὸν πιάσῃς καὶ νὰ τὸν φάγῃς καὶ νὰ τὸν πάρῃς μέσα σου.

Κανεὶς λοιπὸν ἂς μὴ προσέρχεται κυριευμένος ἀπὸ ναυτίαν, κανεὶς διαλελυμένος· ὅλοι πυρακτωμένοι, ὅλοι ὑπέρθερμοι καὶ τονωμένοι. Διότι, ἐὰν οἱ Ἰουδαῖοι ἔτρωγαν μὲ βιασύνην ὄρθιοι, ἔχοντες εἰς τὰς χεῖράς των τὰ ὑποδήματα καὶ τὰς βακτηρίας[22], πόσον μᾶλλον πρέπει σὺ νὰ εἶσαι νηφάλιος. Διότι ἐκεῖνοι μὲν ἐπρόκειτο νὰ μεταβοῦν εἰς τὴν Παλαιστίνην, δι' αὐτὸ καὶ εἶχαν ἐμφάνισιν ὁδοιπόρων, σὺ ὅμως πρόκειται νὰ ἀποδημήσῃς εἰς τὸν οὐρανόν.

5. Δι' αὐτὸ πρέπει ἀπὸ παντοῦ νὰ γρηγορῶμεν· διότι δὲν εἶναι μικρὰ ἡ τιμωρία δι' ὅσους μετέχουν εἰς τὰ μυστήρια ἀναξίως. Σκέψου πῶς ἀγανακτεῖς ἐναντίον τοῦ προδότου, ἐναντίον ἐκείνων ποὺ τὸν ἐσταύρωσαν. Πρόσεξε ὅμως μήπως καὶ σὺ γίνῃς ἔνοχος τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. Ἐκεῖνοι κατέσφαξαν τὸ πανάγιον σῶμα, σὺ δὲ τὸ δέχεσαι μὲ ἀκάθαρτον ψυχὴν ὕστερα ἀπὸ τόσας εὐεργεσίας. Οὔτε βεβαίως τοῦ ἤρεσε νὰ γίνῃ ἄνθρωπος, νὰ ραπισθῇ καὶ νὰ σφαγῇ, ἀλλὰ καὶ νὰ συμφύρῃ τὸν ἑαυτόν Του

πίστει μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ πράγματι σῶμα ἡμᾶς αὐτοῦ κατασκευάζει.

Τίνος οὖν οὐκ ἔδει καθαρώτερον εἶναι τὸν ταύτης ἀπολαύοντα τῆς θυσίας; ποίας ἡλιακῆς ἀκτῖνος τὴν χεῖρα τὴν ταύτην διατέμνουσαν τὴν σάρκα, τὸ στόμα τὸ πληρούμενον πυρὸς πνευματικοῦ, τὴν γλῶσσαν τὴν φοινισσομένην αἵματι φρικωδεστάτῳ; Ἐννόησον ποίαν ἐτιμήθης τιμήν· ποίας ἀπολαύεις τραπέζης. Ὅπερ ἄγγελοι βλέποντες φρίττουσι, καὶ οὐδὲ ἀντιβλέψαι τολμῶσιν ἀδεῶς διὰ τὴν ἐκεῖθεν φερομένην ἀστραπήν, τούτῳ ἡμεῖς τρεφόμεθα, τούτῳ ἀναφυρόμεθα, καὶ γεγόναμεν ἡμεῖς Χριστοῦ σῶμα ἓν καὶ σὰρξ μία. «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;».

Τίς ποιμὴν τοῖς οἰκείοις μέλεσι τρέφει τὰ πρόβατα; Καὶ τί λέγω ποιμήν; Μητέρες πολλάκις εἰσί, καὶ μετὰ τὰς ὠδίνας ἑτέραις ἐκδιδόασι τροφοῖς τὰ παιδία· αὐτὸς δὲ τοῦτο οὐκ ἠνέσχετο, ἀλλ' αὐτὸς ἡμᾶς τρέφει οἰκείῳ αἵματι, καὶ διὰ πάντων ἡμᾶς ἑαυτῷ συμπλέκει. Σκόπει δέ· ἐγεννήθη ἐκ τῆς ἡμετέρας οὐσίας. Ἀλλ' οὐδὲν τοῦτο πρὸς πάντας, φησί· καίτοιγε πρὸς πάντας. Εἰ γὰρ πρὸς τὴν φύσιν ἦλθε τὴν ἡμετέραν, εὔδηλον ὅτι πρὸς πάντας· εἰ δὲ πρὸς πάντας, καὶ πρὸς ἕνα ἕκαστον. Καὶ πῶς ἅπαντες οὐκ ἐκαρπώσαντο τὸ ἐντεῦθεν κέρδος; φησί.

Τοῦτο οὐ παρ ἐκεῖνον τὸν ὑπὲρ ἁπάντων τοῦτο ἑλόμενον, ἀλλὰ παρὰ τοὺς μὴ βουληθέντας. Ἑνὶ ἑκάστῳ τῶν πιστῶν ἀναμίγνυσιν ἑαυτὸν διὰ τῶν μυστηρίων· καὶ οὓς ἐγέννησεν, ἐκτρέφει δι' ἑαυτοῦ, καὶ οὐκ ἄλλῳ ἐκδίδωσι, καὶ τούτῳ σε πείθων πάλιν, ὅτι σάρκα ἔλαβε τὴν σήν. Μὴ τοίνυν ῥαθυμῶ-

23. Ψαλμ. 105, 2.

μαζί μας. Καὶ ὄχι μόνον μὲ τὴν πίστιν, ἀλλὰ καὶ εἰς τὴν πραγματικότητα μᾶς κάμνει σῶμα ἰδικόν Του.

Διατί λοιπὸν δὲν ἔπρεπε νὰ εἶναι καθαρώτερος ἐκεῖνος ὁ ὁποῖος ἀπολαμβάνει αὐτὴν τὴν θυσίαν; Ἀπὸ ποίαν ἡλιακὴν ἀκτῖνα (δὲν πρέπει νὰ εἶναι καθαρώτερο) τὸ χέρι τὸ ὁποῖο κατακόπτει αὐτὴν τὴν σάρκα, τὸ στόμα τὸ ὁποῖον γεμίζει μὲ πῦρ πνευματικόν, ἡ γλῶσσα ἡ ὁποία κοκκινίζει μὲ τὸ πιὸ φρικτὸν αἷμα; Σκέψου ποίας τιμῆς ἠξιώθης; ποίαν τράπεζαν ἀπολαμβάνεις! Ἐκεῖνο τὸ ὁποῖον οἱ ἄγγελοι ὅταν τὸ βλέπουν φρίττουν καὶ δὲν τολμοῦν νὰ τὸ ἀτενίσουν χωρὶς δέος, ἐξ αἰτίας τῆς λάμψεως ἡ ὁποία ἐκπέμπεται ἀπὸ ἐκεῖ, μὲ αὐτὸ ἐμεῖς τρεφόμεθα, μὲ αὐτὸ συμφυρόμεθα καὶ ἔχομεν γίνει ἐμεῖς ἕνα σῶμα Χριστοῦ καὶ μία σάρκα. «Ποῖος θὰ διαλαλήσῃ τὰς ἐξουσίας τοῦ Κυρίου; Ποῖος θὰ κάμῃ νὰ ἀκουσθοῦν ὅλαι αἱ δοξολογίαι Του;»[23].

Ποῖος ποιμὴν τρέφει τὰ πρόβατα μὲ τὰ ἰδικά του μέλη; Καὶ διατί λέγω ποιμήν; Ὑπάρχουν πολλαὶ μητέρες, αἱ ὁποῖαι μετὰ τοὺς πόνους τοῦ τοκετοῦ δίνουν τὰ παιδιά τους εἰς ἄλλας τροφούς· ἐνῷ Ἐκεῖνος αὐτὸ δὲν τὸ ἀνέχεται, ἀλλὰ μᾶς τρέφει ὁ ἴδιος μὲ τὸ ἰδικόν του αἷμα καὶ εἰς ὅλα μᾶς συνδέει ἄρρηκτα μὲ τὸν ἑαυτόν του. Πρόσεξε δέ· ἐγεννήθη ἀπὸ τὴν ἰδικήν μας οὐσίαν. Ἀλλ' αὐτὸ δὲν ἔγινε δι' ὅλους, λέγει, ἂν καὶ ἀπευθύνεται πρὸς ὅλους. Διότι ἐὰν ἦλθεν εἰς τὴν ἰδικήν μας φύσιν, εἶναι φανερὸν ὅτι ἦλθε πρὸς ὅλους. Ἐὰν δὲ ἦλθε πρὸς ὅλους, ἄρα καὶ πρὸς τὸν καθένα χωριστά. Πῶς λοιπὸν δὲν ἐπωφελήθησαν ὅλοι τὸ κέρδος ποὺ προέκυψεν ἀπὸ ἐδῶ; λέγει.

Αὐτὸ δὲν ὀφείλεται εἰς Ἐκεῖνον ὁ ὁποῖος τὸ προτιμᾷ δι' ὅλους, ἀλλὰ εἰς ἐκείνους οἱ ὁποῖοι δὲν θέλουν. Ἐκεῖνος συμφύρει τὸν ἑαυτόν Του μὲ τὸν καθένα διὰ τῶν μυστηρίων· καὶ ἐκείνους ποὺ ἐγέννησε τοὺς ἐκτρέφει μὲ τὸν ἑαυτόν Του καὶ δὲν τοὺς δίδει εἰς ἄλλον καὶ μὲ αὐτὸ πάλιν διὰ νὰ σὲ πείσῃ ὅτι ἔλαβε τὴν ἰδικήν σου σάρκα. Ἂς μὴ δείχνωμεν λοιπὸν ραθυμίαν, ἀφοῦ ἔχωμεν ἀξιωθῆ τόσης ἀ-

μεν, τοσαύτης ἠξιωμένοι ἀγάπης τε καὶ τιμῆς. Οὐχ ὁρᾶτε τὰ παιδία μεθ' ὅσης προθυμίας δράσσεται τοῦ μαστοῦ; μεθ' ὅσης ὁρμῆς ἐμπήγνυσι τῇ θηλῇ τὰ χείλη;

Μετὰ τοσαύτης προσίωμεν καὶ ἡμεῖς τῇ τραπέζῃ ταύτῃ, καὶ τῇ θηλῇ τοῦ ποτηρίου τοῦ πνευματικοῦ· μᾶλλον δὲ μετὰ πολλῷ πλείονος ἑλκύσωμεν, ὡς παιδία ὑπομάζια, τοῦ πνεύματος τὴν χάριν· καὶ μία ἡμῖν ἔστω ὀδύνη, τὸ μὴ μετασχεῖν ταύτης τῆς τροφῆς. Οὐκ ἔστιν ἀνθρωπίνης δυνάμεως ἔργα τὰ προκείμενα. Ὁ τότε ταῦτα ποιήσας ἐν ἐκείνῳ τῷ δείπνῳ, οὗτος καὶ νῦν αὐτὰ ἐργάζεται. Ἡμεῖς ὑπηρετῶν τάξιν ἐπέχομεν· ὁ δὲ ἁγιάζων αὐτὰ καὶ μετασκευάζων, αὐτός.

Μηδεὶς τοίνυν Ἰούδας παρέστω, μηδεὶς φιλάργυρος. Εἴ τις μὴ μαθητής, παραχωρείτω· οὐ δέχεται τοὺς τοιούτους ἡ τράπεζα. «Μετὰ γὰρ τῶν μαθητῶν μου», φησί, «ποιῶ τὸ Πάσχα». Αὕτη ἐκείνη ἐστὶν ἡ τράπεζα, καὶ οὐδὲν ἔλαττον ἔχει. Οὐ γὰρ ἐκείνην μὲν ὁ Χριστός, ταύτην δὲ ἄνθρωπος δημιουργεῖ· ἀλλὰ καὶ ταύτην αὐτός. Τοῦτο ἐκεῖνο τὸ ἀνώγεων, ἔνθα τότε ἦσαν· ἐντεῦθεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν ἐξῆλθον.

Ἐξέλθωμεν καὶ ἡμεῖς ἐπὶ τὰς χεῖρας τῶν πενήτων· τοῦτο γὰρ ὄρος τῶν ἐλαιῶν τὸ χωρίον. Ἐλαῖαι γάρ εἰσι καταπεφυτευμέναι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ τῶν πενήτων τὸ πλῆθος, ἀποστάζουσαι τὸ ἔλαιον τὸ ἐκεῖ χρησιμεῦον ἡμῖν, ὃ αἱ πέντε παρθένοι εἶχον· αἱ δὲ ἑτέραι μὴ λαβοῦσαι ἐντεῦθεν ἀπώλοντο. Τοῦτο λαβόντες εἰσίωμεν, ἵνα φαιδραῖς ἀπαντήσωμεν ταῖς λαμπάσι τῷ νυμφίῳ· τοῦτο λαβόντες ἐξέλθωμεν ἐντεῦθεν. Μηδεὶς ἀπάνθρωπος προσίτω, μηδεὶς ὠμὸς καὶ ἀνελεής, μηδεὶς ὅλως ἀκάθαρτος.

6. Ταῦτα πρὸς ὑμᾶς τοὺς μεταλαμβάνοντας λέγω, καὶ

γάπης καὶ τιμῆς. Δὲν βλέπετε τὰ βρέφη μὲ πόσην προθυμίαν ἁρπάζουν τὸν μαστόν; Μὲ πόσην ὁρμὴν μπήγουν τὰ χείλη τους εἰς τὴν θηλήν;

Μὲ τόσον μεγάλην προθυμίαν ἂς προσερχώμεθα καὶ ἐμεῖς εἰς τὴν τράπεζαν αὐτὴν καὶ εἰς τὴν θηλὴν τοῦ πνευματικοῦ ποτηρίου ἢ μᾶλλον, μὲ πολὺ πιὸ μεγάλην προθυμίαν ἂς ἑλκύσωμεν, ὡσὰν θηλάζοντα νήπια, τὴν χάριν τοῦ Πνεύματος. Καὶ μία δι' ἡμᾶς ἂς ὑπάρχῃ θλῖψις, τὸ νὰ μὴ μετέχωμεν εἰς τὴν τροφὴν αὐτήν. Δὲν εἶναι ἔργα ἀνθρωπίνης δυνάμεως ὅσα προτίθενται. Ἐκεῖνος ὁ ὁποῖος ἔκαμεν αὐτὰ τότε εἰς ἐκεῖνο τὸ Δεῖπνον, αὐτὸς τελεῖ καὶ τώρα τὰ μυστήρια αὐτά. Ἐμεῖς ἐπέχομεν θέσιν ὑπηρετῶν· ἐνῷ ἐκεῖνος ποὺ τὰ ἁγιάζει καὶ τὰ μεταβάλλει εἶναι Αὐτός.

Ἂς μὴ εἶναι λοιπὸν κανεὶς Ἰούδας παρών, κανεὶς φιλάργυρος. Ἐὰν κανεὶς δὲν εἶναι μαθητὴς Ἐκείνου, ἂς ἀποχωρήσῃ· δὲν τοὺς δέχεται αὐτοὺς ἡ τράπεζα. Διότι «μαζὶ μὲ τοὺς μαθητάς μου ἑορτάζω τὸ Πάσχα», λέγει. Ἡ τράπεζα αὐτὴ εἶναι ἡ ἰδία ἐκείνη καὶ δὲν ἔχει τίποτε τὸ ὑποδεέστερον. Διότι ἐκείνην δὲν τὴν δημιουργεῖ ὁ Χριστὸς καὶ αὐτὴν ἄνθρωπος· ἀλλὰ καὶ αὐτὴν ὁ Ἴδιος. Αὐτὸ εἶναι ἐκεῖνο τὸ ὑπερῷον, ὅπου ἦσαν τότε συγκεντρωμένοι. Ἀπὸ ἐδῶ ἐξῆλθαν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν.

Ἂς ἐξέλθωμεν καὶ ἡμεῖς εἰς τὰς χεῖρας τῶν πτωχῶν· διότι αὐτὸς ὁ τόπος εἶναι τὸ ὄρος τῶν Ἐλαιῶν. Διότι εἰς τὸν οἶκον τοῦ Θεοῦ τὸ πλῆθος τῶν πτωχῶν εἶναι ἐλαιόδενδρα φυτευμένα, τὰ ὁποῖα ἀποστάζουν τὸ λάδι ποὺ θὰ μᾶς χρησιμεύσῃ ἐκεῖ, αὐτὸ ποὺ εἶχαν καὶ αἱ πέντε παρθένοι· ἐνῷ αἱ ἄλλαι ἐπειδὴ δὲν τὸ εἶχαν πάρει ἀπὸ ἐδῶ ἐχάθησαν. Ἀφοῦ πάρωμεν αὐτὸ τὸ ἔλαιον ἂς εἰσέλθωμεν, διὰ νὰ προϋπαντήσωμεν μὲ ἀναμμένας τὰς λαμπάδας τὸν Νυμφίον· ἀφοῦ πάρωμεν αὐτὸ ἂς ἐξέλθωμεν ἀπὸ ἐδῶ. Κανεὶς ἀπάνθρωπος ἂς μὴ προσέλθῃ, κανεὶς σκληρὸς καὶ ἀνελέητος, κανεὶς τελείως ἀκάθαρτος.

6. Αὐτὰ τὰ λέγω εἰς σᾶς ποὺ μεταλαμβάνετε καὶ εἰς

πρὸς ὑμᾶς τοὺς διακονουμένους. Καὶ γὰρ ἀναγκαῖον καὶ πρὸς ὑμᾶς διαλεχθῆναι, ὥστε μετὰ πολλῆς τῆς σπουδῆς διανέμειν ταυτὶ τὰ δῶρα. Οὐ μικρὰ κόλασις ὑμῖν ἐστίν, εἴ τινι συνειδότες τινὰ πονηρίαν, συγχωρήσετε μετασχεῖν ταύτης τῆς τραπέζης. Τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ἐκζητηθήσεται τῶν ὑμετέρων. Κἂν στρατηγός τις ᾖ, κἂν ὕπαρχος, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀναξίως δὲ προσίῃ, κώλυσον· μείζονα ἐκείνου τὴν ἐξουσίαν ἔχεις.

Σὺ δὲ εἰ μὲν πηγὴν ὕδατος ἐνεχειρίσθης φυλάττειν ποιμνίῳ καθαράν, εἶτα εἶδες πρόβατον πολὺν ἐπὶ τοῦ στόματος φέρον τὸν βόρβορον, οὐκ ἂν εἴασας ἐπικύψαι κάτω, καὶ θολῶσαι τὸ ῥεῖθρον· νυνὶ δὲ οὐχ ὕδατος, ἀλλ' αἵματος καὶ πνεύματος πηγὴν ἐγκεχειρισμένος, καὶ ὁρῶν γῆς καὶ βορβόρου χαλεπωτέραν ἁμαρτίαν ἔχοντάς τινας καὶ προσιόντας, οὐκ ἀγανακτεῖς, οὐδὲ ἀπείργεις; καὶ τίνα ἂν σχοίης συγγνώμην; Διὰ τοῦτο ὑμᾶς ὁ Θεὸς ἐτίμησε ταύτην τὴν τιμήν, ἵνα τὰ τοιαῦτα διακρίνητε. Τοῦτο ὑμῶν ἡ ἀξία, τοῦτο ἡ ἀσφάλεια, τοῦτο ὁ στέφανος ἅπας, οὐχ ἵνα λευκὸν χιτωνίσκον καὶ ἀποστίλβοντα περιβαλλόμενοι περιΐητε.

Καὶ πόθεν οἶδα, φησί, τὸν δεῖνα καὶ τὸν δεῖνα; Οὐ περὶ τῶν ἀγνοουμένων, ἀλλὰ περὶ τῶν γνωρίμων λέγω. Εἴπω τι φρικωδέστερον; Οὐχ οὕτω χαλεπὸν τοὺς ἐνεργουμένους ἔνδον εἶναι, ὡς τούτους, οὓς φησιν ὁ Παῦλος τὸν Χριστὸν καταπατῆσαι, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγήσασθαι καὶ τὴν χάριν τοῦ Πνεύματος ἐνυβρίσαι. Δαιμονῶντος γὰρ χείρων ὁ ἡμαρτηκὼς καὶ προσιών. Οἱ μὲν γὰρ ἐπειδὴ δαιμονῶσιν, οὐ κολάζονται· οὗτοι δὲ ὅταν ἀναξίως προσίωσιν, ἀθανάτῳ παραδίδονται τιμωρίᾳ.

Μὴ τοίνυν τούτους ἐλαύνωμεν μόνον, ἀλλὰ πάντας ἁ-

---

24. Ἑβρ. 10, 29.

σᾶς οἱ ὁποῖοι διακονεῖτε εἰς τὰ μυστήρια. Διότι θεωρῶ ἀναγκαῖον νὰ ὁμιλήσω καὶ πρὸς σᾶς, διὰ νὰ παρέχετε αὐτὰ τὰ δῶρα μὲ πολλὴν προθυμίαν. Δὲν εἶναι μικρὰ ἡ εὐθύνη σας, ἐὰν ἐπιτρέψετε εἰς κάποιον νὰ μετάσχῃ τῆς τραπέζης αὐτῆς, ἐνῷ γνωρίζετε ὅτι ἔχει κάνει κάποιαν πονηρίαν. Τὸ αἷμα αὐτοῦ θὰ ζητηθῇ ἀπὸ τὰς ἰδικάς σας χεῖρας. Καὶ ἂν ἀκόμη εἶναι στρατηγός, ἢ ὕπαρχος, ἢ ἀκόμη ὁ ἴδιος ὁ βασιλεύς, καὶ προσέρχεται ἀναξίως, ἐμπόδισέ τον· ἔχεις μεγαλυτέραν ἀπὸ ἐκεῖνον ἰσχύν.

Σὺ ὅμως, ἐὰν μὲν σοῦ εἶχαν ἐμπιστευθῆ νὰ φυλάσσῃς μίαν πηγὴν ὕδατος καθαρὰν διὰ τὸ ποίμνιον καὶ ἔβλεπες ἕνα πρόβατον νὰ ἔχῃ εἰς τὸ στόμα του πολὺν βοῦρκον, δὲν θὰ τὸ ἄφηνες νὰ σκύψῃ κάτω καὶ νὰ θολώσῃ τὴν πηγήν· τώρα ὅμως σοῦ ἔχει ἀνατεθῆ ἡ φύλαξις πηγῆς, ὄχι ὕδατος ἀλλὰ αἵματος καὶ πνεύματος, καὶ ἐνῷ βλέπεις νὰ προσέρχωνται μερικοὶ ἔχοντες ἁμαρτίαν χειροτέραν ἀπὸ χῶμα καὶ βοῦρκον, δὲν ἀγανακτεῖς οὔτε τοὺς ἐμποδίζεις; Ποίαν λοιπὸν συγγνώμην ἠμπορεῖς νὰ ἔχῃς; Δι' αὐτὸ ὁ Θεὸς σᾶς ἐτίμησε μὲ αὐτὴν τὴν τιμήν, διὰ νὰ διακρίνετε αὐτά. Αὐτὸ εἶναι ἡ ἀξία σας, αὐτὸ ἡ ἀσφάλειά σας, αὐτὸ ἡ ἀμοιβή σας ὅλη, καὶ ὄχι νὰ περιφέρεσθε φέροντες λευκὸν καὶ γυαλιστερὸν χιτωνίσκον.

Καὶ ἀπὸ ποῦ γνωρίζω, λέγει, τὸν δεῖνα καὶ τὸν δεῖνα; Δὲν ὁμιλῶ διὰ τοὺς ἀγνώστους, ἀλλὰ διὰ τοὺς γνωστούς. Νὰ εἰπῶ κάτι πιὸ φρικῶδες; Δὲν εἶναι τόσον κακὸν νὰ εὑρίσκωνται μέσα εἰς τὸν ναὸν οἱ ἀποπατοῦντες, ὅσον αὐτοί, οἱ ὁποῖοι, λέγει ὁ Παῦλος, ὅτι κατεπάτησαν τὸν Χριστόν, καὶ τὸ αἷμα τῆς Διαθήκης τὸ θεωροῦν κοινὸν καὶ ὑβρίζουν τὴν χάριν τοῦ Πνεύματος[24]. Διότι εἶναι χειρότερος ἀπὸ δαιμονισμένον αὐτὸς ποὺ ἔχει ἁμαρτήσει καὶ προσέρχεται εἰς τὴν κοινωνίαν. Διότι ἐκεῖνοι μέν, ἐπειδὴ εἶναι δαιμονισμένοι, δὲν τιμωροῦνται· αὐτοὶ δέ, ὅταν προσέρχωνται ἀναξίως, παραδίδονται εἰς αἰωνίαν τιμωρίαν.

Ἂς μὴ ἀπομακρύνωμεν μόνον αὐτοὺς λοιπόν, ἀλλὰ

πλῶς, οὓς ἂν ἴδωμεν ἀναξίως προσιόντας. Μηδεὶς κοινωνείτω τῶν μὴ μαθητῶν. Μηδεὶς λαμβανέτω Ἰούδας, ἵνα μὴ τὰ Ἰούδα πάθη. Σῶμά ἐστι Χριστοῦ καὶ τουτὶ τὸ πλῆθος. Ὅρα τοίνυν, ὁ διακονούμενος τοῖς μυστηρίοις, μὴ παροξύνῃς τὸν Δεσπότην, οὐκ ἐκκαθαίρων τὸ σῶμα τοῦτο· μὴ ξίφος δῷς ἀντὶ τροφῆς.

Ἀλλὰ κἂν ὑπὸ ἀγνοίας ἐκεῖνος ἔρχηται μεθέξων, κώλυσον, μὴ φοβηθῇς. Φοβήθητι τὸν Θεόν, μὴ ἄνθρωπον. Ἂν φοβηθῇς ἄνθρωπον, καὶ ὑπ' αὐτοῦ καταγελασθήσῃ· ἂν δὲ τὸν Θεόν, καὶ ἀνθρώποις αἰδέσιμος ἔσῃ. Εἰ δὲ αὐτὸς οὐ τολμᾷς, ἐμοὶ πρόσαγε· οὐ συγχωρήσω ταῦτα τολμᾶσθαι. Τῆς ψυχῆς ἀποστήσομαι πρότερον, ἢ τοῦ αἵματος μεταδώσω τοῦ δεσποτικοῦ παρ' ἀξίαν· καὶ τὸ αἷμα τοῦ ἐμαυτοῦ προήσομαι πρότερον, ἢ μεταδώσω αἵματος οὕτω φρικώδους παρὰ τὸ προσῆκον. Εἰ δὲ ἠγνόησέ τις τὸν φαῦλον πολλὰ περιεργασάμενος, οὐδὲν ἔγκλημα. Ταῦτα γάρ μοι περὶ τῶν δήλων εἴρηται. Ἂν γὰρ τούτους διορθώσωμεν, καὶ τοὺς ἀγνῶτας ταχέως ἡμῖν ὁ Θεὸς γνωριεῖ· ἂν δὲ τούτους ἐάσωμεν, τίνος ἕνεκεν ἡμῖν ἐκείνους ποιήσει φανεροὺς λοιπόν;

Ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀπείργωμεν, οὐδ' ἵνα ἐκτέμνωμεν μόνον, ἀλλ' ἵνα διορθώσαντες ἐπαναγάγωμεν, ἵνα ἐπιμελώμεθα. Οὕτω γὰρ καὶ τὸν Θεὸν ἵλεων ἕξομεν, καὶ πολλοὺς τοὺς κατ' ἀξίαν μεταλαμβάνοντας εὑρήσομεν, καὶ τῆς οἰκείας σπουδῆς καὶ τῆς περὶ τοὺς ἄλλους ἐπιμελείας πολὺν ἀποληψόμεθα τὸν μισθόν· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

γενικῶς ὅλους ἐκείνους τοὺς ὁποίους βλέπομεν νὰ προσέρχωνται ἀναξίως. Κανεὶς νὰ μὴ κοινωνῇ ἀπὸ τοὺς μὴ χριστιανούς. Νὰ μὴ γίνεται δεκτὸς κανένας Ἰούδας, διὰ νὰ μὴ πάθῃ αὐτὰ ποὺ ἔπαθεν ὁ Ἰούδας. Σῶμα Χριστοῦ εἶναι καὶ αὐτὸ ἐδῶ τὸ πλῆθος. Πρόσεχε λοιπόν, σὺ ὁ ὁποῖος διακονεῖς τὰ μυστήρια, νὰ μὴ παροξύνῃς τὸν Δεσπότην μὲ τὸ νὰ μὴ καθαρίζῃς τὸ σῶμα αὐτό· μὴ δίδῃς ξίφος ἀντὶ τῆς τροφῆς.

Ἀλλὰ καὶ ἂν ἀκόμη ἐκεῖνος ἔρχεται νὰ συμμετάσχῃ εἰς τὰ μυστήρια ἀπὸ ἄγνοιαν, ἐμπόδισέ τον, μὴ τὸν φοβηθῇς. Φοβήσου τὸν Θεὸν καὶ ὄχι τὸν ἄνθρωπον. Ἂν φοβηθῇς ἄνθρωπον, θὰ γίνῃς καταγέλαστος καὶ ἀπὸ αὐτόν· ἐνῷ ἐὰν φοβηθῇς τὸν Θεόν, θὰ γίνῃς σεβαστὸς καὶ εἰς τοὺς ἀνθρώπους. Ἐὰν δὲ σὺ δὲν τολμᾷς, φέρε μού τον εἰς ἐμένα. Δὲν θὰ ἐπιτρέψω νὰ γίνωνται τέτοια. Προτιμῶ νὰ ἀποχωρισθῶ τὴν ψυχήν μου, παρὰ νὰ μεταδώσω τὸ αἷμα τοῦ Δεσπότου ἀναξίως. Καὶ προτιμῶ νὰ χύσω τὸ αἷμα τὸ ἰδικό μου, παρὰ νὰ μεταδώσω αἷμα τόσον φρικῶδες ἐκεῖ ποὺ δὲν πρέπει. Ἐὰν δὲ κάποιος δὲν ἀντελήφθη τὸν ἁμαρτωλὸν ἀφοῦ κατέβαλε πολλὴν προσπάθειαν, δὲν εἶναι ἔγκλημα. Διότι αὐτὰ τὰ εἶπα διὰ τοὺς φανερούς. Διότι ἐὰν διορθώσωμεν αὐτούς, καὶ τοὺς ἀγνώστους γρήγορα θὰ μᾶς τοὺς γνωρίσῃ ὁ Θεός· ἐνῷ ἐὰν ἀφήσωμεν αὐτούς, διατί νὰ μᾶς κάνῃ γνωστοὺς ἐκείνους;

Αὐτὰ δὲ τὰ λέγω, ὄχι διὰ νὰ ἐμποδίζωμεν καὶ νὰ ἀποκόπτωμεν μόνον, ἀλλὰ καὶ διὰ νὰ τοὺς ἐπαναφέρωμεν ἀφοῦ τοὺς διορθώσωμεν, καὶ διὰ νὰ τοὺς φροντίζωμεν. Διότι ἔτσι μόνον καὶ ὁ Θεὸς θὰ μᾶς συγχωρήσῃ καὶ πολλοὺς ποὺ μεταλαμβάνουν ἐπαξίως θὰ εὕρωμεν, καὶ διὰ τὴν ἰδικήν μας προσπάθειαν, ἀλλὰ καὶ διὰ τὴν φροντίδα ὑπὲρ τῶν ἄλλων θὰ ἀπολαύσωμεν πολὺν μισθόν· τὸν ὁποῖον εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΓ΄.

Ματθ. 36, 36-50

«Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς· καθίσατε αὐτοῦ, ἕως ἂν ἀπελθὼν προσεύξωμαι ἐκεῖ. Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν, καὶ λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ».

1. Ἐπειδὴ ἀδιασπάστως αὐτοῦ εἴχοντο, διὰ τοῦτό φησι· «μείνατε αὐτοῦ, ἕως ἀπελθὼν προσεύξομαι». Ἔθος γὰρ αὐτῷ χωρὶς αὐτῶν προσεύχεσθαι. Τοῦτο δὲ ἐποίει, παιδεύων ἡμᾶς ἐν ταῖς εὐχαῖς ἡσυχίαν κατασκευάζειν ἑαυτοῖς καὶ ἠρεμίαν πολλήν.

Καὶ παραλαμβάνει τοὺς τρεῖς, καὶ λέγει αὐτοῖς· «περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου». Τίνος ἕνεκεν μὴ πάντας παραλαμβάνει; Ἵνα μὴ καταπέσωσιν· ἀλλὰ τούτους, τοὺς τῆς δόξης αὐτοῦ θεωροὺς γενομένους.

Ἀλλ' ὅμως καὶ τούτους ἀφίησι, «Καὶ μικρὸν προελθών, εὔχεται λέγων· Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. Καὶ ἔρχεται πρὸς αὐτούς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής». Οὐχ ἁπλῶς πρὸς Πέτρον μάλιστα ἀποτείνεται, καίτοι καὶ τῶν ἄλλων καθευδησάντων· ἀλλὰ καθικνούμενος αὐτοῦ κἀντεῦθεν διὰ τὴν αἰτίαν ἣν ἔμπροσθεν εἶπον.

ΟΜΙΛΙΑ ΠΓ΄.

Ματθ. 36, 36-50

«Τότε ἔρχεται ὁ Ἰησοῦς μαζί τους εἰς ἕνα χωρίον ποὺ ὀνομάζεται Γεθσημανῆ καὶ λέγει εἰς τοὺς μαθητάς του· 'καθῆστε ἐδῶ ἕως ὅτου πάω ἐκεῖ καὶ προσευχηθῶ'. Καὶ ἀφοῦ παρέλαβε τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς τοῦ Ζεβεδαίου, ἤρχισε νὰ λυπῆται καὶ νὰ ἀγωνιᾷ καὶ νὰ τοὺς λέγῃ· εἶναι λυπημένη ἡ ψυχή μου μέχρι θανάτου. Μείνετε ἐδῶ καὶ ἀγρυπνεῖτε μαζί μου».

1. Ἐπειδὴ ἦσαν συνεχῶς μαζί Του, δι' αὐτὸ λέγει· «μείνετε ἐδῶ μέχρι νὰ πάω νὰ προσευχηθῶ». Διότι ἦτο συνήθειά Του νὰ προσεύχεται χωριστὰ ἀπ' αὐτούς. Αὐτὸ δὲ τὸ ἔκανε, διὰ νὰ μᾶς διδάξῃ ὅτι εἰς τὰς προσευχὰς πρέπει νὰ δημιουργῶμεν πολλὴν ἡσυχίαν καὶ ἠρεμίαν.

Καὶ παραλαμβάνει τοὺς τρεῖς καὶ λέγει εἰς αὐτούς· «εἶναι λυπημένη ἡ ψυχή μου μέχρι θανάτου». Διατί δὲν τοὺς παραλαμβάνει ὅλους; Διὰ νὰ μὴ καταβληθοῦν· ἀλλὰ παραλαμβάνει αὐτοὺς οἱ ὁποῖοι εἶχαν γίνει θεαταὶ τῆς δόξης Του.

Ἀλλ' ὅμως καὶ αὐτοὺς τοὺς ἀφήνει, «καὶ ἀφοῦ ἐπροχώρησεν ὀλίγον προσηύχετο λέγων· 'Πατέρα μου, ἐὰν εἶναι δυνατόν, ἂς ἀποφύγω τὸ ποτήριον αὐτό· ἀλλὰ ὄχι ὅπως θέλω ἐγώ, ἀλλ' ὅπως θέλεις σύ'. Καὶ ἔρχεται πρὸς αὐτοὺς καὶ τοὺς εὑρίσκει νὰ κοιμῶνται καὶ λέγει εἰς τὸν Πέτρον· ὥστε ἔτσι, δὲν ἠμπορέσατε νὰ ἀγρυπνήσετε μίαν ὥραν μαζί μου; Νὰ ἀγρυπνῆτε καὶ νὰ προσεύχεσθε διὰ νὰ μὴ πέσετε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα εἶναι πρόθυμον, ἀλλὰ ἡ σὰρξ εἶναι ἀδύνατος». Δὲν ἀποτείνεται δὲ τυχαίως εἰς τὸν Πέτρον κυρίως, ἂν καὶ οἱ ἄλλοι εἶχαν ἀποκοιμηθῆ· ἀλλὰ προσεγγίζει αὐτὸν καὶ ἐδῶ διὰ τὴν αἰτίαν ποὺ εἶχα εἰπεῖ προηγουμένως.

Εἶτα ἐπειδὴ καὶ οἱ ἄλλοι τὸ αὐτὸ εἶπον, (εἰπόντος γάρ, φησί, Πέτρου, ὅτι «Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι»· «Ὁμοίως δέ», φησί, «καὶ πάντες οἱ μαθηταὶ εἶπον»· πρὸς ἅπαντας διαλέγεται, ἐλέγχων αὐτῶν τὴν ἀσθένειαν. Οἱ γὰρ συναποθανεῖν αἱρούμενοι, οὐδὲ λυπουμένῳ τότε συλλυπηθῆναι ἴσχυσεν ἐγρηγορότες, ἀλλ' ἐκράτησεν αὐτῶν ὁ ὕπνος.

Ὁ δὲ ἐκτενῶς εὔχεται, ἵνα μὴ δόξῃ ὑπόκρισις εἶναι τὸ πρᾶγμα. Καὶ ἱδρῶτες ἐπιρρέουσι διὰ τὴν αἰτίαν πάλιν τὴν αὐτήν, καὶ ἵνα μὴ τοῦτο εἴπωσιν αἱρετικοί, ὅτι ὑποκρίνεται τὴν ἀγωνίαν. Διὰ τοῦτο καὶ ἱδρῶτες ὡς θρόμβοι αἵματος, καὶ ἄγγελος ἐνισχύων αὐτὸν ἐφάνη, καὶ μυρία φόβου τεκμήρια, ἵνα μή τις εἴπῃ τὰ ρήματα πεπλασμένα εἶναι.

Διὰ τοῦτο καὶ ἡ εὐχή. Τῷ μὲν οὖν εἰπεῖν, «Εἰ δυνατόν, παρελθέτω», ἔδειξε τὸ ἀνθρώπινον· τῷ δὲ εἰπεῖν, «Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ», ἔδειξε τὸ ἐνάρετον καὶ ἐμφιλόσοφον, παιδεύων καὶ τῆς φύσεως ἀνθελκούσης ἕπεσθαι τῷ Θεῷ. Ἐπειδὴ γὰρ οὐκ ἤρκει τοῖς ἀνοήτοις τὸ πρόσωπον δεῖξαι μόνον, καὶ ρήματα προστίθησι. Πάλιν ρήματα οὐκ ἤρκει μόνον, ἀλλὰ καὶ πραγμάτων ἔδει; καὶ ταῦτα συνάπτει τοῖς ρήμασιν, ἵνα πιστεύσωσι καὶ οἱ σφόδρα φιλονεικοῦντες, ὅτι καὶ ἄνθρωπος γέγονε καὶ ἀπέθανεν. Εἰ γὰρ καὶ τούτων ὄντων, ἀπιστεῖται παρά τινων ἔτι τοῦτο, πολλῷ μᾶλλον εἰ μὴ ταῦτα ἦν.

Ὁρᾷς δι' ὅσων δείκνυσι τῆς οἰκονομίας τὴν ἀλήθειαν; Δι' ὧν φθέγγεται, δι' ὧν πάσχει. Εἶτα ἐλθὼν «λέγει», φησί,

Ἔπειτα, ἐπειδὴ καὶ οἱ ἄλλοι εἶχαν εἰπεῖ τὸ ἴδιον (διότι ὅταν εἶπεν ὁ Πέτρος ὅτι «καὶ ἂν ἀκόμη χρειασθῇ νὰ ἀποθάνω μαζί σου, δὲν θὰ σὲ ἀπαρνηθῶ· τὸ ἴδιον, προσθέτει, εἶπαν καὶ ὅλοι οἱ μαθηταί), ὁμιλεῖ πρὸς ὅλους, κατηγορῶν τὴν ἀδυναμίαν των. Διότι αὐτοὶ οἱ ὁποῖοι προετίμων νὰ ἀποθάνουν μαζί του, δὲν ἄντεξαν τότε ποὺ ἐλυπεῖτο νὰ συλλυπηθοῦν μένοντες ἄγρυπνοι, ἀλλὰ τοὺς κατέλαβεν ὁ ὕπνος.

Αὐτὸς δὲ προσεύχεται ἐκτενῶς, διὰ νὰ μὴ θεωρηθῇ ἡ ἐνέργειά Του ὑποκριτική. Ἀκόμη καὶ ἱδρῶτα χύνει διὰ τὴν ἰδίαν ἐπίσης αἰτίαν, καὶ διὰ νὰ μὴ εἰποῦν οἱ αἱρετικοὶ τοῦτο, ὅτι ὑποκρίνεται τὴν ἀγωνίαν. Δι' αὐτὸ ἔσταζαν καὶ οἱ ἱδρῶτες ὡσὰν σταγόνες αἵματος καὶ ἐφάνη ἄγγελος ὁ ὁποῖος τὸν ἐνίσχυε καὶ ἄπειρα ἄλλα τεκμήρια τῆς ἀγωνίας του, διὰ νὰ μὴ ἰσχυρισθῇ κανεὶς ὅτι ἡ εὐαγγελικὴ διήγησις εἶναι φανταστική.

Διὰ τοῦτο γίνεται καὶ ἡ προσευχή. Διότι μὲ τὸ νὰ εἴπῃ· «ἂν εἶναι δυνατὸν νὰ ἀποφύγω» ἔδειξε τὴν ἀνθρωπίνην φύσιν του, ἐνῷ μὲ τὰ λόγια Του· «ἀλλὰ ὄχι ὅπως θέλω ἐγώ, ἀλλὰ ὅπως θέλεις σύ», ἔδειξε τὴν χρηστότητα καὶ τὴν ἐγκαρτέρησίν Του, διδάσκων ὅτι, καὶ ὅταν ἀκόμη ἡ φύσις μᾶς ἕλκῃ πρὸς τὸ ἀντίθετον, πρέπει νὰ ἀκολουθοῦμεν τὸν Θεόν. Διότι, ἐπειδὴ εἰς τοὺς ἀνοήτους δὲν ἤρκει μόνον τὸ νὰ δείξῃ τὸ πρόσωπόν Του, ἐπρόσθεσε καὶ λόγια. Πάλιν ὅμως μόνα τὰ λόγια δὲν ἦσαν ἀρκετά, ἀλλὰ ἐχρειάζοντο καὶ πράγματα; Ἐπισυνάπτει λοιπὸν καὶ αὐτὰ εἰς τὰ λόγια, διὰ νὰ πιστεύσουν καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἀμφιβάλλουν πολύ, ὅτι καὶ ἄνθρωπος ἔγινεν καὶ ἀπέθανε. Διότι, ἐὰν καὶ ὕστερα ἀπὸ αὐτὰ ἀμφισβητῆται ἀπὸ ὡρισμένους ἀκόμη αὐτό, πολὺ περισσότερον θὰ ἠμφισβητεῖτο ἐὰν δὲν ὑπῆρχαν καὶ αὐτά.

Βλέπεις μὲ πόσα πράγματα δείχνει τὴν ἀλήθειαν τῆς θείας οἰκονομίας; Μὲ ὅσα λέγει, μὲ ὅσα ὑφίσταται. Ἔπειτα ἀφοῦ ἦλθε «Λέγει», ἀναφέρει ὁ εὐαγγελιστής, «εἰς τὸν

«τῷ Πέτρῳ· οὕτως οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ;». Ἅπαντες ἐκάθευδον, καὶ τῷ Πτρῳ ἐπιτιμᾷ, αἰνιττόμενος αὐτόν, ὑπὲρ ὧν ἐφθέγξατο. Καὶ τὸ «μετ' ἐμοῦ» δὲ οὐχ ἁπλῶς κεῖται, ὡσανεὶ ἔλεγε· γρηγορῆσαι οὐκ ἴσχυσας μετ' ἐμοῦ, καὶ ὑπὲρ ἐμοῦ τὴν ψυχὴν θήσεις; Καὶ τὸ ἑξῆς δὲ τὸ αὐτὸ τοῦτο αἰνίττεται. «Γρηγορεῖτε» γάρ, φησί, «καὶ προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν».

Ὁρᾷς πῶς πάλιν αὐτοὺς παιδεύει μὴ ἀπαυθαδιάζεσθαι, ἀλλὰ συντετρῖφθαι τὴν διάνοιαν, καὶ ταπεινοφρονεῖν, καὶ τῷ Θεῷ τὸ πᾶν ἀνατιθέναι; Καὶ νῦν μὲν πρὸς Πέτρον ἀποτείνεται, νῦν δὲ πρὸς πάντας κοινῇ. Κἀκείνῳ μέν φησι· «Σίμων, Σίμων, ἐξήτησεν ὁ Σατανᾶς σινιάσαι ὑμᾶς· κἀγὼ ἐδεήθην περὶ σοῦ»[1]· κοινῇ δὲ πᾶσιν, «Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν», πανταχοῦ τὸ αὔθαδες αὐτῶν ἐκκόπτων καὶ ἐναγωνίους ποιῶν.

Εἶτα ἵνα μὴ δόξῃ διόλου καταφορικὸν ποιεῖν τὸν λόγον, λέγει· «Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής». Εἰ γὰρ καὶ βούλει, φησίν, ὑπεριδεῖν θανάτου, ἀλλ' οὐ δυνήσῃ, ἕως ἂν ὁ Θεὸς ὀρέξῃ χεῖρα· καθέλκει γὰρ τὸ φρόνημα τὸ σαρκικόν.

«Καὶ πάλιν ηὔξατο τὸ αὐτό, λέγων· Πάτερ, εἰ οὐ δύναται τοῦτο παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου»· δεικνὺς ἐνταῦθα, ὅτι σφόδρα συνᾴδει τῷ θελήματι τοῦ Θεοῦ, καὶ ὅτι πανταχοῦ τούτῳ ἕπεσθαι δεῖ, καὶ τοῦτο ἐπιζητεῖν.

«Καὶ ἐλθών, εὗρεν αὐτοὺς καθεύδοντας». Μετὰ γὰρ τοῦ καὶ ἀωρὶ τῶν νυκτῶν εἶναι, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ὑπὸ τῆς ἀθυμίας ἦσαν βεβαρημένοι. Καὶ ἐκ τρίτου πάλιν τὸ αὐτὸ

---

1. Λουκᾶ 22, 31.

Πέτρον· ὥστε ἔτσι, δὲν ἠμπόρεσες νὰ ἀγρυπνήσῃς μίαν ὥραν μαζί μου;». Ὅλοι ἐκοιμῶντο καὶ ὅμως ἐπιτιμᾷ μόνον τὸν Πέτρον, ὑπαινισσόμενος εἰς αὐτὸν ἐκεῖνα ποὺ εἶχεν εἴπει. Καὶ τὸ «μαζί μου» δὲν λέγεται τυχαίως, ἀλλὰ εἶναι ὡσὰν νὰ τοῦ ἔλεγε· δὲν ἄντεξες νὰ μείνῃς ἄγρυπνος μαζὶ μου, καὶ θὰ θυσιάσῃς τὴν ζωήν σου πρὸς χάριν μου; Καὶ τὰ παρακάτω δὲ τὸ ἴδιον πρᾶγμα ὑπαινίσσονται, διότι λέγει· «Νὰ ἀγρυπνῆτε καὶ νὰ προσεύχεσθε διὰ νὰ μὴ πέσετε εἰς πειρασμόν».

Βλέπεις πάλιν πῶς τοὺς διδάσκει νὰ μὴ ἀποθρασύνωνται, ἀλλὰ νὰ ἔχουν μετριόφρονα γνώμην καὶ ταπεινοφροσύνην καὶ νὰ ἀναθέτουν τὰ πάντα εἰς τὸν Θεόν; Καὶ ἄλλοτε μὲν ἀπευθύνεται πρὸς τὸν Πέτρον, ἄλλοτε δὲ ἀπὸ κοινοῦ εἰς ὅλους. Καὶ εἰς ἐκεῖνον μὲν λέγει· «Σίμων, Σίμων, ὁ Σατανᾶς ἐζήτησε νὰ σᾶς κοσκινίσῃ· ἐγὼ ὅμως ἐπροσευχήθηκα δι' ἐσέ»[1]· ἀπὸ κοινοῦ δὲ εἰς ὅλους· «Νὰ προσεύχεσε διὰ νὰ μὴ πέσετε εἰς πειρασμόν», παντοῦ ἐπιδιώκων νὰ ἐκκόψῃ τὴν αὐθάδειάν των καὶ νὰ τοὺς κάνῃ νὰ εὑρίσκωνται εἰς διαρκῆ ἀγωνίαν.

Ἔπειτα, διὰ νὰ μὴ νομίσῃς ὅτι κάμνει τὸν λόγον καθ' ὁλοκληρίαν σκληρόν, λέγει· «Τὸ μὲν πνεῦμα εἶναι πρόθυμον, ἐνῷ ἡ σὰρξ εἶναι ἀσθενής». Διότι μολονότι θέλεις, λέγει, νὰ παραβλέψῃς τὸν θάνατον, ἐν τούτοις δὲν θὰ ἠμπορέσῃς, μέχρις ὅτου ἁπλώσῃ ὁ Θεὸς τὴν χεῖρα Του· διότι σὲ παρασύρει τὸ σαρκικὸν φρόνημα.

Καὶ πάλιν· «Προσηυχήθη ἐπαναλαμβάνων τὸ ἴδιον· Πάτερ, ἂν δὲν εἶναι δυνατὸν νὰ τὸ ἀποφύγω αὐτό, χωρὶς νὰ τὸ πιῶ, ἂς γίνῃ τὸ θέλημά Σου». Ἐδῶ δείχνει, ὅτι συμφωνεῖ πλήρως μὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ ὅτι παντοῦ αὐτὸ πρέπει νὰ ἀκολουθῶμεν καὶ αὐτὸ νὰ ἐπιζητῶμεν.

«Καὶ ὅταν ἦλθε τοὺς εὗρε νὰ κοιμῶνται». Διότι μαζὶ μὲ τὸ ὅτι ἦτο προχωρημένη ἡ νύκτα, καὶ οἱ ὀφθαλμοί των ἦσαν ἐξασθενημένοι ἀπὸ τὴν λύπην. Καὶ διὰ τρίτην φορὰν πάλιν ἀφοῦ ἀπεμακρύνθη τὸ ἴδιον εἶπε, βεβαιῶν ὅτι ἔγινεν

ἀπελθὼν ἐφθέγξατο, βεβαιῶν ὅτι ἄνθρωπος γέγονε. Τὸ γὰρ δεύτερον καὶ τρίτον ἀληθείας μάλιστά ἐστιν ἐν ταῖς Γραφαῖς ἐνδεικτικόν· ὥσπερ καὶ ὁ Ἰωσὴφ ἔλεγε τῷ Φαραώ· «Ἐκ δευτέρου ἐφάνη σοι τὸ ἐνύπνιον; ὑπὲρ ἀληθείας, καὶ τοῦ πιστωθῆναί σε ὅτι τοῦτο ἔσται πάντως, τοῦτο γέγονε». Διὰ τοῦτο καὶ αὐτὸς καὶ ἅπαξ καὶ δὶς καὶ τρίτον τὸ αὐτὸ ἐφθέγξατο, ὑπὲρ τοῦ πιστώσασθαι τὴν οἰκονομίαν.

Καὶ τίνος ἕνεκεν ἦλθεν ἐκ δευτέρου; Ὥστε αὐτοὺς ἐλέγξαι, ὅτι οὕτως ἐβαπτίσθησαν ὑπὸ τῆς ἀθυμίας, ὡς μηδὲ τῆς παρουσίας αὐτοῦ αἰσθέσθαι. Οὐ μὴν ἤλεγξεν, ἀλλὰ διέστη μικρόν, δηλῶν τὴν ἄφατον αὐτῶν ἀσθένειαν, ὅτι οὐδὲ ἐπιτιμηθέντες ἠδύναντο καρτερῆσαι. Οὐ διυπνίζει δὲ καὶ ἐπιτιμᾷ πάλιν, ὥστε μὴ πλῆξαι πεπληγότας, ἀλλ' ἀπελθὼν καὶ προσευξάμενος καὶ ἐπανελθών φησι· «Καθεύδετε τὸ λοιπόν, καὶ ἀναπαύεσθε». Καὶ μὴν τότε γρηγορῆσαι ἔδει· ἀλλὰ δεικνύς, ὅτι οὐδὲ τὴν ὄψιν οἴσουσι τῶν δεινῶν, ἀλλὰ φυγαδευθήσονται καὶ ἀποστήσονται ὑπὸ τῆς ἀγωνίας, καὶ ὅτι οὐδὲν τῆς αὐτῶν δεῖται βοηθείας, καὶ ὅτι δεῖ πάντως αὐτὸν παραδοθῆναι, «Καθεύδετε λοιπόν», φησί, «καὶ ἀναπαύεσθε. Ἰδοὺ ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν». Δείκνυσι πάλιν ὅτι οἰκονομίας ἦν τὸ γινόμενον.

2. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν, «Εἰς χεῖρας ἁμαρτωλῶν», ἀνίστησιν αὐτῶν τὰ φρονήματα, δηλῶν ὅτι τῆς ἐκείνων πονηρίας τὸ ἔργον ἦν, οὐ τοῦ αὐτὸν ὑπεύθυνον εἶναι πλημμελήματι. «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν· ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με». Διὰ πάντων γὰρ αὐτοὺς ἐπαίδευσεν, ὅτι οὐκ ἀνάγκης τὸ πρᾶγμα ἦν, οὐδὲ ἀσθενείας, ἀλλ' οἰκονο-

---

2. Γεν. 41, 32.

ἄνθρωπος. Διότι ἡ διὰ δευτέραν καὶ τρίτην φορὰν ἐπανάληψις τοῦ αὐτοῦ πράγματος εἰς τὰς Γραφὰς εἶναι κατ' ἐξοχὴν ἀπόδειξις τῆς ἀληθείας. Ὅπως ἔλεγε καὶ ὁ Ἰωσὴφ εἰς τὸν Φαραώ· «Δύο φορὰς σοῦ ἐφανερώθη τὸ ὄνειρον; Αὐτὸ ἔγινε χάριν τῆς ἀληθείας καὶ διὰ νὰ βεβαιωθῇς ὅτι τοῦτο θὰ συμβῇ ὁπωσδήποτε»[2]. Διὰ τοῦτο καὶ αὐτὸς ἐπανέλαβε τὸ αὐτὸ καὶ μίαν καὶ δύο καὶ τρεῖς φοράς, διὰ νὰ βεβαιώσῃ τὸ σχέδιον τῆς θείας οἰκονομίας.

Καὶ διατί ἦλθεν διὰ δευτέραν φοράν; Διὰ νὰ τοὺς ἐλέγξῃ, διότι ἐβυθίσθησαν τόσον πολὺ εἰς τὴν λύπην, ὥστε οὔτε τὴν παρουσίαν Του νὰ μὴ ἀντιληφθοῦν. Ὄχι μόνον τοὺς ἤλεγξεν, ἀλλ' ἀπεμακρύνθη ὀλίγον, διὰ νὰ δηλώσῃ τὴν ἀπερίγραπτον ἀσθένειάν των, ἀφοῦ οὔτε μετὰ τὴν ἐπίπληξιν ἠμποροῦσαν νὰ ὑπομείνουν. Δὲν τοὺς ξυπνᾷ δὲ διὰ νὰ τοὺς ἐπιπλήξῃ πάλιν, διὰ νὰ μὴ τοὺς πληγώσῃ ἐνῷ εἶναι ἤδη πληγωμένοι, ἀλλ' ἀνεχώρησε, προσηυχήθη καὶ ἀφοῦ ἐπανῆλθε, λέγει· «Κοιμᾶσθε λοιπὸν καὶ ἀναπαύεσθε». Καὶ πράγματι τότε ἔπρεπε νὰ ἐξυπνήσουν· ἀλλὰ διὰ νὰ δείξῃ ὅτι οὔτε τὴν θέαν τῶν δεινῶν δὲν θὰ ὑποφέρουν καὶ ὅτι θὰ φυγαδευθοῦν καὶ θὰ χωρισθοῦν ἀπὸ τὸν φόβον, καὶ ὅτι τίποτε δὲν ἔχει ἀνάγκην τῆς βοηθειάς των καὶ ὅτι πρέπει ὁπωσδήποτε Αὐτὸς νὰ παραδοθῇ, λέγει· «Κοιμᾶσθε λοιπὸν καὶ ἀναπαύεσθε. Νά, ἐπλησίασεν ἡ ὥρα καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδεται εἰς τὰ χέρια ἁμαρτωλῶν». Δείχνει πάλιν ὅτι αὐτὸ ποὺ ἐγίνετο ἦτο σχέδιον τῆς οἰκονομίας τοῦ Θεοῦ.

2. Ὄχι μόνον αὐτὸ δέ, ἀλλὰ καὶ μὲ τὴν φράσιν· «Εἰς τὰ χέρια ἁμαρτωλῶν», διεγείρει τὴν φιλοτιμίαν των, θέλων νὰ δηλώσῃ ὅτι ἡ ἐνέργεια ἦτο ἀποτέλεσμα τῆς πονηρίας ἐκείνων καὶ ὄχι ὅτι Αὐτὸς εἶναι ὑπεύθυνος διὰ κάποιο πλημμέλημα. «Σηκωθῆτε, ἂς φύγωμεν ἀπὸ ἐδῶ· Νά, πλησιάζει ἐκεῖνος ποὺ θὰ μὲ παραδώσῃ». Διότι μὲ ὅλα τοὺς ἐδίδαξεν, ὅτι τὸ θέμα δὲν ὠφείλετο εἰς κάποιαν ἀνάγκην ἢ ἀδυναμίαν, ἀλλὰ εἰς κάποιο μυστικὸν σχέδιον. Διότι ἐγνώ-

μίας τινὸς ἀπορρήτου. Καὶ γὰρ προήδει ἥξοντα, καὶ οὐ μόνον οὐκ ἔφυγεν, ἀλλὰ καὶ ὁμόσε ἐχώρει.

«Ἔτι γοῦν αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ». Καλά γε τῶν ἱερέων τὰ σκεύη· μετὰ μαχαιρῶν καὶ ξύλων ἐπέρχονται. Καὶ «Ἰούδας», φησί, «μετ' αὐτῶν, εἷς τῶν δώδεκα». Πάλιν αὐτὸν τῶν δώδεκα καλεῖ, καὶ οὐκ αἰσχύνεται.

«Ὁ δὲ παραδιδοὺς ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν». Βαβαί· πόσην ἐδέξατο πονηρίαν ἡ τοῦ προδότου ψυχή. Ποίοις γὰρ ὀφθαλμοῖς ἑώρα τότε εἰς τὸν διδάσκαλον; ποίῳ στόματι ἐφίλει; Ὢ τῆς μιαρᾶς γνώμης· τί ἐβουλεύσατο; τί ἐτόλμησε; ποῖον σύμβολον ἔδωκε τῆς προδοσίας; «Ὃν ἂν φιλήσω», φησίν. Ἐθάρρει τῇ ἐπιεικείᾳ τοῦ διδασκάλου· ὃ μάλιστα πάντων ἱκανὸν ἦν αὐτὸν ἐντρέψαι, καὶ πάσης αὐτὸν ἀποστερῆσαι συγγνώμης, ὅτι τὸν οὕτως ἥμερον προεδίδου.

Τίνος δὲ ἕνεκεν τοῦτό φησιν; Ἐπειδὴ πολλάκις κατασχεθεὶς ὑπ' αὐτῶν διεξῆλθεν, οὐκ εἰδότων αὐτῶν. Ἀλλ' ὅμως καὶ τότε ἂν τοῦτο ἐγένετο, εἰ μὴ αὐτὸς ἐβουλήθη. Τοῦτο γοῦν αὐτὸ παιδεῦσαι αὐτὸν βουλόμενος, καὶ τότε ἐπήρωσεν αὐτῶν τὰς ὄψεις, καὶ αὐτὸς ἠρώτα, «Τίνα ζητεῖτε;». Καὶ οὐκ ᾔδεσαν, καίτοι μετὰ φανῶν καὶ λαμπάδων ὄντες, καὶ τὸν Ἰούδαν μεθ' ἑαυτῶν ἔχοντες.

Εἶτα ἐπειδὴ εἶπον, Ἰησοῦν, λέγει· «Ἐγώ εἰμι ὃν ζητεῖτε»· καὶ ἐνταῦθα πάλιν, «Ἑταῖρε, ἐφ' ᾧ πάρει;». Μετὰ γὰρ τὸ δεῖξαι τὴν ἰσχὺν τὴν ἑαυτοῦ, τότε λοιπὸν συνεχώρησεν. Ὁ δὲ Ἰωάννης φησίν, ὅτι καὶ ἕως αὐτῆς αὐτὸν διώρ-

---

3. Ἰω. 18, 4.
4. Αὐτόθι 5.
5. Ματθ. 26, 50.

ριζεν ἐκ τῶν προηγουμένων ὅτι θὰ ἔλθῃ ὁ προδότης καὶ ὄχι μόνον δὲν ἔφυγεν, ἀλλὰ ἐπροχώρει πρὸς αὐτόν.

«Καὶ ἐνῷ ἀκόμη αὐτὸς ὡμιλοῦσεν, ἦλθεν ὁ Ἰούδας, ἕνας ἀπὸ τοὺς δώδεκα, καὶ μαζί του πολὺς κόσμος μὲ μαχαίρια καὶ ξύλα, ἐκ μέρους τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων τοῦ λαοῦ». Καλὰ βέβαια τὰ σκεύη τῶν ἱερέων, ἀλλὰ ἔρχονται ἐναντίον Του μὲ μαχαίρια καὶ ξύλα. Καὶ «ὁ Ἰούδας», λέγει, «μαζὶ μὲ αὐτούς, ἕνας ἀπὸ τοὺς δώδεκα». Πάλιν τὸν ὀνομάζει ἕνα ἀπὸ τοὺς δώδεκα μαθητάς, καὶ δὲν ἐντρέπεται.

«Ἐκεῖνος δὲ ποὺ θὰ τὸν παρέδιδε τοὺς εἶχε δώσει τὸ ἑξῆς σημάδι· Ἐκεῖνον ποὺ θὰ φιλήσω, αὐτὸς εἶναι. Συλλάβετέ τον». Πώ, πώ! Πόσην πονηρίαν ἐδέχθη ἡ ψυχὴ τοῦ προδότου! Διότι μὲ ποίους ὀφθαλμοὺς ἀντίκρυζε τότε τὸν Διδάσκαλον; Μὲ ποῖον στόμα τὸν ἐφιλοῦσε; Πόσον μολυσμένη σκέψις! Τί ἐσκέφθη; Τί ἐτόλμησε νὰ κάμῃ; Ποῖον γνώρισμα τῆς προδοσίας του ἔδωσεν; «Ἐκεῖνον ποὺ θὰ φιλήσω», λέγει. Εἶχεν ἐμπιστοσύνην εἰς τὴν ἐπιείκειαν τοῦ Διδασκάλου· αὐτὴν ἀκριβῶς ἡ ὁποία περισσότερον ἀπὸ κάθε ἄλλο ἦτο ἱκανὴ νὰ τὸν κάνῃ νὰ ἐντραπῇ καὶ νὰ τὸν στερήσῃ ἀπὸ κάθε συγγνώμην, διότι ἐπρόδωσεν Αὐτὸν ποὺ ἦτο τόσον πρᾶος.

Διατί δὲ τὸ εἶπεν αὐτό; Ἐπειδὴ πολλὲς φορές, ἐνῷ ἐκρατεῖτο ἀπὸ αὐτοὺς τοὺς διέφευγεν ἐπειδὴ δὲν τὸν ἐγνώριζαν. Ἀλλὰ αὐτὸ θὰ ἠμποροῦσε νὰ γίνῃ καὶ τότε, ἐὰν δὲν ἤθελεν Ἐκεῖνος νὰ συλληφθῇ. Ἐπειδὴ λοιπὸν ἤθελε νὰ τὸν διδάξῃ αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα, ἐτύφλωσε καὶ τότε τοὺς ὀφθαλμούς των καὶ ὁ ἴδιος ἐρωτοῦσε· «Ποῖον ζητεῖτε;»[3]. Καὶ δὲν τὸν ἐγνώριζαν, ἂν καὶ ἦσαν μὲ φανάρια καὶ δᾶδας καὶ εἶχαν καὶ τὸν Ἰούδαν μαζί των.

Ἔπειτα, ὅταν τοῦ εἶπαν ὅτι ζητοῦν τὸν Ἰησοῦν, λέγει· «Ἐγὼ εἶμαι αὐτὸς ποὺ ζητεῖτε»[4]· καὶ ἐδῶ πάλιν προσθέτει· «Φίλε, διατί ἦλθες;»[5]. Διότι ἀφοῦ ἔδειξε τὴν δύναμίν Του, τὸν συνεχώρησεν. Ὁ Ἰωάννης μάλιστα λέγει, ὅτι

θου τῆς ὥρας λέγων· «Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως;». Οὐδὲ τὸ σχῆμα τῆς προδοσίας αἰσχύνῃ; φησίν. Ἀλλ᾽ ὅμως ἐπειδὴ μηδὲ τοῦτο αὐτὸν διεκώλυσε, καὶ φιληθῆναι κατεδέξατο, καὶ ἔδωκεν ἑαυτὸν ἑκών, καὶ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας, καὶ ἐκράτησαν κατ᾽ αὐτὴν τὴν νύκτα, καθ᾽ ἣν τὸ Πάσχα ἔφαγον· οὕτως ἔζεον καὶ ἐμαίνοντο. Ἀλλ᾽ ὅμως οὐδὲν ἂν ἴσχυσαν, εἰ μὴ αὐτὸς συνεχώρησεν.

Οὐ μὴν τοῦτο ἀπαλλάττει τὸν Ἰούδαν τῆς ἀφορήτου κολάσεως, ἀλλὰ καὶ μειζόνως αὐτὸν καταδικάζει, ὅτι καὶ τῆς δυνάμεως αὐτοῦ τοσαύτην λαβὼν ἀπόδειξιν, καὶ τῆς ἐπιεικείας, καὶ τῆς πραότητος, καὶ τῆς ἡμερότητος, θηρίου παντὸς χαλεπώτερος γέγονε.

Ταῦτ᾽ οὖν εἰδότες, φεύγωμεν πλεονεξίαν. Ἐκείνη γὰρ αὐτόν, ἐκείνη τότε ἐξεβάκχευσεν· ἐκείνη πρὸς ἐσχάτην ὠμότητα καὶ ἀπανθρωπίαν γυμνάζει τοὺς ἁλόντας. Ὅταν γὰρ τῆς οἰκείας ἀπογνῶναι ποιῇ σωτηρίας, πολλῷ μᾶλλον τῆς τῶν ἄλλων ὑπερορᾶν παρασκευάζει. Καὶ οὕτω τυραννικόν ἐστι τὸ πάθος, ὡς καὶ τοῦ δριμυτάτου ἔρωτος τῶν σωμάτων περιγενέσθαι ποτέ. Διὸ καὶ σφόδρα ἐγκαλύπτομαι, ὅτι χρημάτων μὲν φειδόμενοι πολλάκις ἐχαλίνωσαν ἀκολασίαν πολλοί· διὰ δὲ τὸν τοῦ Χριστοῦ φόβον οὐκ ἠθέλησαν σωφρόνως ζῆν καὶ μετὰ σεμνότητος.

Διὸ δὴ φεύγωμεν αὐτήν· οὐ γὰρ παύσομαι ἀεὶ τοῦτο λέγων. Τί γὰρ συνάγεις, ἄνθρωπε, χρυσίον; τί τὴν δουλείαν πικροτέραν ἐργάζῃ; τί τὴν φυλακὴν χαλεπωτέραν; τί τὴν φροντίδα δριμυτέραν ποιεῖς; Νόμισον εἶναι σὰ τὰ ἐν τοῖς

---

6. Λουκᾶ 22, 48.

καὶ μέχρι αὐτὴν τὴν ὥραν προσεπάθει νὰ τὸν διορθώσῃ λέγων· «Ἰούδα, μὲ φίλημα παραδίδεις τὸν Υἱὸν τοῦ ἀνθρώπου;»[6]. Οὔτε τὸν τρόπον τῆς προδοσίας δὲν ἐντρέπεσαι, λέγει. Ἀλλ' ἐπειδὴ οὔτε αὐτὸ δὲν τὸν ἠμπόδισε, κατεδέχθη καὶ νὰ φιληθῇ, καὶ παρέδωσε θεληματικὰ τὸν ἑαυτόν Του καὶ τὸν συνέλαβαν καὶ τὸν ἐκράτησαν κατὰ τὴν νύκτα ἐκείνην κατὰ τὴν ὁποίαν ἔφαγαν τὸ πασχάλιον δεῖπνον· τόσον πολὺ ἔβραζαν καὶ ἦσαν κυριευμένοι ἀπὸ μανίαν. Ἀλλ' ὅμως τίποτε δὲν θὰ ἠμποροῦσαν νὰ κάνουν ἐὰν δὲν τοὺς ἐπέτρεπεν Ἐκεῖνος.

Τοῦτο ὅμως δὲν ἀπαλλάσσει τὸν Ἰούδαν ἀπὸ τὴν ἀνυπόφορον κόλασιν, ἀντιθέτως μάλιστα τὸν καταδικάζει περισσότερον, διότι ἂν καὶ εἶχε λάβει τόσον μεγάλην ἀπόδειξιν τῆς δυνάμεως καὶ τῆς ἐπιεικείας καὶ τῆς πραότητός Του, ἔγινε χειρότερος ἀπὸ κάθε θηρίον.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς ἀποφεύγωμεν τὴν πλεονεξίαν. Διότι ἐκείνη, ναί, ἐκείνη τὸν ἔκανε τότε νὰ μαίνεται. Ἐκείνη προγυμνάζει ὅσους κυριεύσει εἰς τὴν ἐσχάτην σκληρότητα καὶ ἀπανθρωπίαν. Διότι ὅταν τοὺς κάνῃ νὰ ἀπογοητευθοῦν διὰ τὴν σωτηρίαν τὴν ἰδικήν των, πολὺ περισσότερον τοὺς κάνει νὰ παραβλέπουν τὴν σωτηρίαν τῶν ἄλλων. Καὶ τόσον πολὺ τυραννικὸν εἶναι τὸ πάθος τῆς πλεονεξίας, ὥστε νὰ ὑπερισχύῃ ἐνίοτε καὶ αὐτοῦ τοῦ ἰσχυροτάτου σωματικοῦ ἔρωτος. Δι' αὐτὸ καὶ σκεπάζω τὸ πρόσωπόν μου ἀπὸ ἐντροπήν, διότι πολλοὶ ἐπειδὴ λυποῦνται τὰ χρήματα, κατώρθωσαν νὰ χαλιναγωγήσουν τὴν ἀκολασίαν των· ἀλλὰ δὲν ἠθέλησαν νὰ ζήσουν σωφρόνως καὶ μὲ σεμνότητα διὰ τὸν φόβον τοῦ Θεοῦ.

Δι' αὐτὸ λοιπὸν ἂς τὴν ἀποφεύγωμεν· διότι δὲν θὰ παύσω νὰ τὸ τονίζω διαρκῶς. Διότι διατί συνάγεις, ἄνθρωπέ μου, χρυσάφι; Διατί κάμνεις τὴν ὑποδούλωσίν σου πιὸ πικρήν. Διατί κάνεις τὴν φυλακὴν πιὸ χειροτέραν; Διατί κάνεις τὴν μέριμναν περισσότερον ἀγωνιώδη; Θεώρησε ὅτι εἶναι ἰδικά σου ὅλα τὰ ψήγματα τοῦ χρυσοῦ ποὺ εὑρί-

μετάλλοις κατωρυγμένα ψήγματα, τὰ ἐν τοῖς βασιλείοις. Καὶ γὰρ εἴπερ εἶχες τὸν ὄγκον ἐκεῖνον, ἐφύλαξας ἂν μόνον, καὶ οὐκ ἂν ἐχρήσω. Εἰ γὰρ νῦν τοῖς οὖσιν οὐ κέχρησαι, ἀλλ' ὡς ἀλλοτρίων ἀπέχῃ, πολλῷ μᾶλλον εἰ τὰ πλείονα εἶχες, τοῦτο ἂν ἔπαθες. Καὶ γὰρ εἰώθασιν οἱ φιλάργυροι, ὅσῳ ἂν πλείονα περιβάλλωνται, τοσούτῳ μᾶλλον αὐτῶν φείδεσθαι.

Ἀλλ' οἶδα, φησίν, ὅτι ἐμὰ ταῦτα. Οὐκοῦν ἐν ὑπολήψει μόνον, οὐκ ἐν ἀπολαύσει ἡ κτῆσις. Ἀλλ' ἔμελλον ἀνθρώποις εἶναι, φησί, φοβερός. Εὐχείρωτος μὲν οὖν μᾶλλον καὶ πλουσίοις καὶ πένησι, καὶ λῃσταῖς, καὶ συκοφάνταις, καὶ οἰκέταις, καὶ πᾶσιν ἁπλῶς τοῖς ἐπιβουλεύειν βουλομένοις, τούτοις ἂν ἐγένου. Εἰ γὰρ βούλει εἶναι φοβερός, ἔκκοπτε τὰς λαβάς, δι' ὧν δύνανταί σε ἑλεῖν καὶ λυπῆσαι πάντες οἱ τοῦτο ἐσπουδακότες. Ἢ οὐκ ἀκούεις τῆς παροιμίας λεγούσης, ὅτι τὸν πένητα καὶ γυμνὸν οὐδὲ ἑκατὸν ὁμοῦ συνελθόντες δύνανται ἀποδῦσαί ποτε; Μεγίστην γὰρ ἔχει προστάτιν τὴν πενίαν, ἣν οὐδὲ ὁ βασιλεύων αὐτὸς χειρώσασθαι δύναιτ' ἂν καὶ ἑλεῖν.

3. Τὸν μέντοι φιλάργυρον ἅπαντες ὁμοῦ λυποῦσι. Καὶ τί λέγω τοὺς ἀνθρώπους, ὅπου καὶ σῆτες καὶ σκώληκες ἐπιστρατεύουσι τῷ τοιούτῳ; Καὶ τί λέγω σῆτας; Ὁ χρόνος ὁ πολὺς ἀρκεῖ μόνος, καὶ μηδενὸς ἐνοχλοῦντος, τὰ μέγιστα ἀδικῆσαι τὸν τοιοῦτον. Τίς οὖν ἡ τοῦ πλούτου ἡδονή; Ἐγὼ μὲν γὰρ αὐτοῦ τὰς ἀηδίας βλέπω· σὺ δέ μοι τὴν ἡδονὴν εἰπέ. Καὶ τίνες αἱ ἀηδίαι; φησί. Φροντίδες, ἐπιβουλαί, ἀπέχθειαι, μῖσος, φόβος, τὸ ἀεὶ διψῆν καὶ ἐν ὀδύνῃ εἶναι. Καὶ γὰρ

σκονται παραχωμένα εἰς τὰ μεταλλεῖα, ὅλα ὅσα ὑπάρχουν εἰς τὰ ἀνάκτορα. Διότι ἐὰν εἶχες ὅλον ἐκεῖνον τὸν ὄγκον, μόνον θὰ τὸν ἐφύλασσες, δὲν θὰ τὸν ἐχρησιμοποιοῦσες. Διότι, ἐὰν τώρα δὲν χρησιμοποιῇς αὐτὰ ποὺ ἔχεις, ἀλλὰ ἀπέχεις ὡσὰν νὰ εἶναι ξένα, πολὺ περισσότερον θὰ τὸ ἐπάθαινες αὐτό, ἐὰν εἶχες περισσότερα. Διότι συνηθίζουν οἱ φιλάργυροι, μὲ ὅσον περισσότερα περιβάλλονται, τόσον περισσότερον νὰ τὰ λυποῦνται.

Γνωρίζω ὅμως, λέγει, ὅτι εἶναι ἰδικά μου. Ἄρα, ἡ ἀπόκτησίς των γίνεται μόνον διὰ τὴν ἐκτίμησιν καὶ ὄχι διὰ τὴν ἀπόλαυσιν. Ἀλλὰ θὰ ἐνέπνεα εἰς τοὺς ἀνθρώπους δέος, λέγει. Μᾶλλον εὐπρόσβλητος καὶ ἀπὸ τοὺς πλουσίους καὶ ἀπὸ τοὺς πτωχοὺς καὶ ἀπὸ τοὺς λῃστὰς καὶ τοὺς συκοφάντας καὶ τοὺς ὑπηρέτας καὶ γενικῶς ἀπὸ ὅλους ἐκείνους οἱ ὁποῖοι σκέπτονται κακὸν θὰ γινόσουν μὲ αὐτά. Διότι ἐὰν θέλῃς νὰ ἐμπνέῃς φόβον, ἀπόκοψε τὰς ἀφορμὰς μὲ τὰς ὁποίας ἠμποροῦν νὰ σὲ καταβάλουν καὶ νὰ σὲ λυπήσουν ὅλοι ὅσοι ἐπιθυμοῦν αὐτό. Ἢ δὲν ἀκούεις τὴν παροιμίαν ἡ ὁποία λέγει, ὅτι τὸν πτωχὸν καὶ γυμνόν, οὔτε ἑκατὸν ἄνδρες μαζὶ ἂν μαζευθοῦν, δὲν ἠμποροῦν ποτὲ νὰ τὸν απογυμνώσουν; Διότι ἔχει μεγάλην προστάτριάν του τὴν πενίαν, τὴν ὁποίαν οὔτε ὁ ἴδιος ὁ βασιλεὺς δὲν ἠμπορεῖ νὰ προσβάλῃ καὶ νὰ καταλάβῃ.

3. Τὸν μὲν λοιπὸν φιλάργυρον ὅλοι τὸν βλάπτουν. Καὶ διατί λέγω μόνον οἱ ἄνθρωποι, ἀφοῦ καὶ ὁ σκόρος καὶ οἱ σκώληκες ἐκστρατεύουν ἐναντίον του; Καὶ διατί ἀναφέρω μόνον τοὺς σκόρους; Ὁ πολὺς χρόνος ἀρκεῖ μόνος αὐτός, καὶ χωρὶς νὰ ὑπάρχῃ ἄλλος ποὺ νὰ τὸν ἐνοχλῇ, διὰ νὰ ἀδικήσῃ πάρα πολὺ τὸν φιλάργυρον. Ποία λοιπὸν εἶναι ἡ εὐχαρίστησις τοῦ πλούτου; Διότι ἐγὼ μὲν βλέπω μόνον τὰς ἀηδίας του· σὺ δὲ εἰπέ μου τὴν εὐχαρίστησιν. Καὶ ποῖαι εἶναι αἱ ἀηδίαι, λέγει. Αἱ φροντίδες, αἱ σκευωρίαι, αἱ ἀπέχθειαι, τὸ μῖσος, ὁ φόβος, τὸ ὅτι διαρκῶς διψᾷ καὶ εὑρίσκεται εἰς θλῖψιν. Διότι, ὅταν κανεὶς συνδεθῇ μὲ κόρην ἐρω-

εἴ τις συμπλέκοιτο κόρῃ ἐρωμένῃ, τὴν δὲ ἐπιθυμίαν ἐμπλῆσαι μὴ δύναιτο, τὴν ἐσχάτην ὑπομένει βάσανον.

Οὕτω καὶ ὁ πλουτῶν. Ἔχει μὲν γὰρ τὴν εὐπορίαν, καὶ συγγίνεται αὐτῇ· ἐμπλῆσαι δὲ οὐ δύναται τὴν ἐπιθυμίαν ἅπασαν, ἀλλὰ συμβαίνει ταυτόν, οἷόν τίς φησι σοφὸς ἀνήρ· «Ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεᾶνιν»· καί, «Ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον, καὶ στενάζων»· οὕτως οἱ πλουτοῦντες ἅπαντες. Τί ἂν τις ἄλλα λέγοι; πῶς πᾶσίν ἐστιν ἀηδὴς ὁ τοιοῦτος, τοῖς οἰκέταις, τοῖς γεωργοῖς, τοῖς γείτοσι, τοῖς τὰ πολιτικὰ πράττουσι, τοῖς ἀδικουμένοις, τοῖς οὐκ ἀδικουμένοις, τῇ γυναικὶ μάλιστα ἁπάντων, τοῖς παιδίοις πλέον ἁπάντων; Οὐδὲ γὰρ ὡς ἐλευθέρους, ἀλλ' ἀνδραπόδων καὶ ἀργυρωνήτων ἀθλιώτερον αὐτοὺς ἐκτρέφει. Καὶ μυρίας ὀργῆς καὶ λύπης καὶ παροινίας καὶ γέλωτος ἀφορμὰς καθ' ἑαυτοῦ παρέξει, κοινὴ πᾶσι κωμῳδία προκείμενος.

Καὶ αἱ μὲν ἀηδίαι αὗται, καὶ τούτων πλείους ἴσως· οὐ γὰρ ἄν τις αὐτὰς πάσας ἐπέλθοι τῷ λόγῳ ποτέ, ἀλλ' ἡ πεῖρα παραστῆσαι δυνήσεται. Σὺ δέ μοι τὴν ἡδονὴν λέγε τὴν ἐντεῦθεν. Δοκῶ πλουτεῖν, φησί, καὶ νομίζομαι πλουτεῖν. Καὶ ποία ἡδονὴ τὸ νομίζεσθαι; Φθόνου μὲν οὖν ὄνομα μέγιστον. Καὶ γὰρ ὄνομα μόνον ἐστὶν ὁ πλοῦτος, πράγματος ἔρημον.

Ἀλλὰ καὶ ἐντρυφῶν εὐφραίνεται τῇ ὑπολήψει ταύτῃ, φησίν, ὁ πλουτῶν. Εὐφραίνεται ὑπὲρ ὧν ἀλγεῖν ἔδει. Ἀλγεῖν; διατί; φησί. Ὅτι τοῦτο αὐτὸν πρὸς πάντα ἄχρηστον ἐργάζεται, καὶ δειλὸν καὶ ἄνανδρον καὶ πρὸς ἀποδημίαν καὶ πρὸς θάνατον· καὶ γὰρ διπλοῦν ἡγεῖται τοῦτον, μᾶλλον τῶν χρημάτων, ἢ τοῦ φωτὸς ἐπιθυμῶν. Τὸν τοιοῦτον οὐδὲ ὁ οὐ-

7. Ἐκκλ. 20, 4.

τευμένην καὶ δὲν ἠμπορῇ νὰ ἱκανοποιήσῃ τὴν ἐπιθυμίαν της, ὑπομένει τὴν πιὸ μεγάλην δοκιμασίαν.

Ἔτσι καὶ ὁ πλούσιος. Διότι ἔχει μὲν τὴν ἀφθονίαν καὶ τὴν συναναστρέφεται, ἀλλὰ δὲν ἠμπορεῖ νὰ ἱκανοποιήσῃ ὅλην τὴν ἐπιθυμίαν του καὶ συμβαίνει ἐκεῖνο τὸ ὁποῖον λέγει κάποιος σοφὸς ἄνδρας· «ἐπιθυμία εὐνούχου νὰ διακορεύσῃ παρθένον»[7]· καί, ὅπως ὁ εὐνοῦχος ἀγκαλιάζει παρθένον καὶ ἀναστενάζει, ἔτσι καὶ ὅλοι οἱ πλούσιοι. Διατί νὰ εἴπῃ κανεὶς καὶ τὰ ἄλλα; Ὅτι εἰς ὅλους ὁ φιλάργυρος εἶναι ἀηδής, εἰς τοὺς ὑπηρέτας, εἰς τοὺς γεωργούς, εἰς τοὺς γείτονας, εἰς ἐκείνους ποὺ ἀσχολοῦνται μὲ τὰς δημοσίας ὑποθέσεις, εἰς τὴν γυναῖκα του πιὸ πολὺ ἀπὸ ὅλους, εἰς τὰ παιδιά του περισσότερον ἀπὸ ὅλους; Διότι δὲν τοὺς ἀνατρέφει ὡς ἐλευθέρους, ἀλλὰ χειρότερα καὶ ἀπὸ αἰχμαλώτους καὶ δούλους ποὺ ἀπέκτησε μὲ χρήματα. Καὶ δίνει ἀπείρους ἀφορμὰς ὀργῆς καὶ λύπης καὶ συμπεριφορᾶς μεθυσμένου καὶ γελώτων εἰς βάρος του, γινόμενος εἰς ὅλους δημόσιον θέαμα.

Καὶ αἱ μὲν ἀηδίαι αὐταὶ εἶναι ἴσως καὶ περισσότεραι ἀπὸ αὐτάς, διότι δὲν εἶναι ποτὲ δυνατὸν νὰ τὰς ἀπαριθμήσῃ κανεὶς ὅλας μὲ τὸν λόγον, παρὰ μόνον ἡ πεῖρα ἠμπορεῖ νὰ τὰς παραστήσῃ. Σὺ ὅμως εἰπέ μου τὴν εὐχαρίστησιν ἡ ὁποία προέρχεται ἀπὸ αὐτό. Νομίζω ὅτι πλουτίζω, λέγει, καὶ φαίνομαι ὅτι πλουτίζω. Καὶ ποίαν εὐχαρίστησιν προκαλεῖ τὸ νὰ θεωρεῖσαι πλούσιος; Ἔχεις ὄνομα μεγάλο διὰ φθόνον. Διότι μόνον ὄνομα εἶναι ὁ πλοῦτος, χωρὶς ἀξίαν.

Ἀλλὰ καὶ ὅταν ἀπολαμβάνῃ αὐτὴν τὴν ἰδέαν ποὺ ἔχει ὁ κόσμος περὶ αὐτοῦ ὁ πλούσιος χαίρεται, λέγει. Χαίρεται δι' ἐκεῖνα ποὺ ἔπρεπε νὰ θλίβεται. Νὰ θλίβεται; Διατί; Διότι αὐτὸ τὸν κάμνει πρὸς ὅλα ἄχρηστον καὶ δειλὸν καὶ ἄνανδρον καὶ πρὸς ἀποδημίαν καὶ πρὸς θάνατον· διότι αὐτὸν τὸν νομίζει διπλοῦν, ἐπειδὴ ἐπιθυμεῖ περισσότερον τὰ χρήματα παρὰ τὸ φῶς. Αὐτὸν οὔτε ὁ οὐρανὸς τὸν εὐχα-

ρανὸς τέρπει, ὅτι μὴ χρυσίον φέρει· οὐδὲ ὁ ἥλιος, ἐπειδὴ μὴ χρυσᾶς ἀκτῖνας ἀφίησιν.

Ἀλλ' εἰσί τινες, οἳ καὶ ἀπολαύουσι τῶν ὄντων, φησί, τρυφῶντες, γαστριζόμενοι, μεθίοντες, πολυτελῶς δαπανῶντες. Τοὺς χείρονάς μοι τούτων λέγεις. Ἐκεῖνοι γὰρ μάλιστά εἰσιν, οἳ οὐκ ἀπολαύουσιν. Οὗτος μὲν γὰρ κἂν ἑτέρων ἀπέχεται κακῶν, ἑνὶ προσδεδεμένος ἔρωτι· ἐκεῖνοι δὲ τούτων χείρους, πρὸς τοῖς εἰρημένοις ἑτέρων δεσποινῶν χαλεπῶν συρφετὸν ἐπεισάγοντες, καὶ καθάπερ τυράννοις τισὶ χαλεποῖς, τῇ γαστρί, τῇ τῶν σωμάτων ἡδονῇ, τῇ μέθῃ, καὶ ταῖς ἄλλαις ἀκολασίαις καθ' ἑκάστην λειτουργοῦντες τὴν ἡμέραν, πόρνας τρέφοντες, δεῖπνα πολυτελῆ κατασκευάζοντες, παρασίτους, κόλακας ὠνούμενοι, ἐπὶ τοὺς παρὰ φύσιν ἐκπίπτοντες ἔρωτας, μυρίοις νοσήμασιν ἐκ τούτων καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν περιβάλλοντες. Οὐδὲ γὰρ εἰς χρείαν ἀναλίσκουσι τὰ ὄντα, ἀλλ' εἰς τὸ φθεῖραι τὸ σῶμα, καὶ συνδιαφθεῖραι τούτῳ τὴν ψυχήν· καὶ ταὐτὸν ποιοῦσιν, οἷον ἂν εἴ τις τὸ σῶμα κοσμῶν, δοκοίη εἰς τὴν ἑαυτοῦ χρείαν ἀναλίσκειν.

Ὥστε ἐκεῖνος μόνος ἡδονῆς ἀπολαύει, καὶ κύριός ἐστι τῶν ὄντων, ὁ χρώμενος εἰς δέον τῷ πλούτῳ· οὗτοι δὲ δοῦλοι καὶ αἰχμάλωτοι· καὶ γὰρ τὰ πάθη τοῦ σώματος ἐπιτρίβουσι, καὶ τὰ νοσήματα τῆς ψυχῆς. Ποία οὖν αὕτη ἀπόλαυσις, ὅπου πολιορκία καὶ πόλεμος, καὶ χειμὼν θαλαττίας πάσης ζάλης χαλεπώτερος; Κἂν γὰρ ἀνοήτους ὁ πλοῦτος λάβῃ, ἀνοητοτέρους ἐργάζεται· κἂν ἀσελγεῖς, ἀσελγεστέρους.

Καὶ τί τῷ πένητι, φησί, τῆς συνέσεως ὄφελος; Εἰκότως ἀγνοεῖς. Οὐδὲ γὰρ ὁ τυφλὸς οἶδε, τί τοῦ φωτὸς τὸ κέρδος.

ριστεῖ, ἐπειδὴ δὲν ἀποφέρει χρυσάφι· οὔτε ὁ ἥλιος, ἐπειδὴ δὲν ρίπτει χρυσᾶς ἀκτῖνας.

Ὑπάρχουν ὅμως μερικοί, οἱ ὁποῖοι ἀπολαμβάνουν τὰ ὑπάρχοντά των, λέγει, διάγοντες βίον ἄσωτον, τρώγοντες ὑπερβολικά, μεθύοντες, σπαταλῶντες ἀφειδῶς. Μοῦ ἀναφέρεις τοὺς χειροτέρους ἀπὸ αὐτούς. Διότι ἐκεῖνοι πρὸ πάντων εἶναι ποὺ δὲν ἀπολαμβάνουν τίποτε. Διότι, αὐτὸς μὲν καὶ ὅταν ἀπέχῃ ἀπὸ ἄλλα κακά, εἶναι προσηλωμένος εἰς ἕνα ἔρωτα. Ἐνῷ ἐκεῖνοι εἶναι χειρότεροι ἀπὸ αὐτούς, διότι ἐκτὸς ἀπὸ ἐκεῖνα ποὺ εἴπαμεν προσθέτουν καὶ ὁλόκληρον συρφετὸν ἄλλων φοβερῶν κυριῶν, καὶ ἐπιδίδονται καθημερινά, ὡς εἰς ἄλλους σκληροὺς τυράννους, εἰς τὴν γαστέρα, εἰς τὴν ἡδονὴν τῆς σαρκός, εἰς τὴν μέθην καὶ εἰς τὰς ἄλλας ἀκολασίας, τρέφοντες πόρνας, παραθέτοντες πολυτελῆ δεῖπνα, ἀγοράζοντες κόλακας ὡς συνδαιτυμόνας, ἐπιδιδόμενοι εἰς τοὺς παρὰ φύσιν ἔρωτας, περιβάλλοντες καὶ τὸ σῶμα καὶ τὴν ψυχήν των μὲ μύρια νοσήματα ποὺ προέρχονται ἀπὸ ὅλα αὐτά. Διότι δὲν ἐξοδεύουν τὰ ὑπάρχοντα διὰ νὰ ἱκανοποιήσουν τὴν ἀνάγκην, ἀλλὰ διὰ νὰ καταστρέψουν τὸ σῶμα καὶ μαζὶ μὲ αὐτὸ νὰ καταστρέψουν καὶ τὴν ψυχήν. Καὶ κάνουν τὸ ἴδιον, ὅπως ὅταν κάποιος στολίζῃ τὸ σῶμα του, νομίζει ὅτι ἐξοδεύει διὰ νὰ καλύψῃ τὰς ἀνάγκας του.

Ὥστε, μόνον ἐκεῖνος ἀπολαμβάνει τὴν ἡδονὴν καὶ εἶναι κύριος τῶν ὑπαρχόντων του, ὁ ὁποῖος χρησιμοποιεῖ τὸν πλοῦτον ἐκεῖ ποὺ πρέπει· αὐτοὶ δὲ εἶναι δοῦλοι καὶ αἰχμάλωτοι· διότι ἐρεθίζουν τὰ πάθη τοῦ σώματος καὶ τὰ νοσήματα τῆς ψυχῆς. Τί εἴδους λοιπὸν εἶναι αὐτὴ ἡ ἀπόλαυσις, ὅταν ὑπάρχῃ πολιορκία καὶ πόλεμος καὶ πάθος χειρότερον ἀπὸ κάθε θαλασσοταραχήν; Διότι, ἐὰν ὁ πλοῦτος κυριεύσῃ ἀνοήτους, τοὺς κάνει ἀνοητοτέρους· ἐὰν κυριεύσῃ ἀσελγεῖς, τοὺς κάνει περισσότερον ἀσελγεῖς.

Καὶ ποῖον εἶναι τὸ ὄφελος τοῦ πτωχοῦ, λέγει, ἀπὸ τὴν σύνεσίν του; Ὀρθῶς τὸ ἀγνοεῖς. Διότι οὔτε ὁ τυφλὸς

Ἄκουσον τοῦ Σολομῶνος λέγοντος, ὅτι «Ὅσον τὸ μέσον σκότους καὶ φωτός, τοσαύτη ἡ περιουσία τοῦ σοφοῦ ὑπὲρ τὸν ἄφρονα». Ἀλλὰ τὸν ἐν σκότῳ πῶς διδάξομεν; Σκότος γάρ ἐστιν ὁ τῶν χρημάτων ἔρως, οὐδὲν ἀφιεὶς τῶν ὄντων φαίνεσθαι ὡς ἔστιν, ἀλλ' ἑτέρως. Καθάπερ γὰρ ὁ ἐν σκότῳ, κἂν χρυσοῦν ἴδῃ σκεῦος, κἂν λίθον τίμιον, κἂν ἁλουργὰ ἱμάτια, οὐδὲν εἶναι νομίζει· οὐ γὰρ ὁρᾷ αὐτῶν τὸ κάλλος· οὕτω καὶ ὁ ἐν φιλαργυρίᾳ οὐκ οἶδε τῶν περισπουδάστων, ὡς χρή, τὸ κάλλος. Διασκέδασόν μοι τὴν ἀχλὺν τὴν ἀπὸ τοῦ πάθους τούτου, καὶ τότε ὄψει τῶν πραγμάτων τὴν φύσιν. Οὐδαμοῦ δὲ ταῦτα οὕτω φαίνεται, ὡς ἐν πενίᾳ· οὐδαμοῦ οὕτως ἐλέγχεται τὰ δοκοῦντα μὲν εἶναι, οὐκ ὄντα δέ, ὡς ἐν φιλοσοφίᾳ.

4. Ἀλλ' ὢ τῶν ἀνοήτων ἀνθρώπων, οἳ καὶ καταρῶνται τοῖς πένησι, καί φασι καταισχύνεσθαι καὶ οἰκίας καὶ βίον ὑπὸ πενίας· πάντα φύροντες. Τί γάρ ἐστιν αἰσχύνη οἰκίας; εἰπέ μοι. Οὐκ ἔχει κλίνην ἐξ ἐλέφαντος, οὐδὲ ἀργυρᾶ σκεύη, ἀλλ' ἐξ ὀστράκου πάντα καὶ ξύλων. Τοῦτο μὲν οὖν μεγίστη δόξα οἰκίας καὶ περιφάνεια. Τὸ γὰρ τῶν βιωτικῶν ἀμελεῖν εἰς τὴν ἐπιμέλειαν τῆς ψυχῆς πολλάκις ποιεῖ τὴν σχολὴν ἀναλίσκεσθαι πᾶσαν.

Ὅταν οὖν πολλὴν ἐν τοῖς ἔξω τὴν ἐπιμέλειαν ἴδῃς, τότε αἰσχύνθητι ἐπὶ τῇ πολλῇ ἀσχημοσύνῃ. Σχῆμα γὰρ μάλιστα αἱ τῶν πλουτούντων οὐκ ἔχουσιν οἰκίαι. Ὅταν γὰρ ἴδῃς ξύλα περιβεβλημένα τάπησι, καὶ κλίνας ἀργύρῳ ἐνδεδεμέ-

8. Ἐκκλ. 2, 13.

γνωρίζει, ποῖον εἶναι τὸ κέρδος τοῦ φωτός. Ἄκουσε τὸν Σολομῶντα ὁ ὁποῖος λέγει ὅτι «Ὅση εἶναι ἡ διαφορὰ μεταξὺ σκότους καὶ φωτός, τόσον μεγάλη εἶναι ἡ ὑπεροχὴ τοῦ σοφοῦ ἀπὸ τὸν ἄφρονα»[8].

Ἀλλὰ πῶς θὰ διδάξωμεν αὐτὸν ποὺ εὑρίσκεται εἰς τὸ σκότος; Διότι σκότος εἶναι ὁ ἔρως τῶν χρημάτων, ὁ ὁποῖος δὲν ἀφήνει τίποτε ἀπὸ τὰ ὑπάρχοντα νὰ φαίνεται ὅπως εἶναι, ἀλλὰ τὰ παρουσιάζει διαφορετικά. Διότι ὅπως ἐκεῖνος ποὺ εὑρίσκεται εἰς τὸ σκότος, καὶ ἂν ἀκόμη ἴδῃ χρυσοῦν σκεῦος, ἢ λίθον πολύτιμον, ἢ πολυτελῆ ἐνδύματα, νομίζει ὅτι δὲν εἶναι τίποτε· διότι δὲν βλέπει τὴν ὡραιότητά των· ἔτσι καὶ ἐκεῖνος ποὺ ἔχει κυριευθῆ ἀπὸ τὴν φιλαργυρίαν, δὲν γνωρίζει τὴν ὡραιότητα τῶν ἀξιολόγων πραγμάτων ὅσον πρέπει. Κάνε μου τὴν χάριν νὰ διαλύσῃς τὴν ὁμίχλην ποὺ προέρχεται ἀπὸ τὸ πάθος αὐτό, καὶ τότε θὰ ἴδῃς τὰ πράγματα ὅπως ἀκριβῶς εἶναι. Πουθενὰ δὲ αὐτὰ δὲν φαίνονται τόσον καλά, ὅσον εἰς τὴν πενίαν· πουθενὰ δὲν ἐλέγχονται τόσον καλὰ ἐκεῖνα τὰ ὁποῖα φαίνονται ὅτι εἶναι, ἐνῷ δὲν εἶναι, ὅσον εἰς τὴν ἐγκαρτέρησιν.

4. Ἀλλὰ πόσον ἀνόητοι ἄνθρωποι εἶναι ἐκεῖνοι οἱ ὁποῖοι καταρῶνται τοὺς πτωχοὺς καὶ λέγουν ὅτι καταντροπιάζονται καὶ αἱ οἰκίαι καὶ ἡ ζωὴ ἀπὸ τὴν πενίαν, ἀνακατεύοντες τὰ πάντα! Διότι, εἰπέ μου, τί εἶναι ἐντροπὴ τῆς οἰκίας; Δὲν ἔχει κλίνην ἀπὸ ἐλεφαντοστοῦν, οὔτε ἀργυρᾶ σκεύη, ἀλλὰ ὅλα εἶναι πήλινα καὶ ξύλινα. Αὐτὸ μὲν λοιπὸν εἶναι ἡ πιὸ μεγάλη δόξα καὶ τὸ καύχημα τῆς οἰκίας. Διότι ἡ ἀμέλεια τῶν βιωτικῶν πολλάκις κάμνει ὥστε νὰ καταναλίσκεται ὅλος ὁ ἐλεύθερος χρόνος εἰς τὴν φροντίδα τῆς ψυχῆς.

Ὅταν λοιπὸν ἰδῇς μεγάλην φροντίδα διὰ τὰ ἐξωτερικά, τότε νὰ ἐντραπῇς διὰ τὴν πολλὴν ἀσχημοσύνην. Διότι ἀκριβῶς αἱ οἰκίαι τῶν πλουσίων δὲν ἔχουν ὀμορφιάν. Διότι ὅταν βλέπῃς ξύλα νὰ εἶναι περιβεβλημένα μὲ τάπητας καὶ κρεβάτια νὰ εἶναι ἐπενδεδυμένα μὲ ἄργυρον, ὅπως εἰς τὸ

νας, ὥσπερ ἐν τῷ θεάτρῳ, ὥσπερ ἐν τῇ πομπῇ τῆς σκηνῆς, τί ταύτης τῆς ἀσχημοσύνης ἴσον γένοιτ' ἄν; Ποία γὰρ μᾶλλον οἰκία ἔοικε τῇ ὀρχήστρᾳ καὶ τοῖς ἐπὶ τῆς ὀρχήστρας; ἡ τοῦ πλουσίου, ἢ ἡ τοῦ πένητος; Οὐκ εὔδηλον, ὅτι ἡ τοῦ πλουσίου; Οὐκοῦν αὕτη ἀσχημοσύνης γέμει. Ποία οἰκία ἔοικε τῇ τοῦ Παύλου, τῇ τοῦ Ἀβραάμ; Εὔδηλον ὅτι ἡ τοῦ πένητος. Οὐκοῦν αὕτη μάλιστα κεκαλλώπισται καὶ εὐδοκιμεῖ.

Καὶ ἵνα μάθῃς ὅτι τοῦτο μάλιστα κόσμος οἰκίας, εἴσελθε εἰς τὴν οἰκίαν τοῦ Ζακχαίου, καὶ μάθε, ὅτε ἔμελλεν εἰς αὐτὴν εἰσιέναι ὁ Χριστός, πῶς αὐτὴν ἐκόσμησεν ἐκεῖνος. Οὐ γὰρ ἔδραμε πρὸς τοὺς γείτονας, ἀμφίθυρα αἰτῶν καὶ καθέδρας καὶ βάθρα ἐξ ἐλέφαντος πεποιημένα, οὐδὲ ἐξέβαλεν ἐκ τῶν ταμιείων τὰ ἐπιβλήματα τὰ Λακωνικά· ἀλλ' ἐκόσμησε κόσμῳ τῷ Χριστῷ πρέποντι. Τίς δὲ οὗτος ἦν; «Τὰ ἡμίση τῶν ὑπαρχόντων μου δώσω», φησί, «πτωχοῖς, καὶ οὗ ἂν ἥρπασα, τετραπλασίονα ἀποδώσω».

Οὕτω καὶ ἡμεῖς κοσμῶμεν τὰς οἰκίας, ἵνα καὶ πρὸς ἡμᾶς εἰσέλθῃ ὁ Χριστός. Ταῦτα καλὰ τὰ ἀμφίθυρα, ταῦτα ἐν οὐρανοῖς κατασκευάζεται, ἐκεῖ ὑφαίνεται. Ἔνθα ἂν ταῦτα ᾖ, ἐκεῖ καὶ ὁ τῶν οὐρανῶν βασιλεύς. Ἂν δὲ ἑτέρως κοσμῇς, τὸν διάβολον καλεῖς, καὶ τὸν ἐκείνου χορόν.

Ἦλθε καὶ εἰς τὴν οἰκίαν τοῦ τελώνου Ματθαίου. Τί οὖν καὶ οὗτος ἐποίησε; Τῇ προθυμίᾳ πρότερον ἑαυτὸν ἐκόσμησε, καὶ τῷ πάντα ἀφεῖναι καὶ ἀκολουθῆσαι αὐτῷ. Οὕτω καὶ ὁ Κορνήλιος ἐκόσμει τὴν οἰκίαν εὐχαῖς καὶ ἐλεημοσύναις· διὸ καὶ μέχρι σήμερον ὑπὲρ αὐτὰ λάμπει τὰ βασίλεια. Καὶ γὰρ οἰκίας εὐτέλεια, οὐ σκεύη κείμενα ἁπλῶς, οὐδὲ κλί-

---

9. Λουκᾶ 19, 8.
10. Ματθ. 9, 9-10.
11. Πράξ. 10, 4.

θέατρον, ὅπως εἰς τὴν διαπόμπευσιν τῆς σκηνῆς, τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἰσάξιον μὲ αὐτὴν τὴν ἀσχημοσύνην; Διότι ποία οἰκία ὁμοιάζει περισσότερον πρὸς τὴν ὀρχήστραν καὶ τὰ ὅσα εὑρίσκονται εἰς τὴν ὀρχήστραν; Ἡ οἰκία τοῦ πλουσίου, ἢ τοῦ πτωχοῦ; Δὲν εἶναι ὁλοφάνερον ὅτι ἡ τοῦ πλουσίου; Ἑπομένως αὐτὴ εἶναι γεμάτη ἀσχημοσύνη. Ποία οἰκία ὁμοιάζει πρὸς τὴν τοῦ Παύλου ἢ τοῦ Ἀβραάμ; Εἶναι ὁλοφάνερον ὅτι ἡ οἰκία τοῦ πτωχοῦ. Ἑπομένως αὐτὴ εἶναι πράγματι καλλωπισμένη καὶ ἔχει καλὴν φήμην.

Καὶ διὰ νὰ μάθῃς ὅτι αὐτὸ ἀκριβῶς εἶναι ὁ κατ' ἐξοχὴν διάκοσμος τῆς οἰκίας, εἴσελθε εἰς τὴν οἰκίαν τοῦ Ζακχαίου καὶ μάθε πῶς τὴν διεκόσμησεν ἐκεῖνος ὅταν ἐπρόκειτο νὰ εἰσέλθῃ εἰς αὐτὴν ὁ Χριστός. Διότι δὲν ἔτρεξεν εἰς τοὺς γείτονας ζητῶν παραπετάσματα καὶ καθίσματα καὶ βάθρα καμωμένα ἀπὸ ἐλεφαντοστοῦν, οὔτε ἔβγαλεν ἀπὸ τὰς ἀποθήκας τὰ καλύμματα τὰ λακωνικά, ἀλλὰ ἐστόλισε τὴν οἰκίαν μὲ διάκοσμον ὁ ὁποῖος ἐταίριαζεν εἰς τὸν Χριστόν. Ποῖος δὲ ἦτο αὐτός; «Τὰ μισὰ ἀπὸ τὰ ὑπάρχοντά μου, λέγει, θὰ τὰ δώσω εἰς τοὺς πτωχούς, καὶ εἰς ἐκεῖνον ἀπὸ τὸν ὁποῖον ἥρπασα, θὰ σοῦ δώσω περισσότερα»[9].

Ἔτσι καὶ ἐμεῖς ἂς διακοσμοῦμεν τὰς οἰκίας μας, διὰ νὰ εἰσέλθῃ καὶ εἰς ἡμᾶς ὁ Χριστός. Αὐτὰ εἶναι καλὰ παραπετάσματα, αὐτὰ κατασκευάζονται εἰς τοὺς οὐρανούς, ἐκεῖ ὑφαίνονται. Ὅπου ὑπάρχουν αὐτὰ ἐκεῖ ἔρχεται καὶ ὁ βασιλεὺς τῶν οὐρανῶν. Ἐὰν δὲ ἀλλιῶς διακοσμῇς τὴν οἰκίαν σου, τότε προσκαλεῖς τὸν διάβολον καὶ τὴν ἀκολουθίαν ἐκείνου.

Ἦλθε καὶ εἰς τὴν οἰκίαν τοῦ τελώνου Ματθαίου[10]. Τί λοιπὸν ἔκανε καὶ αὐτός; Μὲ τὴν προθυμίαν ἐκόσμησε κατ' ἀρχὴν τὸν ἑαυτόν του καὶ μὲ τὸ νὰ ἐγκαταλείψῃ τὰ πάντα καὶ νὰ τὸν ἀκολουθήσῃ. Ἔτσι καὶ ὁ Κορνήλιος ἐστόλιζε τὴν οἰκίαν του μὲ προσευχὰς καὶ ἐλεημοσύνας[11], δι' αὐτὸ καὶ μέχρι σήμερα λάμπει περισσότερον καὶ ἀπὸ αὐτὰ τὰ ἀνάκτορα. Διότι εὐτέλεια τῆς οἰκίας δὲν εἶναι τὰ ἁπλᾶ

νη ἠμελημένη, οὐδὲ τοῖχοι καπνοῦ γέμοντες, ἀλλ' ἡ τῶν ἐνοικούντων κακία. Καὶ δείκνυσιν ὁ Χριστός· εἰς μὲν γὰρ τὴν τοιαύτην, ἂν ᾖ ἐνάρετος ὁ κατοικῶν, οὐκ ἐπαισχύνεται εἰσελθεῖν· εἰς δὲ ἐκείνην, κἂν χρυσοῦν ὄροφον ἔχῃ, οὐδέποτε εἰσελεύσεται.

Ὥστε αὕτη μὲν τῶν βασιλείων λαμπροτέρα, τὸν πάντων Δεσπότην δεχομένη· ἐκείνη δέ, μετὰ τοῦ ὀρόφου τοῦ χρυσοῦ καὶ τῶν κιόνων, ἀμάραις καὶ ὀχετοῖς ἔοικεν ἀκαθάρτοις, σκεύη τοῦ διαβόλου ἔχουσα. Ταῦτα δὲ ἡμῖν οὐ περὶ τῶν πλουτούντων εἰς δέον, ἀλλὰ περὶ τῶν πλεονεκτούντων καὶ φιλαργύρων εἴρηται. Οὐδὲ γὰρ ἐκεῖ σπουδή, οὐδὲ φροντὶς ὑπὲρ τῶν ἀναγκαίων, ἀλλ' ὑπὲρ τοῦ γαστρίζεσθαι καὶ μεθύειν, καὶ ἕτερα τοιαῦτα ἀσχημονεῖν· ἐνταῦθα δὲ ὑπὲρ τοῦ φιλοσοφεῖν. Διὰ ταῦτα οὐδαμοῦ εἰσῆλθεν εἰς οἰκίαν λαμπρὰν ὁ Χριστός, ἀλλ' εἰς τὴν τοῦ τελώνου καὶ ἀρχιτελώνου καὶ ἁλιέως, τὰ βασίλεια ἀφείς, καὶ τοὺς τὰ μαλακὰ ἐνδεδυμένους ἱμάτια.

Εἰ τοίνυν αὐτὸν βούλει καλέσαι καὶ σύ, κόσμησον τὴν οἰκίαν ἐλεημοσύναις, εὐχαῖς, ἱκετηρίαις, παννυχίσι. Ταῦτα τοῦ βασιλέως Χριστοῦ τὰ ἀναθήματα, ἐκεῖνα δὲ τοῦ μαμωνᾶ, τοῦ ἐχθροῦ τοῦ Χριστοῦ. Μηδεὶς τοίνυν ἐγκαλυπτέσθω οἰκίαν ἔχων εὐτελῆ, ἂν ταῦτα ἔχῃ τὰ ἐπιβλήματα· μηδεὶς πλούσιος φρονείτω μέγα, οἰκίαν ἔχων πολυτελῆ, ἀλλ' ἐγκαλυπτέσθω μᾶλλον, καὶ ταύτην ζηλούτω, ἐκείνην ἀφείς· ἵνα καὶ ἐνταῦθα τὸν Χριστὸν ὑποδέξηται, καὶ ἐκεῖ τῶν αἰωνίων ἀπολαύσῃ σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σκεύη, οὔτε τὸ κρεβάτι τὸ παρημελημένον, οὔτε οἱ τοῖχοι ποὺ εἶναι γεμᾶτοι καπνούς, ἀλλὰ ἡ κακία αὐτῶν ποὺ κατοικοῦν μέσα εἰς αὐτήν. Καὶ αὐτὸ τὸ δείχνει ὁ Χριστός· διότι εἰς αὐτὴν μέν, ἐὰν ὁ ἔνοικος εἶναι ἐνάρετος, δὲν ἐντρέπεται νὰ εἰσέλθῃ· ἐνῷ εἰς ἐκείνην, καὶ ἐὰν ἀκόμῃ ἔχῃ χρυσῆν ὀροφήν, δὲν θὰ εἰσέλθῃ ποτέ.

Ὥστε αὐτὴ μὲν εἶναι πιὸ μεγαλοπρεπὴς ἀπὸ τὰ ἀνάκτορα, ἀφοῦ δέχεται τὸν Δεσπότην τῶν ὅλων· ἐνῷ ἐκείνη, μὲ τὴν χρυσῆν ὀροφὴν καὶ τοὺς κίονας, ὁμοιάζει μὲ ὑπονόμους καὶ ὀχετοὺς ἀκαθάρτους, διότι ἔχει σκεύη τοῦ διαβόλου. Αὐτὰ δὲ τὰ εἴπαμεν ὄχι ὅπως ἔπρεπε διὰ τοὺς πλουσίους, ἀλλὰ διὰ τοὺς πλεονέκτας καὶ τοὺς φιλαργύρους. Διότι οὔτε ἐκεῖ ὑπάρχει προθυμία ἢ φροντὶς διὰ τὰ ἀπαραίτητα, ἀλλὰ μόνον διὰ νὰ τρώγουν ὑπερβολικὰ καὶ νὰ μεθύουν καὶ νὰ κάνουν ἄλλας παρομοίας ἀσχημοσύνας. Ἐνῷ ἐδῶ φροντίζουν νὰ ἐγκαρτεροῦν. Δι' αὐτὸ ὁ Χριστὸς πουθενὰ δὲν εἰσῆλθεν εἰς οἰκίαν πολυτελῆ, ἀλλὰ εἰς τὴν οἰκίαν τοῦ τελώνου καὶ τοῦ ἀρχιτελώνου καὶ τοῦ ἁλιέως, ἀφήσας τὰ ἀνάκτορα καὶ ἐκείνους ποὺ ἐφοροῦσαν ἁπαλὰ ἐνδύματα.

Ἐὰν λοιπὸν θέλῃς νὰ τὸν καλέσῃς καὶ σύ, στόλισε τὴν οἰκίαν μὲ ἐλεημοσύνας, προσευχάς, δεήσεις, παννυχίδας. Αὐτὰ εἶναι τὰ ἀφιερώματα τοῦ βασιλέως Χριστοῦ, ἐνῷ ἐκεῖνα τοῦ μαμωνᾶ, τοῦ ἐχθροῦ τοῦ Χριστοῦ. Κανεὶς λοιπὸν ἂς μὴ κρύπτεται ἐπειδὴ ἔχει εὐτελῆ οἰκίαν, ἐὰν ἔχῃ αὐτὰ τὰ καλύμματα· κανεὶς πλούσιος ἂς μὴ καυχᾶται, ἐπειδὴ ἔχει πολυτελῆ οἰκίαν, ἀλλὰ ἂς κρύβεται ἀπὸ ἐντροπὴν καὶ ἂς ζηλεύῃ αὐτήν, ἀφοῦ ἀφήσῃ ἐκείνην· διὰ νὰ ὑποδεχθῇ καὶ ἐδῶ τὸν Χριστὸν καὶ ἐκεῖ νὰ ἀξιωθῇ τῶν αἰωνίων σκηνῶν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΔ΄.

Ματθ. 26, 51-66

«*Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψον τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. Ἢ δοκεῖς ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα, καὶ παραστήσει μοι ἄρτι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς οὖν πληρωθῶσιν αἱ Γραφαί, ὅτι οὕτω δεῖ γενέσθαι;*».

1. Τίς ἦν ὁ εἷς οὗτος ὁ τὸ ὠτίον κόψας; Ἰωάννης φησίν, ὅτι ὁ Πέτρος. Τῆς γὰρ αὐτοῦ θερμότητος ἦν τὸ πρᾶγμα. Ἀλλ' ἐκεῖνο ἄξιον ζητῆσαι, τίνος ἕνεκεν μαχαίρας ἐβάσταζον; Ὅτι γὰρ ἐβάσταζον, οὐκ ἐντεῦθεν δῆλον μόνον, ἀλλὰ καὶ ἐξ ὧν ἐρωτηθέντες εἶπον, ὅτι «Εἰσὶν ὧδε δύο». Τίνος δὲ ἕνεκεν καὶ ἐπέτρεψεν αὐτοῖς ὁ Χριστὸς ἔχειν; Καὶ γὰρ τοῦτό φησιν ὁ Λουκᾶς, ὅτι εἶπεν αὐτοῖς· «Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε;». Καὶ ἐπειδὴ εἶπον, οὐδενός, εἶπεν αὐτοῖς· «Ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον, ἀράτω καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν». Καὶ ἐπειδὴ εἶπον, ὅτι «Εἰσὶ μάχαιραι ὧδε δύο», εἶπεν αὐτοῖς, «Ἱκανόν ἐστι».

Τίνος οὖν ἕνεκεν εἴασεν ἔχειν; Πιστούμενος αὐτούς, ὅτι παραδοθήσεται. Διὰ τοῦτο λέγει αὐτοῖς, «Ἀγορασάτω μάχαιραν»· οὐχ ἵνα ὁπλίσωνται· ἄπαγε· ἀλλὰ διὰ τούτου τὴν παράδοσιν δηλῶν. Καὶ τίνος ἕνεκεν καὶ πήραν φησίν; Ἐ-

---

1. Ἰω. 18, 10.
2. Λουκᾶ 22, 38
3. Λουκᾶ 22, 35.
4. Αὐτόθι 36.
5. Αὐτόθι 38.

ΟΜΙΛΙΑ ΠΔ΄.

Ματθ. 26, 51-66

«Καὶ ἕνας ἀπὸ ἐκείνους ποὺ ἦσαν μὲ τὸν Ἰησοῦν, ἅπλωσε τὸ χέρι καὶ ἔβγαλε τὸ μαχαίρι του καὶ ἐκτύπησε τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ τοῦ ἔκοψε τὸ αὐτί. Τότε τοῦ λέγει ὁ Ἰησοῦς· Βάλε πάλιν τὸ μαχαίρι εἰς τὴν θέσιν του, διότι ὅλοι ὅσοι κρατοῦν μαχαίρι μὲ μαχαίρι θὰ ἀποθάνουν. Ἢ νομίζεις ὅτι δὲν ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα μου καὶ νὰ βάλῃ ἀμέσως εἰς τὴν διάθεσίν μου περισσοτέρας ἀπὸ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς ὅμως θὰ ἐκπληρωθοῦν αἱ Γραφαὶ ποὺ λέγουν ὅτι ἔτσι πρέπει νὰ γίνῃ;».

1. Ποῖος ἦτο αὐτὸς ὁ ἕνας ὁ ὁποῖος ἔκοψε τὸ αὐτί; Ὁ Ἰωάννης λέγει ὅτι ἦτο ὁ Πέτρος[1]. Διότι ἦτο ἐνέργεια τῆς ἰδιοσυγκρασίας του. Ἐκεῖνο ὅμως ποὺ πρέπει νὰ ἐρευνήσωμεν εἶναι διατί ἐκρατοῦσαν μαχαίρια. Διότι τὸ ὅτι ἐκρατοῦσαν φαίνεται ὄχι μόνον ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ εἶπαν ὅταν ἐρωτήθησαν, ὅτι «ὑπάρχουν ἐδῶ δύο»[2]. Διατί ὅμως τοὺς ἐπέτρεψεν ὁ Χριστὸς νὰ ἔχουν; Διότι αὐτὸ ἀναφέρει ὁ Λουκᾶς ὅτι τοὺς εἶπεν «ὅταν σᾶς ἔστειλα χωρὶς βαλάντιον καὶ σάκκον καὶ ὑποδήματα, μήπως ἐστερηθήκατε τίποτε;»[3]. Καὶ ὅταν ἀπήντησαν «τίποτε», τοὺς εἶπεν· Τώρα ὅμως ἐκεῖνος ποὺ ἔχει βαλάντιον καὶ σάκκον ἂς τὰ πάρῃ· καὶ ἐκεῖνος ποὺ δὲν ἔχει, ἂς πωλήσῃ τὸ ἔνδυμά του καὶ ἂς ἀγοράσῃ μαχαίρι»[4]. Καὶ ὅταν τοῦ ἀπήντησαν ὅτι «ὑπάρχουν ἐδῶ δύο», τοὺς εἶπεν «εἶναι ἀρκετά»[5].

Διατί λοιπὸν τοὺς ἐπέτρεψε νὰ ἔχουν; Διὰ νὰ τοὺς βεβαιώσῃ ὅτι θὰ παραδοθῇ. Δι' αὐτὸ τοὺς λέγει· «Ἂς ἀγοράσῃ μαχαίρι», ὄχι διὰ νὰ ὁπλισθοῦν, ἀλλοίμονον, ἀλλὰ θέλων μὲ αὐτὸ νὰ φανερώσῃ τὴν παράδοσίν Του. Καὶ διατί τοὺς λέγει νὰ ἔχουν καὶ σάκκον; Τοὺς ἐσυνήθιζεν νὰ εἶ-

παίδευεν αὐτοὺς λοιπὸν νήφειν καὶ ἐγρηγορέναι, καὶ πολλῇ καὶ οἰκείᾳ κεχρῆσθαι σπουδῇ. Ἐν ἀρχῇ μὲν γὰρ ὡς ἀπείρους ὄντας πολλῇ ἔθαλπε τῇ δυνάμει· λοιπὸν δὲ ὥσπερ νεοττοὺς καλιᾶς ἐξαγαγὼν κελεύει καὶ τοῖς οἰκείοις κεχρῆσθαι πτεροῖς.

Εἶτα ἵνα μὴ νομίσωσιν, ὅτι δι' ἀσθένειαν αὐτοὺς ἐᾷ, κελεύων καὶ αὐτοὺς τὰ παρ' ἑαυτῶν ἐνεργεῖν, ὑπομιμνήσκει τῶν προτέρων, λέγων· «Ὅτε ἀπέστειλα ὑμᾶς χωρὶς βαλλαντίου, μή τινος ὑστερήσατε;» ἵνα δι' ἀμφοτέρων μάθωσιν αὐτοῦ τὴν ἰσχύν, καὶ δι' ὧν προέστη, καὶ δι' ὧν ἐγκαταλιμπάνει νῦν ἠρέμα.

Ἀλλὰ πόθεν ἦσαν ἐκεῖ μάχαιραι; Ἀπὸ δείπνου ἦσαν καὶ τραπέζης ἐξεληληθότες. Εἰκὸς οὖν καὶ μαχαίρας εἶναι ἐκεῖ διὰ τὸ ἀρνίον· τούτους δὲ ἀκούσαντας, ὅτι ἥξουσί τινες ἐπ' αὐτόν, λαβεῖν εἰς βοήθειαν, ὡς πολεμήσοντας ὑπὲρ τοῦ διδασκάλου· ὃ τῆς ἐκείνων γνώμης ἦν μόνον. Διὸ καὶ ἐπιτιμᾶται Πέτρος αὐτῇ χρησάμενος, καὶ μετὰ σφοδρᾶς τῆς ἀπειλῆς. Καὶ γὰρ ἠμύνατο τὸν οἰκέτην ἐλθόντα, θερμῶς μέν, πλὴν οὐχ ἑαυτῷ ἀμύνων, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου τοῦτο ποιῶν.

Οὐ μὴν ἀφῆκέ τινα γενέσθαι βλάβην ὁ Χριστός. Καὶ γὰρ ἰάσατο αὐτόν, καὶ θαῦμα μέγα ἐπεδείξατο, ἱκανὸν καὶ τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὴν δύναμιν ἐμφῆναι, καὶ τὴν τοῦ μαθητοῦ φιλοστοργίαν τε καὶ πραότητα· καὶ γὰρ ἐκεῖνο φιλοστόργως, καὶ τοῦτο πειθηνίως. Ἀκούσας γάρ, «Βάλε τὴν μάχαιράν σου εἰς τὴ θήκην αὐτῆς», εὐθέως ἐπείσθη, καὶ μετὰ ταῦτα οὐδαμοῦ τοῦτο ποιεῖ. Ἕτερος δέ φησιν, ὅτι καὶ ἠρώτησαν, «Εἰ πατάξομεν»· αὐτὸς δὲ ἐκώλυσε, καὶ ἰάσατο

6. Ἰω. 18, 11.
7. Λουκᾶ 22, 49.

ναι ψύχραιμοι καὶ νὰ ἀγρυπνοῦν καὶ νὰ εἶναι ἕτοιμοι νὰ καταβάλλουν πολλὴν καὶ ἰδικήν τους πλέον προσπάθειαν. Διότι εἰς τὴν ἀρχὴν μέν, ἐπειδὴ ἦσαν ἄπειροι, τοὺς περιέβαλλε μὲ πολλὴν δύναμιν· τώρα ὅμως, ὡσὰν μικρὰ πτηνὰ ποὺ τὰ ἔβγαλεν ἀπὸ τὴν φωλεάν, τοὺς προτρέπει νὰ χρησιμοποιήσουν καὶ τὰ ἰδικά τους πτερά.

Ἔπειτα, διὰ νὰ μὴ νομίσουν, ὅτι ἀπὸ ἀδυναμίαν τοὺς ἀφήνει, προτρέπων καὶ αὐτοὺς νὰ κάνουν ὅ,τι ἠμποροῦν, τοὺς ὑπενθυμίζει τὰ προηγούμενα, λέγων· «Ὅταν σᾶς ἔστειλα χωρὶς βαλάντιον, μήπως ἐστερηθήκατε τίποτε;». Μὲ αὐτὸ θέλει νὰ μάθουν τὴν δύναμίν Του καὶ εἰς ἐκεῖνα εἰς τὰ ὁποῖα ἦτο ἐπὶ κεφαλῆς, καὶ εἰς αὐτὰ τώρα ποὺ τοὺς ἐγκαταλείπει σιγὰ-σιγά.

Ἀλλὰ ἀπὸ ποῦ εὑρέθησαν ἐκεῖ μαχαίρια; Ἀπὸ δεῖπνον καὶ ἀπὸ τράπεζαν εἶχαν ἐξέλθει. Ἦτο φυσικὸν νὰ ὑπάρχουν καὶ μαχαίρια ἐκεῖ διὰ τὸ ἀρνίον· αὐτοὶ δὲ ὅταν ἤκουσαν ὅτι θὰ ἔλθουν μερικοὶ ἐναντίον Του τὰ ἐπῆραν ὡς βοηθητικὰ διὰ νὰ πολεμήσουν ὑπὲρ τοῦ Διδασκάλου· πρᾶγμα τὸ ὁποῖον ἀπετέλει ἰδικήν των μόνον σκέψιν. Δι' αὐτὸ καὶ ἐπικρίνεται ὁ Πέτρος, ὁ ὁποῖος τὸ ἐχρησιμοποίησε, καὶ μάλιστα μὲ μεγάλην ἐπειλήν. Διότι ἀπέκρουσε τὸν ὑπηρέτην ὅταν ἦλθε μὲ ὁρμήν, ἀλλὰ ὄχι διὰ νὰ ὑπερασπισθῇ τὸν ἑαυτόν του, ἀλλὰ τὸ ἔκανεν αὐτὸ χάριν τοῦ Διδασκάλου.

Ἀλλὰ δὲν ἄφησεν ὁ Χριστὸς νὰ γίνῃ καμμία βλάβη. Διότι τὸν ἐθεράπευσε καὶ ἔκανε μεγάλο θαῦμα, τὸ ὁποῖον ἦτο ἀρκετὸν νὰ φανερώσῃ καὶ τὴν ἰδικήν Του ἐπιείκειαν καὶ δύναμιν καὶ τοῦ μαθητοῦ τὴν ἀγάπην καὶ τὴν ἠπιότητα, ἀφοῦ καὶ ἐκεῖνο τὸ ἔκανεν ἀπὸ στοργὴν καὶ εἰς αὐτὸ ἔδειξε πειθαρχίαν. Διότι ὅταν ἤκουσε· «Βάλε τὸ μαχαίρι σου εἰς τὴν θήκην του»[6], ἀμέσως ἐπείσθη καὶ μετὰ ἀπὸ αὐτὰ δὲν τὸ ἐπαναλαμβάνει πουθενά. Ἄλλος μάλιστα εὐαγγελιστὴς λέγει ὅτι τὸν ἠρώτησαν «Νὰ κτυπήσωμεν[7]. Ἐ-

ἐκεῖνον, καὶ τῷ μαθητῇ ἐπετίμησε, καὶ ἠπείλησεν, ἵνα πείσῃ. «Πάντες» γὰρ «οἱ λαβόντες μάχαιραν», φησίν, «ἐν μαχαίρᾳ ἀποθανοῦνται». Καὶ λογισμὸν προστίθησι, λέγων· «Ἢ δοκεῖτε, ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Ἀλλ' ἵνα πληρωθῶσιν αἱ Γραφαί».

Διὰ τούτων τὸν θυμὸν αὐτῶν ἔσβεσε, δεικνὺς ὅτι καὶ ταῖς Γραφαῖς τοῦτο δοκεῖ. Διὰ τοῦτο κἀκεῖ ηὔξατο, ἵνα πράως ἐνέγκωσι τὸ συμβάν, μαθόντες ὅτι κατὰ Θεοῦ πάλιν γίνεται γνώμην. Καὶ δύο τούτοις αὐτοὺς παρεμυθήσατο, τῇ τε τιμωρίᾳ τῶν ἐπιβουλευόντων· «Πάντες γὰρ οἱ λαβόντες», φησί, «μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται»· καὶ τῷ μὴ ἄκων ταῦτα ὑπομεῖναι· «Δύναμαι» γάρ, φησί, «παρακαλέσαι τὸν Πατέρα μου».

Καὶ διατί οὐκ εἶπεν· ἢ δοκεῖτε, ὅτι οὐ δύναμαι ἐγὼ πάντας αὐτοὺς ἀπολέσαι; Ὅτι πιθανώτερος μᾶλλον ἦν τοῦτο λέγων· οὐδέπω γὰρ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον. Καὶ πρὸ μικροῦ δὲ ἦν εἰρηκώς, ὅτι «Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου»· καί, «Πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον»· καὶ ἀγωνιῶν ἐφάνη καὶ ἱδρῶν, καὶ ὑπὸ ἀγγέλου ἐνισχυόμενος. Ἐπεὶ οὖν πολλὰ τὰ ἀνθρώπινα ἐπεδείξατο, οὐκ ἐδόκει πιθανὰ λέγειν, εἴγε εἰρήκει, ὅτι δοκεῖτε, ὅτι οὐ δύναμαι αὐτοὺς ἀπολέσαι;

Διὰ τοῦτό φησι· «Τί δοκεῖτε, ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα μου;». Καὶ αὐτὸ πάλιν ταπεινῶς ἀπαγγέλλει εἰπών· «Παραστήσει μοι δώδεκα λεγεῶνας ἀγγέλων». Εἰ γὰρ εἷς ἄγγελος ἑκατὸν ὀγδηκονταπέντε χιλιάδας ἀνεῖλεν ὡπλισμένας, τί δώδεκα λεγεώνων ἔδει ἐπὶ χιλίους ἀν-

8. Δ' Βασιλ. 19, 35.

κεῖνος δὲ τοὺς ἠμπόδισε καὶ ἐθεράπευσε τὸν δοῦλον καὶ ἐπέκρινε τὸν μαθητὴν καὶ τὸν ἠπείλησε διὰ νὰ τὸν πείσῃ, λέγων ὅτι «Ὅλοι ὅσοι κρατοῦν μαχαίρι, μὲ μαχαίρι θὰ ἀποθάνουν». Καὶ ἐπρόσθεσε καὶ τὸν ἑξῆς συλλογισμόν· «Ἢ νομίζετε ὅτι δὲν ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα μου καὶ νὰ βάλῃ εἰς τὴν διάθεσίν μου περισσοτέρας ἀπὸ δώδεκα λεγεῶνας ἀγγέλων; Ἀλλὰ διὰ νὰ ἐκπληρωθοῦν αἱ Γραφαί».

Μὲ αὐτὰ κατεπράϋνε τὸν θυμόν τους, δεικνύων ὅτι αὐτὸ εἶναι σύμφωνον καὶ μὲ τὰς Γραφάς. Δι' αὐτὸ καὶ προσηυχήθη ἐκεῖ, διὰ νὰ ἀντιμετωπίσουν τὸ γεγονὸς μὲ πραότητα, πληροφορηθέντες ὅτι γίνεται μὲ σύμφωνον γνώμην τοῦ Θεοῦ. Καὶ μὲ τὰ δύο αὐτὰ τοὺς παρηγόρησε: καὶ μὲ τὴν τιμωρίαν ἐκείνων ποὺ μελετοῦν τὸ κακόν, διότι «Ὅλοι ὅσοι κρατοῦν μαχαίρι», εἶπε, «μὲ μαχαίρι θὰ ἀποθάνουν» καὶ μὲ τὸ ὅτι δὲν τὰ ὑφίσταται αὐτὰ χωρὶς τὴν θέλησίν Του· διότι λέγει, «Ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα μου».

Καὶ διατί δὲν εἶπε 'ἢ νομίζετε ὅτι δὲν ἠμπορῶ ἐγὼ νὰ τοὺς καταστρέψω ὅλους'; Διότι λέγων αὐτὸ ἐγίνετο μᾶλλον πιὸ πιστευτός· διότι δὲν εἶχαν ἀκόμη τὴν γνώμην ποὺ ἔπρεπε περὶ Αὐτοῦ. Ἄλλως τε καὶ πρὶν ἀπὸ ὀλίγον εἶχεν εἴπει ὅτι «Ἡ ψυχή μου εἶναι λυπημένη μέχρι θανάτου»· καί· «Πατέρα μου, ἂς ἀποφύγω αὐτὸ τὸ ποτήριον»· καὶ ἐφάνη νὰ ἀγωνιᾷ καὶ νὰ ἱδρώνῃ καὶ νὰ ἐνισχύεται ἀπὸ τὸν ἄγγελον. Ἐπειδὴ λοιπὸν εἶχε δείξει πολλὰ ἀνθρώπινα χαρακτηριστικά, δὲν θὰ ἐφαίνετο ὅτι λέγει πράγματα πιστευτά, ἐὰν βεβαίως ἔλεγεν ὅτι 'νομίζετε ὅτι δὲν ἠμπορῶ νὰ τοὺς καταστρέψω';

Δι' αὐτὸ λέγει· «Τί νομίζετε, ὅτι δὲν ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα μου;». Καὶ αὐτὸ πάλιν τὸ ἀναφέρει μὲ μετριοφροσύνην, ὅταν λέγῃ· «νὰ θέσῃ εἰς τὴν διάθεσίν μου δώδεκα λεγεῶνας ἀγγέλων». Διότι ἐὰν ἕνας ἄγγελος ἐφόνευσεν ἑκατὸν ὀγδόντα πέντε χιλιάδας ὡπλισμένας[8], διατί

θρώπους; Ἀλλὰ πρὸς τὸν φόβον αὐτῶν καὶ τὴν ἀσθένειαν σχηματίζει τὸν λόγον· καὶ γὰρ ἀποτεθνηκότες ἦσαν τῷ δέει. Διὰ τοῦτο καὶ τὰς Γραφὰς ἐπιτειχίζει λέγων· «Πῶς οὖν πληρωθῶσιν αἱ Γραφαί;», φοβῶν αὐτοὺς κἀντεῦθεν. Εἰ γὰρ ἐκείναις τοῦτο δοκεῖ, ὑμεῖς ἐναντιοῦσθε πολεμοῦντες;

2. Καὶ πρὸς μὲν τοὺς μαθητὰς ταῦτα, πρὸς δὲ ἐκείνους φησίν· «Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; Καθ' ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με». Ὅρα πόσα ποιεῖ τὰ δυνάμενα αὐτοὺς διαναστῆσαι. Ὑπτίους ἔρριψε, τὸ ὠτίον τοῦ οἰκέτου ἰάσατο, ἠπείλησεν αὐτοὺς σφαγήν· «Ἐν μαχαίρᾳ» γὰρ «ἀπολοῦνται», φησίν, «οἱ λαβόντες μάχαιραν»· ἀπὸ τῆς τοῦ ὠτίου θεραπείας καὶ ταῦτα ἐπιστώσατο· πάντοθεν ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν μελλόντων ἐμφαίνων αὐτοῦ τὴν δύναμιν, καὶ δεικνὺς ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἔργον γέγονε τὸ κρατῆσαι αὐτόν.

Διὸ καὶ ἐπάγει· «Καθ' ἡμέραν μεθ' ὑμῶν ἤμην, καὶ ἐκαθεζόμην διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με»· κἀντεῦθεν δηλῶν, ὅτι τῆς αὐτοῦ συγχωρήσεως ἦν τὸ ἑλεῖν. Τὰ θαύματα παραδραμών, τὴν διδασκαλίαν λέγει, ἵνα μὴ δόξῃ κομπάζειν. Ὅτε ἐδίδασκον, οὐκ ἐκρατήσατέ με· ὅτε ἐσίγησα, ἐπήλθετε; Ἐν τῷ ἱερῷ ἤμην, καὶ οὐδεὶς κατέσχε· νυνὶ δὲ ἀωρὶ καὶ μέσων νυκτῶν ἐπέστητε μετὰ μαχαιρῶν καὶ ξύλων; Τί τούτων ἐδέησε τῶν ὅπλων ἐπὶ τὸν μεθ' ὑμῶν ὄντα ἀεί; ἀπὸ τούτων διδάσκων, ὅτι εἰ μὴ ἑκὼν ἐνέδωκεν, οὐδ' ἂν τότε ἴσχυσαν. Οὐδὲ γὰρ ἂν οἱ τὸν ἐν χερσὶν ὄντα μὴ δυ-

ἐχρειάζοντο δώδεκα λεγεῶνες διὰ χιλίους ἀνθρώπους; Τὸ κάνει ὅμως αὐτὸ προσαρμόζων τὸ λόγον Του πρὸς τὸν φόβον καὶ τὴν ἀδυναμίαν των· διότι θὰ ἀπέθνησκαν ἀπὸ τὸν φόβον. Δι' αὐτὸ προβάλλει καὶ τὰς Γραφὰς λέγων· «πῶς ὅμως θὰ ἐκπληρωθοῦν αἱ Γραφαί», φοβίζων αὐτοὺς καὶ μὲ αὐτό. Διότι ἐὰν αὐτὸ εἶναι σύμφωνον μὲ ἐκείνας, σεῖς ἐναντιώνεσθε πολεμοῦντες;

2. Καὶ πρὸς μὲν τοὺς μαθητάς Του αὐτὰ εἶπε. Πρὸς ἐκείνους δὲ λέγει· «Ὡσὰν νὰ ἐπρόκειτο περὶ ληστοῦ, ἐβγήκατε νὰ μὲ συλλάβετε μὲ μαχαίρια καὶ ξύλα; Κάθε ἡμέραν ἐκαθόμουν εἰς τὸ ἱερὸν καὶ ἐδίδασκα καὶ δὲν μὲ ἐπιάσατε». Κύτταξε πόσα κάνει τὰ ὁποῖα ἠμποροῦν νὰ τοὺς συνεφέρουν. Τοὺς ἔρριψε κάτω ὑπτίους, ἐθεράπευσε τὸ αὐτὶ τοῦ ὑπηρέτου, τοὺς ἠπείλησε μὲ σφαγήν· διότι λέγει ὅτι «μὲ μαχαίρι θὰ ἀποθάνουν ὅσοι κρατοῦν μαχαίρι»· μὲ τὴν θεραπείαν τοῦ αὐτιοῦ τὰ ἐβεβαίωσε καὶ αὐτά· ἀπὸ παντοῦ μὲ τὰ παρόντα καὶ μὲ τὰ μέλλοντα ἐμφανίζει τὴν δύναμίν Του καὶ δείχνει ὅτι ἡ σύλληψίς Του δὲν ἦτο ἔργον τῆς δυνάμεώς των.

Δι' αὐτὸ καὶ προσθέτει· «Κάθε ἡμέραν ἤμουν μαζί σας καὶ ἐκαθόμουν διδάσκων καὶ δὲν μὲ ἐπιάσατε»· καὶ μὲ αὐτὸ δηλώνει ὅτι ἡ σύλληψις ἦτο ἀποτέλεσμα τῆς ἰδικῆς Του παραχωρήσεως. Παρασιωπῶν τὰ θαύματα ἀναφέρει τὴν διδασκαλίαν, διὰ νὰ μὴ δώσῃ τὴν ἐντύπωσιν ὅτι καυχᾶται. Ὅταν ἐδίδασκα δὲν μὲ συνελάβατε· τώρα ποὺ ἐσιώπησα ἤλθατε ἐναντίον μου; Ἤμουν εἰς τὸ ἱερὸν καὶ κανεὶς δὲν μὲ συνέλαβε· τώρα δὲ τόσον ἀργὰ καὶ μέσα εἰς τὴν νύκτα ἤλθατε μὲ μαχαίρας καὶ ξύλα; Τί ἐχρειάζοντο αὐτὰ τὰ ὅπλα ἐναντίον Ἐκείνου ποὺ ἦτο διαρκῶς μαζί σας; Μὲ αὐτὰ διδάσκει ὅτι, ἐὰν δὲν παρεδίδετο μὲ τὴν θέλησίν Του, οὔτε τότε θὰ ἠμποροῦσαν νὰ τὸν συλλάβουν. Οὔτε ἦτο δυνατόν, ἐκεῖνοι οἱ ὁποῖοι δὲν ἠμπόρεσαν νὰ συλλάβουν αὐτὸν ποὺ ἦτο εἰς τὰς χεῖρας των καὶ νὰ τὸν πάρουν ἀπὸ

νηθέντες κατασχεῖν, καὶ μέσον αὐτὸν λαβόντες καὶ μὴ περιγενόμενοι, οὔτε τότε ἂν ἴσχυσαν, εἰ μὴ ἠθέλησεν.

Εἶτα καὶ τὴν ἀπορίαν λύει, διατί τότε ἠβουλήθη. «Τοῦτο γὰρ γέγονε», φησίν, «ἵνα πληρωθῶσιν αἱ Γραφαὶ τῶν προφητῶν». Εἶδες πῶς μέχρι τῆς ἐσχάτης ὥρας, καὶ ἐν αὐτῷ τῷ παραδοθῆναι, πάντα ἐποίει πρὸς διόρθωσιν τὴν ἐκείνων, θεραπεύων, προφητεύων, ἀπειλῶν· «Ἐν μαχαίρᾳ» γάρ, φησίν, «ἀπολοῦνται»· δεικνὺς ὅτι ἑκὼν πάσχει· «Καθ' ἡμέραν γὰρ μεθ' ὑμῶν», φησίν, «ἤμην διδάσκων»· τὴν πρὸς τὸν Πατέρα συμφωνίαν δηλῶν· «Ἵνα πληρωθῶσιν αἱ Γραφαὶ τῶν προφητῶν».

«Διατί δὲ μὴ ἐν τῷ ἱερῷ αὐτὸν ἐκράτησαν; Ὅτι οὐκ ἂν ἐτόλμησαν ἐν τῷ ἱερῷ διὰ τὸν ὄχλον. Διὸ καὶ ἔξω ἐξῆλθε, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τοῦ καιροῦ διδοὺς αὐτοῖς ἄδειαν, καὶ μέχρις ἐσχάτης ὥρας ἀναιρῶν αὐτῶν τὴν ἀπολογίαν. Ὁ γὰρ ἵνα πεισθῇ τοῖς προφήταις, καὶ ἑαυτὸν παραδούς, πῶς ἐναντία ἐδίδασκε; «Τότε πάντες οἱ μαθηταὶ αὐτοῦ», φησίν, «ἀφέντες αὐτὸν ἔφυγον». Ὅτε μὲν γὰρ κατεσχέθη, ἔμενον· ὅτε δὲ ἐφθέγξατο ταῦτα πρὸς τοὺς ὄχλους, ἔφυγον. Εἶδον γὰρ λοιπόν, ὅτι οὐκέτι διαφυγεῖν ἔνι, ἑκόντος ἑαυτὸν παραδιδόντος αὐτοῖς, καὶ λέγοντος κατὰ τὰς Γραφὰς τοῦτο γίνεσθαι.

Φυγόντων δὲ αὐτῶν, «Ἄγουσιν αὐτὸν πρὸς Καϊάφαν· ὁ δὲ Πέτρος ἠκολούθησε καὶ εἰσῆλθεν, ἰδεῖν τί τὸ τέλος». Πολλὴ ἡ θερμότης τοῦ μαθητοῦ· οὐδὲ φεύγοντας ἰδὼν ἔφυγεν, ἀλλ' ἔστη καὶ συνεισῆλθεν. Εἰ δὲ καὶ Ἰωάννης, ἀλλὰ γνώριμος ἦν τῷ ἀρχιερεῖ. Καὶ διατί ἐκεῖ ἀπήγαγον αὐτόν, ἔνθα ἦσαν πάντες συνηγμένοι; Ἵνα μετὰ γνώμης πάντα ποιήσωσι τῶν ἀρχιερέων. Ἐκεῖνος γὰρ ἦν τότε ἀρχιερεύς, καὶ πάντες ἦσαν αὐτὸν αὐτόθι ἀναμένοντες· οὕτω διενυκτέ-

τὸ μέσον καὶ νὰ ὑπερισχύσουν, καὶ τώρα νὰ ἠμπορέσουν, ἐὰν δὲν τὸ ἤθελεν.

Ἔπειτα λύει καὶ τὴν ἀπορίαν, διατί τότε ἠθέλησε. Διότι «αὐτὸ ἔγινε, λέγει, διὰ νὰ ἐκπληρωθοῦν αἱ Γραφαὶ τῶν προφητῶν». Εἶδες μὲ ποῖον τρόπον μέχρι καὶ τὴν τελευταίαν στιγμήν, ἀκόμη καὶ κατὰ τὴν παράδοσίν Του, ἔκανε τὰ πάντα διὰ τὴν διόρθωσιν ἐκείνων, θεραπεύων, προφητεύων, ἀπειλῶν· (διότι λέγει· «μὲ μαχαίρι θὰ ἀποθάνουν»)· δεικνύων ὅτι ὑποφέρει μὲ τὴν θέλησίν Του· (διότι λέγει «κάθε ἡμέραν ἤμουν μαζί σας διδάσκων»), δηλῶν τὴν συμμόρφωσίν Του πρὸς τὸ θέλημα τοῦ Πατρός, μὲ τὸ «διὰ νὰ ἐκπληρωθοῦν αἱ Γραφαὶ τῶν προφητῶν».

Διατί ὅμως δὲν τὸν συνέλαβαν εἰς τὸ ἱερόν; Διότι δὲν ἐτόλμουν εἰς τὸ ἱερὸν ἐξ αἰτίας τοῦ ὄχλου. Δι' αὐτὸ ἐξῆλθεν ἔξω, δίδων εὐκαιρίαν εἰς αὐτοὺς καὶ μὲ τὸν τόπον καὶ μὲ τὸν καιρόν, καὶ μέχρι τελευταίας στιγμῆς ἀνατρέπων τὴν δικαιολογίαν των. Διότι Αὐτὸς ὁ ὁποῖος διὰ νὰ πειθαρχήσῃ εἰς τοὺς προφήτας παραδίδει καὶ τὸν ἑαυτόν Του, πῶς θὰ ἐδίδασκε τὰ ἀντίθετα; «Τότε ὅλοι οἱ μαθηταί του, λέγει, τὸν ἄφησαν καὶ ἔφυγαν». Διότι ὅταν μὲν συνελήφθη ἔμεναν· ὅταν ὅμως εἶπεν αὐτὰ πρὸς τὸ πλῆθος ἔφυγαν, διότι εἶδαν ὅτι δὲν ὑπῆρχε δυνατότης νὰ διαφύγῃ, ἀφοῦ μὲ τὴν θέλησίν Του παρέδωσεν εἰς αὐτοὺς τὸν ἑαυτόν Του καὶ ἔλεγεν ὅτι αὐτὸ γίνεται σύμφωνα μὲ τὰς Γραφάς.

Ὅταν δὲ ἔφυγαν αὐτοὶ «τὸν ὁδηγοῦν εἰς τὸν Καϊάφαν· ὁ δὲ Πέτρος ἠκολούθησε καὶ εἰσῆλθε νὰ ἴδῃ ποῖον θὰ εἶναι τὸ τέλος». Μεγάλη ἡ ζωηρότης τοῦ μαθητοῦ· οὔτε ὅταν τοὺς εἶδε νὰ φεύγουν ἔφυγεν, ἀλλ' ἔμεινε καὶ εἰσῆλθε μαζὶ μὲ τὸ πλῆθος· Ἔμεινε βέβαια καὶ ὁ Ἰωάννης, ἀλλὰ ἦτο γνωστὸς εἰς τὸν ἀρχιερέα. Καὶ διατί τὸν ἐπῆγαν ἐκεῖ, ὅπου ἦσαν συγκεντρωμένοι ὅλοι; Διὰ νὰ κάνουν τὰ πάντα μὲ ἔγκρισιν τῶν ἀρχιερέων. Διότι ἐκεῖνος ἦτο τότε ἀρχιερεὺς καὶ ὅλοι ἦσαν συγκεντρωμένοι ἐκεῖ καὶ τὸν ἐ-

ρευον καὶ ἠγρύπνουν ἐπὶ τούτῳ. Οὐδὲ γὰρ ἔφαγον τότε τὸ Πάσχα, φησίν, ἀλλὰ διὰ τοῦτο ἠγρύπνουν. Εἰπὼν γάρ, ὅτι πρωΐα ἐστίν, ὁ Ἰωάννης, ἐπήγαγεν· «Οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσι, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα». Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι ἐν ἑτέρᾳ ἡμέρᾳ ἔφαγον, καὶ τὸν νόμον ἔλυσαν, διὰ τὴν ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν ταύτην. Οὐδὲ γὰρ ἂν ὁ Χριστὸς παρέβη τὸν καιρὸν τοῦ Πάσχα, ἀλλ' ἐκεῖνοι οἱ πάντα τολμῶντες, καὶ μυρίους καταπατοῦντες νόμους. Ἐπειδὴ γὰρ σφόδρα ἔζεον τῷ θυμῷ, καὶ πολλάκις ἐπιχειρήσαντες ἀνελεῖν, οὐκ ἴσχυσαν· τότε λαβόντες αὐτὸν ἀπροσδοκήτως, εἵλοντο καὶ τὸ Πάσχα ἀφεῖναι, ὑπὲρ τοῦ τὴν φονικὴν αὐτῶν ἐμπλῆσαι ἐπιθυμίαν. Διὸ καὶ συνήχθησαν ἅπαντες, καὶ συνέδριον ἦν λοιμῶν, καὶ ἐρωτῶσί τινα, βουλόμενοι σχῆμα περιθεῖναι τῇ ἐπιβουλῇ ταύτῃ δικαστηρίου. Οὐδὲ γὰρ ἦσαν ἴσαι αἱ μαρτυρίαι, φησίν· οὕτω πεπλασμένον τὸ δικαστήριον ἦν, καὶ θορύβου πάντα καὶ ταραχῆς.

«Ἐλθόντες δὲ ψευδομάρτυρες ἔλεγον, ὅτι οὗτος εἶπεν, ὅτι «Λύσω τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν». Καὶ μὴν εἶπεν, ὅτι «Ἐν τρισίν», ἀλλ' οὐκ εἶπε, λύω, ἀλλά, «Λύσατε»· καὶ οὐδὲ περὶ ἐκείνου, ἀλλὰ περὶ τοῦ σώματος τοῦ ἰδίου. Τί οὖν ὁ ἀρχιερεύς; Βουλόμενος αὐτὸν εἰς ἀπολογίαν καταστῆσαι, ἵνα ἐξ αὐτῆς αὐτὸν ἕλῃ, φησίν· «Οὐκ ἀκούεις, τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ ἐσίγα». Ἀνόνητα γὰρ ἦν τὰ τῆς ἀπολογίας, οὐδενὸς ἀκούοντος. Καὶ γὰρ σχῆμα τοῦτο δικαστηρίου ἦν μόνον· τὸ δὲ ἀληθές, λῃστῶν

---

9. Ἰω. 18, 28.
10. Μάρκ. 14, 56.
11. Ἰω. 2, 18-19.

περίμεναν· ἔτσι διενυκτέρευαν καὶ ἀγρυπνοῦσαν δι' Αὐτόν. Διότι, οὔτε τὸ πασχάλιον δεῖπνον, λέγει, δὲν ἔφαγαν, ἀλλὰ ἀγρυπνοῦσαν δι' αὐτό. Διότι ὁ Ἰωάννης, ἀφοῦ λέγῃ ὅτι ἦτο πρωΐ, προσθέτει· «Δὲν εἰσῆλθαν εἰς τὸ πραιτώριον, ὄχι διὰ νὰ μὴ μολυνθοῦν, ἀλλὰ διὰ νὰ φάγουν τὸ Πάσχα»[9].

Τί ἠμπορεῖ λοιπὸν νὰ εἰπῇ κανείς; Ὅτι ἔφαγαν ἄλλην ἡμέραν καὶ κατέλυσαν τὸν νόμον, ἐξ αἰτίας τῆς ἐπιθυμίας τους διὰ τὴν σφαγὴν αὐτήν. Διότι οὔτε ὁ Χριστὸς δὲν παρέβη τὸν χρόνον τοῦ Πάσχα, παρὰ μόνον ἐκεῖνοι οἱ ὁποῖοι ἀπετόλμουν τὰ πάντα καὶ κατεπάτουν μυριάδας νόμους. Διότι, ἐπειδὴ ἔβραζαν πάρα πολὺ ἀπὸ τὸν θυμὸν καὶ εἶχαν ἐπιχειρήσει πολλὲς φορὲς νὰ τὸν σφαγιάσουν καὶ δὲν κατώρθωσαν, τότε ποὺ τὸν συνέλαβαν ἀπροσδόκητα, ἐπροτίμησαν νὰ ἐγκαταλείψουν καὶ τὸ πασχάλιον δεῖπνον, προκειμένου νὰ ἱκανοποιήσουν τὴν φονικήν των ἐπιθυμίαν. Δι' αὐτὸ καὶ συνεκεντρώθησαν ὅλοι καὶ ἐγίνετο συνεδρίασις μολυσματική, καὶ ἐρωτοῦν κάποιον, ἐπειδὴ ἤθελαν νὰ προσδώσουν κάποιαν νομιμοφάνειαν εἰς τὴν σκευρίαν αὐτὴν τοῦ δικαστηρίου. Διότι αἱ μαρτυρικαὶ καταθέσεις δὲν ἦσαν ὅσαι ἐχρειάζοντο, λέγει· τόσον προσποιητὸν ἦτο τὸ δικαστήριον καὶ ὅλα γεμᾶτα θόρυβον καὶ ταραχήν.

«Ἦλθαν δὲ ψευδομάρτυρες καὶ ἔλεγαν, ὅτι Αὐτὸς εἶπεν, ὅτι θὰ γκρεμίσω τὸν ναὸν αὐτὸν καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω»[10]. Καὶ πράγματι εἶχεν εἴπει «εἰς τρεῖς», ἀλλὰ δὲν εἶχεν εἴπει γκρεμίζω, ἀλλὰ «γκρεμίσατε»· καὶ δὲν τὸ εἶπε δι' ἐκεῖνον τὸν ναόν, ἀλλὰ διὰ τὸ ἰδικόν Του σῶμα[11]. Τί κάνει λοιπὸν ὁ ἀρχιερεύς; Ἐπειδὴ ἤθελε νὰ τὸν προκαλέσῃ νὰ ἀπολογηθῇ, διὰ νὰ τὸν πιάσῃ ἀπὸ αὐτὰ ποὺ θὰ εἰπῇ, λέγει· «Δὲν ἀκοῦς τί καταθέτουν αὐτοὶ ἐναντίον σου; Αὐτὸς δὲ ἐσιωποῦσε», ἐπειδὴ ἡ ἀπολογία ἦτο ἀνώφελος, ἀφοῦ κανεὶς δὲν ἤκουε. Διότι αὐτὸ ἦτο πρόσχημα μόνον τοῦ δικαστηρίου· ἐνῷ εἰς τὴν πραγματικότητα ἐπρόκειτο δι' ἔφοδον λῃστῶν, οἱ ὁποῖοι ἐπετίθεν-

ἔφοδος, ὡς ἐν σπηλαίῳ καὶ ἐν ὁδῷ ἁπλῶς ἐπελθόντων.

Διὸ ἐσίγα· ὁ δὲ ἐπέμενε λέγων· «Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Ὁ δὲ εἶπε, σὺ εἶπας. Πλὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων, ἐβλασφήμησε». Τοῦτο δὲ ἐποίησε, σφοδροτέραν τὴν κατηγορίαν ποιῶν, καὶ τὸ λεχθὲν ἐπαίρων διὰ τοῦ πράγματος. Ἐπειδὴ γὰρ εἰς φόβον ἐνέβαλε τοὺς ἀκροατὰς τοῦ εἰρημένου, ὅπερ ἐπὶ Στεφάνου πεποιήκασι, τὰ ὦτα συσχόντες, τοῦτο καὶ ἐνταῦθα οὗτος.

3. Καίτοι ποία βλασφημία αὕτη; Καὶ γὰρ ἔμπροσθεν ἦν εἰρηκώς, συνηγμένων αὐτῶν· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου», καὶ ἡρμήνευσε τὸ εἰρημένον· καὶ οὐδὲν ἐτόλμησαν εἰπεῖν, ἀλλ' ἐσίγησαν, καὶ ἐξ ἐκείνου οὐκέτι λοιπὸν ἀντεῖπον. Πῶς οὖν νῦν βλασφημίαν τὸ εἰρημένον ἐκάλουν; Τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς οὕτως ἀπεκρίνατο; Πᾶσαν αὐτῶν ἀναιρῶν ἀπολογίαν, ὅτι μέχρις ἐσχάτης ἡμέρας ἐδίδασκεν, ὅτι αὐτὸς εἴη ὁ Χριστός, καὶ ὅτι ἐκ δεξιῶν κάθηται τοῦ Πατρός, καὶ ὅτι ἥξει πάλιν κρίνων τὴν οἰκουμένην, ὃ πολλὴν πρὸς αὐτὸν τὴν συμφωνίαν δηλοῦντος ἦν.

Διαρρήξας τοίνυν αὐτοῦ τὰ ἱμάτιά φησι· «Τί ὑμῖν δοκεῖ;». Οὐ φέρει τὴν ψῆφον οἴκοθεν, ἀλλὰ παρ' ἐκείνων αὐτὴν ὡς ἐπὶ ὡμολογημένων ἁμαρτημάτων καὶ βλασφημίας δήλης ἐκκαλεῖται. Ἐπειδὴ γὰρ ᾔδεσαν, ὅτι εἰ τὸ πρᾶγμα εἰς ἐξέτασιν ἔλθοι καὶ διάγνωσιν ἀκριβῆ, ἀπαλλάττει πάσης αὐτὸν αἰτίας, παρ' ἑαυτοῖς αὐτὸν καταδικάζουσι, καὶ προ-

12. Πράξ. 7, 57.
13. Ματθ. 22, 44 καὶ Ψαλμ. 109, 1.

το ὡσὰν εἰς κάποιο σπήλαιον καὶ γενικῶς εἰς τὸν δρόμον.

Δι' αὐτὸ ἐσιωποῦσεν· αὐτὸς ὅμως ἐπέμενε λέγων· «Σὲ ἐξορκίζω εἰς τὸν ζωντανὸν Θεὸν νὰ μᾶς εἰπῇς ἐὰν σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζωντανοῦ. Ἐκεῖνος δὲ ἀπήντησε· σὺ τὸ εἶπες. Ἀλλὰ σᾶς λέγω, ὅτι ἀπὸ τώρα θὰ ἰδῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου νὰ κάθεται εἰς τὰ δεξιὰ τῆς δυνάμεως καὶ νὰ ἔρχεται ἐπάνω εἰς τὰ σύννεφα. Τότε ὁ ἀρχιερεὺς ἔσχισε τὰ ἐνδύματά του καὶ εἶπεν· ἐβλασφήμησε». Αὐτὸ δὲ τὸ ἔκανε διὰ νὰ καταστήσῃ βαρυτέραν τὴν κατηγορίαν καὶ διὰ νὰ τονίσῃ αὐτὸ ποὺ ἐλέχθη μὲ τὴν ἐνέργειάν του. Διότι, ἐπειδὴ αὐτὸ ποὺ ἐλέχθη ἐπροκάλεσε φόβον εἰς τοὺς ἀκροατάς, ἔκανε καὶ αὐτὸς ἐκεῖνο ποὺ ἔκαναν καὶ κατὰ τὴν ἀπολογίαν τοῦ Στεφάνου, ποὺ ἔκλεισαν τὰ αὐτιά τους[12].

3. Ἂν καὶ ποία βλασφημία ἦτο αὐτή; Διότι καὶ προηγουμένως εἶχεν εἴπει ἐνῷ ἦσαν συγκεντρωμένοι· «εἶπεν ὁ Κύριος εἰς τὸν Κύριόν μου, κάθησε εἰς τὰ δεξιά μου»[13], καὶ ἡρμήνευσεν αὐτὸ ποὺ εἶπε καὶ δὲν ἐτόλμησαν νὰ εἰποῦν τίποτε, παρὰ ἐσιώπησαν, καὶ ἀπὸ τὴν στιγμὴν ἐκείνην ποτὲ δὲν τοῦ ἀντιμίλησαν. Πῶς λοιπὸν τώρα ὀνομάζουν βλασφημίαν αὐτὸ τὸ ὁποῖον ἐλέχθη; Διατί δὲ καὶ ὁ Χριστὸς ἀπήντησεν ἔτσι; Διὰ νὰ ἀναιρέσῃ κάθε δικαιολογίαν των, διότι μέχρι τὴν τελευταίαν στιγμὴν ἐδίδασκεν, ὅτι αὐτὸς εἶναι ὁ Χριστὸς καὶ ὅτι κάθεται ἐκ δεξιῶν τοῦ Πατρὸς καὶ ὅτι θὰ ἔλθῃ καὶ πάλιν νὰ κρίνῃ τὴν οἰκουμένην, πρᾶγμα τὸ ὁποῖον ἐσυμφωνοῦσε πολὺ μὲ τὴν δήλωσιν ἐκείνου.

Ἀφοῦ λοιπὸν ἐξέσχισε τὰ ἐνδύματά του εἶπε· «τί νομίζετε;». Δὲν ἐκδίδει τὴν ἀπόφασιν μόνος του, ἀλλὰ τὴν ζητεῖ ἀπὸ ἐκείνους, ὡς αὐταπόδεικτον διὰ ὡμολογημένα ἁμαρτήματα καὶ βλασφημίαν. Διότι, ἐπειδὴ ἐγνώριζαν, ὅτι ἐὰν ἡ ὑπόθεσις ἔλθῃ εἰς διερεύνησιν καὶ λεπτομερῆ ἐξέτασιν, θὰ ἀπαλλάξῃ τὸν Χριστὸν ἀπὸ κάθε κατηγορίαν, τὸν καταδικάζουν ἀφ' ἑαυτῶν καὶ προκαταλαμβάνουν τοὺς ἀ-

καταλαμβάνουσι τοὺς ἀκροατὰς λέγοντες, «Ὑμεῖς ἠκούσατε τῆς βλασφημίας», μόνον οὐχὶ καταναγκάζοντες καὶ βιαζόμενοι τὴν ψῆφον ἐξενεγκεῖν.

Τί οὖν ἐκεῖνοι; «Ἔνοχός ἐστι θανάτου»· ἵν' ὡς κατάδικον λαβόντες, οὕτω τὸν Πιλᾶτον λοιπὸν ἀποφήνασθαι παρασκευάσωσιν. Ὃ δὴ κἀκεῖνοι συνειδότες φασίν, «Ἔνοχος θανάτου ἐστίν»· αὐτοὶ κατηγοροῦντες, αὐτοὶ δικάζοντες, αὐτοὶ ψηφιζόμενοι, πάντα αὐτοὶ γινόμενοι τότε. Πῶς δὲ οὐκ ἤνεγκαν τὰ Σάββατα εἰς μέσον; Ὅτι πολλάκις αὐτοὺς ἐπεστόμισεν· ἄλλως δὲ καὶ ἐκ τῶν τότε λεγομένων ἐβούλοντο αὐτὸν ἑλεῖν καὶ καταδικάσαι. Καὶ προλαβών, καὶ τὴν ψῆφον παρ' αὐτῶν ἐνεγκών, καὶ πάντας ἐπισπασάμενος διὰ τοῦ ῥῆξαι τὸν χιτωνίσκον, ὡς κατάδικον λοιπὸν ἀπαγαγὼν πρὸς τὸν Πιλᾶτον, οὕτως ἅπαντα ἔπραττεν.

Ἐπ' ἐκείνου γοῦν οὐδὲν τοιοῦτόν φασιν· ἀλλὰ τί; «Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν»· ἀπὸ δημοσίων ἐγκλημάτων ἀνελεῖν αὐτὸν ἐπιχειροῦντες. Καὶ διατί μὴ λάθρα αὐτὸν ἀνεῖλον; Ἠβούλοντο καὶ τὴν δόξαν αὐτοῦ διαβαλεῖν. Ἐπειδὴ γὰρ πολλοὶ ἦσαν ἤδη ἀκηκοότες αὐτοῦ, καὶ θαυμάζοντες αὐτὸν καὶ ἐκπληττόμενοι, διὰ τοῦτο ἐσπούδασαν δημοσίᾳ καὶ ἐπὶ πάντων σφαγῆναι. Ὁ δὲ Χριστὸς οὐκ ἐκώλυσεν, ἀλλὰ τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν τῆς ἀληθείας σύστασιν ἀπεχρήσατο, ὥστε κατάδηλον αὐτοῦ γενέσθαι τὸν θάνατον.

Καὶ τοὐναντίον ἐξέβαινεν, ἤπερ ἐβούλοντο. Αὐτοὶ μὲν γὰρ ἐκπομπεύειν ἤθελον, ὡς ταύτῃ καταισχύνοντες· αὐτὸς δὲ καὶ δι' αὐτῶν τούτων μᾶλλον ἐξέλαμπε. Καὶ ὥσπερ ἔλεγον, «Ἀνέλωμεν αὐτόν, μήποτε ἔλθωσιν οἱ Ῥωμαῖοι, καὶ ἄρωσιν ἡμῶν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος», καὶ ἐπειδὴ ἀνεῖλον

14. Ἰω. 18, 30.
15. Ἰω. 11, 48.

κροατὰς λέγοντες «σεῖς ἠκούσατε τὴν βλασφημίαν», ἐξαναγκάζοντες τρόπον τινὰ αὐτοὺς καὶ βιάζοντες νὰ ἐκφέρουν τὴν ἀπόφασιν.

Τί ἀποφαίνονται λοιπὸν ἐκεῖνοι; «εἶναι ἔνοχος θανάτου»· ὥστε ἀφοῦ τὸν συνέλαβαν ὡς ὑπόδικον, νὰ προετοιμάσουν τὸν Πιλᾶτον νὰ ἀποφασίσῃ κατὰ παρόμοιον τρόπον. Αὐτὸ ἀκριβῶς συναισθανόμενοι λέγουν «εἶναι ἔνοχος θανάτου». Οἱ ἴδιοι κατηγοροῦν, οἱ ἴδιοι δικάζουν, οἱ ἴδιοι ἀποφασίζουν, οἱ ἴδιοι γίνονται τότε τὰ πάντα. Πῶς ὅμως δὲν ἀνέφεραν ὅσα ἔκανε τὰ Σάββατα; Ἐπειδὴ πολλάκις τοὺς εἶχεν ἀποστομώσει· ἀλλιῶς καὶ τότε, ἀπὸ τὰ ὅσα ἔλεγε, ἤθελαν νὰ τὸν συλλάβουν καὶ νὰ τὸν καταδικάσουν. Ἀφοῦ λοιπὸν τοὺς προκατέλαβε καὶ ἀπέσπασε τὴν ἀπόφασιν ἀπὸ αὐτοὺς καὶ ἐκέρδησε τοὺς πάντας μὲ τὸ νὰ ξεσχίσῃ τὸν χιτῶνά Του, ἔκανε τὰ πάντα ἔτσι, ὥστε νὰ τὸν ὁδηγήσῃ πρὸς τὸν Πιλᾶτον ὡς ὑπόδικον.

Εἰς ἐκεῖνον ὅμως δὲν ἀναφέρουν τίποτε τέτοιο, ἀλλὰ τί λέγουν; «Ἐὰν αὐτὸς δὲν ἦτο κακοποιός, δὲν θὰ σοῦ τὸν παρεδίδαμεν»[14]· ἐπιχειροῦν δηλαδὴ νὰ τὸν φονεύσουν ὡς ἔνοχον πολιτικῶν ἐγκλημάτων. Καὶ διατί δὲν τὸν ἐφόνευσαν κρυφίως; Διότι ἤθελαν νὰ διαβάλουν καὶ τὴν φήμην Του. Ἐπειδὴ πολλοὶ ἦσαν ἐκεῖνοι ποὺ τὸν εἶχαν ἀκούσει καὶ τὸν ἐθαύμαζαν καὶ ἐξεπλήσσοντο, δι' αὐτὸ ἐπεδίωξαν νὰ σφαγῇ δημοσίᾳ καὶ ἐνώπιον ὅλων. Ὁ δὲ Χριστὸς δὲν τοὺς ἠμπόδισεν, ἀλλ' ἀντιθέτως ἐχρησιμοποίησε τὴν πονηρίαν των διὰ νὰ διακηρυχθῇ ἡ ἀλήθεια, εἰς τρόπον ὥστε νὰ γίνῃ πασίγνωστος ὁ θάνατός Του.

Καὶ ἐξελίχθησαν ἀντίθετα ἀπὸ ὅ,τι ἤθελαν. Διότι, αὐτοὶ μὲν ἤθελαν νὰ τὸν διαπομπεύσουν, καὶ μὲ τὸν τρόπον αὐτὸν νὰ τὸν κατεντροπιάσουν. Ἐκεῖνος ὅμως καὶ μὲ αὐτὰ προεβάλλετο περισσότερον. Καὶ ὅπως ἔλεγαν «νὰ τὸν φονεύσωμεν, μήπως ἔλθουν οἱ Ρωμαῖοι καὶ μᾶς πάρουν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος»[15], καὶ ὅταν τὸν ἐφόνευσαν, συνέ-

αὐτόν, τοῦτο γέγονεν· οὕτω καὶ ἐνταῦθα, δημοσίᾳ αὐτὸν σταυρῶσαι ἐσπούδαζον, ἵνα βλάψωσιν αὐτοῦ τὴν δόξαν καὶ τοὐναντίον ἐξέβη. Ἐπεὶ ὅτι γε ἐξουσίαν εἶχον καὶ καθ' ἑαυτοὺς ἀνελεῖν, ἄκουσον τί φησιν ὁ Πιλᾶτος· «Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν». Ἀλλ' οὐκ ἤθελον, ἵνα ὡς παράνομος, ὡς τύραννος, ὡς στασιώδης ἀνῃρῆσθαι δόξῃ. Διὰ τοῦτο καὶ λῃστὰς αὐτῷ συνεσταύρωσαν· διὰ τοῦτο καὶ ἔλεγον· «Μὴ γράφε, ὅτι οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε».

Ταῦτα δὲ πάντα ὑπὲρ τῆς ἀληθείας ἐγίνετο, ὥστε μηδὲ σκιάν τινα αὐτοὺς ἔχειν ἀναισχύντου γοῦν ἀπολογίας. Καὶ ἐπὶ τοῦ τάφου δὲ ὁμοίως τὰ σήμαντρα καὶ αἱ φυλακαὶ μᾶλλον διαλάμψαι τὴν ἀλήθειαν ἐποίησαν· καὶ αἱ χλευασίαι καὶ τὰ σκώμματα καὶ αἱ λοιδορίαι τὸ αὐτὸ τοῦτο πάλιν ἐποίουν. Τοιοῦτον γὰρ ἡ πλάνη· δι' ὧν ἐπιβουλεύει, λύεται· οὕτω γοῦν καὶ ἐνταῦθα συνέβη. Οἱ μὲν γὰρ δοκοῦντες νενικηκέναι, οὗτοι μάλιστα καὶ ᾐσχύνθησαν, καὶ ἡττήθησαν, καὶ ἀπώλοντο· ὁ δὲ ἡττῆσθαι δοκῶν, οὗτος μάλιστα καὶ ἔλαμψε, καὶ ἐνίκησε κατὰ κράτος.

Μὴ δὴ πανταχοῦ ζητῶμεν νικᾶν, μηδὲ πανταχοῦ τὸ ἡττᾶσθαι φεύγωμεν. Ἔστιν ὅπου νίκη μὲν φέρει βλάβην, ἧττα δὲ ὠφέλειαν. Καὶ γὰρ ἐπὶ τῶν θυμουμένων, δοκεῖ μὲν ὁ πολλὰ ὑβρικῶς κεκρατηκέναι· οὗτος δὲ μάλιστά ἐστιν ὁ ἡττηθεὶς ὑπὸ τοῦ χαλεπωτάτου πάθους, καὶ βλαβείς· ὁ δὲ ἐνεγκὼν γενναίως, οὗτος περιεγένετο καὶ ἐνίκησε. Καὶ ὁ μὲν οὐδὲ τὸ οἰκεῖον ἴσχυσε σβέσαι νόσημα· ὁ δὲ καὶ τὸ ἀλλότριον ἀνεῖλε· καὶ ὁ μὲν ὑπὸ τοῦ οἰκείου ἡττήθη· ὁ δὲ καὶ τοῦ ἀλλοτρίου περιεγένετο, καὶ οὐ μόνον αὐτὸς οὐ κατεκάη,

16. Ἰω. 19, 6.
17. Ἰω. 19, 21.

βη αὐτὸ ποὺ ἐφοβοῦντο· ἔτσι καὶ ἐδῶ, ἐβιάζοντο νὰ τὸν σταυρώσουν δημοσίᾳ, διὰ νὰ μειώσουν τὸ γόητρόν Του, καὶ συνέβη τὸ ἀντίθετον. Διότι ὅτι εἶχαν τὴν ἐξουσίαν νὰ τὸν φονεύσουν καὶ μόνοι των, ἄκουσε τί λέγει ὁ Πιλᾶτος· «Λάβετέ τον σεῖς καὶ κρίνετέ τον σύμφωνα μὲ τὸν νόμον σας»[16]. Δὲν ἤθελαν ὅμως, διὰ νὰ φανῇ ὅτι ἐφονεύθη ὡς παράνομος, ὡς τύραννος, ὡς στασιαστής. Δι' αὐτὸ ἐσταύρωσαν καὶ λῃστὰς μαζί του· διὰ τοῦτο καὶ ἔλεγαν· «Μὴ γράφῃς, ὅτι αὐτὸς εἶναι ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλὰ ὅτι Ἐκεῖνος τὸ εἶπε»[17].

Ὅλα αὐτὰ δὲν ἐγίνοντο χάριν τῆς ἀληθείας, διὰ νὰ μὴ ἔχουν οὔτε τὴν παραμικρὰν δικαιολογίαν διὰ τὴν ἀναίσχυντον πρᾶξιν των. Κατὰ τὸν ἴδιον τρόπον καὶ αἱ σφραγίδες τοῦ τάφου καὶ αἱ φρουραὶ ἔκαναν ὥστε νὰ λάμψῃ περισσότερον ἡ ἀλήθεια· καὶ οἱ ἐμπαιγμοὶ καὶ τὰ πειράγματα καὶ αἱ ὕβρεις τὸ ἴδιον ἐπίσης ἔκαναν. Διότι τέτοια εἶναι ἡ πλάνη· διαλύεται μὲ ἐκεῖνα ἀκριβῶς ποὺ μηχανορραφεῖ. Ἔτσι λοιπὸν συνέβη καὶ ἐδῶ. Διότι αὐτοὶ ποὺ ἐνόμιζαν ὅτι ἐνίκησαν, αὐτοὶ κατησχύνθησαν περισσότερον καὶ ἐνικήθησαν καὶ ἐχάθησαν. Ἐνῷ Ἐκεῖνος ποὺ ἐνομίσθη ὡς ἡττημένος, Ἐκεῖνος καὶ ἔλαμψε περισσότερον καὶ ἐνίκησε καθ' ὁλοκληρίαν.

Ἂς μὴ ζητοῦμεν λοιπὸν παντοῦ νὰ νικῶμεν, οὔτε νὰ ἀποφεύγωμεν παντοῦ τὴν ἧτταν. Ὑπάρχουν περιπτώσεις ὅπου ἡ νίκη φέρει ζημίαν, ἡ δὲ ἧττα ὠφέλειαν. Διότι εἰς τοὺς ὀργιζομένους, φαίνεται ὅτι ἐνίκησεν ἐκεῖνος ποὺ ὕβρισε πολύ, ἐνῷ αὐτὸς εἶναι ποὺ ἐνικήθη πρὸ παντὸς ἀπὸ τὸ φοβερώτατον πάθος καὶ ἐζημιώθη· ἐνῷ ἐκεῖνος ποὺ ὑπέστη γενναίως τὴν ὕβριν, αὐτὸς ἀπεδείχθη ἀνώτερος καὶ ἐνίκησε. Καὶ ὁ μὲν πρῶτος δὲν ἠμπόρεσεν οὔτε τὸ ἰδικόν του νόσημα νὰ ἐξαλείψῃ· ἐνῷ ὁ ἄλλος κατέβαλε καὶ τὸ πάθος τοῦ ἄλλου. Καὶ ὁ μὲν πρῶτος ἐνικήθη ἀπὸ τὸ ἰδικόν του νόσημα, ἐνῷ ὁ ἄλλος ἐνίκησε καὶ τὸ ξένον νόσημα,

ἀλλὰ καὶ τὴν ἑτέρου φλόγα ἀρθεῖσαν εἰς ὕψος ἔσβεσεν. Εἰ δὲ ἠθέλησε νικῆσαι τὴν δοκοῦσαν νίκην εἶναι, καὶ αὐτὸς ἂν ἡττήθη, κἀκεῖνον ἐκκαύσας χαλεπώτερον τοῦτο παθεῖν παρεσκεύασεν ἄν, καὶ καθάπερ γυναῖκες, αἰσχρῶς καὶ ἐλεεινῶς ὑπὸ τοῦ θυμοῦ κατεπαλαίσθησαν ἂν ἑκάτεροι. Νυνὶ δὲ καὶ ταύτης ἀπηλλάγη τῆς αἰσχύνης ὁ φιλοσοφήσας, καὶ τρόπαιον λαμπρὸν καὶ ἐν ἑαυτῷ καὶ ἐν τῷ πλησίον ἔστησε κατὰ τῆς ὀργῆς διὰ τῆς καλῆς ἥττης.

4. Μὴ δὴ πανταχοῦ ζητῶμεν νικᾶν. Καὶ γὰρ ὁ πλεονεκτήσας τὸν πλεονεκτηθέντα νενίκηκεν, ἀλλὰ κακὴν νίκην, καὶ ὄλεθρον φέρουσαν τῷ νικήσαντι· ὁ δὲ πλεονεκτηθείς, καὶ δοκῶν νενικῆσθαι, φιλοσόφως ἐνεγκών, οὗτος μάλιστά ἐστιν ὁ τὸν στέφανον ἔχων. Πολλαχοῦ γὰρ τὸ ἡττᾶσθαι βέλτιον, καὶ ἔστιν οὗτος ἄριστος νίκης τρόπος. Ἄν τε γὰρ πλεονεκτῇ τις, ἄν τε παίῃ, ἄν τε βασκαίνῃ, ὁ ἡττώμενος καὶ μὴ ὁμόσε χωρῶν, οὗτός ἐστιν ὁ νικῶν.

Καὶ τί λέγω πλεονεξίαν καὶ βασκανίαν; Καὶ γὰρ ὁ εἰς μαρτύριον ἑλκόμενος, οὕτω νικᾷ, δεσμούμενος καὶ μαστιγούμενος καὶ κατακοπτόμενος καὶ σφαττόμενος. Καὶ ὅπερ ἐστὶν ἐν τοῖς πολέμοις ἧττα, τὸ πεσεῖν τὸν ἀγωνιζόμενον, τοῦτο παρ᾽ ἡμῖν νίκη. Οὐδαμοῦ γὰρ δρῶντες κακῶς νικῶμεν, ἀλλὰ πανταχοῦ πάσχοντες κακῶς. Οὕτω καὶ ἡ νίκη λαμπροτέρα γίνεται, ὅταν πάσχοντες τῶν δρώντων περιγενώμεθα. Ἐντεῦθεν δείκνυται ὅτι Θεοῦ ἡ νίκη. Καὶ γὰρ ἐναντίαν ἔχει τῇ ἔξωθεν τὴν φύσιν· ὃ καὶ μάλιστα ἰσχύος τεκμήριον. Οὕτω καὶ αἱ θαλάττιαι πέτραι τῷ παίεσθαι τὰ κύματα διαλύουσιν· οὕτω καὶ οἱ ἅγιοι πάντες ἀνεκηρύχθησαν καὶ ἐστε-

καὶ ὄχι μόνον αὐτὸς δὲν ἐκάηκε, ἀλλὰ ἔσβησε καὶ τὴν φλόγα τοῦ ἄλλου ποὺ εἶχε ὑψωθῆ πολύ. Ἐὰν ὅμως ἤθελε νὰ νικήση τὴν νίκην ἡ ὁποία θεωρεῖται ὡς τοιαύτη, καὶ αὐτὸς θὰ ἡττᾶτο, καὶ ἐκεῖνον θὰ τὸν ἐξώργιζε καὶ θὰ τὸν ἔκανε νὰ τὸ πάθη χειρότερα, καὶ ὡσὰν τὰς γυναῖκας θὰ ἐνικῶντο καὶ οἱ δύο ἀπὸ τὸν θυμὸν αἰσχρὰ καὶ ἐλεεινά. Ἐνῷ τώρα καὶ ἀπὸ αὐτὴν τὴν ἐντροπὴν ἀπηλλάγη ὁ συνετός, καὶ τρόπαιον περίλαμπρον ἔστησεν ἐναντίον τῆς ὀργῆς καὶ εἰς τὸν ἑαυτόν του καὶ εἰς τὸν πλησίον μὲ τὴν καλὴν ἧτταν του.

4. Ἂς μὴ ζητῶμεν λοιπὸν παντοῦ νὰ νικῶμεν. Διότι αὐτὸς ποὺ ὑπερισχύει νικᾷ τὸν ὑποδεέστερον, ἀλλὰ νίκην κακὴν καὶ ἡ ὁποία φέρει καταστροφὴν εἰς τὸν νικητήν· ἐνῷ ἐκεῖνος ποὺ ἐφάνη κατώτερος καὶ ἐθεωρήθη νικημένος, ἐὰν ἀντιμετωπίσῃ μὲ σύνεσιν τὴν ἧτταν του, αὐτὸς εἶναι εἰς τὴν πραγματικότητα ποὺ ἔχει τὸν στέφανον τῆς νίκης. Διότι εἰς πολλὰς περιπτώσεις ἡ ἧττα εἶναι ὠφελιμωτέρα καὶ ἀποτελεῖ ἄριστον τρόπον νίκης. Διότι καὶ ὅταν κάποιος ὑπερτερῆ καὶ ὅταν κτυπᾷ καὶ ὅταν ὑβρίζῃ, ἐκεῖνος ποὺ ἡττᾶται καὶ δὲν ἀντεπετίθεται, αὐτὸς εἶναι ὁ νικητής.

Καὶ διατί ἀναφέρω μόνον τὴν ὑπεροχὴν καὶ τὴν ὕβριν; Διότι καὶ αὐτὸς ποὺ ὁδηγεῖται εἰς τὸ μαρτύριον καὶ αὐτὸς νικᾷ, ὅταν δένεται καὶ μαστιγώνεται καὶ κομματιάζεται καὶ σφάζεται. Καὶ αὐτὸ ποὺ εἰς τοὺς πολέμους θεωρεῖται ἧττα, τὸ νὰ πέση αὐτὸς ποὺ ἀγωνίζεται, αὐτὸ εἰς ἡμᾶς εἶναι νίκη. Διότι πουθενὰ δὲν νικῶμεν ἐνεργοῦντες μὲ τρόπον φαῦλον, ἀλλὰ παντοῦ ὑφιστάμενοι δεινά. Ἔτσι γίνεται καὶ ἡ νίκη πιὸ περιφανής, ὅταν, ὑφιστάμενοι τὰ κακά, ὑπερισχύωμεν ἐκείνων οἱ ὁποῖοι δροῦν τὰ κακά. Ἀπὸ ἐδῶ φαίνεται ὅτι εἶναι νίκη τοῦ Θεοῦ, διότι ὁ χαρακτὴρ της εἶναι ἀντίθετος πρὸς τὴν ἐξωτερικὴν νίκην, πρᾶγμα τὸ ὁποῖον ἀποτελεῖ τὸ κατ' ἐξοχὴν τεκμήριον δυνάμεως. Ἔτσι κάνουν καὶ οἱ θαλασσινοὶ βράχοι, οἱ ὁποῖοι μὲ τὰ κτυπήματα ποὺ δέχονται διαλύουν τὰ κύματα· ἔτσι ἀνεκηρύχθησαν

φανώθησαν, καὶ λαμπρὰ τὰ τρόπαια ἔστησαν, τὴν ἀπράγμονα ταύτην νικῶντες νίκην. Μηδὲ γὰρ κινήσῃς σαυτόν, φησί, μηδὲ κάμῃς· ὁ Θεός σοι ταύτην ἔδωκε τὴν ἰσχύν, ὡς μὴ ἐκ συμπλοκῆς νικᾶν, ἀλλὰ ἀνεχόμενον μόνον. Μὴ παρατάξῃ καὶ αὐτὸς ἐξίσῃς, καὶ νενίκηκας· μὴ συμπλακῇς, καὶ ἐστεφανώθης. Πολὺ βελτίων εἶ τοῦ ἀνταγωνιστοῦ, καὶ δυνατώτερος. Τί καταισχύνεις σαυτόν; Μὴ δῷς ἐκείνῳ λέγειν, ὅτι συμπλακεὶς περιεγένου, ἀλλ' ἄφες αὐτὸν τεθηπέναι καὶ θαυμάζειν σου τὴν ἄμαχον δύναμιν· καὶ πρὸς πάντας λέγειν, ὅτι καὶ χωρὶς τοῦ συμβαλεῖν ἐνίκησας.

Οὕτω καὶ ὁ μακάριος Ἰωσὴφ ἀνεκηρύχθη, πανταχοῦ τῷ πάσχειν κακῶς περιγενόμενος τῶν ποιούντων. Καὶ γὰρ οἱ ἀδελφοὶ καὶ ἡ Αἰγυπτία τῶν ἐπιβουλευόντων ἦσαν· ἀλλὰ πάντων οὗτος ἐκράτησε. Μὴ γάρ μοι τὸ δεσμωτήριον, ὅπερ οὗτος ᾤκησε, μηδὲ τὰ βασίλεια, ἔνθα διέτριβεν ἐκείνη, λέγε· ἀλλὰ δεῖξόν μοι, τίς ὁ νικηθείς, τίς ὁ ἡττηθείς, τίς ὁ ἐν ἀθυμίᾳ, τίς ὁ ἐν ἡδονῇ. Ἐκείνη μὲν γὰρ οὐ μόνον τοῦ δικαίου, ἀλλ' οὐδὲ τοῦ οἰκείου ἴσχυσε κρατῆσαι πάθους· οὗτος δὲ καὶ αὐτῆς καὶ τοῦ νοσήματος περιεγένετο τοῦ χαλεποῦ. Εἰ δὲ καὶ βούλει, αὐτῶν ἄκουσον τῶν ῥημάτων, καὶ ὄψει τὸ τρόπαιον. «Εἰσήγαγες ἡμῖν ὧδε παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν». Οὐχ οὗτος ἐνέπαιξεν, ἀθλία καὶ ταλαίπωρε, ἀλλ' ὁ διάβολος εἰπών, ὅτι δύνασαι κατακλάσαι τὸν ἀδάμαντα. Οὐχ οὗτος εἰσήγαγέ σοι παῖδα Ἑβραῖον ἐπιβουλεύοντα, ἀλλ' ὁ πονηρὸς δαίμων τὴν ἀκάθαρτον ἀσέλγειαν· ἐκεῖνός σοι ἐνέπαιξε.

Τί οὖν ὁ Ἰωσήφ; Σιγᾷ, καὶ οὕτω κατακρίνεται, καθάπερ καὶ ὁ Χριστός. Πάντα γὰρ ἐκεῖνα τύποι τούτων. Καὶ ὁ

18. Γεν. 39, 14.

καὶ ἐστεφανώθησαν καὶ ὅλοι οἱ ἅγιοι καὶ ἔστησαν περίλαμπρα τρόπαια, ἐπιτυγχάνοντες αὐτὴν τὴν φιλήσυχον νίκην. Διότι λέγει, μὴ διεγείρῃς τὸν ἑαυτόν σου, οὔτε νὰ καταπονῆσαι· ὁ Θεὸς σοῦ ἔδωσεν αὐτὴν τὴν δύναμιν, διὰ νὰ μὴ νικᾷς εἰς συμπλοκήν, ἀλλὰ μόνον μὲ τὴν ἀνοχήν. Μὴ ἀντιπαρατάσσεσαι καὶ σὺ ὅπως ὁ ἀντίπαλός σου καὶ ἔχεις νικήσει· μὴ συμπλέκεσαι καὶ θὰ στεφθῇς. Εἶσαι πολὺ ἀνώτερος τοῦ ἀντιπάλου σου καὶ δυνατώτερος. Διατί καταισχύνεις τὸν ἑαυτόν σου; Μὴ δίνῃς εἰς ἐκεῖνον τὸ δικαίωμα νὰ λέγῃ, ὅτι συνεπλάκης μαζί του καὶ ὑπερίσχυσες, ἀλλὰ ἄφησέ τον νὰ θαυμάζῃ καὶ νὰ σέβεται τὴν ἄμαχον δύναμίν σου καὶ νὰ λέγῃ πρὸς ὅλους, ὅτι τὸν ἐνίκησες καὶ χωρὶς νὰ συγκρουσθῇς.

Ἔτσι καὶ ὁ μακάριος Ἰωσὴφ ἀνεκηρύχθη νικητής, μὲ τὸ νὰ ὑποφέρῃ τὰ δεινὰ νικήσας ἐκείνους ποὺ τὰ ἔκαμναν. Διότι καὶ οἱ ἀδελφοί του καὶ ἡ Αἰγυπτία ἦσαν μεταξὺ ἐκείνων ποὺ τὸν ἐπεβουλεύοντο· ἀλλὰ αὐτὸς τοὺς ἐνίκησεν ὅλους. Διότι μὴ μοῦ ἀναφέρῃς τὸ δεσμωτήριον εἰς τὸ ὁποῖον ἐκλείσθη αὐτός, οὔτε τὰ ἀνάκτορα ὅπου ἐζοῦσεν ἐκείνη· ἀλλὰ δεῖξε μου ποῖος εἶναι ὁ νικηθείς, ποῖος ἡ ἡττηθείς, ποῖος ἐλυπήθη καὶ ποῖος ηὐχαριστήθη. Διότι ἐκείνη μὲν ὄχι μόνον εἰς τὸ δίκαιον, ἀλλὰ οὔτε εἰς τὸ ἰδικόν της πάθος δὲν ἠμπόρεσε νὰ ἐπιβληθῇ· ἐνῷ αὐτὸς ἀπεδείχθη ἀνώτερος καὶ αὐτῆς καὶ τοῦ φοβεροῦ πάθους. Ἐὰν δὲ θέλῃς ἄκουσε τὰ ἴδια τὰ λόγια καὶ θὰ ἰδῇς τὸ τρόπαιον. «Μᾶς ἔφερες ἐδῶ ἕνα παιδὶ ἑβραιόπουλον διὰ νὰ μᾶς ἐμπαίζῃ»[18]. Δὲν σὲ ἐνέπαιξεν αὐτός, ἀθλία καὶ ταλαίπωρε, ἀλλὰ ὁ διάβολος ὁ ὁποῖος σοῦ εἶπεν ὅτι ἠμπορεῖς νὰ σπάσῃς τὸν ἀδάμαντα. Δὲν σοῦ ἔφερεν αὐτὸς Ἑβραῖον νεανίαν ὁ ὁποῖος σὲ ἐπεβουλεύθη, ἀλλὰ ὁ πονηρὸς δαίμων τὴν ἀκάθαρτον ἀσέλγειαν· ἐκεῖνος σὲ ἐνέπαιξεν.

Τί κάνει λοιπὸν ὁ Ἰωσήφ; Σιωπᾷ καὶ ἔτσι κατακρίνεται, ὅπως καὶ ὁ Χριστός. Διότι ὅλα ἐκεῖνα ἦσαν προτυπώσεις

μὲν ἦν ἐν δεσμοῖς, ἡ δὲ ἐν βασιλείοις. Καὶ τί τοῦτο; Ὁ μὲν γὰρ ἦν στεφανίτου παντὸς λαμπρότερος, καὶ ἐν ἁλύσει μένων· ἡ δὲ δεσμώτου παντὸς ἀθλιώτερον διέκειτο, ἐν βασιλικοῖς θαλάμοις διατρίβουσα. Οὐκ ἐντεῦθεν δὲ μόνον τὴν νίκην καὶ τὴν ἧττάν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἀπ᾿ αὐτοῦ τοῦ τέλους. Τίς γὰρ ὅπερ ἠθέλησεν, ἐποίησεν; Ὁ δεσμώτης, ἀλλ᾿ οὐχ ἡ βασίλισσα. Ὁ μὲν γὰρ ἐσπούδαζε διατηρῆσαι τὴν σωφροσύνην, ἡ δὲ ἀφελέσθαι. Τίς οὖν ἐποίησεν ὅπερ ἠθέλησεν; ὁ κακῶς παθών, ἢ ἡ κακῶς δράσασα; Εὔδηλον ὅτι ὁ παθών. Οὐκοῦν οὗτός ἐστιν ὁ νενικηκώς.

Ταῦτα οὖν εἰδότες, ταύτην διώκωμεν τὴν νίκην, τὴν διὰ τοῦ πάσχειν κακῶς· ἐκείνην δὲ φεύγωμεν, τὴν διὰ τοῦ δρᾶν κακῶς. Οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ ἀπραγμοσύνης ἁπάσης καὶ πολλῆς ἡσυχίας ζησόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

αὐτῶν. Καὶ αὐτὸς μὲν εὑρίσκετο εἰς τὰ δεσμά, ἐνῷ ἐκείνη εἰς τὰ ἀνάκτορα. Καὶ τί μὲ αὐτό; Διότι αὐτὸς μὲν ἦτο ἐνδοξότερος ἀπὸ κάθε ἀγωνιστὴν καὶ ὅταν ἀκόμα εὑρίσκετο μὲ ἁλυσίδα· ἐνῷ ἐκείνη διαμένουσα εἰς τοὺς βασιλικοὺς θαλάμους, διετέλει εἰς κατάστασιν περισσότερον ἀθλίαν ἀπὸ κάθε φυλακισμένον. Δὲν εἶναι δὲ δυνατὸν νὰ ἰδοῦμεν τὴ νίκην καὶ τὴν ἧτταν μόνον ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ αὐτὸ τὸ τέλος. Διότι ποῖος ἔκαμεν αὐτὸ ποὺ ἤθελεν; Ὁ φυλακισμένος καὶ ὄχι ἡ βασίλισσα. Διότι αὐτὸς μὲν ἐφρόντιζε νὰ διατηρήσῃ τὴν σωφροσύνην, ἐνῷ ἐκείνη νὰ τὴν ἀφαιρέσῃ. Ποῖος λοιπὸν ἔκανεν αὐτὸ ποὺ ἠθέλησεν; Αὐτὸς ποὺ ὑπέφερεν ἀδίκως ἢ ἐκείνη ποὺ ἐνήργησε κακῶς; Εἶναι ὁλοφάνερον ὅτι αὐτὸς ποὺ ὑπέφερεν. Ἑπομένως αὐτὸς εἶναι ἐκεῖνος ὁ ὁποῖος ἐνίκησε.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς ἐπιδιώκωμεν αὐτὴν τὴν νίκην, τὴν ὁποίαν ἐπιτυγχάνομεν μὲ τὸ νὰ ὑποφέρωμεν ἀδίκως· ἂς ἀποφεύγωμεν δὲ ἐκείνην, ἡ ὁποία ἐπιτυγχάνεται μὲ τὸ νὰ ἐνεργοῦμεν κακῶς. Διότι ἔτσι καὶ τὴν παροῦσαν ζωὴν θὰ ζήσωμεν μὲ κάθε ἀπραγμοσύνην καὶ πολλὴν ἡσυχίαν καὶ τὰ μέλλοντα ἀγαθὰ θὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΕ΄.

Ματθ. 26, 67 - 27, 10

«*Τότε ἐπέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐρράπισαν, λέγοντες· προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε;*».

1. Διατί ταῦτα ἐποίουν, ἀναιρεῖν μέλλοντες; τίς χρεία τῆς κωμῳδίας ταύτης ἦν; Ἵνα μάθῃς αὐτῶν τὸν ἀκόλαστον τρόπον διὰ πάντων· καὶ ὅτι καθάπερ θήραμα εὑρόντες, οὕτω τὴν ἑαυτῶν ἐνεδείκνυντο παροινίαν, καὶ τῆς μανίας ἐνεφοροῦντο, ἑορτὴν ταύτην ποιούμενοι, καὶ μεθ' ἡδονῆς ἐπιόντες, καὶ τὸν φονικὸν αὐτῶν ἐνδεικνύμενοι τρόπον. Σὺ δέ μοι θαύμασον τῶν μαθητῶν τὴν φιλοσοφίαν, μεθ' ὅσης αὐτὰ ἀκριβείας ἀπαγγέλλουσιν. Ὅθεν τὸ φιλάληθες αὐτῶν ἦθος διαδείκνυται, ὅτι τὰ δοκοῦντα εἶναι ἐπονείδιστα ἐξηγοῦνται μετὰ ἀληθείας ἁπάσης, οὐδὲν ἀποκρυπτόμενοι, οὐδὲ ἐπαισχυνόμενοι, ἀλλὰ καὶ δόξαν ἡγούμενοι μεγίστην, ὥσπερ οὖν καὶ ἦν, τὸ τὸν Δεσπότην τῆς οἰκουμένης ὑπὲρ ἡμῶν τοιαῦτα πάσχοντα ἀνέχεσθαι.

Τοῦτο καὶ τὴν αὐτοῦ κηδεμονίαν ἐδείκνυ τὴν ἄφατον, καὶ τὴν πονηρίαν ἐκείνων τὴν ἀσύγγνωστον, οἳ ταῦτα ἐτόλμων εἰς τὸν οὕτως ἥμερον καὶ πρᾶον, καὶ τοιαῦτα κατεπᾴδοντα, οἷα καὶ λέοντα ἀρνίον ποιῆσαι ἱκανὰ ἦν. Οὐδὲν γὰρ οὔτε αὐτὸς ἐνέλιπεν ἡμερότητος, οὔτε αὐτοὶ ὕβρεως καὶ ἀπηνείας, δι' ὧν ἐποίουν, δι' ὧν ἔλεγον. Ἅπερ ἅπαντα καὶ ὁ προφήτης Ἡσαΐας προὔλεγεν, οὕτω προαναφωνῶν, καὶ ἑνὶ ῥήματι πᾶσαν ταύτην ἐμφαίνων τὴν ὕβριν. «Ὃν τρόπον γὰρ ἐκστή-

ΟΜΙΛΙΑ ΠΕ΄.

Ματθ. 26, 67 - 27, 10

«Τότε τὸν ἔφτυσαν εἰς τὸ πρόσωπόν Του καὶ τὸν ἐκτύπησαν· ἄλλοι δὲ τὸν ἐρράπιζαν καὶ τοῦ ἔλεγαν· Μάντευσε εἰς ἐμᾶς, Χριστέ, ποῖος σὲ ἐκτύπησεν».

1. Διατί τὰ ἔκαναν αὐτά, ἀφοῦ ἐπρόκειτο νὰ τὸν φονεύσουν; Ποία ἦτο ἡ ἀνάγκη αὐτῆς τῆς διακωμωδήσεως; Διὰ νὰ μάθῃς μὲ ὅλα τὴν ἀχαλίνωτον συμπεριφοράν των, καὶ ὅτι, ἐπειδὴ τὸν εὐρῆκαν ὡσὰν θήρεμα, ἔδειχναν μὲ τὸν τρόπον αὐτὸν τὴν μεθυσμένην συμπεριφοράν των καὶ διακατείχοντο ἀπὸ μανίαν, καὶ μετέτρεπαν τὴν ὑπόθεσιν εἰς ἑορτήν, ἐπιτιθέμενοι μὲ εὐχαρίστησιν καὶ ἐκδηλώνοντες τὴν φονικήν των διάθεσιν. Σὺ δὲ κάνε μου τὴν χάριν νὰ θαυμάσῃς τὴν ἀντικειμενικότητα τῶν μαθητῶν, μὲ πόσην ἀκρίβειαν τὰ περιγράφουν. Ἀπὸ αὐτὸ ἀποδεικνύεται ἡ πρὸς τὴν ἀλήθειαν ἀγάπη των, ἀφοῦ ἐκεῖνα τὰ ὁποῖα θεωροῦνται ὅτι εἶναι ἀξιοκατάκριτα, τὰ διηγοῦνται μὲ κάθε ἀντικειμενικότητα, χωρὶς νὰ ἀποκρύπτουν τίποτε καὶ χωρὶς νὰ ἐντρέπωνται, ἀλλὰ καὶ ὑψίστην τιμὴν θεωροῦντες, ὅπως καὶ ἦτο, τὸ ὅτι ὁ Δεσπότης τῆς οἰκουμένης ἠνείχετο νὰ ὑφίσταται τέτοια πρὸς χάριν μας.

Αὐτὸ καὶ τὴν ἰδικήν του ἀπερίγραπτον κηδεμονίαν ἐφανέρωνεν, ἀλλὰ καὶ τὴν ἀσυγχώρητον πονηρίαν ἐκείνων, οἱ ὁποῖοι ἀπετόλμων αὐτὰ εἰς βάρος Ἐκείνου ὁ ὁποῖος ἦτο τόσον ἤπιος καὶ πρᾶος καὶ ἔλεγε τέτοια λόγια, ποὺ ἦσαν ἱκανὰ νὰ μεταβάλουν λέοντα εἰς ἀρνίον. Διότι οὔτε Ἐκεῖνος ὑστέρησε καθόλου εἰς ἠπιότητα, οὔτε αὐτοὶ εἰς ὕβρεις καὶ σκληρότητα μὲ ὅσα ἔκαναν καὶ ἔλεγαν. Αὐτὰ ὅλα καὶ ὁ προφήτης Ἡσαΐας τὰ προέλεγεν, ἔτσι ἀκριβῶς διακηρύσσων αὐτὰ ἐκ τῶν προτέρων, καὶ ἐμφανίζων μὲ μίαν φράσιν ὅλην αὐτὴν τὴν ἐξύβρισιν. Διότι ἔλεγε· «Μὲ τὸν τρόπον ποὺ θὰ

σονται πολλοὶ ἐπὶ σέ», φησίν, «οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων». Τί γὰρ τῆς ὕβρεως ταύτης ἴσον γένοιτ' ἄν; Εἰς τὸ πρόσωπον ἐκεῖνο, ὃ ἡ θάλασσα ἰδοῦσα ᾐδέσθη, ὃ ἐπὶ σταυροῦ θεασάμενος ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέστρεψεν, ἐνέπτυον καὶ ἐρράπιζον, καὶ ἐπὶ τῆς κεφαλῆς ἔτυπτον, ἐμφορούμενοι μετὰ δαψιλείας ἁπάσης τῆς ἑαυτῶν μανίας.

Καὶ γὰρ πληγὰς τὰς πασῶν ὑβριστικωτέρας ἐνέτεινον, κολαφίζοντες, ραπίζοντες, καὶ ταῖς πληγαῖς ταύταις τὴν ἀπὸ τοῦ ἐμπτύειν προσετίθεσαν ὕβριν. Καὶ ρήματα πάλιν πολλῆς γέμοντα κωμῳδίας ἐφθέγγοντο λέγοντες· «Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε;», ἐπειδὴ προφήτην αὐτὸν ἔλεγον οἱ πολλοί. Ἕτερος δέ φησιν, ὅτι καὶ περιβαλόντες τὸ πρόσωπον αὐτοῦ τῷ ἱματίῳ, ταῦτα ἐποίουν, ὥσπερ τινὰ ἄτιμον καὶ τριωβολιμαῖον εἰς μέσον λαβόντες. Καὶ οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ δοῦλοι ταύτην τὴν παροινίαν εἰς αὐτὸν ἐπαροίνουν τότε.

Ταῦτα ἀναγινώσκωμεν συνεχῶς,, ταῦτα ἀκούωμεν ὡς χρή, ταῦτα ἐγγράφωμεν ἡμῶν τῇ διανοίᾳ· καὶ γὰρ ταῦτα ἡμῶν τὰ σεμνά. Ἐπὶ τούτοις ἐγὼ μέγα φρονῶ, οὐ μόνον ἐπὶ τοῖς μυρίοις νεκροῖς οἷς ἀνέστησεν, ἀλλὰ καὶ ἐπὶ τοῖς παθήμασιν οἷς ἔπαθε. Ταῦτα ἄνω καὶ κάτω Παῦλος στρέφει· τὸν σταυρόν, τὸν θάνατον, τὰ πάθη, τὰς λοιδορίας, τὰς ὕβρεις, τὰ σκώμματα. Καὶ νῦν μέν φησιν, «Ἐξερχώμεθα πρὸς αὐτόν, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες»· νῦν, δέ, «Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας».

«Ὁ δὲ Πέτρος ἐκάθητο ἐν τῇ αὐλῇ ἔξω· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν αὐτῶν πάντων λέγων,

---

1. Ἠσ. 52, 14.
2. Λουκᾶ 22, 64.
3. Ἑβρ. 13, 13.
4. Ἑβρ. 12, 2.

ἐπιτεθοῦν πολλοὶ ἐναντίον σου, θὰ ἐκλείψῃ ἡ ἐμφάνισίς σου μεταξὺ τῶν ἀνθρώπων καὶ ἡ λάμψις σου μεταξὺ τῶν υἱῶν τῶν ἀνθρώπων»[1]. Διότι τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἰσάξιον πρὸς αὐτὸν τὸν ἐξευτελισμόν; Εἰς τὸ πρόσωπον ἐκεῖνο, τὸ ὁποῖον ἐσεβάσθη ἡ θάλασσα ὅταν τὸ εἶδε, τὸ ὁποῖον ὅταν ἀντίκρυσεν ἐπάνω εἰς τὸν σταυρὸν ὁ ἥλιος ἀπέκρυψε τὰς ἀκτῖνας του, εἰς τὸ πρόσωπον ἐκεῖνο ἔφτυναν καὶ τὸ ἐρράπιζαν καὶ ἐκτυποῦσαν εἰς τὴν κεφαλήν, γεμᾶτοι μὲ κάθε ἀφθονίαν ἀπὸ τὴν μανίαν των.

Διότι τοῦ κατέφεραν τὰ πιὸ ὑβριστικὰ ἀπὸ ὅλα τὰ πλήγματα, κτυπῶντες εἰς τὴν παρειάν, ραπίζοντες καὶ εἰς τὰ κτυπήματα αὐτὰ ἐπρόσθεταν καὶ τὸν ἐξευτελισμὸν τῶν ἐμπτυσμάτων. Ἐπίσης καὶ λόγια ἐξεστόμιζαν γεμᾶτα διακωμώδησιν, λέγοντες· «Μάντεψέ μας, Χριστέ, ποῖος εἶναι αὐτὸς ποὺ σὲ ἐκτύπησεν;». Ἐπειδὴ ὁ ὄχλος τὸν ὠνόμαζε προφήτην. Ἄλλος δὲ εὐαγγελιστὴς ἀναφέρει, ὅτι τὰ ἔκαναν αὐτὰ ἀφοῦ περιετύλιξαν τὸ πρόσωπόν Του μὲ τὸ ἱμάτιον[2], ὡσὰν νὰ εἶχαν ἀνάμεσά τους κάποιον ἀτιμασμένον καὶ τιποτένιον. Τὴν μεθυσμένην δὲ αὐτὴν συμπεριφορὰν δὲν τὴν ἔδειχναν μόνον οἱ ἐλεύθεροι, ἀλλὰ καὶ οἱ δοῦλοι.

Αὐτὰ ἂς τὰ ἀναγινώσκωμεν συνεχῶς, ἂς τὰ ἀκούωμεν ὅπως πρέπει, αὐτὰ ἂς τὰ γράφωμεν μέσα εἰς τὸν νοῦν μας, διότι αὐτὰ εἶναι τὰ ἅγιά μας. Εἰς αὐτὰ ἐγὼ βασίζομαι πάρα πολύ· ὄχι μόνον εἰς τοὺς μυρίους νεκροὺς τοὺς ὁποίους ἀνέστησεν, ἀλλὰ καὶ εἰς τὰ παθήματα τὰ ὁποῖα ὑπέστη. Εἰς αὐτὰ ὁ Παῦλος ἐπανέρχεται κατ' ἐπανάληψιν· εἰς τὸν σταυρόν, τὸν θάνατον, τὰ πάθη, τὰς βλασφημίας, τὰς ὕβρεις, τοὺς ἀστεϊσμούς. Καὶ ἄλλοτε μὲν λέγει· «Ἂς ἐξερχώμεθα πρὸς αὐτόν, βαστάζοντες τὸν ὀνειδισμόν του»[3], ἄλλοτε δέ· «ὁ ὁποῖος χάριν τῆς χαρᾶς ποὺ τὸν ἀνέμενεν, ὑπέμεινε σταυρόν, περιφρονήσας τὴν αἰσχύνην»[4].

«Ὁ δὲ Πέτρος ἐκάθητο ἔξω εἰς τὴν αὐλήν· καὶ τὸν ἐπλησίασε μία ὑπηρέτρια καὶ τοῦ εἶπε· Καὶ σὺ ἦσουν μαζὶ μὲ τὸν Ἰησοῦν τὸν Γαλιλαῖον. Ἐκεῖνος δὲ ἠρνήθη ἐνώ-

οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει· ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ, εἰρηκότος, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Ὢ καινῶν καὶ παραδόξων πραγμάτων. Ὅτε μὲν κατεχόμενον εἶδε τὸν διδάσκαλον μόνον, οὕτως ἔζεεν, ὡς καὶ τὴν μάχαιραν σπάσασθαι, καὶ ἐκκόψαι τὸ ὠτίον· ὅτε δὲ μᾶλλον ἀγανακτῆσαι εἰκὸς ἦν, καὶ πυρωθῆναι καὶ ἐκκαυθῆναι, λοιδοριῶν τοιούτων ἀκούοντα, τότε ἔξαρνος γίνεται. Τίνα γὰρ οὐκ ἂν ἐξῆψεν εἰς μανίαν τὰ τότε γινόμενα; Ἀλλ' ὅμως ὁ μαθητὴς ὑπὸ τοῦ δέους καταγνωσθεὶς οὐ μόνον οὐκ ἐνδείκνυται ἀγανάκτησιν, ἀλλὰ καὶ ἀρνεῖται, καὶ κορασίου ταλαιπώρου καὶ εὐτελοῦς ἀπειλὴν οὐ φέρει· καὶ οὐδὲ ἅπαξ μόνον, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον ἀρνεῖται, καὶ ἐν χρόνῳ βραχεῖ, καὶ οὐδὲ ἐπὶ δικαστῶν· ἔξω γὰρ ἦν· ἐξελθόντα γὰρ αὐτὸν εἰς τὸν πυλῶνα ἠρώτησαν· καὶ οὐδὲ ᾔσθετο ταχέως τοῦ πτώματος. Καὶ τοῦτο ὁ Λουκᾶς φησιν, ὅτι ἐνέβλεψεν εἰς αὐτὸν ὁ Χριστός, δεικνὺς ὅτι οὐ μόνον ἠρνήσατο, ἀλλ' οὐδὲ ἀνεμνήσθη οἴκοθεν, καὶ ταῦτα τοῦ ἀλεκτρυόνος φωνήσαντος, ἀλλ' ἐδεήθη τῆς τοῦ διδασκάλου πάλιν ὑπομνήσεως, καὶ τὸ βλέμμα αὐτῷ γέγονεν ἀντὶ φωνῆς· οὕτω περιδεὴς ἦν.

Ὁ δὲ Μᾶρκός φησιν, ὅτι ὅτε μὲν ἅπαξ ἠρνήσατο, τότε πρῶτον ἐφώνησεν ὁ ἀλεκτρυών, ὅτε δὲ τρίτον, τότε δεύτερον, ἀκριβέστερον ἐξηγούμενος τοῦ μαθητοῦ τὴν ἀσθένειαν,

---

5. Λουκᾶ 22, 61.
6. Μάρκ. 14, 66-72.

πιον ὅλων αὐτῶν καὶ εἶπε· Δὲν γνωρίζω τί λέγεις. Ὅταν δὲ ἐβγῆκεν εἰς τὴν πύλην τὸν εἶδεν ἄλλη καὶ τοῦ εἶπεν· Καὶ αὐτὸς ἦτο ἐκεῖ μαζὶ μὲ τὸν Ἰησοῦν τὸν Ναζωραῖον. Καὶ πάλιν ἠρνήθη μὲ ὅρκον. Ὕστερα ἀπὸ ὀλίγον ἀφοῦ ἐπλησίασαν ἐκεῖνοι ποὺ ἐστέκοντο, εἶπαν εἰς τὸν Πέτρον· Ἀλήθεια εἶσαι καὶ σὺ ἀπὸ αὐτούς; Διότι ἡ προφορά σου σὲ φανερώνει. Τότε ἄρχισε νὰ ἀναθεματίζῃ καὶ νὰ ὁρκίζεται, ὅτι δὲν γνωρίζω τὸν ἄνθρωπον. Καὶ ἀμέσως ἐλάλησεν ὁ πετεινός. Καὶ ἐνεθυμήθη ὁ Πέτρος τὸν λόγον τοῦ Ἰησοῦ, ὁ ὁποῖος εἶχεν εἰπεῖ· «Πρὶν λαλήσῃ ὁ πετεινὸς θὰ μὲ ἀπαρνηθῇς τρεῖς φορές. Καὶ ἀφοῦ ἐβγῆκεν ἔξω ἔκλαψε πικρά».

Τί καινοφανῆ καὶ παράδοξα πράγματα! Ὅταν μὲν εἶδε τὸν Διδάσκαλον νὰ ἔχῃ συλληφθῆ μόνον, ἔβραζε τόσον πολύ, ὥστε ἀπέσπασε τὴν μάχαιραν καὶ ἔκοψε τὸ αὐτί· ἐνῷ τότε ποὺ ἦτο περισσότερον φυσικὸν νὰ ἀγανακτήσῃ καὶ νὰ ἀνάψῃ καὶ νὰ ἐξοργισθῇ, ἀκούων τέτοιου εἴδους κακολογίας, τότε γίνεται ἀρνητής. Διότι ποῖον δὲν θὰ διήγειραν μέχρι μανίας ὅσα ἐγίνοντο τότε; Ὁ μαθητὴς ὅμως ἡττηθεὶς ἀπὸ τὸν φόβον, ὄχι μόνον δὲν ἐκδηλώνει ἀγανάκτησιν, ἀλλὰ καὶ ἀρνεῖται καὶ δὲν ἀντέχει οὔτε τὴν ἀπειλὴν ἑνὸς ἀθλίου καὶ τιποτένιου κοριτσιοῦ· καὶ ὄχι μόνον μίαν φοράν, ἀλλὰ καὶ δευτέραν καὶ τρίτην φορὰν ἀρνεῖται, καὶ ἐντὸς συντόμου χρονικοῦ διαστήματος καὶ οὔτε κἂν ἐνώπιον δικαστῶν· διότι εὑρίσκετο ἔξω· διότι ὅταν ἐβγῆκεν εἰς τὴν πύλην τὸν ἠρώτησαν· καὶ οὔτε κἂν ἀντελήφθη ἀμέσως τὴν κατάπτωσιν. Καὶ αὐτὸ τὸ ἀναφέρει ὁ Λουκᾶς, ὅτι δηλαδὴ τὸν ἀτένισεν ὁ Χριστός[5], δεικνύων ὅτι ὄχι μόνον τὸν ἠρνήθη, ἀλλὰ καὶ ὅτι δὲν ἐνεθυμήθη μόνος του, παρ' ὅλον ὅτι ἐφώναζεν ὁ ἀλέκτωρ, ἀλλ' ὅτι ἐχρειάσθη πάλιν τὴν ὑπόμνησιν τοῦ Διδασκάλου καὶ ὅτι τὸ βλέμμα τοῦ Χριστοῦ ἀπέβη δι' αὐτὸν φωνή· τόσον φοβισμένος ἦτο.

Ὁ δὲ Μᾶρκος ἀναφέρει, ὅτι μὲ τὴν πρώτην ἄρνησίν του ἐφώναξε διὰ πρώτην φορὰν ὁ ἀλέκτωρ, καὶ μὲ τὴν τρίτην ἐφώναξε διὰ δευτέραν φοράν[6], διηγούμενος μὲ πε-

καὶ τὸ σφόδρα αὐτὸν ἀποτεθνηκέναι τῷ δέει, καὶ ταῦτα παρ' αὐτοῦ τοῦ διδασκάλου μαθών· καὶ γὰρ φοιτητὴς ἦν Πέτρου. Ὅθεν μάλιστα ἄν τις αὐτὸν ἐκπλαγείη, ὅτι οὐ μόνον οὐκ ἔκρυψε τὸ ἐλάττωμα τοῦ διδασκάλου, ἀλλὰ καὶ τῶν ἄλλων σαφέστερον ἀπήγγειλεν, αὐτῷ τούτῳ τῷ μαθητὴς εἶναι.

2. Πῶς οὖν ἀληθὲς τὸ εἰρημένον, τοῦ μὲν Ματθαίου λέγοντος, ὅτι εἶπεν, «Ἀμὴν λέγω σοι, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με», τοῦ δὲ Μάρκου μετὰ τὸ τρίτον λέγοντος, ὅτι «Ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε»; Σφόδρα μὲν οὖν καὶ ἀληθές, καὶ σύμφωνον. Ἐπειδὴ γὰρ καθ' ἑκάστην ἀγωγὴν καὶ τρίτον καὶ τέταρτον φωνεῖν εἴωθεν ὁ ἀλεκτρυών, δηλῶν ὁ Μᾶρκος, ὅτι οὐδὲ ἡ φωνὴ αὐτὸν ἐπέσχε καὶ εἰς μνήμην ἤγαγε, τοῦτό φησιν. Ὥστε ἀμφότερα ἀληθῆ. Πρὶν ἢ γὰρ τὴν μίαν ἀγωγὴν ἀπαρτίσαι τὸν ἀλεκτρυόνα, τρίτον ἠρνήσατο. Καὶ οὐδὲ ὑπὸ τοῦ Χριστοῦ τῆς ἁμαρτίας ἀναμνησθείς, κλαῦσαι ἐτόλμα φανερῶς, μὴ κατηγορηθῇ διὰ τῶν δακρύων· ἀλλ' «Ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς».

«Καὶ γενομένης ἡμέρας ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καιάφα ἐπὶ τὸν Πιλᾶτον». Ἐπειδὴ γὰρ ἠβούλοντο αὐτὸν ἀνελεῖν, αὐτοὶ δὲ οὐκ ἴσχυον διὰ τὴν ἑορτήν, ἐπὶ τὸν ἡγεμόνα ἄγουσι. Σὺ δέ μοι σκόπει πῶς συνηλάθη τὸ πρᾶγμα, ὥστε ἐν ἑορτῇ γενέσθαι. Οὕτω γὰρ ἄνωθεν προδιετετύπωτο.

«Τότε ἰδὼν Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια». Τοῦτο καὶ ἐκείνου καὶ τούτων κατηγορία· τοῦ μέν, οὐχ ὅτι μετεμελήθη, ἀλλ' ὅτι ὀψὲ καὶ βραδέως, καὶ αὐτοκατάκριτος γέγονεν· ὅτι

ρισσοτέραν ἀκρίβειαν τὴν ἀδυναμίαν τοῦ μαθητοῦ καὶ τὴν τελείαν ἐξουθένωσίν του ἀπὸ τὸν φόβον, καὶ τὰ ἀναφέρει αὐτὰ ἀφοῦ τὰ ἔμαθεν ἀπὸ τὸν ἴδιον τὸν διδάσκαλόν του, διότι ὡς γνωστὸν ἦτο μαθητὴς τοῦ Πέτρου. Ἀπὸ αὐτὸ μάλιστα θὰ ἠμποροῦσε νὰ τὸν θαυμάσῃ κανείς, διότι ὄχι μόνον δὲν ἔκρυψε τὸ ἐλάττωμα τοῦ διδασκάλου του, ἀλλὰ καὶ τὸ ἀναφέρει ἀκριβέστερα, ἐπειδὴ ἀκριβῶς ἦτο μαθητής του.

2. Πῶς ὅμως εἶναι ἀλήθεια αὐτὸ ποὺ ἐλέχθη, ἀφοῦ ὁ μὲν Ματθαῖος ἀναφέρει ὅτι εἶπεν· «Σοῦ λέγω ἀληθινά, ὅτι πρὶν λαλήσῃ ὁ πετεινὸς θὰ μὲ ἀπαρνηθῇς τρεῖς φορές», ὁ δὲ Μᾶρκος, ὅτι μετὰ τὴν τρίτην ἄρνησιν· «Ὁ πετεινὸς ἐλάλησε διὰ δευτέραν φοράν»; Καὶ παρὰ πολὺ ἀληθινὸν καὶ σύμφωνον. Διότι, ἐπειδὴ εἰς κάθε μετακίνησιν ὁ πετεινὸς συνήθιζε νὰ φωνάζῃ καὶ τρεῖς καὶ τέσσαρας φοράς, θέλων ὁ Μᾶρκος νὰ δηλώσῃ ὅτι ἡ φωνὴ δὲν τὸν συνεκράτησεν οὔτε τὸν ἔκανε νὰ θυμηθῇ, λέγει αὐτό· ὥστε καὶ τὰ δύο εἶναι ἀληθινά. Διότι πρὶν ἀκόμη νὰ συμπληρώσῃ τὴν πρώτην μετακίνησιν ὁ πετεινός, ἔκανε τὴν τρίτην ἄρνησιν. Καὶ οὔτε νὰ κλαύσῃ φανερὰ δὲν ἐτολμοῦσεν, ὅταν ἀπὸ τὸ βλέμμα τοῦ Χριστοῦ ἐνεθυμήθη τὴν ἁμαρτίαν, διὰ νὰ μὴ προδοθῇ ἀπὸ τὰ δάκρυα, ἀλλὰ «ἐβγῆκεν ἔξω καὶ ἔκλαυσε πικρά».

«Καὶ ὅταν ἐξημέρωσεν ὁδηγοῦν τὸν Ἰησοῦν ἀπὸ τὸν Καϊάφα εἰς τὸν Πιλᾶτον». Ἐπειδὴ ἤθελαν νὰ τὸν φονεύσουν καὶ δὲν ἠμποροῦσαν οἱ ἴδιοι λόγῳ τῆς ἑορτῆς, τὸν ὁδηγοῦν εἰς τὸν ἡγεμόνα. Σὺ δὲ κάνε μου τὴν χάριν νὰ προσέξῃς πῶς συνέπεσε τὸ πρᾶγμα, ὥστε νὰ γίνῃ κατὰ τὴν ἑορτήν. Διότι ἔτσι εἶχε προκαθορισθῆ ἄνωθεν.

«Τότε, ὅταν εἶδεν ὁ Ἰούδας ὁ ὁποῖος τὸν εἶχε παραδώσει, ὅτι κατεδικάσθη, μετενόησε καὶ ἐπέστρεψε τὰ τριάντα ἀργύρια». Αὐτὸ ἀποτελεῖ καὶ ἐκείνου καὶ αὐτῶν κατηγορίαν. Ἐκείνου μὲν ὄχι διότι μετενόησεν, ἀλλὰ διότι μετενόησεν ἀργὰ καὶ μὲ βραδύτητα, καὶ ἔγινεν αὐτοκατάκρι-

γὰρ παρέδωκεν, αὐτὸς ὡμολόγησε· τῶν δέ, ὅτι κύριοι ὄντες μεταθέσθαι, οὐ μετενόησαν.

Σκόπει δὲ πότε μεταμελεῖται. Ὅτε ἀπηρτίσθη καὶ τέλος ἔλαβεν ἡ ἁμαρτία. Τοιοῦτος γὰρ ὁ διάβολος· οὐκ ἀφίησι τοὺς μὴ νήφοντας ἰδεῖν πρὸ τούτου τὸ κακόν, ἵνα μὴ μετανοήσῃ ὁ ἁλούς. Τοσαῦτα γοῦν λέγοντος τοῦ Ἰησοῦ, οὐκ ἐπεκάμφθη· ἐπειδὴ δὲ ἀπηρτίσθη τὸ πλημμέλημα, τότε ἐπεισῆλθεν αὐτῷ ἡ μετάνοια· καὶ οὐδὲ τότε χρησίμως. Τὸ μὲν γὰρ καταγνῶναι, καὶ τὸ ῥῖψαι τὰ ἀργύρια, καὶ τὸ μὴ αἰδεσθῆναι τὸν Ἰουδαϊκὸν δῆμον, πάντα ἀποδεκτά· τὸ δὲ ἀπάγξασθαι, τοῦτο πάλιν ἀσύγγνωστον, καὶ πονηροῦ δαίμονος ἔργον. Προεξήγαγε γὰρ αὐτὸν τῆς μετανοίας, ἵνα μηδὲν ἐντεῦθεν καρπώσηται· καὶ θανάτῳ αἰσχίστῳ καὶ καταδήλῳ πᾶσιν ἀναιρεῖ, πείσας ἑαυτὸν ἀπολέσαι.

Σύ δέ μοι σκόπει πανταχόθεν τὴν ἀλήθειαν λάμπουσαν, καὶ δι' ὧν οἱ ἐναντίοι καὶ ποιοῦσι καὶ πάσχουσι. Καὶ γὰρ καὶ αὐτὴ τοῦ προδότου ἡ τελευτὴ τῶν κατακρινάντων αὐτὸν ἀπορράπτει τὰ στόματα, καὶ οὐκ ἀφίησιν αὐτοὺς οὐδὲ σκιάν τινα ἀναισχύντου γοῦν ἀπολογίας ἔχειν. Τί γὰρ ἂν ἔχοιεν εἰπεῖν ἐκεῖνοι, ὅταν ὁ προδότης τοιαῦτα καθ' ἑαυτοῦ ψηφιζόμενος φαίνηται; Ἴδωμεν δὲ καὶ τὰ ῥήματα, ἅ φησιν. «Ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι, καὶ λέγει· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναόν, ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο». Οὐδὲ γὰρ ἤνεγκε τὸ συνειδὸς μαστίζον αὐτόν.

Σκόπει δέ μοι καὶ τοὺς Ἰουδαίους τὰ αὐτὰ πάσχοντας. Καὶ γὰρ καὶ οὗτοι ἀφ' ὧν ἔπαθον ὀφείλοντες διορθωθῆναι, οὐ πρότερον ἵστανται, ἕως ἂν τὴν ἁμαρτίαν πληρώσωσιν. Ἡ

τος, διότι μόνος του ὡμολόγησεν ὅτι Τὸν παρέδωσεν· αὐτῶν δὲ ἀποτελεῖ κατηγορίαν, διότι, ἐνῷ ἠμποροῦσαν νὰ μεταβάλουν γνώμην, δὲν μετενόησαν.

Πρόσεξε δὲ πότε μετανοεῖ. Ὅταν ὡλοκληρώθη καὶ ἐτελείωσεν ἡ ἁμαρτία. Διότι τέτοιος εἶναι ὁ διάβολος· δὲν ἀφήνει ἐκείνους ποὺ δὲν εἶναι νηφάλιοι νὰ ἰδοῦν τὸ κακὸν πρὶν συντελεσθῇ, διὰ νὰ μὴ μετανοήσῃ ἐκεῖνος ποὺ ἔχει κερδηθῇ. Ἐνῷ λοιπὸν ὁ Ἰησοῦς ἔλεγε τόσα δὲν ἐκάμφθη· ὅταν ὅμως ὡλοκληρώθη τὸ παράπτωμα, τότε τοῦ ἦλθεν εἰς τὸν νοῦν ἡ μετάνοια· καὶ οὔτε τότε κατὰ τρόπον χρήσιμον. Διότι τὸ νὰ μεταμεληθῇ καὶ νὰ ρίψῃ τὰ ἀργύρια καὶ τὸ νὰ μὴ ἐντραπῇ τὸν Ἰουδαϊκὸν ὄχλον, ὅλα εἶναι παραδεκτά· τὸ νὰ ἀπαγχονισθῇ ὅμως, αὐτὸ εἶναι ἀσυγχώρητον καὶ ἐνέργεια τοῦ πονηροῦ δαίμονος. Διότι τὸν ἀπεμάκρυνε πρῶτα ἀπὸ τὴν μετάνοιαν, διὰ νὰ μὴ ὠφεληθῇ ἀπὸ αὐτήν· ἔπειτα τὸν φονεύει μὲ θάνατον ἄτιμον καὶ καταφανῆ εἰς ὅλους, ἀφοῦ τὸν ἔπεισε νὰ αὐτοκτονήσῃ.

Σὺ δὲ κάνε μου τὴν χάριν νὰ προσέξῃς ὅτι ἡ ἀλήθεια διαλάμπει ἀπὸ παντοῦ, ἀκόμη καὶ μὲ ἐκεῖνα ποὺ κάμνουν καὶ πάσχουν οἱ ἀντίθετοι. Διότι καὶ ὁ θάνατος τοῦ προδότου ράπτει τὰ στόματα ἐκείνων ποὺ Τὸν κατέκριναν καὶ δὲν τοὺς ἐπιτρέπει νὰ ἔχουν οὔτε τὸ παραμικρὸν ἴχνος δικαιολογίας. Διότι τί θὰ εἶχαν νὰ εἴπουν ἐκεῖνοι, ὅταν ὁ ἴδιος ὁ προδότης ἐμφανίζεται νὰ παίρνῃ τέτοιου εἴδους ἀποφάσεις ἐναντίον τοῦ ἑαυτοῦ του; Ἂς ἴδωμεν ὅμως καὶ τὰ λόγια τὰ ὁποῖα λέγει· «Ἐπέστρεψε τὰ τριάντα ἀργύρια εἰς τοὺς ἀρχιερεῖς καὶ εἶπεν· Ἡμάρτησα, διότι παρέδωσα αἷμα ἀθῷον. Αὐτοὶ δὲ εἶπαν· Τί μᾶς ἐνδιαφέρει; Εἶναι ἰδική σου δουλειά. Καὶ ἀφοῦ ἐπέταξε τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησε καὶ ἐπῆγε καὶ ἀπηγχονίσθη», διότι δὲν ὑπέφερε τὴν συνείδησίν του ἡ ὁποία τὸν ἐμαστίγωνεν.

Κάνε μου δὲ τὴν χάριν νὰ προσέξῃς ὅτι καὶ οἱ Ἰουδαῖοι ἔπαθαν τὰ ἴδια. Διότι καὶ αὐτοί, ἐνῷ ὤφειλαν νὰ διορθωθοῦν ἀπὸ αὐτὰ ποὺ ἔπαθαν, δὲν συνέρχονται ἐνωρί-

μὲν γὰρ τούτου πεπλήρωτο ἁμαρτία· προδοσία γὰρ ἦν· ἡ δὲ ἐκείνων οὐδέπω. Ὅτε δὲ καὶ ἐκεῖνοι ἀπήρτισαν, καὶ προσήλωσαν αὐτόν, τότε καὶ αὐτοὶ ταράττονται· νῦν μὲν λέγοντες, «Μὴ γράφε, οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων» (καίτοιγε τί δεδοίκατε, τί θορυβεῖσθε, νεκροῦ σώματος ἐπὶ σταυροῦ προσηλωμένου;), νῦν δὲ φυλάττουσιν αὐτόν, λέγοντες· «Μήποτε κλέψωσιν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, καὶ εἴπωσιν ὅτι ἀνέστη· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης». Καὶ μὴν ἐὰν εἴπωσιν, ἐλέγχεται τὸ πρᾶγμα, ἐὰν μὴ ἀληθὲς ᾖ. Πῶς δὲ ἐροῦσιν οἱ μηδὲ στῆναι τολμήσαντες, κατασχεθέντος αὐτοῦ, ὁ δὲ κορυφαῖος καὶ τρὶς αὐτὸν ἠρνήσατο, κορασίου μὴ φέρων ἀπειλήν; Ἀλλ', ὅπερ ἔφην, ἐταράττοντο λοιπόν. Ὅτι γὰρ ᾔδεσαν παρανομίαν τὸ πρᾶγμα, δῆλον ἐξ ὧν ἔλεγον, «Σὺ ὄψει».

Ἀκούσατε οἱ φιλάργυροι, ἐννοήσατε τί ἔπαθεν ἐκεῖνος· πῶς καὶ τῶν χρημάτων ἐξέπεσε, καὶ τὴν ἁμαρτίαν εἰργάσατο, καὶ τὴν ψυχὴν ἀπώλεσε τὴν ἑαυτοῦ. Τοιαύτη τῆς φιλαργυρίας ἡ τυραννίς. Οὐδὲ τοῦ ἀργυρίου ἀπώνατο, οὐδὲ τῆς παρούσης ζωῆς, οὐδὲ τῆς μελλούσης· ἀλλὰ πάντα ἀθρόον ἀπέβαλε, καὶ δόξαν λαβὼν πονηρὰν παρ' αὐτοῖς ἐκείνοις, οὕτως ἀπήγξατο. Ἀλλ', ὅπερ ἔφην, μετὰ τὸ πρᾶξαι, τότε τινὲς διαβλέπουσιν.

Ὅρα γοῦν καὶ τούτους τέως οὐκ ἐθέλοντας αἰσθάνεσθαι σαφῶς τοῦ τολμήματος, ἀλλὰ λέγοντας, «Σὺ ὄψει»· ὃ καὶ αὐτὸ μέγιστον ἦν αὐτῶν ἔγκλημα. Τοῦτο γὰρ μαρτυρούντων μέν ἐστι τῇ τόλμῃ καὶ τῇ παρανομίᾳ, ὑπὸ δὲ τοῦ πάθους μεθυόντων, καὶ οὐκ ἐθελόντων ἀποσχέσθαι τῆς σατανικῆς ἐγχειρήσεως, ἀλλὰ πεπλασμένης ἀγνοίας παραπετάσματι πε-

---

7. Ἰω. 19, 21.
8. Ματθ. 27, 64.

τερα, μέχρις ὅτου ὁλοκληρώσουν τὴν ἁμαρτίαν των. Διότι ἐκείνου μὲν ἡ ἁμαρτία ὡλοκληρώθη, ἐπειδὴ ἦτο προδοσία· ἐκείνων ὅμως ὄχι ἀκόμη. Ὅταν δὲ καὶ ἐκεῖνοι συνεπλήρωσαν τὴν ἁμαρτίαν των καὶ τὸν ἐκάρφωσαν, τότε καὶ αὐτοὶ ταράσσονται· καὶ ἄλλοτε μὲν λέγουν· «Μὴ γράφῃς, αὐτὸς εἶναι ὁ βασιλεὺς τῶν Ἰουδαίων»[7] (ἂν καὶ διατί φοβεῖσθε, διατί ἀνησυχεῖτε ἀπὸ νεκρὸν σῶμα ποὺ εἶναι καρφωμένον ἐπάνω εἰς τὸν σταυρόν;), ἄλλοτε δὲ τὸν φυλάσσουν λέγοντες· «Μήπως τὸν κλέψουν οἱ μαθηταί του καὶ εἴπουν ὅτι ἀνεστήθη καὶ γίνῃ ἡ τελευταία αὐτὴ ἀπάτη χειροτέρα ἀπὸ τὴν πρώτην»[8]. Ἄλλως τε καὶ ἐὰν εἴπουν, τὸ πρᾶγμα ἐλέγχεται, ἐὰν δὲν εἶναι ἀληθινόν. Πῶς ὅμως θὰ εἴπουν αὐτοὶ οἱ ὁποῖοι δὲν ἐτόλμησαν οὔτε νὰ σταθοῦν ὅταν συνελήφθη, ὁ δὲ κορυφαῖος τὸν ἠρνήθη καὶ τρεῖς φοράς, φοβούμενος τὴν ἀπειλὴν ἑνὸς κορασίου; Ἀλλ', ὅπως εἶπα, ἐταράχθησαν. Διότι, ὅτι ἐγνώριζαν πὼς ἡ πρᾶξις των εἶναι παράνομος, φαίνεται ἀπὸ αὐτὸ ποὺ εἶπαν· «ἰδική σου δουλειὰ εἶναι».

Ἀκούσατε, φιλάργυροι, κατανοήσατε τί ἔπαθεν ἐκεῖνος· πῶς καὶ τὰ χρήματα ἔχασε καὶ τὴν ἁμαρτίαν διέπραξε καὶ τὴν ψυχήν του ἀπώλεσε. Τέτοια εἶναι ἡ τυραννία τῆς φιλαργυρίας. Οὔτε τὸ ἀργύριον ἐχάρηκεν, οὔτε τὴν παροῦσαν ζωήν, οὔτε τὴν μέλλουσαν, ἀλλὰ τὰ ἔχασεν ὅλα μαζί, καὶ ἀφοῦ ἐπῆρε πονηρὰν δόξαν ἀπὸ αὐτοὺς τοὺς ἰδίους, ἀπηγχονίσθη κατὰ τὸν τρόπον αὐτόν. Ἀλλά, ὅπως εἶπα, ὡρισμένοι βλέπουν καλὰ μόνον ἀφοῦ πρῶτα κάνουν τὴν πρᾶξιν των.

Κύτταξε λοιπὸν καὶ αὐτούς, οἱ ὁποῖοι προηγουμένως δὲν ἤθελαν νὰ συνειδητοποιήσουν ἀκριβῶς τὸ τόλμημά των, ἀλλὰ ἔλεγαν «Ἰδική σου δουλειὰ εἶναι» πρᾶγμα ποὺ ἀπετέλει τὸ μεγαλύτερον ἔγκλημά των. Διότι αὐτὸ ἀποδεικνύει ἀνθρώπους οἱ ὁποῖοι ὁμολογοῦν τὴν τόλμην καὶ τὴν παρανομίαν των καὶ οἱ ὁποῖοι εἶναι μεθυσμένοι ἀπὸ τὸ πάθος, καὶ δὲν θέλουν νὰ ἀπόσχουν ἀπὸ τὴν σατανικὴν ἐπιχείρησίν των, ἀλλὰ καλύπτοντες τοὺς ἑαυτούς των ἀνοήτως μὲ

ριστέλλοντας ἑαυτοὺς ἀνοήτως. Εἰ μὲν γὰρ μετὰ τὸν σταυρὸν ταῦτα ἐλέγετο, καὶ τὸ ἀναιρεθῆναι αὐτόν, μάλιστα μὲν οὐδὲ τότε λόγον εἶχε τὸ λεγόμενον, πλὴν ἀλλ' οὐχ οὕτως αὐτοὺς κατέκρινε· νυνὶ δὲ ἔτι παρ' ὑμῖν αὐτὸν ἔχοντες, καὶ κύριοι ὄντες ἀφεῖναι, πῶς ἂν δύναισθε ταῦτα λέγειν; Ἡ γὰρ ἀπολογία αὕτη κατηγορία ἂν ὑμῶν γένοιτο μεγίστη.

Πῶς καὶ τίνι τρόπῳ; Ὅτι ἐπὶ τὸν προδότην ὅλον τὸ ἔγκλημα φέροντες («Σὺ γὰρ ὄψει», φησί), δυνάμενοι αὐτοὶ τῆς χριστοκτονίας ἀπαλλαγῆναι, ἀφέντες αὐτόν, καὶ ἐπηγωνίσαντο τῷ τολμήματι, τῇ προδοσίᾳ τὸν σταυρὸν προσθέντες. Τί γὰρ ἐκώλυεν εἰπόντας ἐκείνῳ, «Σὺ ὄψει», αὐτοὺς ἀποστῆναι τοῦ τολμήματος; Νῦν δὲ καὶ τοὐναντίον ἐργάζονται, προστιθέντες τὴν σφαγήν, καὶ πανταχοῦ, καὶ δι' ὧν ποιοῦσι, καὶ δι' ὧν λέγουσιν, ἀφύκτοις ἐμπλέκοντες ἑαυτοὺς κακοῖς. Καὶ γὰρ μετὰ ταῦτα, ἐπιτρέψαντος τοῦ Πιλάτου, τὸν μὲν λῃστὴν εἵλοντο ἀφεθῆναι μᾶλλον, ἢ τὸν Ἰησοῦν· τὸν δὲ οὐδὲν ἠδικηκότα, ἀλλὰ καὶ τοσαῦτα εὐεργετικότα, ἀνῄρουν.

3. Τί οὖν ἐκεῖνος; Ὡς εἶδεν ἀνόνητα πονῶν, καὶ οὐκ ἀνεχομένους δέξασθαι τὰ ἀργύρια, «Ἔρριψεν αὐτὰ εἰς τὸν ναόν, καὶ ἀπελθὼν ἀπήγξατο». «Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβονᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Καὶ συμβούλιον λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος».

---

9. Ζαχ. 11, 12.

τὸ κάλυμμα προσποιητῆς ἀγνοίας. Διότι, ἐὰν μὲν αὐτὰ ἐλέγοντο μετὰ τὴν σταύρωσιν καὶ τὸν θάνατον Αὐτοῦ, βέβαια καὶ τότε δὲν θὰ εἶχαν καμμίαν δικαιολογίαν τὰ λεγόμενα, ἀλλ' ὁπωσδήποτε δὲν θὰ τοὺς κατεδίκαζε τόσον πολύ· τώρα ὅμως ποὺ ἀκόμη Τὸν ἔχετε ἐνώπιόν σας καὶ ἔχετε δικαίωμα νὰ τὸν ἀφήσετε, πῶς θὰ ἠμπορούσατε νὰ τὰ λέγετε αὐτά; Διότι ἡ δικαιολογία σας αὐτὴ θὰ γίνῃ μεγάλη κατηγορία ἐναντίον σας.

Πῶς καὶ μὲ ποῖον τρόπον; Διότι ἐπιρρίπτοντες τὸ ὅλον ἔγκλημα εἰς τὸν προδότην (διότι λέγει· «σὺ ὄψει»), ἐνῷ ἠμποροῦσαν οἱ ἴδιοι νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν Χριστοκτονίαν, ἀφήνοντες αὐτόν, ἐκεῖνοι ἐπροχώρησαν περισσότερον τὸ τόλμημα, προσθέσαντες εἰς τὴν προδοσίαν καὶ τὴν σταύρωσιν. Διότι τί τοὺς ἠμπόδιζεν, ἀφοῦ εἶπαν εἰς ἐκεῖνον «σὺ ὄψει», αὐτοὶ νὰ ἀποφύγουν τὸ ἔγκλημα; Τώρα ὅμως ἀντιθέτως τὸ διαπράττουν, προσθέτοντες τὴν σφαγὴν καὶ παντοῦ καὶ μὲ ὅσα κάνουν καὶ μὲ ὅσα λέγουν, περιπλέκοντες τοὺς ἑαυτούς των εἰς ἀναπόφευκτα κακά. Διότι μετὰ ἀπὸ αὐτά, ὅταν ἐπέστρεψεν ὁ Πιλᾶτος, ἐπροτίμησαν νὰ ἀφεθῇ ἐλεύθερος ὁ ληστὴς μᾶλλον παρὰ ὁ Ἰησοῦς· ἐνῷ αὐτόν, ὁ ὁποῖος δὲν εἶχε διαπράξει κανένα ἀδίκημα, ἀλλὰ καὶ τόσον πολὺ τοὺς εἶχεν εὐεργετήσει, τὸν ἐφόνευσαν.

3. Τί ἔκανε λοιπὸν ἐκεῖνος; Ὅταν εἶδεν ὅτι ἀδίκως κουράζεται καὶ ὅτι δὲν δέχονται τὰ ἀργύρια, «Τὰ ἐπέταξεν εἰς τὸν ναὸν καὶ ἐπῆγε καὶ ἀπηγχονίσθη. Οἱ δὲ ἀρχιερεῖς ἐπῆραν τὰ ἀργύρια καὶ εἶπαν· δὲν ἐπιτρέπεται νὰ τὰ βάλωμεν εἰς τὸ ταμεῖον, διότι εἶναι ἀντίτιμον αἵματος. Καὶ ἀφοῦ ἔκαναν σύσκεψιν, ἠγόρασαν μὲ αὐτὰ τὸν ἀγρὸν τοῦ κεραμέως διὰ νὰ θάπτουν τοὺς ξένους. Διὰ τοῦτο ὁ ἀγρὸς ἐκεῖνος ὠνομάσθη ἀγρὸς αἵματος μέχρι σήμερα. Τότε ἐξεπληρώθη ἐκεῖνο ποὺ ἐλέχθη διὰ τοῦ Ἰερεμίου τοῦ προφήτου· καὶ ἐπῆραν τὰ τριάντα ἀργύρια, τὸ ἀντίτιμον ἐκείνου ποὺ ἐξετέθη εἰς ἐκτίμησιν καὶ τὰ ἔδωκαν εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὼς μὲ διέταξεν ὁ Κύριος»[9].

Εἶδες πάλιν αὐτόθεν κατακρινομένους ὑπὸ τοῦ συνειδότος; Ἐπειδὴ γὰρ ᾔδεσαν, ὅτι τὸν φόνον ἠγόρασαν, οὐκ ἔβαλον εἰς τὸν κορβονᾶν, ἀλλ' ἠγόρασαν ἀγρὸν εἰς ταφὴν τοῖς ξένοις. Ἐγίνετο δὲ καὶ τοῦτο μαρτύριον κατ' αὐτῶν, καὶ τῆς προδοσίας ἔλεγχος. Τὸ γὰρ ὄνομα τοῦ χωρίου σάλπιγγος λαμπρότερον πᾶσιν ἀνεκήρυττε τὴν μιαιφονίαν αὐτῶν. Καὶ οὐδὲ ἁπλῶς αὐτὸ ποιοῦσιν, ἀλλὰ συμβούλιον λαβόντες, καὶ πανταχοῦ οὕτως, ἵνα μηδεὶς ἀθῷος ᾖ τοῦ τολμήματος, ἀλλὰ πάντες ὑπεύθυνοι. Ταῦτα δὲ ἄνωθεν προὔλεγεν ἡ προφητεία.

Ὁρᾷς οὐχὶ τοὺς ἀποστόλους μόνον, ἀλλὰ καὶ τοὺς προφήτας τὰ ἐπονείδιστα μετὰ ἀκριβείας διηγουμένους, καὶ πάντοθεν τὸ πάθος ἀνακηρύττοντας καὶ προεμφαίνοντας; Τοῦτο καὶ Ἰουδαῖοι μὴ συνειδότες ὑπέμενον. Εἰ γὰρ εἰς τὸν κορβονᾶν ἐνέβαλον, οὐκ ἂν οὕτω τὸ πρᾶγμα κατάδηλον ἐγένετο· νυνὶ δὲ χωρίον ὠνησάμενοι, καὶ ταῖς μετέπειτα γενεαῖς δῆλον ἐποίησαν τὸ πᾶν.

Ἀκούσατε ὅσοι ἀπὸ φόνων δοκεῖτε εὐποιΐας ποιεῖν, καὶ τιμὴν λαμβάνετε ψυχῶν ἀνθρώπων. Ἰουδαϊκαὶ αὗται αἱ ἐλεημοσύναι, μᾶλλον δὲ σατανικαί. Εἰσὶ γάρ, εἰσὶ καὶ νῦν, οἳ μυρία ἑτέρων ἁρπάζοντες, ὑπὲρ τοῦ παντὸς ἀπολογεῖσθαι νομίζουσι, ἂν δέκα χρυσίνους ἢ ἑκατὸν καταβάλωσι. Περὶ ὧν καὶ ὁ προφήτης φησίν· «Ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριόν μου». Οὐ βούλεται Χριστὸς πλεονεξίᾳ τρέφεσθαι, οὐ δέχεται ταύτην τὴν τροφήν. Τί τὸν δεσπότην ὑβρίζεις, ἀκάθαρτα προσάγων αὐτῷ; Βέλτιον λιμῷ τηκόμενον περιορᾶν, ἢ τρέφειν ἀπὸ τοιούτων. Ἐκεῖνο ὠμοῦ, τοῦτο καὶ ὠμοῦ καὶ ὑβριστοῦ.

Βέλτιον μηδὲν δοῦναι, ἢ τὰ ἄλλων ἑτέροις. Εἰπὲ γάρ μοι,

---

10. Μαλ. 2, 13.

Εἶδες καὶ πάλιν ἐδῶ, ὅτι κατακρίνονται ἀπὸ τὴν συνείδησίν των; Διότι, ἐπειδὴ ἐγνώριζαν ὅτι εἶχαν ἀγοράσει τὸν φόνον, δὲν τὰ ἔβαλαν εἰς τὸν κορβανᾶν, ἀλλὰ ἠγόρασαν ἀγρὸν διὰ νὰ θάπτουν τοὺς ξένους. Ἀπέβαινεν ὅμως καὶ αὐτὸ μαρτυρία εἰς βάρος των καὶ μομφὴ τῆς προδοσίας των. Διότι τὸ ὄνομα τοῦ χωραφιοῦ διεκήρυσσεν εἰς ὅλους τὴν δολοφονίαν των πιὸ διαπεραστικὰ ἀπὸ σάλπιγγα. Καὶ δὲν περιορίζονται ἁπλῶς εἰς αὐτό, ἀλλὰ λαμβάνουν καὶ ἀπόφασιν, καὶ παντοῦ ἐνεργοῦν ἔτσι, ὥστε κανεὶς νὰ μὴ εἶναι ἀθῷος ἀπὸ τὸ ἔγκλημα, ἀλλὰ νὰ εἶναι ὅλοι ὑπεύθυνοι.

Βλέπεις, ὅτι ὄχι μόνον οἱ ἀπόστολοι, ἀλλὰ καὶ οἱ προφῆται διηγοῦνται τὰ ἀξιοκατάκριτα μὲ ἀκρίβειαν, καὶ εἰς ὅλας τὰς περιπτώσεις διακηρύττουν καὶ προεμφανίζουν τὸ πάθος; Αὐτὸ καὶ οἱ Ἰουδαῖοι ἀσυνειδήτως τὸ ὑπέφεραν. Διότι, ἐὰν ἔρριπταν τὰ ἀργύρια εἰς τὸν κορβανᾶν, δὲν θὰ ἐγίνετο τὸ πρᾶγμα τόσον ὁλοφάνερον. Ἐνῷ τώρα, μὲ τὸ νὰ ἀγοράσουν ἀγρόν, ἔκαναν γνωστὰ τὰ πάντα καὶ εἰς τὰς ἐπερχομένας γενεάς.

Ἀκούσατε ὅλοι ὅσοι νομίζετε ὅτι κάνετε ἀγαθοεργίας μὲ φόνους καὶ δέχεσθε ἀντίτιμον ἀνθρωπίνων ψυχῶν. Αὐταὶ αἱ ἐλεημοσύναι εἶναι ἰουδαϊκαί, ἢ μᾶλλον σατανικαί. Διότι ὑπάρχουν, ναὶ ὑπάρχουν, καὶ τώρα ἐκεῖνοι οἱ ὁποῖοι, ἐνῷ ἁρπάζουν ἄπειρα ποὺ ἀνήκουν εἰς ἄλλους, νομίζουν ὅτι δικαιολογοῦνται δι' ὅλα, ἐὰν πληρώσουν δέκα ἢ ἑκατὸν χρυσᾶ νομίσματα. Περὶ αὐτῶν καὶ ὁ προφήτης λέγει· «Ἐκαλύπτατε μὲ δάκρυα τὸ θυσιαστήριόν μου»[10]. Δὲν θέλει ὁ Χριστὸς νὰ τρέφεται μὲ πλεονεξίαν, δὲν δέχεται αὐτὴν τὴν τροφήν. Διατί ἐξυβρίζεις τὸν Δεσπότην, προσφέρων εἰς αὐτὸν ἀκαθάρτους τροφάς; Εἶναι προτιμώτερον νὰ τὸν βλέπετε νὰ λυώνῃ ἀπὸ τὴν πεῖναν, παρὰ νὰ τὸν τρέφεται μὲ τέτοια. Ἐκεῖνο εἶναι ἴδιον ἀπανθρώπου, αὐτὸ καὶ ἀπανθρώπου καὶ ὑβριστοῦ.

Εἶναι καλύτερον νὰ μὴ δώσετε, παρὰ νὰ δίδετε τῶν

εἴ τινας εἶδες δύο, τὸν μὲν γυμνὸν τὸν δὲ ἱμάτιον ἔχοντα, εἶτα τὸν ἔχοντα τὸ ἱμάτιον ἀποδύσας, περιέβαλες τὸν γυμνόν, ἆρ' οὐκ ἠδίκησας; Παντί που δῆλον. Εἰ δὲ ὅπερ ἔλαβες ἑτέρῳ δοὺς ἅπαν, ἠδίκησας, οὐκ ἠλέησας· ὅταν μηδὲ τὸ πολλοστὸν μέρος δῷς ὧν ἁρπάζεις, καὶ ἐλεημοσύνην τὸ πρᾶγμα καλῇς, ποίαν οὐχ ὑποστήσῃ τιμωρίαν; Εἰ γὰρ χωλὰ ἄλογα προσφέροντες ἄνθρωποι ἐνεκαλοῦντο, σὺ χαλεπώτερα ποιῶν ποίας τεύξῃ συγγνώμης; Εἰ γὰρ αὐτῷ ἀποδιδοὺς τῷ κυρίῳ ὁ κλέπτης ἔτι ἀδικεῖ, καὶ οὕτως ἀδικεῖ, ὡς τετραπλασίονι προσθήκῃ μόλις λῦσαι τὸ ἔγκλημα, καὶ ταῦτα ἐπὶ τῆς παλαιᾶς· ὁ μὴ κλέπτων, ἀλλὰ βιαζόμενος, καὶ μηδὲ αὐτῷ τῷ ἀφαιρεθέντι διδούς, ἀλλ' ἀντ' ἐκείνου ἑτέρῳ, καὶ μηδὲ τετραπλασίονα, ἀλλὰ μηδὲ τὰ ἡμίση, καὶ μηδὲ ἐν τῇ παλαιᾷ, ἀλλ' ἐν τῇ καινῇ πολιτευόμενος, ἐννόησον ὅσον ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν συνάγει τὸ πῦρ. Εἰ δὲ οὐδέπω δίδωσι τὴν δίκην, δι' αὐτὸ μὲν οὖν τοῦτο αὐτὸν θρήνησον, ὅτι μείζονα ἑαυτῷ θησαυρίζει τὴν ὀργήν, εἰ μὴ μεταμεληθείη. Τί γάρ; «Δοκεῖτε», φησίν, «ὅτι ἐκεῖνοι μόνοι ἦσαν ἁμαρτωλοί, ἐφ' οὓς ὁ πύργος κατηνέχθη; Οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς τὰ αὐτὰ πείσεσθε».

Μετανοήσωμεν τοίνυν καὶ δῶμεν ἐλεημοσύνην πλεονεξίας καθαράν, καὶ πολλὴν ἔχουσαν τὴν δαψίλειαν. Ἐννοήσατε ὅτι Ἰουδαῖοι Λευΐτας ὀκτακισχιλίους ἔτρεφον, καὶ μετὰ τῶν Λευϊτῶν καὶ χήρας καὶ ὀρφανούς, καὶ πολλὰ ἕτερα ἐλειτούργουν, καὶ μετὰ τούτου καὶ ἐστρατεύοντο· νυνὶ δὲ ἀγροί, καὶ οἰκίαι καὶ μισθώματα οἰκημάτων καὶ ὀχήματα, καὶ ὀρεωκόμοι, καὶ ἡμίονοι, καὶ πολλὴ τοιαύτη παράταξις ἐν τῇ ἐκκλη-

11. Λουκᾶ 19, 8.
12. Λουκᾶ 13, 4-5.

ἄλλων εἰς τοὺς ἄλλους. Διότι εἰπέ μου· ἐὰν ἰδῇς δύο ὁποιουσδήποτε, τὸν μὲν ἕνα γυμνόν, τὸν δὲ ἄλλον νὰ ἔχῃ ἔνδυμα καὶ ἔπειτα, ἀφοῦ γδύσῃς ἐκεῖνον ὁ ὁποῖος ἔχει τὸ ἔνδυμα, ἐνδύσῃς τὸν γυμνόν, ἆρά γε δὲν ἔκανες ἀδικίαν; Τοῦτο εἶναι εἰς τὸν καθένα φανερόν. Ἐὰν δέ, δίδων εἰς ἄλλον ἐκεῖνο τὸ ὁποῖον ἔλαβες, δὲν τὸν ἐλεῇς ἀλλὰ τὸν ἀδικῇς, ὅταν δὲν δίδῃς οὔτε πολλοστημόριον ἀπὸ ἐκεῖνα ποὺ ἁρπάζεις, καὶ ὀνομάζῃς τοῦτο ἐλεημοσύνην, ποίας τιμωρίας δὲν θὰ εἶσαι ἄξιος; Διότι, ἐὰν κατηγοροῦντο ἄνθρωποι οἱ ὁποῖοι προσέφεραν χωλὰ ἄλογα, σὺ ὁ ὁποῖος κάμνεις χειρότερα, ποίας συγγνώμης θὰ τύχῃς; Διότι ἐὰν ὁ κλέπτης, ἐπιστρέφων αὐτὰ ποὺ ἔκλεψεν εἰς τὸν ἴδιον τὸν Κύριον, πάλιν τὸν ἀδικεῖ, καὶ τὸν ἀδικεῖ τόσον, ὥστε μόλις νὰ ἀπαλλάσσεται ἀπὸ τὸ ἔγκλημα προσθέτων τετραπλάσια[11], καὶ αὐτὰ εἰς τὴν Παλαιὰν Διαθήκην, ἐκεῖνος ὁ ὁποῖος δὲν κλέπτει ἀλλὰ μετέρχεται βίαν καὶ οὔτε κἂν δίνει αὐτὰ ποὺ ἁρπάζει εἰς ἐκεῖνον ἀπὸ τὸν ὁποῖον τὰ ἀφήρεσεν, ἀλλὰ εἰς ἄλλον, καὶ δὲν δίνει τετραπλάσια, ἀλλὰ οὔτε τὰ μισά, καὶ αὐτὸς δὲν ζῇ εἰς τὴν ἐποχὴν τῆς Παλαιᾶς Διαθήκης, ἀλλὰ τῆς Καινῆς, κατανόησε πόσην φωτιὰν συγκεντρώνει ἐπάνω εἰς τὴν κεφαλήν του. Ἐὰν δὲ δὲν ἔχῃ ἀκόμη τιμωρηθῇ, δι' αὐτὸ ἀκριβῶς θρήνησέ τον, διότι συσσωρεύει περισσοτέραν ὀργὴν ἐναντίον του, ἐὰν δὲν μετανοήσῃ. Διότι, «Νομίζετε», λέγει, «ὅτι μόνον ἐκεῖνοι ἦσαν ἁμαρτωλοί, ἐπάνω εἰς τοὺς ὁποίους ἔπεσεν ὁ πύργος; Ὄχι σᾶς λέγω, ἀλλ' ἐὰν δὲν μετανοήσετε θὰ πάθετε καὶ σεῖς τὰ ἴδια»[12].

Ἂς μετανοήσωμεν λοιπὸν καὶ ἂς δώσωμεν ἐλεημοσύνην καθαρὰν ἀπὸ πλεονεξίαν καὶ μὲ πολλὴν ἀφθονίαν. Ἐνθυμηθῆτε ὅτι οἱ Ἰουδαῖοι ἐσυντηροῦσαν ὀκτὼ χιλιάδας Λευΐτας καὶ μαζὶ μὲ τοὺς Λευΐτας καὶ χήρας καὶ ὀρφανὰ καὶ πολλὰ ἄλλα προσέφεραν καὶ μαζὶ μὲ αὐτὸ καὶ ἐστρατεύοντο· ἐνῷ τώρα ὑπάρχουν εἰς τὴν ἐκκλησίαν καὶ ἀγροὶ καὶ οἰκίαι καὶ μισθώματα οἰκημάτων καὶ ὀχήματα καὶ ἡμιονηγοὶ καὶ ἡμίονοι καὶ πλῆθος πολὺ ἀπὸ παρόμοια πράγματα

σίᾳ δι' ὑμᾶς καὶ τὴν ὑμετέραν ἀπανθρωπίαν. Καὶ γὰρ ἐχρῆν παρ' ὑμῖν εἶναι τὸν θησαυρὸν τοῦτον τῆς ἐκκλησίας, καὶ πρόσοδον αὐτῇ τὴν ὑμετέραν γίνεσθαι προθυμίαν· νυνὶ δὲ δύο τὰ ἄτοπα γίνεται, καὶ ὑμεῖς ἄκαρποι μένετε, καὶ οἱ τοῦ Θεοῦ ἱερεῖς τὰ προσήκοντα οὐ μεταχειρίζουσι. Μὴ γὰρ οὐκ ἦν δυνατὸν ἐπὶ τῶν ἀποστόλων τὰς οἰκίας μένειν καὶ τοὺς ἀγρούς; Τίνος οὖν ἕνεκεν ἐπώλουν καὶ ἐδίδοσαν; Ὅτι τοῦτο βέλτιον ἦν.

4. Ἀλλὰ νῦν δέος ἔλαβε τοὺς πατέρας ὑμῶν, οὕτω πρὸς τὰ βιωτικὰ μαινομένων ὑμῶν, καὶ διὰ τὸ συλλέγειν, ἀλλὰ μὴ σκορπίζειν, μὴ λιμῷ διαφθαρῶσιν οἱ τῶν χηρῶν καὶ ὀρφανῶν καὶ τῶν παρθένων χοροί· διὰ τοῦτο ταῦτα κατασκευάσαι ἠναγκάσθησαν. Οὐδὲ γὰρ ἠβούλοντο ἑαυτοὺς εἰς τοιαύτην ἀσχημοσύνην ἐμβαλεῖν, ἀλλ' ἐπεθύμουν τὴν ὑμετέραν γνώμην αὐτοῖς πρόσοδον εἶναι, καὶ τοὺς καρποὺς ἐντεῦθεν τρυγᾶν, καὶ αὐτοὺς εὐχαῖς προσέχειν μόναις.

Νυνὶ δὲ αὐτοὺς ἠναγκάσατε τῶν τὰ πολιτικὰ πραττόντων πράγματα τὰς οἰκίας μιμεῖσθαι· ὅθεν πάντα ἄνω καὶ κάτω γέγονεν. Ὅταν γὰρ καὶ ὑμεῖς καὶ ἡμεῖς τοῖς αὐτοὺς ἀνεχώμεθα, τίς ὁ ἐξελεούμενος τὸν Θεόν; Διὰ ταῦτα οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, ὅτι οὐδὲν τῶν βιωτικῶν ἀνδρῶν ἄμεινον ἡ ἐκκλησία διάκειται. Οὐκ ἠκούσατε, ὅτι οὐδὲ τὰ ἀπραγμόνως συλλεγόμενα χρήματα διανέμειν κατεδέξαντο οἱ ἀπόστολοι; Νυνὶ δὲ ἐπιτρόπους καὶ οἰκονόμους καὶ καπήλους παρῆλθον ἡμῖν οἱ ἐπίσκοποι τῇ περὶ ταῦτα φροντίδι· καὶ δέον αὐτοὺς ὑπὲρ τῶν ψυχῶν μεριμνᾶν καὶ φροντίζειν τῶν ὑμετέρων, οἱ δέ, ὑπὲρ ὧν ὑποδέκται καὶ φορολόγοι καὶ λογισταὶ

ἐξ αἰτίας σας καὶ ἐξ αἰτίας τῆς ἀπανθρωπίας σας. Ἐνῷ θὰ ἔπρεπε τὸν θησαυρὸν αὐτὸν τῆς Ἐκκλησίας νὰ τὸν ἔχετε σεῖς καὶ ἔσοδον αὐτῆς νὰ ἀποτελῇ ἡ ἰδική σας προθυμία· τώρα ὅμως δύο ἄτοπα γίνονται· καὶ σεῖς μένετε ἀνωφελεῖς, καὶ οἱ ἱερεῖς τοῦ Θεοῦ δὲν χρησιμοποιοῦν αὐτὰ ποὺ πρέπει. Μήπως τάχα δὲν ἦτο δυνατὸν κατὰ τὴν ἐποχὴν τῶν Ἀποστόλων νὰ κρατοῦν τὰς οἰκίας καὶ τοὺς ἀγρούς; Διατί λοιπὸν τὰ ἐπωλοῦσαν καὶ τὰ ἔδιναν; Διότι αὐτὸ ἦτο καλύτερον.

4. Ἀλλὰ τώρα φόβος ἐκυρίευσε τοὺς πατέρας σας, ἐπειδὴ μὲ τόσην μανίαν ἐστράφητε πρὸς τὰ βιωτικὰ καὶ συλλέγετε χωρὶς νὰ σκορπίζετε. Φοβοῦνται μήπως ἀποθάνουν ἀπὸ τὴν πεῖναν οἱ ὅμιλοι τῶν χηρῶν καὶ τῶν ὀρφανῶν καὶ τῶν παρθένων. Δι' αὐτὸ ἠναγκάσθησαν νὰ κατασκευάσουν ὅλα αὐτά. Διότι δὲν ἤθελαν βέβαια νὰ ἐμπλέξουν τοὺς ἑαυτούς των εἰς μίαν τέτοιαν ἀσχυμοσύνην, ἀλλὰ ἐπιθυμοῦσαν ἡ ἰδική σας προαίρεσις νὰ ἀποτελῇ δι' αὐτοὺς ἔσοδον καὶ ἀπὸ σᾶς νὰ τρυγοῦν τοὺς καρπούς, αὐτοὶ δὲ νὰ ἀσχολοῦνται μόνον μὲ τὰς προσευχάς.

Τώρα ὅμως τοὺς ἠναγκάσατε νὰ μιμοῦνται εἰς τὰς οἰκίας των ἐκείνους ποὺ ἀσχολοῦνται μὲ τὰς κοσμικὰς ὑποθέσεις. Δι' αὐτὸ ὅλα ἔγιναν ἄνω κάτω. Διότι ὅταν καὶ σεῖς καὶ ἐμεῖς εἴμεθα ἔνοχοι τῶν αὐτῶν πραγμάτων, ποῖος θὰ παρακαλέσῃ τὸν Θεὸν νὰ μᾶς συγχωρήσῃ; Δι' αὐτὸ δὲν μᾶς εἶναι δυνατὸν νὰ ἀνοίξωμεν τὸ στόμα μας, διότι εἰς τίποτε ἡ Ἐκκλησία δὲν εὑρίσκεται εἰς καλυτέραν κατάστασιν ἀπὸ τοὺς κοσμικοὺς ἄνδρας. Δὲν ἠκούσατε ὅτι οἱ ἀπόστολοι οὔτε τὰ χρήματα ποὺ συνεκεντρώνοντο χωρὶς κόπον δὲν ἐδέχθηκαν νὰ διανείμουν; Ἐνῷ τώρα οἱ ἐπίσκοποί μας ξεπέρασαν τοὺς οἰκονομικοὺς ἐπιτρόπους καὶ διαχειριστὰς καὶ μικρεμπόρους εἰς τὴν φροντίδα γύρω ἀπὸ αὐτὰ τὰ πράγματα. Καὶ ἐνῷ πρέπει νὰ μεριμνοῦν καὶ νὰ φροντίζουν διὰ τὰς ψυχάς σας, αὐτοὶ μεριμνοῦν δι' ἐκεῖνα μὲ τὰ ὁποῖα ἀσχολοῦνται οἱ πανδοχεῖς καὶ οἱ φοροεισπράκτορες καὶ οἱ

καὶ ταμίαι μεριμνῶσιν, ὑπὲρ τούτων καθ' ἑκάστην κόπτονται τὴν ἡμέραν.

Ταῦτα οὐχ ἁπλῶς ἀποδυρόμενος λέγω, ἀλλ' ὥστε γενέσθαι τινὰ διόρθωσιν καὶ μεταβολήν, ὥστε ἡμᾶς ἐλεηθῆναι χαλεπὴν δουλεύοντας δουλείαν, ὥστε ὑμᾶς γενέσθαι πρόσοδον καὶ θησαυρὸν τῆς ἐκκλησίας. Εἰ δὲ μὴ βούλεσθε, ἰδοὺ οἱ πένητες πρὸ τῶν ὑμετέρων ὀφθαλμῶν· ὅσοις μὲν δυνατὸν ἡμῖν ἀρκέσαι, οὐ διαλείψομεν τρέφοντες· οὓς δὲ οὐ δυνατόν, ὑμῖν ἀφήσομεν, ἵνα μὴ τῶν ῥημάτων ἐκείνων ἀκούσητε κατὰ τὴν φοβερὰν ἡμέραν, τῶν πρὸς τοὺς ἀνελεεῖς καὶ ὠμοὺς λεγομένων, ὅτι «Πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε». Καὶ γὰρ μεθ' ὑμῶν ἡμᾶς καταγελάστους ἡ ἀπανθρωπία αὕτη ποιεῖ, ὅτι τὰς εὐχὰς ἀφέντες, καὶ τὴν διδασκαλίαν, καὶ τὴν ἄλλην ἁγιωσύνην, οἱ μὲν οἰνοπώλαις, οἱ δὲ σιτοπώλαις, οἱ δὲ τοῖς τὰ ἕτερα καπηλεύουσιν ὤνια, τὸν πάντα πυκτεύομεν χρόνον.

Ἐντεῦθεν μάχαι καὶ φιλονεικίαι, καὶ καθημεριναὶ λοιδορίαι, καὶ ὀνείδη καὶ σκώμματα, καὶ ἑκάστῳ τῶν ἱερέων ὀνόματα ἐπίκειται, βιωτικαῖς μᾶλλον πρέποντα οἰκίαις· δέον ἀντὶ τούτων ἕτερα ἀπαλλάξασθαι, καὶ ἐντεῦθεν καλεῖσθαι, ἀφ' ὧν καὶ οἱ ἀπόστολοι ἐνομοθέτουν, ἀπὸ τῆς τῶν πενήτων διατροφῆς, ἀπὸ τῆς τῶν ἀδικουμένων προστασίας, ἀπὸ τῆς τῶν ξένων ἐπιμελείας, ἀπὸ τῆς τῶν ἐπηρεαζομένων βοηθείας, ἀπὸ τῆς τῶν ὀρφανῶν προνοίας, ἀπὸ τῆς τῶν χηρῶν συμμαχίας, ἀπὸ τῆς τῶν παρθένων ἐπιστασίας, καὶ ταύτας ἀντὶ τῆς τῶν χωρίων καὶ τῶν οἰκημάτων φροντίδος διανέμεσθαι τὰς οἰκονομίας.

Ταῦτα γὰρ τῆς ἐκκλησίας τὰ κειμήλια· οὗτοι οἱ πρέποντες αὐτῇ θησαυροί, καὶ πολλὴν καὶ ἡμῖν εὐκολίαν, καὶ ὑμῖν

λογισταὶ καὶ οἱ ταμίαι, καὶ δι' αὐτὰ κουράζονται ὅλην τὴν ἡμέραν.

Αὐτὰ δὲν τὰ λέγω ἁπλῶς θρηνολογῶν, ἀλλὰ διὰ νὰ ἐπέλθῃ κάποια διόρθωσις καὶ μεταβολή, εἰς τρόπον ὥστε ἐμεῖς μὲν νὰ ἐλεηθοῦμεν ἀπὸ τὸν Θεὸν νὰ ἀσχοληθῶμεν μὲ τὸ κοπιῶδες ἔργον μας, σεῖς δὲ νὰ γίνετε ἔσοδον καὶ θησαυρὸς τῆς Ἐκκλησίας. Ἐὰν δὲ δὲν θέλετε, νά, οἱ πτωχοὶ εἶναι ἐμπρός σας· εἰς ὅσους μὲν εἶναι δυνατὸν νὰ ἐπαρκέσωμεν ἡμεῖς, δὲν θὰ παραλείψωμεν νὰ τοὺς διατρέφωμεν· ἐκείνους ὅμως ποὺ δὲν εἶναι δυνατόν, θὰ τοὺς ἀφήσωμεν εἰς σᾶς, διὰ νὰ μὴ ἀκούσετε κατὰ τὴν φοβερὰν ἡμέραν τὰ λόγια ἐκεῖνα τὰ ὁποῖα ἀπευθύνονται πρὸς τοὺς ἀνελεήμονας καὶ σκληρούς, ὅτι «μὲ εἴδατε νὰ πεινῶ καὶ δὲν μὲ ἐθρέψατε». Διότι μαζί σας, ἡ ἀπανθρωπία αὐτὴ μᾶς κάνει καταγελάστους, διότι ἀφήσαμεν τὰς προσευχὰς καὶ τὴν διδασκαλίαν καὶ τὰς ἄλλας ἱερὰς ἀσχολίας μας καὶ ἀγωνιζόμεθα ὅλον τὸν καιρὸν ἄλλοι μὲν μὲ τοὺς οἰνοπώλας, ἄλλοι δὲ μὲ τοὺς σιτεμπόρους καὶ ἄλλοι μὲ ἐκείνους ποὺ ἐμπορεύονται τὰ ἄλλα τρόφιμα.

Ἀπὸ ἐδῶ προέρχονται αἱ συμπλοκαὶ καὶ αἱ φιλονεικίαι καὶ αἱ καθημεριναὶ ὕβρεις καὶ προσβολαὶ καὶ τὰ σκώμματα καὶ αἱ φῆμαι εἰς βάρος καθενὸς ἀπὸ τοὺς ἱερεῖς, τὰ ὁποῖα ἔχουν θέσιν μᾶλλον εἰς τὰς οἰκίας. Πρέπει ὅλα αὐτὰ νὰ ἀνταλλαγοῦν μὲ ἄλλας καὶ ἀπὸ αὐτὰ νὰ χαρακτηρίζωνται, ἀπὸ αὐτὰ ποὺ ὥριζαν καὶ οἱ Ἀπόστολοι, ἀπὸ τὴν διατροφὴν τῶν πτωχῶν, ἀπὸ τὴν προστασίαν τῶν ἀδικουμένων, ἀπὸ τὴν φροντίδα διὰ τοὺς ξένους, ἀπὸ τὴν βοήθειαν πρὸς ἐκείνους ποὺ ἀπειλοῦνται, ἀπὸ τὴν πρόνοιαν διὰ τοὺς ὀρφανούς, ἀπὸ τὴν συνεργασίαν μὲ τὰς χήρας, ἀπὸ τὴν ἐπιτήρησιν τῶν παρθένων, καὶ αὐτὰς τὰς ἐνεργείας νὰ παρουσιάζουν, ἀντὶ νὰ φροντίζουν διὰ τὰ χωράφια καὶ τὰ οἰκήματα.

Διότι αὐτὰ εἶναι τὰ κειμήλια τῆς Ἐκκλησίας· αὐτοὶ εἶναι οἱ θησαυροὶ ποὺ τῆς ταιριάζουν καὶ παρέχουν εἰς ἡ-

ὠφέλειαν παρέχοντες, μᾶλλον δὲ καὶ ὑμῖν εὐκολίαν μετὰ τῆς ὠφελείας. Καὶ γὰρ τῇ τοῦ Θεοῦ χάριτι εἰς δέκα μυριάδων ἀριθμὸν οἶμαι τοὺς ἐνταῦθα συναγομένους τελεῖν· καὶ εἰ ἑνὸς ἄρτου μετεδίδου τινὶ τῶν πενήτων ἕκαστος, ἅπαντες ἦσαν ἂν ἐν εὐπορίᾳ· εἰ ἐξ ἑνὸς ὀβολοῦ μόνον, οὐδεὶς ἂν ἦν πένης, οὐκ ἂν τοσαῦτα ὑπεμείναμεν ὀνείδη καὶ σκώμματα ἀπὸ τῆς περὶ τὰ κτήματα προνοίας. Καὶ γὰρ τό, «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι», καὶ πρὸς τοὺς τῆς ἐκκλησίας προέδρους ὑπὲρ τῶν τῆς ἐκκλησίας κτημάτων καιρὸν ἂν ἔχοι λέγεσθαι. Ἄλλως γὰρ ἀκολουθῆσαι ὡς χρὴ οὐκ ἔνι, μὴ πάσης φροντίδος ἀπηλλαγμένον παχυτέρας καὶ βιωτικωτέρας. Νυνὶ δὲ οἱ τοῦ Θεοῦ ἱερεῖς τρυγητῷ καὶ ἀμητῷ παρακάθηνται, καὶ πράσει καὶ ἀγορασίᾳ προσόδων· καὶ οἱ μὲν τῇ σκιᾷ λατρεύοντες, πᾶσαν τῶν τοιούτων ἀτέλειαν εἶχον, καίτοι σωματικωτέραν λειτουργίαν ἐγκεχειρισμένοι· ἡμεῖς δὲ οἱ πρὸς αὐτὰ τῶν οὐρανῶν τὰ ἄδυτα καλούμενοι, καὶ εἰς τὰ ἀληθινὰ ἅγια τῶν ἁγίων εἰσιόντες, ἐμπόρων καὶ παλιγκαπήλων ἀναδεχόμεθα φροντίδας.

Ἐντεῦθεν καὶ Γραφῶν ἀμέλεια πολλή, καὶ εὐχῶν ῥᾳθυμία, καὶ ἡ περὶ τὰ ἄλλα πάντα ὀλιγωρία. Οὐδὲ γὰρ δυνατὸν εἰς ἀμφότερα σχίζεσθαι μετὰ τῆς προσηκούσης σπουδῆς. Διὸ δέομαι καὶ ἀντιβολῶ πολλὰς ἡμῖν πάντοθεν ἀναβλύσαι πηγάς, καὶ τὴν ἅλω καὶ τὴν ληνὸν τὴν ὑμετέραν γενέσθαι προθυμίαν ἡμῖν. Οὕτω γὰρ καὶ οἱ πένητες διατραφήσονται εὐκολώτερον, καὶ ὁ Θεὸς δοξασθήσεται, καὶ ὑμεῖς ἐπὶ πλέον ἐπιδώσετε φιλανθρωπίας, καὶ τῶν αἰωνίων ἀπολαύσεσθε ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

13. Ματθ. 19, 21.

μᾶς πολλὴν εὐκολίαν καὶ εἰς σᾶς ὠφέλειαν. Ἢ μᾶλλον καὶ εἰς σᾶς μαζὶ μὲ τὴν ὠφέλειαν καὶ εὐκολίαν. Διότι μὲ τὴν χάριν τοῦ Θεοῦ νομίζω ὅτι οἱ συγκεντρωμένοι ἐδῶ ἀνέρχονται εἰς δέκα μυριάδας· ἐὰν ἑπομένως ὁ καθένας ἔδινεν ἕνα ἄρτον εἰς κάποιον ἀπὸ τοὺς πτωχοὺς ὅλοι θὰ ἦσαν εὔποροι. Ἐὰν ἔδιναν ἀπὸ ἕνα μόνον ὀβολόν, κανεὶς δὲν θὰ ἦτο πτωχὸς καὶ δὲν θὰ ὑφιστάμεθα τόσας προσβολὰς καὶ σκώμματα ἐξ αἰτίας τῆς φροντίδος διὰ τὰ κτήματα.

Διότι καὶ τὸ «πώλησε τὰ ὑπάρχοντά σου καὶ μοίρασέ τα εἰς τοὺς πτωχοὺς καὶ ἔλα ἀκολούθει με»[13], εἶναι καιρὸς νὰ λεχθῇ καὶ πρὸς τοὺς ἄρχοντας τῆς Ἐκκλησίας διὰ τὰ κτήματα τῆς Ἐκκλησίας. Διότι ἀλλιῶς δὲν εἶναι δυνατὸν νὰ τὸν ἀκολουθήσουν ὅπως πρέπει, χωρὶς νὰ εἶναι ἀπηλλαγμένοι ἀπὸ κάθε φροντίδα ὑλικὴν καὶ βιωτικήν. Ἐνῷ τώρα οἱ ἱερεῖς τοῦ Θεοῦ παρευρίσκονται εἰς τὸν τρυγητὸν καὶ τὴν συγκομιδὴν τῶν καρπῶν καὶ εἰς τὴν ἀγοραπωλησίαν τῶν εἰσοδημάτων· καὶ οἱ μὲν ἱερεῖς τῆς Παλαιᾶς Διαθήκης ἦσαν ἀπηλλαγμένοι ἀπὸ ὅλα αὐτά, ἐνῷ ἐμεῖς οἱ ὁποῖοι προσκαλούμεθα μέχρι τὰ ἄδυτα τῶν οὐρανῶν καὶ εἰσερχόμεθα εἰς τὰ ἀληθινὰ Ἅγια τῶν ἁγίων, ἀναλαμβάνομεν φροντίδας ἐμπόρων καὶ λιανοπωλητῶν.

Ἀπὸ ἐδῶ προέρχεται καὶ ἡ μεγάλη ἀμέλεια τῶν Γραφῶν καὶ ἡ ἐπιπολαιότης τῶν προσευχῶν καὶ ἡ ἀδιαφορία διὰ τὰ ἄλλα. Διότι δὲν εἶναι δυνατὸν καὶ εἰς τὰ δύο νὰ μοιραζώμεθα μὲ τὴν προθυμίαν ποὺ ἀπαιτεῖται. Δι' αὐτὸ παρακαλῶ καὶ ἱκετεύω νὰ ἀναβλύσουν πολλαὶ πηγαὶ εἰς ἐμᾶς ἀπὸ παντοῦ καὶ τὰ ἁλώνια καὶ τὰ πατητήρια τὰ ἰδικά σας νὰ διατεθοῦν πρόθυμα εἰς ἐμᾶς. Διότι ἔτσι καὶ οἱ πτωχοὶ θὰ διατραφοῦν εὐκολώτερα καὶ ὁ Θεὸς θὰ δοξασθῇ καὶ σεῖς θὰ ἐπιδοθῆτε περισσότερον εἰς τὴν φιλανθρωπίαν καὶ θὰ ἀπολαύσετε τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΣΤ΄.

Ματθ. 27, 11-26

«Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμών, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο».

1. Ὁρᾷς τί πρῶτον ἐξετάζεται; ὃ μάλιστα ἄνω καὶ κάτω συνεχῶς ἔστρεφον. Ἐπειδὴ γὰρ εἶδον τὸν Πιλᾶτον οὐδένα ποιούμενον λόγον τῶν νομικῶν, ἐπὶ τὰ δημόσια ἐγκλήματα τὴν κατηγορίαν ἄγουσιν. Οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ἐποίουν, ταῦτα ἀεὶ προβαλλόμενοι, καὶ λέγοντες ὅτι περιέρχονται κηρύττοντες βασιλέα τινὰ Ἰησοῦν, ὡς περὶ ἀνθρώπου τινὸς ψιλοῦ διαλεγόμενοι, καὶ τυραννίδος ὑποψίαν αὐτοῖς περιτιθέντες. Ὅθεν δῆλον, ὅτι καὶ τὸ διαρρῆξαι τὸν χιτωνίσκον, καὶ ἐκπλαγῆναι, σκῆψις ἦν. Πάντα δὲ ἐκύκων καὶ ἔστρεφον, ὥστε αὐτὸν εἰς θάνατον ἐμβαλεῖν.

Τοῦτο γοῦν καὶ ὁ Πιλᾶτος ἠρώτησε τότε. Τί οὖν ὁ Χριστός; «Σὺ εἶπας». Ὡμολόγησεν εἶναι βασιλεύς, ἀλλὰ βασιλεὺς οὐράνιος· ὃ καὶ ἀλλαχοῦ σαφέστερον ἔλεγε, πρὸς τὸν Πιλᾶτον ἀποκρινόμενος, ὅτι «Ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου»· ἵνα μηδὲ ἐκεῖνοι, μηδὲ οὗτος ἀπολογίαν ἔχωσι τοιαῦτα κατηγοροῦντες. Καὶ λογισμὸν ἀναντίρρητον τίθησι λέγων· «Εἰ ἐκ τοῦ κόσμου τούτου ἤμην, οἱ ἐμοὶ ἠγωνίσαντο ἄν, ἵνα μὴ παραδοθῶ». Διά τοι τοῦτο, ὥστε ταύτην

1. Ἰω. 18, 36.
2. Ἰω. 18, 36.

ΟΜΙΛΙΑ ΠΣΤ΄.

Ματθ. 27, 11-26

«Ὁ δὲ Ἰησοῦς ἐστάθηκεν ἐμπρὸς εἰς τὸν ἡγεμόνα, καὶ τὸν ἠρώτησεν ὁ ἡγεμών· «Σὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς εἶπε· Σὺ τὸ λέγεις. Καὶ καθ' ὃν χρόνον κατηγορεῖτο ἀπὸ τοὺς ἀρχιερεῖς καὶ τοὺς πρεσβυτέρους, δὲν ἀπήντησε καθόλου».

1. Βλέπεις τί ἐξετάζεται πρῶτον; Ἐκεῖνο γύρω ἀπὸ τὸ ὁποῖον συνεχῶς περιεστρέφοντο. Διότι, ὅταν εἶδαν ὅτι ὁ Πιλᾶτος δὲν κάμνει λόγον διὰ τὰς νομικὰς παραβάσεις, στρέφουν τὴν κατηγορίαν εἰς τὰ δημόσια ἐγκλήματα. Ἔτσι ἔκαναν καὶ διὰ τοὺς ἀποστόλους, προβάλλοντες πάντοτε αὐτὰ καὶ λέγοντες ὅτι περιφέρονται κηρύσσοντες ὡς βασιλέα κάποιον Ἰησοῦν, ὁμιλοῦντες περὶ αὐτοῦ ὡσὰν νὰ ἐπρόκειτο διὰ κάποιον ψιλὸν ἄνθρωπον, προσάπτοντες εἰς αὐτοὺς καὶ κάποιαν ὑποψίαν ἐξεγέρσεως κατὰ τῆς ἐξουσίας. Ἀπὸ αὐτὸ εἶναι φανερόν, ὅτι καὶ τὸ ὅτι ἐξέσχισε τὸν χιτῶνα του καὶ τὸ ὅτι ἐξεπλάγησαν, ἦτο πρόσχημα. Ὅλα δὲ τὰ ἀνακάτευαν καὶ τὰ διέστρεφαν ἔτσι, ὥστε νὰ τὸν ὁδηγήσουν εἰς τὸν θάνατον.

Αὐτὸ λοιπὸν ἐρώτησε τότε καὶ ὁ Πιλᾶτος. Καὶ τί ἀπήντησεν ὁ Χριστός; «Σὺ τὸ εἶπες». Ὡμολόγησεν ὅτι εἶναι βασιλεύς, ἀλλὰ βασιλεὺς οὐράνιος· αὐτὸ τὸ ὁποῖον καὶ ἀλλοῦ τὸ ἔλεγε μὲ περισσοτέραν σαφήνειαν, ὅταν ἀπαντοῦσεν εἰς τὸν Πιλᾶτον ὅτι «Ἡ βασιλεία ἡ ἰδική μου δὲν εἶναι ἀπὸ τὸν κόσμον αὐτόν»[1], διὰ νὰ μὴ ἔχουν δικαιολογίαν οὔτε αὐτός, οὔτε ἐκεῖνοι ποὺ τοῦ ἀπέδιδαν τοιαύτας κατηγορίας. Διατυπώνει δὲ καὶ συλλογισμὸν ἀναντίρρητον, λέγων· «Ἐὰν ἤμουν ἀπὸ τὸν κόσμον αὐτόν, οἱ ὀπαδοί μου θὰ ἠγωνίζοντο διὰ νὰ μὴ παραδοθῶ»[2]. Ἀκριβῶς δὲ δι' αὐτό, διὰ νὰ

ἀποκρούσασθαι τὴν ὑποψίαν, καὶ φόρον κατέβαλε, καὶ ἑτέρους καταβαλεῖν ἐκέλευσε· καὶ ἡνίκα ἠθέλησαν αὐτὸν ποιῆσαι βασιλέα, ἔφυγε.

Τί οὖν οὐ ταῦτα προήνεγκεν εἰς μέσον, φησί, τότε, ἐγκαλούμενος ἐπὶ τυραννίδι; Διότι μυρίας ἔχοντες τὰς ἀπὸ τῶν πραγμάτων ἀποδείξεις τῆς δυνάμεως, τῆς πραότητος, τῆς ἐπιεικείας, ἑκόντες ἐτύφλωττον καὶ ἐκακούργουν, καὶ διεφθαρμένον τὸ δικαστήριον ἦν. Διὰ δὴ ταῦτα πρὸς οὐδὲν ἀποκρίνεται, ἀλλὰ σιγᾷ, καὶ βραχέα ἀποκρινόμενος, ὥστε μὴ ἀπὸ τῆς διηνεκοῦς σιγῆς αὐθαδείας δόξαν λαβεῖν, ὅτε ὥρκισεν ὁ ἀρχιερεύς, ὅτε ὁ ἡγεμὼν ἤρετο· πρὸς δὲ τὰς κατηγορίας αὐτῶν οὐδὲν οὐκέτι φησίν· οὐ γὰρ δὴ πείσειν ἔμελλεν. Ὥσπερ καὶ ὁ προφήτης ἄνωθεν τοῦτο αὐτὸ δηλῶν ἔλεγεν· «Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη».

Ἐπὶ τούτοις ὁ ἡγεμὼν ἐθαύμαζε. Καὶ γὰρ θαύματος ἄξιον ἦν ἰδεῖν τοσαύτην ἐπιείκειαν ἐπιδεικνύμενον, καὶ σιγῶντα, τὸν μυρία ἔχοντα εἰπεῖν. Οὐδὲ γὰρ ἐκεῖνοι ἐκ τοῦ συνειδέναι τι πονηρὸν αὐτῷ κατηγόρουν, ἀλλ᾽ ἀπὸ βασκανίας καὶ φθόνου μόνον. Ὅτε γοῦν ἔστησαν ψευδομάρτυρας, διατί μηδὲν ἐχόντων εἰπεῖν ἐπέκειντο ἔτι, καὶ τὸν Ἰούδαν ἀποπνεύσαντα ἰδόντες, οὐ κατενύγησαν, καὶ τὸν Πιλᾶτον τὰς χεῖρας ἀπονιψάμενον; Καὶ γὰρ πολλὰ καὶ παρ᾽ αὐτὸν τὸν καιρὸν ἐποίησεν, ὥστε αὐτοὺς ἀνανῆψαι· ἀλλ᾽ οὐδενὶ τούτων ἐγένετο βελτίους. Τί οὖν ὁ Πιλᾶτος; «Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσιν οὗτοι;». Ἠβούλετο μὲν γὰρ αὐτὸν ἀπολογούμενον ἀπαλλαγῆναι, διὸ καὶ ταῦτα ἔλεγεν· ἐπειδὴ δὲ οὐδὲν ἀπεκρίνατο, καὶ ἕτερόν τι μηχανᾶται. Ποῖον δὴ τοῦτο; Ἔθος ἦν αὐτοῖς ἀφιέναι ἕνα τῶν καταδίκων, καὶ ἐντεῦθεν αὐτὸν ἐξελέσθαι ἐπεχείρησεν. Εἰ γὰρ μὴ βούλεσθε,

---

3. Ἠσ. 53, 8.

ἀποκρούσῃ αὐτὴν τὴν ὑπόνοιαν, κατέβαλε καὶ φόρον, καὶ τοὺς ἄλλους προέτρεπε νὰ καταβάλουν, καί, ὅποτε ἤθελαν νὰ τὸν ἀνακηρύξουν βασιλέα, ἔφευγεν.

Διατί λοιπὸν δὲν τὰ ἀνέφερεν ὅλα αὐτά, λέγει, τότε ποὺ κατηγορεῖτο ὅτι ἐπεβουλεύετο τὴν ἐξουσίαν; Διότι ἂν καὶ εἶχαν μυρίας ἀποδείξεις τῆς δυνάμεως, τῆς πραότητος καὶ τῆς ἠπιότητός του, ἐν γνώσει τους ἐτυφλοῦντο καὶ ἐκακουργοῦσαν, καὶ τὸ δικαστήριον ἦτο διεφθαρμένον. Δι' αὐτὰ ἀκριβῶς δὲν ἀπαντᾷ εἰς τίποτε, ἀλλὰ σιωπᾷ ἢ ἀποκρίνεται δι' ὀλίγων, διὰ νὰ μὴ θεωρηθῇ αὐθάδης ἀπὸ τὴν συνεχῆ σιωπήν, ὅπως ὅταν τὸν ὥρκισεν ὁ ἀρχιερεὺς καὶ ὅταν τὸν ἐρώτησεν ὁ ἡγεμών· πρὸς τὰς κατηγορίας ὅμως αὐτῶν τίποτε πλέον δὲν λέγει· διότι δὲν ἐπρόκειτο νὰ τοὺς πείσῃ. Ὅπως καὶ ὁ προφήτης, ἐκφράζων αὐτὸ ἄνωθεν, ἔλεγεν· «Μὲ τὴν ταπείνωσίν του τὸ δίκαιόν Του κατεπατήθη»[3].

Δι' ὅλα αὐτὰ ὁ ἡγεμὼν ἀποροῦσε. Διότι πράγματι ἦτο ἄξιον θαυμασμοῦ νὰ βλέπῃ νὰ ἐπιδεικνύῃ τόσην ἠπιότητα καὶ νὰ σιωπᾷ, Αὐτὸς ποὺ ἔχει νὰ εἴπῃ ἄπειρα. Ἄλλως τε οὔτε ἐκεῖνοι τὸν κατηγοροῦσαν ἐπειδὴ ἐγνώριζαν κάτι πονηρὸν εἰς βάρος του, παρὰ μόνον ἀπὸ κακολογίαν καὶ φθόνον. Ὅταν λοιπὸν εὑρῆκαν ψευδομάρτυρας, διατί ἀφοῦ δὲν εἶχαν νὰ εἰποῦν τίποτε ἐπέμεναν ἀκόμη, καὶ διατί ἀφοῦ εἶδαν ὅτι ὁ Ἰούδας ἀπέπνευσε δὲν συνεκινήθησαν, καθὼς καὶ ὅταν ὁ Πιλᾶτος ἔνιψε τὰς χεῖρας του; Διότι πολλὰ εἶχε κάνει κατὰ τὸν προηγούμενον καιρὸν διὰ νὰ ἀνανήψουν, ἀλλὰ μὲ κανένα ἀπὸ αὐτὰ δὲν ἔγιναν καλύτεροι.

Τί λέγει λοιπὸν ὁ Πιλᾶτος; «Δὲν ἀκούεις πόσα μαρτυροῦν ἐναντίον σου αὐτοί;». Διότι ἤθελε νὰ ἀπαλλαγῇ ἀφοῦ ἀπολογηθῇ, δι' αὐτό τὰ εἶπεν αὐτά. Ἐπειδὴ δὲ δὲν ἀπήντησεν, ἐπενόησε καὶ κάτι ἄλλο. Ποῖον λοιπὸν εἶναι αὐτό; Ὑπῆρχε συνήθεια εἰς αὐτοὺς νὰ ἐλευθερώνουν ἕνα ἀπὸ τοὺς καταδίκους, καὶ μὲ αὐτὴν ἐπεχείρησε νὰ τὸν γλυτώσῃ. Διότι, ἐὰν δὲν θέλετε, λέγει, νὰ τὸν ἀφήσετε ἐλεύ-

φησίν, ὡς ἀθῷον ἀφεῖναι, κἂν ὡς κατάδικον χαρίσασθε τῇ ἑορτῇ.

Εἶδες τάξιν ἀντεστραμμένην; Τὴν μὲν γὰρ αἴτησιν τὴν ὑπὲρ τῶν καταδίκων, τοῦ δήμου ἔθος ἦν εἶναι, τὴν δὲ δόσιν τοῦ ἄρχοντος· νῦν δὲ τοὐναντίον γέγονε, καὶ ὁ ἄρχων αἰτεῖ τὸν δῆμον, καὶ οὐδὲ οὕτω γίνονται ἥμεροι, ἀλλ' ἐκθηριοῦνται μειζόνως καὶ φονῶσιν, ὑπὸ τοῦ πάθους τῆς βασκανίας ἐκβακχευόμενοι. Οὐδὲ γὰρ εἶχον ὅ τι κατηγορήσουσιν αὐτοῦ, καὶ ταῦτα σιγῶντος, ἀλλ' ἠλέγχοντο καὶ οὕτω διὰ τὴν τῶν δικαιωμάτων περιουσίαν, καὶ σιγῶν ἐνίκα τοὺς μυρία λέγοντας καὶ μαινομένους.

«Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἔπεμψε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδέν σοι καὶ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν». Ὅρα οἷον γίνεται πάλιν, ἱκανὸν πάντας αὐτοὺς ἀνακαλέσασθαι. Μετὰ γὰρ τῆς ἀπὸ τῶν πραγμάτων ἀποδείξεως, καὶ τὸ ὄναρ οὐ μικρὸν ἦν. Καὶ τίνος ἕνεκεν οὐκ αὐτὸς ὁρᾷ; Ἢ ὅτι ἐκείνη ἀξία ἦν μᾶλλον, ἢ ὅτι αὐτὸς εἰ εἶδεν, οὐκ ἂν ἐπιστεύθη ὁμοίως, ἢ οὐδ' ἂν ἐξεῖπε. Διὰ τοῦτο οἰκονομεῖται τὴν γυναῖκα ἰδεῖν, ὥστε κατάδηλον γενέσθαι πᾶσι. Καὶ οὐχ ἁπλῶς ὁρᾷ, ἀλλὰ καὶ πάσχει πολλά, ἵνα καὶ ἀπὸ τῆς συμπαθείας τῆς πρὸς τὴν γυναῖκα ὀκνηρότερος γένηται ὁ ἀνὴρ περὶ τὸν φόνον.

Καὶ ὁ καιρὸς δὲ οὐ μικρὸν συνετέλει· κατὰ γὰρ αὐτὴν τὴν νύκτα εἶδεν. Ἀλλ' οὐκ ἦν αὐτῷ ἀσφαλές, φησίν, ἀφεῖναι, ἐπειδὴ εἶπον,, ὅτι βασιλέα ἑαυτὸν ἐποίει. Ἐχρῆν οὖν ἀποδείξεις καὶ ἐλέγχους ζητῆσαι, καὶ ὅσα τυραννίδος ἐστὶ τεκμήρια· οἷον, εἰ στρατόπεδα κατέλεγεν, εἰ χρήματα συνέλε-

θερον ὡς ἀθῷον, ἔστω καὶ ὡς κατάδικον χαρίσατέ Του τὴν ζωὴν λόγῳ τῆς ἑορτῆς.

Βλέπεις πῶς ἀντεστράφη ἡ κατάστασις; Διότι ἡ μὲν αἴτησις ὑπὲρ τῶν καταδίκων ἦτο συνήθεια νὰ γίνεται ἀπὸ τὸν λαόν, ἡ δὲ ἀπόλυσις ἀπὸ τὸν ἄρχοντα· ἐνῷ τώρα ἔγινε τὸ ἀντίθετον, καὶ ὁ ἄρχων κάνει αἴτησιν εἰς τὸν λαόν, καὶ οὔτε ἔτσι γίνονται ἥμεροι, ἀλλὰ ἐξαγριώνονται περισσότερον καὶ τὸν φονεύουν κυριευμένοι ἀπὸ τὸ πάθος βακχικῆς μανίας. Διότι δὲν εἶχαν μὲ τί νὰ τὸν κατηγορήσουν, παρὰ τὸ γεγονὸς ὅτι Ἐκεῖνος ἐσιωποῦσεν, ἀλλὰ ἠλέγχοντο καὶ μὲ τὴν σιωπὴν διὰ τὴν κατάχρησιν τῶν δικαιωμάτων των, καὶ ἐνῷ ἐσιωποῦσεν ἐνικοῦσεν αὐτοὺς οἱ ὁποῖοι ἔλεγαν μύρια καὶ ἐμαίνοντο.

«Ἐνῷ δὲ ἐκάθητο εἰς τὴν δικαστικὴν ἕδραν, τοῦ ἔστειλε μήνυμα ἡ σύζυγός του καὶ τοῦ ἔλεγε· «Μὴ κάνῃς τίποτε εἰς αὐτὸν τὸν ἀθῷον, διότι ὑπέφερα πολὺ σήμερα εἰς τὸ ὄνειρόν μου ἐξ αἰτίας του». Κύτταξε τί συμβαίνει πάλιν, ἱκανὸν νὰ τοὺς ἐπαναφέρῃ ὅλους. Διότι μετὰ ἀπὸ τὴν ἐκ τῶν πραγμάτων ἀπόδειξιν, καὶ τὸ ὄνειρον δὲν ἦτο μικρᾶς σημασίας. Καὶ ἐξ αἰτίας τίνος δὲν βλέπει τὸ ὄνειρον αὐτός; Ἢ διότι ἐκείνη ἦτο περισσότερον ἀξία, ἢ διότι ἐὰν τὸν ἔβλεπεν αὐτός, δὲν θὰ ἐπιστεύετο ὅπως ἐκείνη, ἢ δὲν θὰ τὸ ἀπεκάλυπτε. Δι' αὐτὸ κανονίζεται νὰ τὸ ἰδῇ ἡ γυναῖκα, διὰ νὰ γίνῃ γνωστὸν εἰς ὅλους. Καὶ ὄχι μόνον βλέπει τὸ ὄνειρον, ἀλλὰ καὶ ὑποφέρει πολλά, εἰς τρόπον ὥστε καὶ ἀπὸ τὴν συμπάθειάν του πρὸς τὴν γυναῖκα νὰ γίνῃ πιὸ διστακτικὸς ὁ ἄνδρας της σχετικὰ μὲ τὸν φόνον.

Ἀλλὰ καὶ ὁ καιρὸς δὲν συνέβαλεν ὀλίγον· διότι τὸ εἶδε κατὰ τὴν διάρκειαν τῆς νυκτός. Ἀλλὰ δὲν ἦτο δι' αὐτὸν ἀκίνδυνον, λέγει, νὰ τὸν ἀφήσῃ ἐλεύθερον, ἐπειδὴ εἶπαν ὅτι ἀνεκήρυττε τὸν ἑαυτόν του βασιλέα. Ἔπρεπε λοιπὸν νὰ ζητήσῃ ἀποδείξεις καὶ ἐπιχειρήματα καὶ ὅσα ἄλλα ἀποτελοῦν τεκμήρια τῆς ἐξουσίας, ἤτοι· ἐὰν συνήθροιζε στρατιώτας, ἐὰν συνεκέντρωνε χρήματα, ἐὰν κατεσκεύαζεν

γεν, εἰ ὅπλα ἐχάλκευεν, εἰ ἄλλο τι τοιοῦτον ἐπεχείρει. Ὁ δὲ ἁπλῶς παρασύρεται· διὰ τοῦτο οὐδὲ αὐτὸν ἀφίησιν ὁ Χριστὸς τῶν ἐγκλημάτων, λέγων· «Μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς μέ σοι». Ὥστε μαλακίας ἦν ἡ συγχώρησις, καὶ τὸ μαστίξαντα ἐκδοῦναι.

Οὗτος μὲν οὖν ἄνανδρος μαλακός· οἱ δὲ ἀρχιερεῖς πονηροὶ καὶ κακοῦργοι. Ἐπειδὴ γὰρ εὗρέ τινα ἐπίνοιαν, τὸν τῆς ἑορτῆς νόμον τὸν κελεύοντα ἀφεῖναι κατάδικον, τί πρὸς τοῦτο μηχανῶνται; «Ἔπεισαν τὸν ὄχλον», φησίν, «ἵνα τὸν Βαραββᾶν αἰτήσωσιν».

2. Εἶδες πόσην αὐτὸς πρόνοιαν ποιεῖται, ὥστε αὐτοὺς ἀπαλλάξαι ἐγκλημάτων, καὶ πόσην αὐτοὶ σπουδήν, ὥστε μηδὲ σκιὰν ἑαυτοῖς ἀπολογίας καταλιπεῖν; Τί γὰρ ἔδει; τὸν ὡμολογημένον, ἢ τὸν ἀμφισβητούμενον ἀφεῖναι; Εἰ γὰρ ἐπὶ τοῖς ὡμολογουμένοις ἀφίεσθαι ἔδει, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἀμφιβόλοις. Οὐ γὰρ δήπου ὡμολογουμένων ἀνδροφόνων χείρων αὐτοῖς οὗτος ἐδόκει εἶναι. Διὰ γὰρ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, εἶχον λῃστήν, ἀλλ', «ἐπίσημον»· τουτέστι, περιβόητον ἐν κακίᾳ, μυρίους ἐργασάμενον φόνους.

Ἀλλ' ὅμως κἀκεῖνον τοῦ τῆς οἰκουμένης σωτῆρος προὔθηκαν· καὶ οὔτε τὸν καιρὸν ᾐδέσθησαν ὅτι ἅγιος ἦν, οὐ τοὺς τῆς φιλανθρωπίας νόμους, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ καθάπαξ αὐτοὺς ὁ φθόνος ἀπετύφλωσε. Καὶ μετὰ τῆς οἰκείας κακίας καὶ τὸν δῆμον διαφθείρουσιν, ἵνα καὶ τῆς ἐκείνων ἀπάτης τὴν ἐσχάτην δῶσι δίκην.

Ἐπεὶ οὖν ἐκεῖνον ᾐτήσαντο, λέγει· «Τί οὖν ποιήσω τὸν Χριστόν;», καὶ ταύτῃ πάλιν ἐντρέψαι βουλόμενος, τῷ ποιή-

4. Ἰω. 18, 36.

ὅπλα, ἐὰν ἐπιχειροῦσε τίποτε ἄλλο σχετικόν. Ἐνῷ αὐτὸς ἁπλῶς ἀποσύρεται. Δι' αὐτὸ οὔτε αὐτὸν θεωρεῖ ὁ Χριστὸς ἀπηλλαγμένον τῆς εὐθύνης, λέγων· «Μεγαλυτέραν ἁμαρτίαν ἔχει ἐκεῖνος ποὺ μὲ παρέδωσεν εἰς σέ»[4]. Ὥστε ἡ συγχώρησις καὶ ἡ μετὰ τὴν μαστίγωσιν παράδοσις εἰς τοὺς Ἰουδαίους ἦσαν ἐνέργειαι ἀδυναμίας.

Αὐτὸς μὲν λοιπὸν ἀπεδείχθη ἄνανδρος καὶ ἀσθενικοῦ χαρακτῆρος, οἱ δὲ ἀρχιερεῖς πονηροὶ καὶ κακοῦργοι. Διότι ὅταν ἐπενόησε κάποιαν δικαιολογίαν, τὸν νόμον τῆς ἑορτῆς ὁ ὁποῖος διέτασσε νὰ ἐλευθερώνουν ἕνα κατάδικον, τί μηχανεύονται; «Ἔπεισαν», λέγει, «τὸ πλῆθος νὰ ζητήσουν νὰ ἐλευθερωθῇ ὁ Βαραββᾶς».

2. Βλέπεις πόσην φροντίδα λαμβάνει Ἐκεῖνος διὰ νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὸ ἔγκλημα, καὶ πόσην προσπάθειαν καταβάλλουν αὐτοί, ὥστε νὰ μὴ ἀφήσουν οὔτε ἴχνος δικαιολογίας διὰ τοὺς ἑαυτούς των; Διότι τί ἔπρεπε νὰ γίνῃ; Νὰ ἀφεθῇ ἐλεύθερος ὁ ἀποδεδειγμένος ληστής, ἢ ὁ ἀμφισβητούμενος; Διότι ἐὰν ἔπρεπε νὰ ἀφήνωνται ἐλεύθεροι οἱ κατηγορούμενοι δι' ἀποδεδειγμένα ἐγκλήματα, πολὺ περισσότερον ἔπρεπε νὰ ἀφήνωνται ὅσοι κατηγοροῦνται δι' ἀμφίβολα. Διότι βέβαια δὲν ἐθεωρεῖτο ὅτι Αὐτὸς εἶναι χειρότερος ἀπὸ τοὺς ἀποδειγμένους δολοφόνους. Δι' αὐτὸ ἄλλωστε δὲν εἶπεν ἁπλῶς «εἶχαν ληστήν», ἀλλ' «ἐπίσημον», δηλαδὴ περιβόητον εἰς κακίαν, ὁ ὁποῖος εἶχε κάνει ἀπείρους φόνους.

Ἀλλ' ὅμως καὶ ἐκεῖνον τὸν ἐπροτίμησαν ἀπὸ τὸν Σωτῆρα τῆς οἰκουμένης καὶ οὔτε τὴν περίοδον ἐσεβάσθησαν ἡ ὁποία ἦτο ἁγία, οὔτε τοὺς νόμους τῆς φιλανθρωπίας, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά· ἀλλὰ τοὺς ἀπετύφλωσε τελείως ὁ φθόνος. Καὶ μαζὶ μὲ τὴν ἰδικήν των κακίαν διαφθείρουν καὶ τὸν λαόν, διὰ νὰ ὑποστοῦν τὴν ἐσχάτην τῶν ποινῶν ἐξ αἰτίας τῆς ἀπάτης ἐκείνων.

Ὅταν λοιπὸν ἐζήτησαν ἐκεῖνον, λέγει· «Τί νὰ κάμω λοιπὸν τὸν Χριστόν;». Καὶ μὲ αὐτὸ ἤθελε πάλιν νὰ τοὺς

σαι κυρίους τῆς αἱρέσεως, ἵνα κἂν αἰσχυνθέντες αἰτήσωσι, καὶ τῆς αὐτῶν φιλοτιμίας γένηται τὸ πᾶν. Τὸ μὲν γὰρ λέγειν, οὐχ ἥμαρτε, φιλονεικοτέρους ἐποίει· τὸ δὲ ἐκ φιλανθρωπίας ἀξιοῦν σωθῆναι, ἀναντίρρητον ἔχει τὴν πειθὼ καὶ τὴν αἴτησιν. Οἱ δὲ καὶ οὕτως ἔλεγον· σταύρωσον. «Ὁ δὲ ἔφη· τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, σταυρωθήτω. Ὁ δὲ ἰδών, ὅτι οὐδὲν ὠφελεῖ, ἐνίψατο τὰς χεῖρας, λέγων, ὅτι ἀθῶός εἰμι».

Τί οὖν παραδίδως; τί δὲ οὐκ ἐξήρπασας, καθάπερ τὸν Παῦλον ὁ ἑκατοντάρχης; Καὶ γὰρ ἐκεῖνος ᾔδει χαριζόμενος τοῖς Ἰουδαίοις· καὶ στάσις ἐγένετο δι᾽ αὐτὸν καὶ θόρυβος· ἀλλ᾽ ὅμως ἔστη πρὸς πάντα. Ἀλλ᾽ οὐχ οὗτος, ἀλλὰ ἄνανδρος σφόδρα καὶ μαλακός· καὶ πάντες ὁμοῦ διεφθείροντο. Οὔτε γὰρ οὗτος πρὸς τὸ πλῆθος ἔστη, οὔτε τὸ πλῆθος πρὸς τοὺς Ἰουδαίους· καὶ πανταχόθεν αὐτῶν ἡ ἀπολογία ἀνῄρητο. Καὶ γὰρ «Περισσῶς ἔκραζον», τουτέστι, μᾶλλον ἔκραζον, «Σταυρωθήτω». Οὐ γὰρ ἀνελεῖν μόνον ἤθελον, ἀλλὰ καὶ ἐπὶ πονηρᾷ αἰτίᾳ, καὶ τοῦ δικάζοντος ἀντιλέγοντος ἐπέμενον τὰ αὐτὰ βοῶντες.

Εἶδες πόσα ἐποίησεν ὁ Χριστός, ὥστε αὐτοὺς ἀνακτήσασθαι; Καθάπερ γὰρ τὸν Ἰούδαν ἀνεκρούετο πολλάκις, οὕτω καὶ τούτους ἀνέστελλε, διά τε παντὸς τοῦ εὐαγγελίου, καὶ παρ᾽ αὐτὸν τὸν καιρὸν τῆς κρίσεως. Καὶ γὰρ ὅτε εἶδον τὸν ἄρχοντα καὶ δικάζοντα ἀπονιψάμενον καὶ λέγοντα, «Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τούτου», ἔδει κατανυγῆναι καὶ διὰ τῶν ῥημάτων καὶ διὰ τῶν πραγμάτων· καὶ ὅτε τὸν Ἰούδαν ἀπαγξάμενον, καὶ ὅτε αὐτὸν παρακαλοῦντα, ἕτερον ἀντ᾽ αὐτοῦ λαβεῖν. Ὅταν γὰρ ὁ κατήγορος καὶ προδότης ἑαυτὸν καταδικάζῃ, καὶ ὁ ψηφιζόμενος ἀποδύηται τὰ ἐγκλήματα, καὶ ὄψις

---

5. Πράξ. 23, 10.

κάμῃ νὰ ἀλλάξουν γνώμην, μὲ τὸ νὰ τοὺς κάμῃ ὑπευθύνους τῆς προτιμήσεώς των, εἰς τρόπον ὥστε ἔστω καὶ ἀπὸ ἐντροπὴν νὰ ζητήσουν τὴν ἀπελευθέρωσιν τοῦ Χριστοῦ καὶ τὸ πᾶν νὰ γίνῃ ἀπὸ τὴν φιλοτιμίαν των. Διότι μὲ τὸ «δὲν ἡμάρτησε», ποὺ εἶπε, τοὺς ἔκανε περισσότερον πείσμονας· ἐνῷ ἡ ἀξίωσίς του νὰ σωθῇ ὁ Χριστὸς ἀπὸ φιλανθρωπίαν, προεδίκαζεν ἀναντιρρήτως τὴν πειθὼ καὶ τὴν αἴτησιν δι' ἀπελευθέρωσιν. Αὐτοὶ ὅμως καὶ πάλιν ἔλεγεν· «Σταύρωσέ τον. Ἐκεῖνος δὲ εἶπε· Τί κακὸν ἔκαμε λοιπόν; Ἐκεῖνοι ὅμως ἐφώναζαν περισσότερον· Νὰ σταυρωθῇ. Ὅταν δὲ εἶδεν ὁ Πιλᾶτος ὅτι ὅλα εἶναι ἀνώφελα, ἔπλυνε τὰ χέρια του καὶ εἶπεν· εἶμαι ἀθῶος».

Διατί λοιπὸν τὸν παραδίδεις; Διατί δὲν τὸν ἅρπαξες, ὅπως ὁ ἑκατόνταρχος τὸν Παῦλον;[5] Διότι καὶ ἐκεῖνος ἐγνώριζε νὰ χαρίζεται εἰς τοὺς Ἰουδαίους, καὶ ἐγίνετο στάσις καὶ θόρυβος δι' αὐτόν, ἀλλ' ὅμως ἀντέστη πρὸς ὅλα αὐτά. Αὐτὸς ὅμως ὄχι, ἀλλ' ἀπεδείχθη ἄνανδρος πολὺ καὶ ἀσθενικοῦ χαρακτῆρος, καὶ διεφθάρησαν ὅλοι μαζί. Διότι οὔτε αὐτὸς ἀντέδρασε πρὸς τὸ πλῆθος, οὔτε τὸ πλῆθος πρὸς τοὺς Ἰουδαίους· καὶ ἀπὸ παντοῦ ἡ δικαιολογία τους ἀνετράπη. Διότι «ἐφώναζαν περισσότερον», δηλαδὴ ἐφώναζαν περισσότερον «νὰ σταυρωθῇ». Διότι δὲν ἤθελαν μόνον νὰ τὸν φονεύσουν, ἀλλὰ καὶ μὲ πονηρὰν δικαιολογίαν καί, ἐπειδὴ ὁ δικάζων εἶχεν ἀντίρρησιν, ἐπέμεναν φωνάζοντες τὰ ἴδια.

Εἶδες πόσα ἔκανεν ὁ Χριστὸς διὰ νὰ τοὺς κερδήσῃ καὶ πάλιν; Διότι, ὅπως ἀναχαίτιζε τὸν Ἰούδα πολλάκις, ἔτσι καὶ αὐτοὺς τοὺς ἀνέκοπτε, καὶ μὲ ὁλόκληρον τὸ Εὐαγγέλιον καὶ κατὰ τὴν περίοδον τῆς δίκης. Διότι ὅταν εἶδαν τὸν ἄρχοντα καὶ δικαστὴν νὰ νίπτῃ τὰ χέρια καὶ νὰ λέγῃ «Εἶμαι ἀθῶος ἀπὸ τὸ αἷμα αὐτοῦ», ἔπρεπε νὰ συγκινηθοῦν καὶ ἀπὸ τὰ λόγια καὶ ἀπὸ τὴν πρᾶξιν· καὶ ὅταν εἶδαν τὸν Ἰούδαν ποὺ ἀπηγχονίσθη, καὶ ὅταν αὐτὸς παρεκάλει νὰ πάρουν ἄλλον ἀντ' αὐτοῦ. Διότι ὅταν ὁ κατήγορος καὶ προδότης καταδικάζῃ τὸν ἑαυτόν του, καὶ ὁ δικαστὴς ἀπεκδύεται τὴν

τοιαύτη καιʼ αὐτὴν τὴν νύκτα φαίνηται, καὶ ὡς κατάδικον αὐτὸν ἐξαιτῆσαι, ποίαν ἕξουσιν ἀπολογίαν; Εἰ γὰρ μὴ ἐβούλοντο ἀθῶον εἶναι, ἀλλʼ οὐχὶ καὶ λῃστὴν αὐτοῦ προτιμῆσαι ἔδει, τὸν ὡμολογημένον καὶ σφόδρα ἐπίσημον ὄντα.

Τί οὖν ἐκεῖνοι; Ἐπειδὴ τὸν δικαστὴν εἶδον νιπτόμενον τὰς χεῖρας, καὶ λέγοντα, «Ἀθῶός εἰμι», ἔκραζον· «Τὸ αἷμα αὐτοῦ ἐφʼ ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν». Τότε δὴ λοιπόν, ὅτε καθʼ ἑαυτῶν τὴν ψῆφον ἐξήνεγκαν, συνεχώρησε πάντα γενέσθαι. Θέα δὲ καὶ ἐνταῦθα τὴν πολλὴν παραπληξίαν. Τοιαύτη γὰρ ἡ ὁρμή, καὶ ἡ πονηρὰ ἐπιθυμία· οὐκ ἀφίησί τι τῶν δεόντων ἰδεῖν. Ἔστω γάρ, ὑμῖν αὐτοῖς ἐπαρρᾶσθε· τί καὶ ἐπὶ τὰ τέκνα τὴν ἀρὰν ἕλκετε;

Ἀλλʼ ὅμως ὁ φιλάνθρωπος, τοσαύτῃ μανίᾳ χρησαμένων, καὶ καθʼ ἑαυτῶν καὶ κατὰ τῶν παίδων, οὐ μόνον ἐπὶ τῶν παίδων, ἀλλʼ οὐδὲ ἐπʼ αὐτῶν τὴν ψῆφον ἐκύρωσεν, ἀλλὰ καὶ ἐξ αὐτῶν καὶ ἐξ ἐκείνων ἐδέξατο τοὺς μετανοήσαντας, καὶ μυρίων ἠξίωσεν ἀγαθῶν. Καὶ γὰρ καὶ Παῦλος ἐξ αὐτῶν ἦν, καὶ αἱ μυριάδες τῶν πεπιστευκότων ἐν Ἱεροσολύμοις («Θεωρεῖς», γάρ, φησίν, «ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων), ἐκ τούτων ἦσαν. Εἰ δέ τινες ἐναπέμειναν, ἑαυτοῖς λογιζέσθωσαν τὴν τιμωρίαν

«Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν, ἵνα σταυρωθῇ». Καὶ διὰ τί ἐφραγέλλωσεν; Ἢ ὡς κατάδικον, ἢ σχῆμα περιθεῖναι τῇ κρίσει βουλόμενος, ἢ ἐκείνοις χαρίσασθαι. Καίτοιγε ἐνστῆναι ἐχρῆν. Καὶ γὰρ καὶ πρὸ τούτου εἶπε· «Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν». Καὶ πολλὰ ἦν τὰ δυνάμενα αὐτὸν κἀκείνους ἀναχαιτίσαι, καὶ τὰ σημεῖα, καὶ

---

6. Πράξ. 21, 20.
7. Ἰω. 18, 31.

εὐθύνην τοῦ ἐγκλήματος, καὶ ἐμφανίζεται τέτοιο ὄνειρον κατὰ τὴν ἰδίαν νύκτα, καὶ ζητεῖ τὴν ἀπαλλαγήν Του ὡς καταδίκου, ποίαν δικαιολογίαν θὰ ἔχουν; Διότι καὶ ἂν δὲν ἤθελε νὰ εἶναι ἀθῷος, δὲν ἔπρεπεν ὅμως νὰ προτιμήσουν ἀντ' αὐτοῦ ληστήν, αὐτὸν ποὺ ἦτο ἀποδεδειγμένος καὶ πολὺ διάσημος.

Τί κάνουν λοιπὸν ἐκεῖνοι; Ὅταν εἶδαν τὸν δικαστὴν νὰ νίπτῃ τὰ χέρια καὶ νὰ λέγῃ «εἶμαι ἀθῷος», ἐφώναζαν· «Τὸ αἷμά του ἂς βαρύνῃ ἐμᾶς καὶ τὰ παιδιά μας». Τότε ἀκριβῶς λοιπόν, ὅταν ἐξέδωσαν ἐναντίον των καταδικαστικὴν ἀπόφασιν, ἐπέτρεψε νὰ γίνουν ὅλα. Κύτταξε δὲ καὶ ἐδῶ τὴν μεγάλην παραφροσύνην. Διότι τέτοια εἶναι ἡ βία καὶ ἡ πονηρὰ ἐπιθυμία· δὲν ἀφήνει νὰ ἰδοῦν τίποτε ἀπὸ ὅσα πρέπει. Διότι ἔστω· καταρᾶσθε τοὺς ἑαυτούς σας· διατί ἐπεκτείνετε τὴν κατάραν καὶ εἰς τὰ παιδιά σας;

Ἀλλ' ὅμως ὁ φιλάνθρωπος Θεός, ἂν καὶ ἐχρησιμοποίησαν τόσην μανίαν καὶ ἐναντίον τῶν ἑαυτῶν των καὶ ἐναντίον τῶν παιδιῶν των, δὲν ἐπεκύρωσε τὴν ἀπόφασίν των ὄχι μόνον εἰς βάρον τῶν παιδιῶν ἀλλὰ καὶ εἰς βάρος αὐτῶν, ἀλλ' ἀντιθέτως καὶ ἀπὸ αὐτοὺς καὶ ἀπὸ ἐκεῖνα ἐδέχθη ὅσους μετενόησαν καὶ τοὺς ἠξίωσεν ἀπείρων ἀγαθῶν. Διότι καὶ ὁ Παῦλος ἀπὸ αὐτοὺς ἦτο καὶ αἱ μυριάδες ἐκείνων ποὺ ἐπίστευσαν εἰς τὰ Ἱεροσόλυμα (διότι λέγει· «Βλέπεις, ἀδελφέ, πόσαι μυριάδες ἀπὸ αὐτοὺς ποὺ ἐπίστευσαν εἶναι Ἰουδαῖοι;»[6]), ἀπὸ αὐτοὺς ἦσαν. Ἐὰν δὲ ἀπέμειναν μερικοί, ἂς ἀναλογισθοῦν τὴν τιμωρίαν διὰ τοὺς ἑαυτούς των.

«Τότε ἀπέλυσε πρὸς χάριν των τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν, ἀφοῦ τὸν ἐμαστίγωσε, τὸν παρέδωσε διὰ νὰ σταυρωθῇ». Καὶ διατί τὸν ἐμαστίγωσεν; Ἢ ὡς κατάδικον, ἢ ἐπειδὴ ἤθελε νὰ προσδώσῃ εἰς τὴν δίκην κάποιαν ἐπίφασιν, ἢ διὰ νὰ χαρισθῇ εἰς ἐκείνους. Ἂν καὶ βεβαίως ἔπρεπε νὰ ἀντιδράσῃ. Διότι καὶ πρὶν ἀπὸ αὐτὸ εἶπε· «Πάρετέ Τον σεῖς καὶ δικάσατέ Τον σύμφωνα μὲ τὸν νόμον σας»[7]. Καὶ πολλὰ ἦσαν ἐκεῖνα τὰ ὁποῖα ἠμποροῦσαν καὶ αὐτὸν καὶ ἐκείνους

τὰ θαύματα, καὶ ἡ πολλὴ τοῦ ταῦτα πάσχοντος ἀνεξικακία, καὶ ἡ σιγὴ μάλιστα ἡ ἄφατος. Ἐπειδὴ γὰρ καὶ δι᾽ ὧν ἀπελογήσατο καὶ δι᾽ ὧν ηὔξατο τὸ ἀνθρώπινον ἔδειξε, πάλιν τὸ ὑψηλὸν καὶ μεγαλοφυὲς καὶ διὰ τῆς σιγῆς καὶ διὰ τοῦ καταφρονεῖν τῶν λεγομένων ἐπιδείκνυται, διὰ πάντων αὐτοὺς πρὸς τὸ οἰκεῖον ἐνάγων θαῦμα. Ἀλλ᾽ οὐδενὶ τούτων εἶξαν.

3. Ὅταν γὰρ ἅπαξ, καθάπερ ὑπὸ μέθης ἢ μανίας τινὸς ἀτόπου κατασχεθῶσιν οἱ λογισμοί, δύσκολον ἀνενεγκεῖν μὴ σφόδρα γενναίαν οὖσαν τὴν καταπίπτουσαν ψυχήν.

Δεινὸν γάρ, δεινὸν τοῖς πονηροῖς πάθεσι τούτοις δοῦναι χώραν· διὸ χρὴ παντὶ τρόπῳ διακρούεσθαι καὶ ἐξωθεῖν αὐτῶν τὴν εἴσοδον. Ὅταν γὰρ ἐπιλάβωνται τῆς ψυχῆς, καὶ κρατήσωσι, καθάπερ πῦρ εἰς ὕλην ἐμπεσών, οὕτω λαμπρὰν τὴν φλόγαν ἀνάπτουσι.

Διὸ παρακαλῶ πάντα ποιεῖν, ὥστε ἀποτειχίζειν αὐτοῖς τὴν εἴσοδον· μηδὲ τούτῳ τῷ λογισμῷ τῷ ψυχρῷ παραμυθουμένους ἑαυτούς, πᾶσαν ἐπεισάγειν πονηρίαν, λέγοντας· τί παρὰ τοῦτο, καὶ τί παρ᾽ ἐκεῖνο; τὰ γὰρ μυρία κακὰ ἐντεῦθεν τίκτεται. Ὁ γὰρ διάβολος μιαρὸς ὤν, πολλῇ κέχρηται τῇ κακουργίᾳ καὶ εὐτονίᾳ καὶ συγκαταβάσει πρὸς τὴν τῶν ἀνθρώπων ἀπώλειαν, καὶ ἀπὸ τῶν μικροτέρων προσβάλλει.

Σκόπει δέ. Ἠβούλετο τὸν Σαοὺλ εἰς ἐγγαστριμύθου ληρωδίαν ἐμβαλεῖν. Ἀλλὰ τοῦτο εἰ παρὰ τὴν ἀρχὴν συνεβούλευσεν, οὐκ ἂν προσέσχεν ἐκεῖνος· πῶς γάρ, ὁ καὶ ἐλαύνων αὐτάς; Διὰ τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτὸν εἰσάγει. Ἐπειδὴ γὰρ παρήκουσε τοῦ Σαμουήλ, καὶ παρεσκεύασε μὴ παραγενομένου ἀνενεχθῆναι τὴν ὁλοκαύτωσιν, ἐγκαλούμενός φησιν, ἡ ἀνάγκη τῶν πολεμίων ἐγένετο μείζων· καὶ δέον θρηνῆσαι, ὡς οὐδὲν ἐργασάμενος διετέθη.

8. Α´ Βασ. 28, 15.

νὰ ἀναχαιτίσουν, καὶ τὰ προμηνύματα καὶ τὰ θαύματα καὶ ἡ μεγάλη ἀνεξικακία ἐκείνου ὁ ὁποῖος ἔπασχεν ὅλα αὐτὰ καὶ πρὸ παντὸς ἡ ἀπερίγραπτος σιωπή Του. Διότι, ἀφοῦ ἔδειξε τὴν ἀνθρωπίνην φύσιν Του μὲ ὅσα ἀπελογήθη καὶ μὲ ὅσα προσηυχήθη, ἐπιδεικνύει πάλιν τὴν ἀνωτερότητα καὶ τὴν μεγαλοφυΐαν Του μὲ τὴν σιωπὴν καὶ μὲ τὴν περιφρόνησιν ὅσων ἐλέγοντο, ὠθῶν αὐτοὺς μὲ ὅλα πρὸς τὸ ἰδικόν Του θαῦμα. Ἀλλὰ εἰς κανένα ἀπὸ αὐτὰ δὲν ὑπεχώρησαν.

3. Διότι, ὅταν μίαν φορὰν κυριευθοῦν οἱ λογισμοὶ ἀπὸ κάποιαν μέθην ἢ ἄτοπον μανίαν, εἶναι δύσκολον νὰ τὴν βαστάσουν ἐὰν δὲν εἶναι ἡ ἁμαρτάνουσα ψυχὴ πολὺ γενναία. Διότι εἶναι κακὸν νὰ παραχωρήσῃς ἔδαφος εἰς τὰ πονηρὰ αὐτὰ πάθη· δι' αὐτὸ πρέπει μὲ κάθε τρόπον νὰ τὰ ἀπομακρύνωμεν καὶ νὰ παρεμποδίζωμεν τὴν εἴσοδόν των. Διότι ὅταν προσβάλουν τὴν ψυχὴν καὶ κυριαρχήσουν, ὅπως ὅταν πίπτῃ φωτιὰ εἰς δάσος, τόσον μεγάλην φλόγα ἀνάβουν.

Δι' αὐτὸ παρακαλῶ νὰ κάνετε τὰ πάντα, ὥστε νὰ ὀχυρώνετε ἐναντίον των τὴν εἴσοδον· οὔτε νὰ παρηγορῆτε τοὺς ἑαυτούς σας μὲ τὸν ψυχρὸν λογισμόν, ὁ ὁποῖος εἰσάγει κατόπιν κάθε πονηρίαν, λέγοντες· τί θὰ γίνῃ μὲ αὐτὸ καὶ τί θὰ γίνῃ μὲ ἐκεῖνο; Διότι τὰ ἄπειρα κακὰ ἀπὸ ἐδῶ γεννῶνται. Διότι ὁ διάβολος, ἐπειδὴ εἶναι ἀχρεῖος, χρησιμοποιεῖ πολλὴν κακουργίαν καὶ δύναμιν καὶ συγκατάβασιν διὰ νὰ ἐπιτύχῃ τὴν ἀπώλειαν τῶν ἀνθρώπων, καὶ ἀρχίζει τὴν προσβολὴν μὲ τὰ μικρά.

Πρόσεξε ὅμως. Ἤθελε νὰ ὁδηγήσῃ τὸν Σαοὺλ εἰς τὴν μωρολογίαν τῆς ἐγγαστριμύθου. Ἀλλὰ ἐὰν ἀπὸ τὴν ἀρχὴν τὸν συνεβούλευεν αὐτό, δὲν θὰ ἔδινε σημασίαν ἐκεῖνος· διότι πῶς θὰ ἐπρόσεχεν αὐτὸς ὁ ὁποῖος ἔδιωχνεν αὐτάς; Διὰ τοῦτο τὸν ὁδηγεῖ ὀλίγον κατ' ὀλίγον. Διότι, ὅταν παρήκουσε τὸν Σαμουὴλ καὶ ἡτοίμασε τὴν προσφορὰν τῆς θυσίας, χωρὶς νὰ ἔχῃ ἔλθει ἐκεῖνος, κατηγορούμενος δι' αὐτό, λέγει· ἡ ἀνάγκη τῶν ἐχθρῶν ἦτο μεγαλυτέρα· καὶ πρέπει νὰ θρηνήσῃ διότι συνεφώνησε χωρὶς νὰ κάμῃ τίποτε[8].

Πάλιν ἐκέλευσε τὰ κατὰ τοὺς Ἀμαληκίτας ὁ Θεός· ὁ δὲ καὶ ταῦτα παρέβη. Ἐντεῦθεν εἰς τὰ κατὰ τὸν Δαυὶδ ἐξέβη τολμήματα, καὶ οὕτως ἠρέμα καὶ κατὰ μικρὸν ὀλισθαίνων οὐκ ἔστη, ἕως εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον ἐλθὼν ἐνέβαλεν ἑαυτόν. Οὕτω καὶ ἐπὶ τοῦ Κάιν· οὐκ εὐθέως παρώρμησεν ἀνελεῖν τὸν ἀδελφόν, ἐπεὶ οὐκ ἂν ἔπεισεν· ἀλλὰ πρῶτον αὐτὸν παρασκευάζει τὰ φαυλότερα προσενεγκεῖν, λέγων· οὐδὲν τοῦτό ἐστιν ἁμάρτημα· δεύτερον, φθόνον καὶ βασκανίαν ἀνῆψεν, οὐδὲν οὐδὲ παρὰ τοῦτο, λέγων· τρίτον, ἀνελεῖν ἔπεισε καὶ ἀρνήσασθαι τὴν μιαιφονίαν· καὶ οὐ πρότερον ἀπέστη, ἕως τὸν κολοφῶνα ἐτέθηκε τῶν κακῶν. Διὸ χρὴ τὰς ἀρχὰς ἀνακρούεσθαι. Μάλιστα μὲν γὰρ εἰ καὶ ἐφ' ἑαυτῶν τὰ πρῶτα ἁμαρτήματα εἱστήκει, οὐδὲ οὕτω καταφρονεῖν ἐχρῆν τῶν πρώτων πλημμελημάτων· νυνὶ δὲ καὶ ἐπὶ μεῖζον ἄνεισιν, ὅταν ἀμελῇ ἡ διάνοια.

Διὸ χρὴ πάντα ποιεῖν, ὥστε τὰς ἀρχὰς αὐτῶν ἀναιρεῖν. Μὴ γὰρ δὴ πρὸς τὴν φύσιν ἴδῃς τοῦ ἁμαρτήματος, ὅτι μικρά, ἀλλ' ὅτι μεγάλου γίνεται ῥίζα ἀμελουμένη. Εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, οὐ τοσαύτης δεῖται σπουδῆς τὰ μεγάλα ἁμαρτήματα, ὡς τὰ μικρὰ καὶ εὐτελῆ. Ἐκεῖνα μὲν γὰρ αὐτὴ ἡ φύσις τῆς ἁμαρτίας ἀποστρέφεσθαι παρασκευάζει· τὰ δὲ μικρὰ αὐτῷ τούτῳ εἰς ῥᾳθυμίαν ἐμβάλλει, καὶ οὐκ ἀφίησι γενναίως διαναστῆναι πρὸς τὴν αὐτῶν ἀναίρεσιν. Διὸ καὶ ταχέως γίνεται μεγάλα, καθευδόντων ἡμῶν.

Τοῦτο καὶ ἐν τοῖς σώμασι συμβαῖνον ἴδοι τις ἄν. Οὕτω καὶ ἐπὶ τοῦ Ἰούδα τὸ μέγα τοῦτο ἐτέχθη κακόν. Εἰ γὰρ μὴ ἔδοξεν αὐτῷ μικρὸν εἶναι τὸ κλέπτειν τῶν πενήτων τὰ χρήματα οὐκ ἂν εἰς ταύτην ἐξηνέχθη τὴν προδοσίαν. Εἰ μὴ

Πάλιν, ὅταν ὁ Θεὸς διέταξε τὰ σχετικὰ μὲ τοὺς Ἀμαληκίτας, ἐκεῖνος καὶ αὐτὰ τὰ παρέβη. Ἐδῶ προέβη εἰς θρασείας ἐνεργείας εἰς βάρος τοῦ Δαυῒδ καὶ ἔτσι, προχωρῶν ὀλίγον κατ' ὀλίγον, δὲν ἐσταμάτησε μέχρις ὅτου τὸν ἔρριψεν εἰς τὸ βάραθρον τῆς ἀπωλείας. Ἔτσι ἔκαμε καὶ εἰς τὴν περίπτωσιν τοῦ Κάϊν· δὲν τὸν προέτρεψεν εὐθέως νὰ φονεύσῃ τὸν ἀδελφόν του, διότι δὲν θὰ τὸν ἔπειθεν· ἀλλὰ εἰς τὴν ἀρχὴν τὸν ὠθεῖ νὰ προσφέρῃ πράγματα ἀσήμαντα, λέγων ὅτι αὐτὸ δὲν εἶναι ἁμαρτία· ἔπειτα τοῦ ἄναψε τὸν φθόνον καὶ τὴν κακὴν ἐπιθυμίαν, λέγων ὅτι καὶ αὐτὸ δὲν εἶναι τίποτε· κατόπιν τὸν ἔπεισε νὰ τὸν φονεύσῃ καὶ νὰ ἀρνηθῇ τὸ ἔγκλημα· καὶ δὲν ἀπεμακρύνθη παρὰ μόνον ἀφοῦ τοῦ ἐπέβαλε καὶ τὸ ἔσχατον σημεῖον τῶν κακῶν.

Δι' αὐτὸ πρέπει νὰ ἀποκρούωμεν τὰς ἀρχάς. Ἰδιαιτέρως μάλιστα ὅταν τὰ πρῶτα ἁμαρτήματα εἶναι ἀνεξάρτητα καθ' ἑαυτά, δὲν πρέπει οὔτε τότε νὰ περιφρονοῦμεν τὰ πρῶτα ἁμαρτήματα· διότι ἔπειτα μᾶς ὠθοῦν εἰς ἀνώτερα, ὅταν ἀδιαφορῇ ἡ διάνοιά μας. Δι' αὐτὸ πρέπει νὰ κάνωμεν τὰ πάντα, ὥστε νὰ ἐξαλείψωμεν τὰς ἀρχάς των. Δὲν πρέπει δὲ νὰ ἐξετάζῃς τὴν φύσιν τοῦ ἁμαρτήματος, ὅτι εἶναι ἀσήμαντος, ἀλλὰ ὅτι παραμελούμενον γίνεται ρίζα μεγάλου κακοῦ. Ἐὰν δὲ ἐπιτρέπεται νὰ εἴπω καὶ κάτι τολμηρόν, δὲν ἔχουν ἀνάγκην ἀπὸ ἐπαγρύπνησιν τόσον τὰ μεγάλα ἁμαρτήματα, ὅσον τὰ μικρὰ καὶ ἀσήμαντα. Διότι ἐκεῖνα μὲν ἡ ἰδία ἡ φύσις τῆς ἁμαρτίας μᾶς κάνει νὰ τὰ ἀποστρεφώμεθα, ἐνῷ τὰ μικρά, ἀκριβῶς ἐπειδὴ εἶναι μικρά, μᾶς ἀφήνουν ἀδιαφόρους καὶ δὲν μᾶς ἐπιτρέπουν νὰ δράσωμεν δυναμικὰ πρὸς ἐκρίζωσίν των. Δι' αὐτὸ καὶ γρήγορα γίνονται μεγάλα, ἐνῷ ἐμεῖς κοιμώμεθα.

Αὐτὸ ἠμπορεῖ νὰ τὸ ἰδῇ κανεὶς νὰ συμβαίνῃ καὶ εἰς τὰ σώματα. Ἔτσι ἐγεννήθη τὸ μεγάλο αὐτὸ κακὸν καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἰούδα. Διότι, ἐὰν δὲν τοῦ ἐφαίνετο ὅτι εἶναι ἀσήμαντον τὸ νὰ κλέπτῃ τὰ χρήματα τῶν πτωχῶν, δὲν θὰ ἔφθανεν εἰς αὐτὴν τὴν προδοσίαν. Ἐὰν δὲν ἐφαίνε-

μικρὸν ἔδοξεν εἶναι τοῖς Ἰουδαίοις τὸ ὑπὸ κενοδοξίας ἁλίσκεσθαι, οὐκ ἂν ἐξώλισθον εἰς τὸ χριστοκτόνοι γενέσθαι. Καὶ πάντα δὲ τὰ κακὰ ἐκ τούτου ἴδοι τις ἂν γινόμενα. Οὐδεὶς γὰρ ταχέως καὶ ἀθρόον ἐπὶ τὴν κακίαν ἐκπηδᾷ. Ἔχει γάρ, ἔχει τινὰ αἰσχύνην ἐγκειμένην ἡμῖν ἡ ψυχή, καὶ τὴν πρὸς τὰ καλὰ αἰδῶ, καὶ ἄθρόον οὐκ ἂν τοσοῦτον ἀναισχυντήσειεν, ὡς ὑφ' ἓν ἅπαντα ῥῖψαι, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἀπόλλυται, ὅταν ἀμελῇ.

Οὕτω καὶ εἰδωλολατρία εἰσῆλθεν, τῶν ἀνθρώπων ὑπὲρ μέτρον τιμωμένων, καὶ τῶν ζώντων καὶ τῶν παρελθόντων· οὕτω καὶ ξόανα προσεκυνήθη· οὕτω καὶ πορνεία ἐκράτησε, καὶ τὰ ἄλλα κακά. Σκόπει δέ. Ἐγέλασέ τις ἀκαίρως· ἐνεκάλεσεν ἕτερος· ἄλλος ἐξέλυσε τὸν φόβον εἰπών, οὐδὲν παρὰ τοῦτο. Τί γάρ ἐστι τὸ γελᾶν; τί γὰρ παρὰ τοῦτο γένοιτ' ἄν; Ἀπὸ τούτου εὐτραπελία ἐτέχθη, ἐντεῦθεν αἰσχρολογία, εἶτα πρᾶξις αἰσχρά.

Πάλιν ἕτερος ἐγκαλούμενος ἐπὶ τῷ διαβάλλειν τὸν πλησίον καὶ λοιδορεῖσθαι καὶ κακηγορεῖν, κατεφρόνησεν εἰπών· οὐδέν ἐστι τὸ κακῶς λέγειν. Ἀπὸ τούτου μῖσος ἔτεκεν ἄφατον, ἔχθραν ἄσπονδον, λοιδορίας ἀπείρους· ἀπὸ τῶν λοιδοριῶν πληγάς· ἀπὸ τῶν πληγῶν φόνον πολλάκις.

4. Ἀπὸ μὲν οὖν τῶν μικρῶν οὕτω τὰ μεγάλα εἰσάγει ὁ πονηρὸς δαίμων ἐκεῖνος· ἀπὸ δὲ τῶν μεγάλων τὸ ἀπογινώσκειν, ἄλλην ταύτην μέθοδον οὐκ ἐλάττονα τῆς προτέρας εὑρών. Οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν, ὡς τὸ ἀπογινώσκειν ἀπόλλυσιν. Ὁ μὲν γὰρ πλημμελήσας, ἂν νήφῃ, ταχέως μετα-

το εἰς τοὺς Ἰουδαίους ὅτι εἶναι ἀσήμαντον τὸ νὰ κυριεύωνται ἀπὸ κενοδοξίαν, δὲν θὰ ἔφθαναν νὰ γίνουν χριστοκτόνοι. Ἀλλὰ καὶ ὅλα τὰ κακὰ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ, ὅτι ἀπὸ αὐτὸ προέρχονται. Διότι κανεὶς δὲν μεταπηδᾷ εἰς τὴν κακίαν ἀπότομα καὶ διὰ μιᾶς. Καὶ αὐτὸ συμβαίνει, διότι ἡ ψυχὴ ἔχει κάποιαν ἐντροπὴν ἡ ὁποία εὑρίσκεται μέσα μας, καὶ κάποιον σεβασμὸν πρὸς τὰ καλά, καὶ δι' αὐτὸ δὲν ἀναισχυντεῖ ξαφνικὰ τόσον πολύ, ὥστε νὰ τὰ ἀπορρίψῃ διὰ μιᾶς ὅλα, ἀλλὰ καταστρέφεται ὀλίγον καὶ κατὰ μικρόν, ὅταν ἀμελῇ.

Ἔτσι ἐπεβλήθη καὶ ἡ εἰδωλολατρία, μὲ τὸ νὰ τιμῶνται ὑπερμέτρως οἱ ἄνθρωποι, τόσον οἱ ζῶντες ὅσον καὶ οἱ ἀποθαμένοι, ἔτσι ἔφθασαν νὰ προσκυνοῦνται καὶ τὰ ξόανα. Ἔτσι ἐπεκράτησε καὶ ἡ πορνεία καὶ ὅλα τὰ ἄλλα κακά. Ἂς ὑποθέσωμεν ὅτι κάποιος ἐγέλασεν ἀκαίρως· ἕνας ἄλλος τοῦ ἔκανε παρατήρησιν, ἐνῷ κάποιος τρίτος διέλυσε τὸν φόβον λέγων, ὅτι δὲν εἶναι κακόν. Διότι τί εἶναι τὸ γέλοιο καὶ τί θὰ ἠμποροῦσε νὰ προέλθῃ ἀπὸ αὐτό; Καὶ ὅμως, ἀπὸ αὐτὸ γεννᾶται ἡ βωμολοχία, ἀπὸ αὐτὴν ἡ αἰσχρολογία καὶ ἔπειτα ἡ αἰσχρὰ πρᾶξις.

Ἄλλος πάλιν, ὁ ὁποῖος κατηγορεῖται ὅτι διαβάλλει τὸν πλησίον καὶ τὸν ὑβρίζει καὶ τὸν κατηγορεῖ, περιφρονεῖ τὴν κατηγορίαν λέγων ὅτι δὲν εἶναι τίποτε νὰ κατηγορῇς κάποιον. Καὶ ὅμως, ἀπὸ αὐτὸ γεννῶνται μῖσος ἀνυπολόγιστον, ἔχθρα ἀδιάλλακτος, ὕβρεις ἄπειροι· ἀπὸ τὰς ὕβρεις κτυπήματα καὶ ἀπὸ τὰ κτυπήματα προέρχεται πολλάκις καὶ φόνος.

4. Ἀπὸ αὐτὰ μὲν λοιπὸν τὰ μικρὰ ὁ πονηρὸς δαίμων μὲ τὸν τρόπον αὐτὸν εἰσάγει τὰ μεγάλα κακά. Ἀπὸ δὲ τὰ μεγάλα ὁδηγεῖ εἰς τὴν ἀπόγνωσιν, ἡ ὁποία εἶναι ἄλλη μέθοδος τὴν ὁποίαν ἐφεῦρε καὶ ἡ ὁποία δὲν εἶναι κατωτέρα τῆς προηγουμένης. Διότι δὲν καταστρέφει τόσον ἡ ἁμαρτία ὅσον ἡ ἀπόγνωσις. Ἐκεῖνος μὲν ποὺ ἡμάρτησεν, ἐὰν ἀνανήψῃ καὶ μετανοήσῃ, γρήγορα ἐπανορθώνει αὐτὸ ποὺ ἔγινεν·

νοήσας διορθοῦται τὸ γεγενημένον· ὁ δὲ ἀπαγορεύσας καὶ μὴ μετανοῶν, διὰ τοῦτο ἐκπίπτει τῆς διορθώσεως ταύτης, οὐκ ἐπιτιθεὶς τὰ ἀπὸ τῆς μετανοίας φάρμακα.

Ἔχει καὶ τρίτην ἐνέδραν χαλεπήν· οἷον ὅταν εὐλαβείας σχῆμα περιθῇ τῷ ἁμαρτήματι. Καὶ ποῦ τοσοῦτον ἴσχυσεν ὁ διάβολος, φησίν, ὥστε μέχρι τούτων ἀπατῆσαι; Ἄκουε, καὶ φυλάττου αὐτοῦ τὰ νοήματα. Προσέταξεν ὁ Χριστὸς διὰ Παύλου γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, καὶ μὴ ἀποστερεῖν ἀλλήλους, εἰ μὴ ἐκ συμφώνου· ἀλλά τινες ἔρωτι δῆθεν ἐγκρατείας ἀποστᾶσαι τῶν ἰδίων ἀνδρῶν, ὡς εὐλαβές τις ποιοῦσαι, ὤθησαν αὐτοὺς ἐπὶ μοιχείαν. Ἐννόησον οὖν ἡλίκον κακόν, πόνον τοσοῦτον ὑπομενούσας, ὡς τὰ μέγιστα ἠδικυίας ἐγκαλεῖσθαι, καὶ τὴν ἐσχάτην τίνειν δίκην, καὶ εἰς βάραθρον ἀπωλείας τοὺς συνοικοῦντας ὠθεῖν.

Ἕτεροι πάλιν νόμῳ νηστείας ἀπεχόμενοι σιτίων, κατὰ μικρὸν προῆλθον ἐπὶ τὸ βδελύττεσθαι ταῦτα· ὃ καὶ αὐτὸ μεγίστην φέρει τὴν κόλασιν. Τοῦτο δὲ γίνεται, ὅταν τινὲς τὰς οἰκείαις προλήψεις παρὰ τὰ ταῖς Γραφαῖς δοκοῦντα κρατύνωσιν. Ἐνόμισαν καὶ οἱ παρὰ Κορινθίοις τελειότητος εἶναι τὸ πάντων ἀδιαφόρως ἀπογεύεσθαι, καὶ τῶν κεκωλυμένων· ἀλλ' ὅμως οὐκ ἦν τελειότητος τοῦτο, ἀλλὰ καὶ ἐσχάτης παρανομίας. Διὰ τοῦτο καὶ σφοδρῶς αὐτοῖς ὁ Παῦλος ἐπιτιμᾷ, καὶ τῆς ἐσχάτης ἔλεγεν ὑπευθύνους εἶναι δίκης.

Ἕτεροι πάλιν εὐλαβείας εἶναι νομίζουσι τὸ κομᾶν τὰς κεφαλάς. Καὶ τουτο δὲ τῶν κεκωλυμένων ἐστί, καὶ πολλὴν ἔχον τὴν αἰσχύνην. Πάλιν ἕτεροι τὸ λυπεῖσθαι ἐπὶ τοῖς ἁ-

---

9. Α΄ Κορ. 7, 10.
10. Α΄ Κορ. 7, 5.
11. Α΄ Κορ. 8, 1-13.
12. Α΄ Κορ. 11, 14.

ἐνῷ ἐκεῖνος ὁ ὁποῖος ἔφθασεν εἰς ἀπόγνωσιν δὲν μετανοεῖ καὶ δι' αὐτὸ στερεῖται αὐτῆς τῆς διορθώσεως, ἀφοῦ δὲν ἐπωφελεῖται τῶν φαρμάκων τῆς μετανοίας.

Χρησιμοποιεῖ ὅμως καὶ τρίτην μέθοδον ἐπικίνδυνον. Εἶναι αὐτὴ κατὰ τὴν ὁποίαν περιβάλλει τὸ ἁμάρτημα μὲ ἔνδυμα εὐσεβείας. Ἀλλὰ θὰ ἐρωτήση κανείς· ἀπὸ ποῦ ἔλαβε τόσην δύναμιν ὁ διάβολος, ὥστε νὰ φθάσῃ μέχρι αὐτοῦ τοῦ σημείου τῆς ἀπάτης; Ἄκουσε καὶ προφυλάξου ἀπὸ τὰς ἐπινοήσεις του. Ὡς γνωστὸν ὁ Χριστὸς ἐπρόσταξε διὰ μέσου τοῦ Παύλου ἡ γυναῖκα νὰ μὴ χωρίζεται ἀπὸ τὸν ἄνδρα της[9] καὶ νὰ μὴ ἀποστερῇ ὁ ἕνας τὸν ἄλλον, ἐκτὸς ἐὰν τὸ κάνουν ἀπὸ συμφώνου[10]. Ὡρισμέναι γυναῖκες ὅμως, μὲ τὸ πρόσχημα δῆθεν τῆς ἐγκρατείας ἀπὸ τὸν ἔρωτα, ἀπεμακρύνθησαν ἀπὸ τοὺς ἄνδρας των, μὲ τὴν ἐντύπωσιν ὅτι κάνουν κάτι τὸ εὐλαβὲς καὶ ἔτσι τοὺς ὤθησαν εἰς τὴν μοιχείαν. Σκέψου λοιπὸν πόσον μεγάλο κακόν· νὰ ὑφίστανται τόσην καταπόνησιν καὶ κατηγορούμεναι ὅτι διέπραξαν μεγίστην ἁμαρτίαν νὰ καταδικάζωνται εἰς τὴν ἐσχάτην τῶν ποινῶν καὶ νὰ ὠθοῦν εἰς τὸ βάραθρον τῆς ἀπωλείας τοὺς συζύγους των.

Ἄλλοι πάλιν ἐφαρμόζοντες τὸν νόμον τῆς νηστείας καὶ ἀπέχοντες ἀπὸ τὰς τροφάς, σιγὰ - σιγὰ ἔφθασαν νὰ τὰς ἀπεχθάνωνται, πρᾶγμα τὸ ὁποῖον καὶ αὐτὸ ἐπιφέρει πολὺ μεγάλην τιμωρίαν. Αὐτὸ δὲ συμβαίνει, ὅταν μερικοὶ θέτουν τὰς προσωπικάς των ἀντιλήψεις ὑπεράνω ἐκείνων τὰ ὁποῖα διαλαμβάνουν αἱ Γραφαί. Καὶ οἱ Κορίνθιοι ἐνόμισαν ὅτι εἶναι δεῖγμα τελειότητος τὸ νὰ τρώγουν ἀδιακρίτως τὰ πάντα, ἀκόμη καὶ ἐκεῖνα ποὺ εἶναι ἀπηγορευμένα[11]· αὐτὸ ὅμως δὲν ἦτο δεῖγμα τελειότητος, ἀλλὰ ἐσχάτης παρανομίας. Δι' αὐτὸ καὶ ὁ Παῦλος τοὺς παρατηρεῖ μὲ σφοδρότητα καὶ τοὺς λέγει ὅτι εἶναι ἔνοχοι αὐστηρᾶς τιμωρίας.

Ἄλλοι πάλιν νομίζουν ὅτι εἶναι δεῖγμα εὐλαβείας νὰ τρέφουν κόμην εἰς τὰς κεφαλάς των[12], ἐνῷ καὶ αὐτὸ εἶναι ἀπὸ τὰ ἀπηγορευμένα καὶ περιέχει πολλὴν αἰσχύνην. Ἄλ-

μαρτήμασιν ἀμέτρως ὡς κερδαλέον διώκουσιν· ἀλλὰ καὶ αὐτὸ μεθοδείας διαβολικῆς, καὶ ἐδήλωσεν ὁ Ἰούδας· ἐντεῦθεν γοῦν καὶ ἀπήγξατο. Διὰ τοῦτο καὶ Παῦλος ὑπὲρ τοῦ πεπορνευκότος ἐδεδοίκει, μή τι τοιοῦτον πάθῃ, καὶ παρῄνει Κορινθίοις ταχέως αὐτὸν ἐξαρπάσαι, «Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος». Εἶτα δεικνὺς ὅτι τὸ τοιοῦτον τῆς ἐνέδρας ἐστὶ τῆς ἐκείνου, φησί· «Μήπως πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν», ὅτι μετὰ δόλου πολλοῦ προσβάλλει, φησίν. Ἐπεὶ εἰ μετὰ παρρησίας καὶ φανερῶς ἐπολέμει, εὔκολος ἦν καὶ ῥᾳδία ἡ νίκη μᾶλλον δὲ καὶ νῦν, ἐὰν νήφωμεν, εὔκολος ἔσται. Καὶ γὰρ πρὸς ἑκάστην τῶν ὁδῶν τούτων καθώπλισεν ἡμᾶς ὁ Θεός.

Πείθων γὰρ μηδὲ τῶν μικρῶν τούτων καταφρονεῖν, ἄκουσον τί παραινεῖ λέγων· «Ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν»· καί, «Ὁ ὀφθαλμοῖς ἀκολάστοις ἰδών, μοιχός ἐστιν ἀπηρτισμένος». Καὶ τοὺς γελῶντας ταλανίζει, καὶ πανταχοῦ τὰς ἀρχὰς καὶ τὰ σπέρματα ἀναιρεῖ τῶν κακῶν, καὶ περὶ ἀργοῦ ῥήματός φησι διδόναι λόγον. Διὰ τοῦτο καὶ ὁ Ἰὼβ καὶ τὰς ἐννοίας τῶν παίδων ἐθεράπευεν.

Ὑπὲρ δὲ τοῦ μὴ ἀπογινώσκειν φησί, «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;»· καὶ πάλιν· «Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν»· καί, «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε». Καὶ πολλὰ ἕτερα τοιαῦτα καὶ ῥήματα καὶ παραδείγματα κεῖται ἐν τῇ Γραφῇ. Πρὸς δὲ τὸ σχήματι εὐλα-

---

13. Β' Κορ. 2, 7-8.
14. Β' Κορ. 2, 11.
15. Ματθ. 5, 22.
16. Ματθ. 5, 28.
17. Ἰὼβ 1, 5.
18. Ἱερ. 8, 4.
19. Ἰεζ. 18, 23.
20. Ψαλμ. 94, 8.

λοι πάλιν ἐπιδιώκουν ὡς πολὺ ὠφέλιμον τὸ νὰ λυποῦνται ὑπέρμετρα διὰ τὰ ἁμαρτήματά των· ἐνῷ καὶ αὐτὸ εἶναι διαβολικῆς ἐπινοήσεως, τὸ ἔδειξε δὲ ὁ Ἰούδας, ὁ ὁποῖος ἐξ αἰτίας αὐτοῦ καὶ ἀπηγχονίσθη. Δι' αὐτὸ καὶ ὁ Παῦλος δι' ἐκεῖνον ὁ ὁποῖος εἶχε πορνεύσει ἐφοβεῖτο μήπως πάθη τίποτε τέτοιο καὶ παραινοῦσε τοὺς Κορινθίους νὰ τὸν ἀποσπάσουν γρήγορα ἀπὸ τὴν λύπην «Μήπως κυριευθῇ ἀπὸ ὑπερβολικὴν λύπην ἕνας τέτοιος ἄνθρωπος»[13]. Ἔπειτα διὰ νὰ δείξῃ ὅτι αὐτὸ εἶναι μέθοδος τοῦ διαβόλου λέγει· «Μήπως καὶ νικηθῶμεν ἀπὸ τὸν σατανᾶν· διότι δὲν ἀγνοοῦμεν τὰ σχέδιά του»[14], ὅτι δηλαδὴ ἐπιτίθεται μὲ πολὺν δόλον. Καὶ ἐπιτίθεται μὲ δόλον, διότι ἐὰν μᾶς ἐπολεμοῦσε μὲ παρρησίαν καὶ φανερά, θὰ μᾶς ἦτο εὔκολος καὶ εὐχερὴς ἡ νίκη του· μᾶλλον καὶ τώρα, ἐὰν εἴμεθα νηφάλιοι, θὰ γίνῃ εὔκολος, ἀφοῦ πρὸς κάθε μίαν ἀπὸ τὰς κατευθύνσεις αὐτὰς μᾶς ὥπλισε καταλλήλως ὁ Θεός.

Διότι θέλων νὰ μᾶς πείσῃ νὰ μὴ περιφρονοῦμεν τὰ μικρὰ αὐτά, ἄκου τί μᾶς παραινεῖ· «Ἐκεῖνος ποὺ θὰ εἰπῇ τὸν ἀδελφόν του, 'μωρέ', πρέπει νὰ παραδοθῇ εἰς τὴν γέενναν τοῦ πυρός»[15], καί· «Ἐκεῖνος ποὺ βλέπει μὲ ὀφθαλμοὺς ἀκολάστους εἶναι σωστὸς μοιχός»[16]. Ἐπίσης ἐλεεινολογεῖ καὶ ἐκείνους οἱ ὁποῖοι γελοῦν, καὶ εἰς ὅλας τὰς περιπτώσεις προσπαθεῖ νὰ κόψῃ τὰς ρίζας τῶν κακῶν, καὶ λέγει ὅτι θὰ δώσωμεν λόγον ἀκόμη καὶ διὰ κάθε ἀπρόσεκτον λόγον μας. Δι' αὐτὸ καὶ ὁ Ἰὼβ διώρθωνε καὶ τὰς σκέψεις τῶν παιδιῶν του[17].

Διὰ νὰ μὴ ἀπογοητευώμεθα δὲ λέγει «Μήπως ἐκεῖνος ποὺ πέφτει δὲν σηκώνεται; ἢ ἐκεῖνος ποὺ φεύγει δὲν ἐπιστρέφει;»[18]. Καὶ ἀλλοῦ πάλιν· «Δὲν θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, μέχρι νὰ ἐπιστρέψῃ καὶ νὰ ζήσῃ»[19], καί· «Σήμερα, ἐὰν ἀκούσετε τὴν φωνήν Του»[20]. Καὶ πολλὰ ἄλλα παρόμοια λόγια καὶ παραδείγματα εὑρίσκονται εἰς τὴν Γραφήν. Διὰ νὰ μὴ παρασυρώμεθα δὲ εἰς τὴν ἀπώλειαν μὲ τὸ πρόσχη-

βείας μὴ ἀπόλλυσθαι, ἄκουσον Παύλου λέγοντος· «Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος».

Ταῦτ' οὖν εἰδότες, πάσαις ἐπιτειχίζωμεν ταῖς ὁδοῖς ταῖς παρατρεπούσαις τοὺς ῥαθύμους τὴν ἀπὸ τῶν Γραφῶν σύνεσιν. Μηδὲ λέγε· τί γάρ ἐστιν, ἐὰν ἴδω γυναῖκα καλὴν περιέργως; Ἂν γὰρ τὴν ἐν καρδίᾳ μοιχείαν ἐργάσῃ, ταχέως καὶ τὴν ἐν σαρκὶ τολμήσεις. Μὴ εἴπῃς· τί γάρ ἐστι, ἐὰν τὸν πένητα τοῦτον παραδράμω; Ἂν γὰρ τοῦτον παρέλθῃς, καὶ τὸν ἕτερον· ἂν ἐκεῖνον, καὶ τὸν ἄλλον. Μηδ' αὖ πάλιν· Τί γάρ, ἐὰν ἐπιθυμήσω τῶν τοῦ πλησίον; Τοῦτο γάρ, τοῦτο ἐποίησεν τὸν Ἀχαὰβ ἀπολέσθαι, καίτοι τιμὴν κατέβαλεν, ἀλλὰ παρὰ ἄκοντος ἔλαβεν. Οὐ γὰρ βιαζόμενον δεῖ ὠνεῖσθαι, ἀλλὰ πείθοντα. Εἰ δὲ ὁ τὴν προσήκουσαν τιμὴν καταβαλών, οὕτως ἐκολάζετο, ἐπειδὴ παρὰ ἄκοντος ἔλαβεν· ὁ μηδὲ τοῦτο ποιῶν, καὶ παρὰ ἄκοντος ἁρπάζων, καὶ ταῦτα ἐν τῇ χάριτι πολιτευόμενος, τίνος οὐκ ἔσται κολάσεως ἄξιος;

Ἵν' οὖν μὴ κολαζώμεθα, βίας ἁπάσης καὶ ἁρπαγῆς ἑαυτοὺς καθαροὺς διατηροῦντες, καὶ μετὰ τῶν ἁμαρτημάτων καὶ τὰς ἀρχὰς αὐτῶν φυλαττόμενοι, μετὰ πολλῆς τῆς σπουδῆς ἐπιμελώμεθα ἀρετῆς· οὕτω γὰρ καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

21. Β' Κορ. 2, 7.
22. Γ' Βασιλ. 21, 1ἑ.

μα τῆς εὐσεβείας, ἄκουσε τὸν Παῦλον ὁ ὁποῖος λέγει· «Μήπως κυριευθῆ ἀπὸ ὑπερβολικὴν λύπην ἕνας τέτοιος ἄνθρωπος»[21].

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς ὀχυρώνωμεν ὅλας τὰς ὁδούς, αἱ ὁποῖαι κάμνουν τοὺς ραθύμους νὰ παρεκτρέπωνται, μὲ τὴν φρόνησιν τῶν Γραφῶν. Οὔτε νὰ λέγῃς· Τί θὰ γίνῃ ἐὰν ἰδῶ μὲ περιέργειαν μίαν ὡραίαν γυναῖκα; Διότι ἐὰν κάμῃς τὴν μοιχείαν τὴν ἐνδόμυχον, γρήγορα θὰ ἀποτολμήσῃς καὶ τὴν μοιχείαν τὴν σαρκικήν. Νὰ μὴ εἰπῇς· Τί θὰ γίνῃ ἐὰν προσπεράσω αὐτὸν τὸν πτωχόν; Διότι ἐὰν προσπεράσῃς αὐτόν, τὸ ἴδιον θὰ κάμῃς καὶ εἰς τὸν ἄλλον· ἂν παραβλέψῃς ἐκεῖνον, θὰ παραβλέψῃς καὶ τὸν ἄλλον. Οὔτε πάλιν νὰ εἰπῇς· Τί θὰ γίνῃ ἐὰν ἐπιθυμήσω αὐτὰ ποὺ ἔχει ὁ πλησίον μου; Διότι αὐτὸ ἀκριβῶς ἔκαμε τὸν Ἀχαὰβ νὰ καταστραφῇ, ἂν καὶ κατέβαλε τίμημα, ἐπειδὴ ἔλαβε παρὰ τὴν θέλησιν τοῦ ἄλλου[22]. Διότι δὲν πρέπει νὰ ἀγοράζωμεν χρησιμοποιοῦντες βίαν, ἀλλὰ μὲ πειθώ. Ἐὰν δὲ ἐκεῖνος ὁ ὁποῖος ἐπλήρωσε τὴν ἀντίστοιχον τιμὴν ἐτιμωρήθη τόσον πολύ, ἐπειδὴ ἐπῆρεν ἀγρὸν παρὰ τὴν θέλησιν τοῦ ἄλλου, ποίας τιμωρίας δὲν θὰ εἶναι ἄξιος ἐκεῖνος ὁ ὁποῖος δὲν κάμνει οὔτε αὐτό, ἀλλὰ ἁρπάζει παρὰ τὴν θέλησιν τοῦ ἄλλου καὶ μάλιστα ἐνῷ ζῇ εἰς τὴν περίοδον τῆς χάριτος;

Διὰ νὰ μὴ τιμωρούμεθα λοιπόν, διατηροῦντες τοὺς ἑαυτούς μας καθαροὺς ἀπὸ κάθε βίαν καὶ ἁρπαγὴν καὶ προφυλασσόμενοι τόσον ἀπὸ τὰς ἁμαρτίας ὅσον καὶ ἀπὸ τὰς αἰτίας αὐτῶν, ἂς καλλιεργοῦμεν τὴν ἀρετὴν μὲ κάθε προσπάθειαν· διότι ἔτσι μόνον θὰ ἀπολαύσωμεν καὶ τὰ αἰώνια ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΖ΄.

Ματθ. 27, 24-44

«Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτόν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην· καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ. Καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ λέγοντες· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων».

1. Ὥσπερ ἔκ τινος συνθήματος ὁ διάβολος εἰς πάντας τότε ἐχόρευεν. Ἔστω γάρ, Ἰουδαῖοι φθόνῳ καὶ βασκανίᾳ τηκόμενοι ἐπαροίνουν εἰς αὐτόν· οἱ στρατιῶται πόθεν καὶ ἐκ ποίας αἰτίας; Οὐκ εὔδηλον ὅτι ὁ διάβολος ἦν ὁ τότε βακχεύων εἰς πάντας; Καὶ γὰρ τέρψεις ἐποίουν τὰς εἰς αὐτὸν ὕβρεις, ὠμοὶ καὶ ἀνήμεροί τινες ὄντες. Δέον γὰρ συσταλῆναι, δέον δακρῦσαι, ὅπερ καὶ ὁ δῆμος ἔπασχε, τοῦτο μὲν οὐκ ἐποίουν, τοὐναντίον δέ, ὕβριζον καὶ ἐνήλλοντο, ἴσως καὶ αὐτοὶ χαριζόμενοι τοῖς Ἰουδαίοις, ἢ καὶ κατ᾽ οἰκείαν δυστροπίαν ἅπαντα πράττοντες. Καὶ αἱ ὕβρεις διάφοροι καὶ ποικίλαι. Τὴν γὰρ θείαν κεφαλὴν ἐκείνην ποτὲ μὲν ἐκολάφιζον, ποτὲ δὲ τῷ στεφάνῳ τῶν ἀκανθῶν καθύβριζον, ποτὲ δὲ τῷ καλάμῳ ἔτυπτον, ἄνδρες μιαροὶ καὶ ἐναγεῖς.

Τίς ἡμῖν ἔσται λόγος λοιπὸν ἐπὶ ὕβρεσι κινουμένοις, μετὰ τὸ τὸν Χριστὸν ταῦτα παθεῖν; Καὶ γὰρ ἔσχατος ὅρος ὕβρεως τὸ γινόμενον ἦν. Οὐδὲ γὰρ μέλος ἕν, ἀλλ᾽ ἅπαν τὸ σῶμα ὅλον διόλου ὑβρίζετο· ἡ κεφαλὴ διὰ τοῦ στεφάνου καὶ τοῦ καλάμου καὶ τοῦ κολαφίζεσθαι· τὸ πρόσωπον ἐμπτυόμε-

ΟΜΙΛΙΑ ΠΖ΄.

Ματθ. 27, 24-44

«Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος, ἀφοῦ παρέλαβαν τὸν Ἰησοῦν εἰς τὸ δικαστήριον, συνεκέντρωσαν γύρω Του ὅλην τὴν φρουράν· καὶ ἀφοῦ τὸν ἔγδυσαν, τοῦ ἐφόρεσαν ἕνα κόκκινον μανδύαν· καὶ ἀφοῦ ἔπλεξαν στεφάνι ἀπὸ ἀγκάθια τὸ ἔβαλαν ἐπάνω εἰς τὸ κεφάλι Του, καὶ ἕνα καλάμι εἰς τὸ δεξιόν Του χέρι. Καὶ ἀφοῦ ἐγονάτιζαν ἐμπρός Του τὸν εἰρωνεύοντο καὶ τοῦ ἔλεγαν· χαῖρε, ὦ βασιλεῦ τῶν Ἰουδαίων».

1. Ὡσὰν ἀπὸ κάποιο σύνθημα ἐχόρευεν εἰς ὅλους ὁ διάβολος. Διότι ἔστω, οἱ Ἰουδαῖοι κατακυριευμένοι ἀπὸ φθόνον καὶ κακεντρέχειαν ἐφέροντο πρὸς αὐτὸν μὲ ἀπρέπειαν καὶ βιαιότητα. Οἱ στρατιῶται ὅμως ἀπὸ ποῦ καὶ διὰ ποίαν αἰτίαν; Δὲν εἶναι ὁλοφάνερον ὅτι τότε ὁ διάβολος ἦτο ἐκεῖνος ὁ ὁποῖος εἶχεν ἐμβάλει εἰς ὅλους τὴν βακχικὴν μανίαν; Δι' αὐτὸ καὶ διεσκέδαζαν μὲ τὰς ὕβρεις ποὺ τοῦ ἀπηύθυναν οἱ ἄγριοι καὶ ἀπάνθρωποι. Διότι ἔπρεπε νὰ ἐντραποῦν, ἔπρεπε νὰ δακρύσουν, ὅπως ἔκανε τὸ πλῆθος, ἐνῷ αὐτοὶ ὄχι μόνον αὐτὸ δὲν ἔκαναν, ἀλλὰ ἀντιθέτως, ὕβριζαν καὶ ἐχοροπηδοῦσαν, ἴσως διὰ νὰ εὐχαριστήσουν τοὺς Ἰουδαίους, ἢ προβαίνοντες εἰς ὅλα αὐτὰ ἀπὸ τὸν ἰδικόν τους κακότροπον χαρακτῆρα. Καὶ αἱ ὕβρεις των ἦσαν πολλαὶ καὶ διάφοροι. Διότι ἄλλοτε μὲν ἐξηυτέλιζαν τὴν θεϊκὴν ἐκείνην κεφαλήν, ἄλλοτε τὴν μετεχειρίζοντο ὑβριστικῶς μὲ τὸν ἀκάνθινον στέφανον, ἄλλοτε τὴν ἐκτυποῦσαν μὲ τὸ καλάμι, ἄνδρες ἀχρεῖοι καὶ δολοφόνοι.

Ποῖον λόγον λοιπὸν ἠμποροῦμεν νὰ κάνωμεν ἡμεῖς ὅταν ὁδηγούμεθα εἰς ἐξευτελισμούς, ὕστερα ἀπὸ αὐτὰ ποὺ ὑπέστη ὁ Χριστός; Διότι αὐτὸ ποὺ ἔγινεν ἦτο τὸ ἔσχατον ὅριον ἐξευτελισμοῦ. Δὲν ἐξηυτελίζετο, βλέπετε, ἕνα μέλος, ἀλλὰ ὁλόκληρον τὸ σῶμα καὶ καθ' ὁλοκληρίαν· ἡ κεφαλὴ μὲ τὸ στεφάνι, τὸ καλάμι καὶ τοὺς κολαφισμούς· τὸ πρόσω-

νον· αἱ σιαγόνες ῥαπιζόμεναι· τὸ σῶμα ὅλον διὰ τῶν μαστίγων, διὰ τῆς περιβολῆς τῆς χλανίδος, καὶ τῆς προσποιητῆς προσκυνήσεως· ἡ χεὶρ διὰ τοῦ καλάμου, ὃν ἔδωκαν ἀντὶ σκήπτρου κατέχειν αὐτόν· τὸ στόμα πάλιν διὰ τῆς τοῦ ὄξους προσκομιδῆς.

Τί τούτων γένοιτ' ἂν χαλεπώτερον; τί ὑβριστικώτερον; Πάντα γὰρ λόγον ὑπερβαίνει τὰ γεγενημένα. Καθάπερ γὰρ δεδοικότες, μὴ δόξωσιν ἐλλιμπάνειν τι τοῦ τολμήματος, τοὺς μὲν προφήτας οἰκείαις ἀνελόντες χερσί, τοῦτον δὲ ψήφῳ δικαστοῦ, οὕτως ἅπαντα πράττουσι· καὶ αὐτόχειρες γίνονται, καὶ κατακρίνουσι, καὶ παρ' ἑαυτοῖς καταδικάζουσι καὶ παρὰ τῷ Πιλάτῳ, λέγοντες, «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν»[1]· καὶ ἐνάλλονται καὶ ὑβρίζουσι δι' ἑαυτῶν, δεσμοῦντες, ἀπάγοντες, καὶ τῶν ὕβρεων τῶν ὑπὸ τῶν στρατιωτῶν αἴτιοι καθίστανται· καὶ προσηλοῦσι, καὶ λοιδοροῦνται, καὶ ἐμπτύουσι, καὶ κωμῳδοῦσιν. Οὐδὲν γὰρ ἐνταῦθα ὁ Πιλᾶτος εἰσήνεγκεν, ἀλλὰ πάντα αὐτοὶ ἐποίουν, καὶ κατήγοροι, καὶ δικασταί, καὶ δήμιοι, καὶ πάντα γινόμενοι.

Καὶ ταῦτα ἀναγινώσκεται παρ' ἡμῖν, ὅταν πάντες συνέρχωνται. Ἵνα γὰρ μὴ λέγωσιν Ἕλληνες, ὅτι τὰ μὲν λαμπρὰ καὶ περιφανῆ, οἷον τὰ σημεῖα καὶ τὰ θαύματα, ἐπιδείκνυσθε τοῖς δήμοις καὶ τοῖς λαοῖς, τὰ δὲ ἐπονείδιστα ταῦτα ἀποκρύπτεσθε· ᾠκονόμησεν ἡ τοῦ πνεύματος χάρις, ἐν πανδήμῳ ἑορτῇ, ὅταν ἄνδρες παμπληθεὶ καὶ γυναῖκες παρῶσι, καὶ πάντες ἁπλῶς κατὰ τὴν μεγάλην τοῦ Πάσχα ἑσπέραν, τότε ταῦτα πάντα ἀναγινώσκεσθε· ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ, τότε λαμπρᾷ ταῦτα ἀνακηρύττεται τῇ φωνῇ. Καὶ τούτων ἀναγινωσκομένων καὶ πᾶσι γνωριζομένων, ὁ Χριστὸς πιστεύεται εἶναι Θεός· καὶ μετὰ τῶν ἄλλων καὶ διὰ ταῦτα προσκυνεῖται, ὅτι τοσοῦτον ὑπὲρ ἡμῶν καταβῆναι κατηξίωσεν, ὡς

1. Ματθ. 27, 25.

πον τὸ ὁποῖον ὑφίστατο ἐμπτύσματα· οἱ σιαγόνες αἱ ὁποῖαι ἐρραπίζοντο· ὁλόκληρον τὸ σῶμα μὲ τὰς μαστιγώσεις, μὲ τὴν ἔνδυσιν τῆς χλαμίδος καὶ μὲ τὴν προσποιητὴν προσκύνησιν· τὸ χέρι μὲ τὸ καλάμι, τὸ ὁποῖον ἔδωσαν νὰ κρατῇ ἀντὶ σκήπτρου· τὸ στόμα πάλιν μὲ τὴν προσφορὰν τοῦ ὄξους.

Τί θὰ ἠμποροῦσε νὰ ἀποδειχθῇ φοβερώτερον ἀπὸ αὐτά; Τί περισσότερον ταπεινωτικόν; Διότι αὐτὰ ποὺ ἔχουν γίνει ὑπερβαίνουν κάθε περιγραφήν. Ἔκαναν τὰ πάντα ὡσὰν νὰ ἐφοβοῦντο μήπως δώσουν τὴν ἐντύπωσιν ὅτι παραλείπουν κάτι ἀπὸ τὴν παράτολμον πρᾶξιν των, ἀφοῦ ἐφόνευσαν τοὺς μὲν προφήτας μὲ τὰ ἴδια τους τὰ χέρια, Αὐτὸν δὲ μὲ δικαστικὴν ἀπόφασιν· γίνονται φονεῖς καὶ ἐκδίδουν καταδικαστικὴν ἀπόφασιν καὶ ἀπὸ τὸν ἑαυτόν τους καὶ ἀπὸ τὸν Πιλᾶτον, λέγοντες, «Τὸ αἷμά Του ἂς βαρύνῃ ἐμᾶς καὶ τὰ παιδιά μας»[1], καὶ χοροπηδοῦν καὶ φέρονται ὑβριστικὰ οἱ ἴδιοι δένοντες καὶ ἀδηγοῦντες τὸν Ἰησοῦν· καὶ γίνονται αἴτιοι τῶν ὕβρεων τῶν στρατιωτῶν· καὶ τὸν καρφώνουν εἰς τὸν σταυρὸν καὶ βλασφημοῦν καὶ φτύνουν καὶ διακωμῳδοῦν. Διότι τίποτε δὲν προσέφερεν ἐδῶ ὁ Πιλᾶτος, ἀλλὰ ὅλα τὰ ἔκαναν αὐτοί. Ἔγιναν καὶ κατήγοροι καὶ δικασταὶ καὶ δήμιοι καὶ ὅλα.

Καὶ αὐτὰ ἀναγινώσκονται ἀπὸ ἡμᾶς ὅταν εἶναι ὅλοι συγκεντρωμένοι. Διότι διὰ νὰ μὴ λέγουν οἱ ἐθνικοί, ὅτι τὰ μὲν ὡραῖα καὶ ἐξαίρετα, ὅπως εἶναι τὰ σημεῖα καὶ τὰ θαύματα, τὰ ἐπιδεικνύομεν εἰς τὰ πλήθη καὶ τοὺς λαούς, αὐτὰ δὲ τὰ ὑβριστικὰ τὰ ἀποκρύπτομεν, ἐκανόνισεν ἡ χάρις τοῦ Πνεύματος νὰ ἀναγινώσκωνται ὅλα αὐτὰ εἰς πάνδημον ἑορτήν, ὅταν εἶναι παρόντες μεγάλο πλῆθος ἀνδρῶν καὶ γυναικῶν καὶ γενικῶς ὅλοι κατὰ τὴν μεγάλην νύκτα τοῦ Πάσχα. Ὅταν εἶναι παροῦσα ὁλόκληρος ἡ οἰκουμένη, τότε αὐτὰ διακηρύσσονται μὲ δυνατὴν φωνήν. Καὶ μολονότι αὐτὰ ἀναγινώσκονται καὶ γίνονται εἰς ὅλους γνωστά, ὁ Χριστὸς πιστεύεται ὅτι εἶναι Θεὸς καὶ μαζὶ μὲ ὅλα τὰ ἄλλα προσκυνεῖται καὶ δι' αὐτά, ἐπειδὴ κατεδέχθη νὰ ταπεινωθῇ τόσον

καὶ ταῦτα παθεῖν, καὶ παιδεῦσαι πᾶσαν ἡμᾶς ἀρετήν.

Ταῦτα τοίνυν διαπαντὸς ἀναγινώσκωμεν· καὶ γὰρ πολὺ τὸ κέρδος, μεγίστη ἐντεῦθεν ἡ ὠφέλεια. Ὅταν γὰρ ἴδῃς καὶ σχήμασι καὶ πράγμασιν αὐτὸν χλευαζόμενον, καὶ προσκυνούμενον μετὰ τοσαύτης κωμῳδίας, καὶ κονδυλιζόμενον, καὶ τὰ ἔσχατα πάσχοντα κἂν αὐτόλινθος ᾖς, κηροῦ γενήσῃ παντὸς ἁπαλώτερος, καὶ πᾶσαν ἐκβαλεῖς ἀπὸ τῆς ψυχῆς φλεγμονήν.

Ἄκουε τοίνυν καὶ τῶν ἑξῆς. Ἐπειδὴ γὰρ ἐνέπαιξαν, «Ἤγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι», φησί, καὶ γυμνώσαντες ἔλαβον αὐτοῦ τὰ ἱμάτια, καὶ καθήμενοι ἐτήρουν αὐτόν, πότε ἀποπνεύσει. Καὶ διανέμονται αὐτοῦ τὰ ἱμάτια· ὅπερ ἐπὶ τῶν σφόδρα εὐτελῶν καὶ ἀπερριμμένων γίνεται καταδίκων καὶ οὐδένα ἐχόντων, καὶ ἐπ' ἐρημίας ὑπαρχόντων ἁπάσης. Ἐμέριζον τὰ ἱμάτια, δι' ὧν τηλικαῦτα γέγονε θαύματα. Ἀλλ' οὐδὲν ἐνήργει τότε, τοῦ Χριστοῦ κατέχοντος τὴν ἀπόρρητον δύναμιν. Οὐ μικρὰ δὲ καὶ αὕτη προσθήκη παροινίας ἦν. Ὡς γὰρ εἰς ἄτιμον καὶ ἀπερριμμένον, ὅπερ ἔφην, καὶ τὸν πάντων εὐτελέστατον, οὕτω πάντα ἐτόλμων. Εἰς γοῦν τοὺς λῃστὰς οὐδὲν τοιοῦτον εἰργάσαντο, ἀλλ' εἰς τὸν Χριστὸν ἅπαντα ἐτόλμων. Καὶ μέσον αὐτὸν ἐσταύρωσαν, ἵνα τῇ δόξῃ τῇ ἐκείνων κοινωνήσῃ.

«Καὶ ἔδωκαν αὐτῷ ὄξος πιεῖν», καὶ τοῦτο ἐνυβρίζοντες· ὁ δὲ οὐκ ἠθέλησεν. Ἕτερος δέ φησιν, ὅτι γευσάμενος εἶπε, «Τετέλεσται». Τί δέ ἐστι, «Τετέλεσται»; Ἡ προφητεία πεπλήρωται ἡ περὶ αὐτοῦ. «Ἔδωκαν» γάρ φησίν «εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος». Οὐδὲ ἐκεῖνος δὲ δείκνυσιν ὅτι ἔπιεν· οὐδὲν γὰρ διέστηκε τὸ ἁπλῶς γεύσασθαι τοῦ μὴ πιεῖν, ἀλλ' ἕν τι καὶ τὸ αὐτὸ δηλοῖ.

Ἀλλ' ὅμως οὐδὲ ἐνταῦθα ἵσταται τὰ τῆς παροινίας, ἀλλὰ

2. Ἰω. 19, 30.
3. Ψαλμ. 68, 22.

πολὺ πρὸς χάριν μας, ὥστε νὰ ὑποστῇ καὶ αὐτά, διὰ νὰ μᾶς διδάξῃ ὅλην τὴν ἀρετήν.

Αὐτὰ λοιπὸν τὰ ἀναγινώσκομεν πάντοτε, διότι εἶναι πολὺ τὸ κέρδος καὶ μεγάλη ἡ ὠφέλεια ἀπὸ αὐτά. Διότι ὅταν τὸν βλέπῃς νὰ περιπαίζεται καὶ μὲ χειρονομίας καὶ μὲ πράξεις καὶ νὰ προσκυνῆται μὲ τόσην γελοιοποίησιν καὶ νὰ ραπίζεται καὶ νὰ ὑφίσταται τὰ χείριστα, καὶ μονόλιθος ἐὰν εἶσαι, θὰ γίνῃς πιὸ μαλακὸς ἀπὸ κάθε κερὶ καὶ θὰ βγάλῃς ἀπὸ τὴν ψυχὴν κάθε ἐρεθισμόν.

Ἄκου λοιπὸν καὶ τὰ παρακάτω. Ὅταν τὸν ἐνέπαιξαν, «τὸν ὡδήγησαν διὰ νὰ τὸν σταυρώσουν», λέγει, καὶ ἀφοῦ τὸν ἐγύμνωσαν ἐπῆραν τὰ ἐνδύματά του καὶ ἐκάθισαν περιμένοντες πότε θὰ ἐκπνεύσῃ. Καὶ μοιράζονται τὰ ἐνδύματά του, πρᾶγμα τὸ ὁποῖον γίνεται εἰς τοὺς πολὺ εὐτελεῖς καὶ ἐγκαταλελειμμένους καταδίκους, οἱ ὁποῖοι δὲν ἔχουν κανένα καὶ ζοῦν τελείως ἔρημοι. Ἐμοίραζαν τὰ ἐνδύματα μὲ τὰ ὁποῖα τόσον μεγάλα θαύματα εἶχαν γίνει. Ἀλλὰ τίποτε δὲν ἔκανε τότε, ἂν καὶ ὁ Χριστὸς κατεῖχε τὴν μυστικὴν δύναμιν. Δὲν ἦταν δὲ καὶ αὐτὸ μικρὸν δεῖγμα μέθης. Διότι ἀποτολμοῦσαν τὰ πάντα ὡσὰν νὰ ἐπρόκειτο περὶ ἀτίμου καὶ ἐγκαταλελειμμένου, ὅπως εἶπα, καὶ τοῦ πλέον εὐτελοῦς. Εἰς τοὺς λῃστὰς λοιπὸν τίποτε τέτοιο δὲν ἔκαναν, ἐνῷ εἰς τὸν Χριστὸν τὰ ἀπετόλμησαν ὅλα. Καὶ τὸν ἐσταύρωσαν ἀνάμεσα εἰς αὐτούς, διὰ νὰ συνδεθῇ μὲ τὴν φήμην ἐκείνων.

«Καὶ τοῦ ἔδωσαν νὰ πίῃ ὄξος», καὶ αὐτὸ διὰ νὰ τὸν περιπαίξουν· ἐκεῖνος ὅμως δὲν τὸ ἠθέλησεν. Ἄλλος δὲ εὐαγγελιστὴς λέγει ὅτι ἀφοῦ τὸ ἐγεύθη εἶπε, «τετέλεσται»[2]. Τί σημαίνει δὲ «τετέλεσται»; Ὅτι ἐξεπληρώθη ἡ περὶ αὐτοῦ προφητεία, ἡ ὁποία λέγει· «Μοῦ ἔδωσαν νὰ φάγω χολὴν καὶ ὅταν ἐδίψασα μὲ ἐπότισαν μὲ ὄξος»[3]. Οὔτε αὐτὸς ὅμως ὁ εὐαγγελιστὴς δείχνει ὅτι ἔπιε· διότι δὲν διαφέρει εἰς τίποτε τὸ ὅτι ἁπλῶς ἐγεύθη ἀπὸ τὸ ὅτι δὲν ἔπιεν, ἀλλὰ σημαίνει ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα.

Ἀλλ' ὅμως οὔτε ἐδῶ δὲν σταματοῦν αἱ παρανοϊκαὶ

καὶ γυμνώσαντες, καὶ σταυρώσαντες, καὶ ὄξος προσενεγκόντες περαιτέρω προβαίνουσι· καὶ ἐπὶ τοῦ σταυροῦ βλέποντες ἀνεσκολοπισμένον, ὀνειδίζουσι καὶ αὐτοὶ καὶ οἱ παραπορευόμενοι· ἃ πάντων χαλεπώτερα ἦν, τὸ καὶ ἐπὶ αἰτίᾳ ἀπατεῶνος καὶ πλάνου ταῦτα παθεῖν, καὶ ὡς ἀλαζόνα, καὶ εἰκῇ κομπάζοντα ἅπερ ἔλεγε. Διὰ ταῦτα αὐτὸν καὶ ἐσταύρωσαν δημοσίᾳ ἵνα πάντων ὁρώντων ἐκπομπεύσωσι· διὰ τοῦτο καὶ χερσὶ ταῖς στρατιωτικαῖς, ἵνα καὶ ἐν δημοσίῳ δικαστηρίῳ τούτων τολμωμένων, τὰ τῆς παροινίας ἐπιτείνηται.

2. Καίτοι τίνα οὐκ ἂν ἔκαμψεν ὁ ὄχλος ὁ ἀκολουθῶν αὐτῷ καὶ θρηνῶν; Ἀλλ' οὐχὶ τοὺς θῆρας τούτους. Διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐκείνους μὲν ἀνακρίσεως ἀξιοῖ, τούτους δὲ οὐκέτι. Μετὰ γὰρ τὸ πρᾶξαι ἅπερ ἤθελον, καὶ τὴν δόξαν αὐτοῦ σπουδάζουσι λυμήνασθαι, δεδοικότες αὐτοῦ τὴν ἀνάστασιν. Διὰ τοῦτο δημοσίᾳ ταῦτα λέγουσι, καὶ λῃστὰς συνεσταύρωσαν, καὶ βουλόμενοι δεῖξαι ἀπατεῶνα, ἔλεγον· «Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, κατάβηθι ἀπὸ τοῦ σταυροῦ». Ἐπειδὴ γὰρ εἰπόντες τῷ Πιλάτῳ ἀνελεῖν τὴν αἰτίαν (αὕτη δὲ ἦν τὸ γεγράφθαι, «Ὁ βασιλεὺς τῶν Ἰουδαίων»), οὐδὲν ἴσχυσαν, ἀλλ' ἐνεστήκει λέγων ἐκεῖνος, «Ὃ γέγραφα, γέγραφα»· αὐτοὶ λοιπὸν ἐπειρῶντο, δι ὧν ἐχλεύαζον, δεῖξαι ὅτι οὐκ ἔστι βασιλεύς. Διὸ καὶ ἐκεῖνα ἔλεγον, καὶ ταῦτα· «Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ»· καὶ πάλιν, «Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι»· καὶ τὰ πρότερα σημεῖα ἐντεῦθεν ἐπιχειροῦντες διαβάλλειν· καὶ πάλιν· «Εἰ Υἱὸς τοῦ Θεοῦ ἐστι, καὶ θέλει αὐτόν, σωσάτω αὐτόν».

Ὦ μιαροὶ καὶ παμμίαροι. Τί δέ; οἱ προφῆται οὐκ ἦσαν προφῆται, οὐδὲ οἱ δίκαιοι δίκαιοι, ἐπειδὴ αὐτοὺς οὐκ

ἐνέργειαί των, ἀλλὰ ἀφοῦ τὸν ἐγύμνωσαν καὶ τὸν ἐσταύρωσαν καὶ τοῦ προσέφεραν ὄξος, προχωροῦν περαιτέρω· καὶ καθὼς τὸν βλέπουν καρφωμένον ἐπάνω εἰς τὸν σταυρὸν τὸν χλευάζουν καὶ αὐτοὶ καὶ οἱ διερχόμενοι· αὐτὰ ἦσαν χειρότερα ἀπὸ ὅλα, τὸ ὅτι αὐτὰ τὰ ἔπασχε μὲ τὴν δικαιολογίαν ὅτι εἶναι πλάνος καὶ ἀπατεὼν καὶ ὡς ὑπερόπτης, ὁ ὁποῖος ἀλογίστως ὑπερηφανεύετο δι' ὅσα ἔλεγε. Δι' αὐτὰ καὶ τὸν ἐσταύρωσαν δημοσίως, διὰ νὰ τὸν διαπομπεύσουν ὑπὸ τὰ ὄμματα ὅλων· δι' αὐτὸ καὶ τὸν ἐσταύρωσαν μὲ τὰ στρατιωτικὰ χέρια, διὰ νὰ παρατείνουν τὰς παρανοϊκὰς ἐνεργείας των ἀποτολμῶντες αὐτὰ καὶ εἰς δημόσιον δικαστήριον.

2. Ἂν καὶ ποῖον δὲν θὰ ἔκαμνε νὰ λυγίσῃ ὁ ὄχλος ποὺ τὸν ἠκολούθει καὶ ἐθρήνει; Ὄχι ὅμως καὶ τὰ θηρία αὐτά. Δι' αὐτὸ καὶ Αὐτὸς ἐκείνους μὲν τοὺς θεωρεῖ ἀξίους ἀποκρίσεως, ἐνῷ αὐτοὺς ὄχι. Διότι ἀφοῦ ἔκαναν ὅ,τι ἤθελαν, σπεύδουν νὰ μολύνουν καὶ τὴν φήμην Του, ἐπειδὴ ἐφοβοῦντο τὴν ἀνάστασιν. Δι' αὐτὸ τὰ λέγουν αὐτὰ δημοσίως καὶ δι' αὐτὸ ἐσταύρωσαν μαζί Του καὶ λῃστάς, θέλοντες δὲ νὰ δείξουν ὅτι εἶναι ἀπατεὼν ἔλεγαν· «Σὺ ποὺ γκρεμίζεις τὸν ναὸν καὶ εἰς τρεῖς ἡμέρας τὸν ἀνοικοδομεῖς, κατέβα ἀπὸ τὸν σταυρόν». Διότι ἐπειδὴ δὲν εἰσηκούσθησαν ὅταν εἶπαν εἰς τὸν Πιλᾶτον νὰ καταστρέψῃ τὴν αἰτίαν τῆς σταυρώσεως (ἡ ὁποία ἦτο τὸ ὅτι ἔβαλε νὰ γράψουν «ὁ βασιλεὺς τῶν Ἰουδαίων»), καὶ ἐκεῖνος ἠρνήθη λέγων· «ὅ,τι ἔγραψα, ἔγραψα», προσεπάθουν μὲ τοὺς χλευασμούς των νὰ δείξουν ὅτι δὲν εἶναι βασιλεύς. Δι' αὐτὸ ἔλεγαν καὶ τὰ προηγούμενα ἀλλὰ καὶ τὰ ἑξῆς· «Ἐὰν εἶναι βασιλεὺς τοῦ Ἰσραήλ, ἂς κατεβῇ τώρα ἀπὸ τὸν σταυρόν», καί, «Ἄλλους ἔσωσεν, ἀλλὰ τὸν ἑαυτόν του δὲν ἠμπορεῖ νὰ τὸν σώσῃ», ἐπιχειροῦντες νὰ συκοφαντήσουν μὲ αὐτὸ καὶ τὰ θαύματα ποὺ εἶχε κάμει προηγουμένως, καὶ «Ἐὰν εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ τὸν θέλῃ ὁ Θεὸς ἂς τὸν σώσῃ».

Βδελυροὶ καὶ ἀχρειότατοι! Διατί τάχα; Οἱ προφῆται δὲν ἦσαν προφῆται, οὔτε οἱ δίκαιοι δίκαιοι, ἐπειδὴ δὲν τοὺς

ἐξήρπασε τῶν κινδύνων ὁ Θεός; Ἀλλὰ μὴν ἦσαν, καὶ ταῦτα πάσχοντες. Τί οὖν ἴσον τῆς ἀνοίας ὑμῶν γένοιτ' ἄν; Εἰ γὰρ ἐκείνων οὐκ ἐλυμήνατο παρ' ὑμῖν τὴν δόξαν ἡ τῶν κινδύνων ἐπαγωγή, ἀλλ ἦσαν προφῆται καὶ πάσχοντες ἅπερ ἔπασχον· πολλῷ μᾶλλον ἐπὶ τούτου οὐκ ἐχρῆν ὑμᾶς σκανδαλίζεσθαι, καὶ δι' ὧν ἐποίησε, καὶ δι' ὧν εἶπεν, ἀεὶ ταύτην ὑμῶν προδιορθωσαμένου τὴν ὑπόνοιαν.

Ἀλλ' ὅμως καὶ τούτων λεγομένων καὶ γενομένων οὐδὲν ἴσχυσαν οὐδὲ παρ' αὐτὸν τὸν καιρόν. Ὁ γοῦν ἐν ἐσχάτῃ πονηρίᾳ κατασαπείς, καὶ ἐν φόνοις καὶ τοιχωρυχίαις τὸν ἅπαντα καταναλώσας βίον, ὅτε ταῦτα ἐλέγετο, τότε αὐτὸν ὡμολόγησε, καὶ βασιλείας ἐμνημόνευσε· καὶ ὁ δῆμος αὐτὸν ὠλοφύρετο. Καίτοιγε ἐδόκει τἀναντία μαρτυρεῖν τὰ γινόμενα παρὰ τοῖς οὐκ εἰδόσι τοῦ μυστηρίου τὴν οἰκονομίαν, ὅτι ἀσθενὴς καὶ οὐδὲν δυνάμενος· ἀλλ' ὅμως ἡ ἀλήθεια καὶ διὰ τῶν ἐναντίων ἴσχυσε.

Ταῦτ' οὖν ἀκούοντες, ὁπλίζωμεν ἑαυτοὺς κατὰ παντὸς θυμοῦ, κατὰ πάσης ὀργῆς. Κἂν φλεγμαίνουσαν ἴδῃς τὴν καρδίαν σου, σφράγισον τὸ στῆθος, τὸν σταυρὸν ἐπιθείς· ἀνάμνησόν τι τῶν τότε συμβάντων, καὶ ὥσπερ κονιορτὸν ἐκβαλεῖς πάντα θυμὸν τῶν γεγενημένων τῇ μνήμῃ. Ἐννόησον τὰ ῥήματα, τὰ πράγματα· ἐννόησον ὅτι ἐκεῖνος Δεσπότης, σὺ δὲ δοῦλος· ἐκεῖνος διὰ σέ, σὺ δὲ διὰ σαυτόν· ἐκεῖνος ὑπὲρ τῶν εὐργετηθέντων καὶ σταυρωσάντων, σὺ δὲ ὑπὲρ σαυτοῦ· ἐκεῖνος ὑπὲρ τῶν ὑβρικότων, σὺ δὲ πολλάκις ὑπ' αὐτῶν τῶν ἀδικηθέντων· ἐκεῖνος τῆς πόλεως ὁρώσης ἁπάσης, μᾶλλον δὲ τοῦ δήμου παντὸς τῶν Ἰουδαίων, καὶ τῶν ξένων καὶ τῶν ἐπιχωρίων, ἐφ' ὧν τὰ φιλάνθρωπα ἐφθέγξατο ῥήματα, σὺ δὲ ὀλίγων

ἀνήρπασεν ἀπὸ τοὺς κινδύνους ὁ Θεός; Καὶ βέβαια ἦσαν, καὶ ὅταν ὑφίσταντο αὐτά. Τί θὰ ἠμποροῦσε λοιπὸν νὰ γίνῃ ἰσάξιον τῆς μωρίας σας; Διότι ἐὰν ἡ πρόκλησις ἐπικινδύνων περιστάσεων δὲν ἐμόλυναν τὴν φήμην ἐκείνων, ἀλλὰ παρέμεναν προφῆται καὶ ὅταν ἔπασχαν, πολὺ περισσότερον δὲν ἔπρεπε νὰ σκανδαλισθῆτε εἰς τὴν περίπτωσιν Αὐτοῦ μὲ ὅσα ἔκαμε καὶ εἶπε ἀνασκευάζων διαρκῶς αὐτὴν τὴν γνώμην σας.

Ἀλλ' ὅμως καὶ μὲ αὐτὰ ποὺ ἐλέγοντο καὶ ἐγίνοντο δὲν κατώρθωσαν τίποτε, οὔτε ἐκεῖνον τὸν καιρόν. Ἔτσι ἐκεῖνος ὁ ὁποῖος εἶχε κυριολεκτικὰ σαπίσει μέσα εἰς τὴν πονηρίαν καὶ εἶχε καταναλώσει ὁλόκληρον τὸν βίον του εἰς φόνους καὶ ληστείας, ἀκριβῶς ὅταν ἐλέγοντο αὐτά, τότε τὸν ὡμολόγησε Θεὸν καὶ ἐνεθυμήθη τὴν βασιλείαν. Καὶ τὸ πλῆθος τὸν ἐθρήνει μὲ ὀδυρμούς, ἂν καὶ ἐφαίνετο ὅτι ὅσα ἐγίνοντο θὰ ἐπεβεβαίωναν ἀντιθέτως εἰς ἐκείνους οἱ ὁποῖοι δὲν γνωρίζουν τὴν ἐνέργειαν τοῦ μυστηρίου, ὅτι ἦτο ἀδύνατος καὶ δὲν ἠμποροῦσε νὰ κάμῃ τίποτε· καὶ ὅμως ἡ ἀλήθεια καὶ διὰ τῶν ἀντιθέτων ἐπεκράτησεν.

Ἀκούοντες λοιπὸν αὐτά, ἂς ὁπλίζωμεν τοὺς ἑαυτούς μας ἐναντίον κάθε θυμοῦ καὶ ὀργῆς. Καὶ ἂν ἀκόμη ἰδῇς τὴν καρδίαν σου νὰ φλογίζεται, σφράγισε τὸ στῆθος σου τοποθετῶν ἐπάνω του τὸν σταυρόν· ἐνθυμήσου κάτι ἀπὸ ἐκεῖνα ποὺ συνέβησαν τότε καὶ ὡσὰν σκόνην θὰ ἀποβάλῃς κάθε θυμὸν μὲ τὴν ἀνάμνησιν τῶν ὅσων εἶχαν γίνει. Σκέψου τὰ λόγια καὶ τὰς ἐνεργείας· σκέψου ὅτι ἐκεῖνος ἦτο Δεσπότης, ἐνῷ σὺ εἶσαι δοῦλος· ὅτι ἐκεῖνος ἔπασχε πρὸς χάριν σου, ἐνῷ σὺ διὰ τὸν ἑαυτόν σου· ἐκεῖνος χάριν αὐτῶν ποὺ εἶχαν εὐεργετηθῆ καὶ τὸν ἐσταύρωσαν, ἐνῷ σὺ διὰ τὸν ἑαυτόν σου· ἐκεῖνος χάριν αὐτῶν ποὺ τὸν ὕβρισαν, ἐνῷ σὺ πολλὲς φορὲς ἀπὸ αὐτοὺς ποὺ ἔχουν ἀδικηθῆ· ἐκεῖνος ἔπαθε ὑπὸ τὰ ὄμματα ὁλοκλήρου τῆς πόλεως, ἢ μᾶλλον ὅλου τοῦ πλήθους τῶν Ἰουδαίων, καὶ τῶν ξένων καὶ τῶν ἐντοπίων, πρὸς τοὺς ὁποίους εἶχεν ἀπευθύνει τὰ φιλάνθρωπα λόγια του, ἐνῷ σὺ ἐνώπιον ὀλίγων· καὶ τὸ ἀκόμη

παρόντων· καὶ τὸ μεῖζον εἰς ὕβριν, τὸ καὶ τοὺς μαθητὰς αὐτὸν ἐγκαταλιπεῖν. Οἱ μὲν γὰρ ἔμπροσθεν θεραπεύοντες ἀπεπήδησαν· οἱ δὲ ἐχθροὶ καὶ πολέμιοι ἀνεσκολοπισμένον ἐν μέσῳ λαβόντες ὕβριζον, ἐλοιδόρουν, ἐκωμῴδουν, ἐγέλων, ἐχλεύαζον· Ἰουδαῖοι, στρατιῶται κάτωθεν· ἄνωθεν, ἑκατέρωθεν λῃσταί· καὶ γὰρ οἱ λῃσταὶ ὕβριζον αὐτὸν καὶ ὠνείδιζον ἀμφότεροι.

Πῶς οὖν ὁ Λουκᾶς φησιν, ὅτι ὁ εἷς ἐπετίμα; Ἀμφότερα γέγονε· πρότερον μὲν γὰρ ἀμφότεροι ὠνείδιζον, ὕστερον δὲ οὐκέτι. Ἵνα γὰρ μὴ νομίσῃς ἔκ τινος συνθήματος τὸ πρᾶγμα γεγενῆσθαι, μηδὲ εἶναι λῃστὴν τὸν λῃστήν, ἀπὸ τῆς ὕβρεως δείκνυσί σοι, ὅτι ἄνω ἐπὶ τοῦ σταυροῦ λῃστὴς ἦν καὶ ἐχθρός, καὶ ἀθρόον μετεβλήθη. Ταῦτ᾿ οὖν ἅπαντα λογιζόμενος φιλοσόφει. Τί γὰρ πάσχεις τοιοῦτον, οἷον ἔπαθεν ὁ Δεσπότης σου; Δημοσίᾳ ὑβρίσθης; Ἀλλ᾿ οὐ τοιαῦτα. Χλευάζῃ; Ἀλλ᾿ οὐ πᾶν τὸ σῶμα, οὐδὲ οὕτω μαστιζόμενος καὶ γυμνούμενος. Εἰ δὲ καὶ ἐκολαφίσθης, ἀλλ᾿ οὐχ οὕτως.

3. Προστίθει δέ μοι, καὶ ὑπὸ τίνων, καὶ διατί, καὶ πότε, καὶ τίς· καὶ τὸ δὴ χαλεπώτατον, ὅτι τούτων γινομένων οὐδεὶς ἐνεκάλει, οὐδεὶς ἐμέμφετο τὰ γινόμενα· ἀλλὰ τοὐναντίον, καὶ ἐπῄνουν ἅπαντες, καὶ συνεχλεύαζον, καὶ συνέσκωπτον, καὶ ὡς ἀλαζόνα καὶ ἀπατεῶνα καὶ πλάνον, καὶ οὐκ ἔχοντα δεῖξαι ἐπὶ τῶν ἔργων ἅπερ εἶπεν, οὕτως αὐτὸν ἐλοιδόρουν. Ὁ δὲ σιγᾷ πρὸς πάντα, φάρμακα μέγιστα κατασκευάζων ἡμῖν μακροθυμίας.

Ἀλλ᾿ ἡμεῖς ταῦτα ἀκούοντες, οὐδὲ πρὸς οἰκέτας καρτεροῦμεν, ἀλλὰ τῶν ἀγρίων ὄνων μείζονα πηδῶμεν καὶ λακτίζομεν· ὑπὲρ μὲν τῶν εἰς ἡμᾶς ὠμοὶ καὶ ἀπάνθρωποι ὄν-

4. Λουκᾶ 23, 40.

χειρότερον, ὅτι τὸν ἐγκατέλειψαν καὶ οἱ μαθηταί Του. Διότι ἐκεῖνοι μὲν οἱ ὁποῖοι προηγουμένως τὸν ἐσέβοντο ἀπεσκίρτησαν, οἱ δὲ ἐχθροὶ καὶ πολέμιοί Του, ἀφοῦ τὸν παρέλαβαν καρφωμένον εἰς τὸ μέσον, τὸν ὕβριζαν, τὸν ἐβλασφήμουν, τὸν διακωμῴδουν, τὸν περιέπαιζαν, τὸν ἐχλεύαζαν· ἀπὸ κάτω Ἰουδαῖοι καὶ στρατιῶται· ἀπὸ ἐπάνω, καὶ ἀπὸ τὰς δύο πλευράς, λησταί· διότι καὶ οἱ δύο λησταὶ τὸν ὕβριζαν καὶ τὸν περιέπαιζαν.

Πῶς λοιπὸν ὁ Λουκᾶς λέγει ὅτι τὸν ἐπετίμα ὁ ἕνας;[4] Καὶ τὰ δύο ἔγιναν. Διότι εἰς τὴν ἀρχὴν τὸν ἐχλεύαζαν καὶ οἱ δύο, κατόπιν ὅμως ὄχι. Διὰ νὰ μὴ νομίσῃς δὲ ὅτι τὰ πράγματα ἔγιναν μὲ κανένα σύνθημα, καὶ ὅτι ὁ ληστὴς παρέμεινε ληστής, ἀπὸ τὴν ὕβριν σοῦ δείχνει ὅτι ἐπάνω εἰς τὸν σταυρὸν ἦτο ληστὴς καὶ ἐχθρὸς καὶ ὅτι μετεμελήθη διὰ μιᾶς. Σκεπτόμενος λοιπὸν ὅλα αὐτά, ἀντεμετώπιζε μὲ καρτερικότητα τὰς ἀντιξοότητας. Διότι τί ἔπαθες ἀπὸ αὐτὰ ποὺ ὑπέστη ὁ Δεσπότης σου; Ὑβρίσθης δημοσίως; Ἀλλὰ δὲν πρόκειται περὶ αὐτοῦ. Χλευάζεσαι; Ἀλλὰ ὄχι ὁλόκληρον τὸ σῶμά σου, οὔτε μὲ μαστιγώσεις καὶ γυμνός. Ἐὰν πάλι ἐρραπίσθης, δὲν εἶναι ἀκριβῶς ἔτσι.

3. Κάνε μου δὲ τὴν χάριν νὰ προσθέσῃς καὶ ἀπὸ ποίους ὑφίστατο ὅλα αὐτὰ καὶ διατί καὶ ποῖος, καὶ τὸ ἀκόμη χειρότερον, ὅτι ἐνόσῳ ἐγίνοντο κανεὶς δὲν διεμαρτύρετο, κανεὶς δὲν κατέκρινεν αὐτὰ ποὺ ἐγίνοντο· ἀντιθέτως μάλιστα ὅλοι τὰ ἐπαινοῦσαν καὶ τὸν ἐχλεύαζαν ἀπὸ κοινοῦ καὶ τὸν ἐπείραζαν καὶ τὸν ἐβλασφήμουν ὡς ἀλαζόνα καὶ ἀπατεῶνα καὶ πλάνον καὶ μὴ δυνάμενον νὰ ἀποδείξῃ ἐμπράκτως αὐτὰ τὰ ὁποῖα εἶχεν εἰπεῖ. Ἐκεῖνος δὲ σιωπᾷ εἰς ὅλα, κατασκευάζων πρὸς χάριν μας δραστικώτατα φάρμακα μακροθυμίας.

Ἐμεῖς ὅμως οἱ ὁποῖοι ἀκούομεν αὐτά, οὔτε πρὸς τοὺς δούλους δὲν δείχνομεν ὑπομονήν, ἀλλὰ τινασσόμεθα καὶ λακτίζομεν περισσότερον ἀπὸ τοὺς ἀγρίους ὄνους. Δι' ὅσα ἀφοροῦν ἐμᾶς γινόμεθα σκληροὶ καὶ ἀπάνθρωποι, ἐνῷ δι'

τες, ὑπὲρ δὲ τῶν εἰς Θεὸν οὐ πολὺν ποιούμενοι λόγον. Καὶ περὶ φίλους δὲ ὁμοίως διακείμεθα· κἂν λυπήσῃ τις, οὐ φέρομεν· κἂν ὑβρίσῃ, θηρίων ἀγριαίνομεν μᾶλλον, οἱ καθ᾽ ἑκάστην ταῦτα ἀναγινώσκοντες τὴν ἡμέραν. Ὁ μαθητὴς προέδωκεν· οἱ λοιποὶ καταλιπόντες αὐτὸν ἔφυγον· οἱ εὐεργετηθέντες ἐνέπτυσαν· ὁ δοῦλος τοῦ ἀρχιερέως ἐρράπισεν· οἱ στρατιῶται ἐκολάφιζον· οἱ παριόντες ἔσκωπτον καὶ ἐλοιδόρουν· οἱ λῃσταὶ κατηγόρουν· καὶ πρὸς οὐδένα ἐξέβαλε ῥῆμα, ἀλλὰ τῇ σιγῇ ἅπαντας ἐνίκα, σὲ παιδεύων διὰ τῶν ἔργων, ὅτι ὅσῳ ἂν ἐνέγκῃς πράως, τοσούτῳ μᾶλλον τῶν κακῶς ποιούντων κρατήσεις καὶ παρὰ πᾶσι ἔσῃ θαυμαστός.

Τίς γὰρ οὐ θαυμάσεται τὸν ἐπιεικῶς φέροντα τὰς παρὰ τῶν ἐπηρεαζόντων ὕβρεις; Ὥσπερ γὰρ κἂν δικαίως πάσχῃ τις, τὸ κακὸν ἐνεγκὼν πράως, νομίζεται παρὰ τοῖς πολλοῖς ἀδίκως πάσχειν· οὕτω κἂν ἀδίκως πάσχῃ, θρασύνηται δέ, τοῦ δικαίως πάσχειν ὑπόνοιαν λήψεται, καὶ καταγέλαστος ἔσται, ὡς αἰχμάλωτος συρόμενος ὑπὸ τῆς ὀργῆς, καὶ τὴν εὐγένειαν ἀπολλὺς τὴν ἑαυτοῦ. Τὸν γὰρ τοιοῦτον οὐδὲ ἐλεύθερον δεῖ προσειπεῖν, κἂν μυρίων δεσπόζῃ δούλων.

Ἀλλὰ σφοδρῶς σε παρώξυνεν ὁ δεῖνα; Καὶ τί τοῦτο; Τότε γὰρ δεῖ τὴν φιλοσοφίαν ἐνδείκνυσθαι· ὡς ὅταν μηδεὶς ὁ παρακνίζων ᾖ, καὶ τὰ θηρία ὀψόμεθα ἥμερα· οὔτε γὰρ ἐκεῖνα ἀεὶ ἀγριοῦνται, ἀλλ᾽ ὅταν αὐτά τις διεγείρῃ. Καὶ ἡμεῖς τοίνυν, ἐὰν τότε μόνον ἡσυχάζωμεν, ὅταν μηδεὶς ὁ παροξύνων ᾖ, τί τὸ πλέον; Ἐκεῖνα μὲν γὰρ καὶ δικαίως ἀγανακτεῖ πολλάκις, καὶ πολλὴν ἔχει τὴν ἀπολογίαν· καὶ γὰρ κινούμενα καὶ νυττόμενα διεγείρεται· χωρὶς δὲ τούτων, καὶ

ὅσα ἀφοροῦν τὸν Θεὸν δὲν δίδομεν πολλὴν σημασίαν. Καὶ ἔναντι τῶν φίλων συμπεριφερόμεθα καθ' ὅμοιον τρόπον. Καὶ ὅταν ἀκόμη μᾶς λυπήσῃ κανείς, δὲν τὸ ἀνεχόμεθα. Καὶ ἂν μᾶς ὑβρίσῃ, γινόμεθα ἄγριοι περισσότερον ἀπὸ τὰ θηρία, ἐμεῖς οἱ ὁποῖοι ἀναγινώσκομεν αὐτὰ καθημερινῶς. Τὸν Χριστὸν ὁ μαθητής του τὸν ἐπρόδωσεν, οἱ ἄλλοι τὸν ἐγκατέλειψαν καὶ ἔφυγαν, ἐκεῖνοι ποὺ εὐηργετήθησαν τὸν ἔπτυσαν, ὁ δοῦλος τοῦ ἀρχιερέως τὸν ἐρράπισεν, οἱ στρατιῶται τὸν ἐκολάφιζαν, οἱ διερχόμενοι τὸν ἐκορόϊδευαν καὶ τὸν ἐβλασφήμουν, οἱ λησταὶ τὸν κατηγόρουν, καὶ εἰς οὐδένα ἀπηύθυνε λόγον, ἀλλὰ τοὺς ἀντιμετώπιζεν ὅλους μὲ σιωπήν, διδάσκων ἐσένα ἐμπράκτως, ὅτι ὅσον ἤρεμα ὑποφέρεις, τόσον περισσότερον θὰ νικήσῃς ὅσους σὲ κακοποιοῦν καὶ θὰ ἐκτιμηθῇς ἀπὸ ὅλους.

Διότι ποῖος δὲν θαυμάζει ἐκεῖνον ὁ ὁποῖος ὑποφέρει μὲ ἐπιείκειαν τὰς ὕβρεις αὐτῶν ποὺ τὸν παρενοχλοῦν; Ὅπως ὅταν κανεὶς ἂν καὶ τιμωρεῖται δικαίως, ἀνεχόμενος τὴν τιμωρίαν μὲ ἠρεμίαν, νομίζεται ἀπὸ τοὺς πολλοὺς ὅτι τιμωρεῖται ἀδίκως, ἔτσι καὶ ὅταν πάσχῃ ἀδίκως, ἀλλὰ ἀποθρασύνεται, θὰ δημιουργήσῃ τὴν ἐντύπωσιν ὅτι δικαίως πάσχει καὶ θὰ γίνῃ καταγέλαστος, διότι παρασύρεται ἀπὸ τὸν θυμὸν ὡς αἰχμάλωτος καὶ χάνει τὴν εὐγένειάν του. Αὐτὸν δὲ οὔτε ἐλεύθερον πρέπει νὰ τὸν ὀνομάσῃ κανείς, ἔστω καὶ ἂν εἶναι κύριος μυριάδων δούλων.

Ἀλλὰ θὰ ἀντιτείνῃς ὅτι ὁ δεῖνα σὲ ἐξερέθισε πολύ. Καὶ τί μὲ αὐτό; Τότε ἀκριβῶς πρέπει νὰ δείξῃς τὴν καρτερίαν. Διότι, ὅταν δὲν ὑπάρχῃ κανεὶς ποὺ νὰ προκαλῇ ἐρεθισμόν, καὶ τὰ θηρία θὰ τὰ ἰδοῦμεν νὰ εἶναι ἥμερα. Ἄλλως τε οὔτε καὶ ἐκεῖνα εἶναι πάντοτε ἐξαγριωμένα, παρὰ μόνον ὅταν κάποιος τὰ ἐρεθίσῃ. Ἐὰν λοιπὸν καὶ ἐμεῖς ἡσυχάζωμεν μόνον ὅταν δὲν μᾶς παροξύνῃ κανείς, τί περισσότερον ἔχομεν; Ἐκεῖνα μάλιστα πολλὲς φορὲς ἀγανακτοῦν δικαίως καὶ ἔχουν πολλὴν δικαιολογίαν, διότι ὅταν κινοῦνται καὶ ἀγκλυνώνωνται ἐξεγείρονται. Πέραν αὐτῶν δὲν ἔχουν λο-

λογισμῶν ἐστιν ἐστερημένα, καὶ ἐν τῇ φύσει τὸ θηριοῦσθαι ἔχει.

Σὺ δὲ πόθεν, εἰπέ μοι, θηριούμενος καὶ ἀγριαίνων δυνήσῃ συγγνώμης τυχεῖν; Τί πέπονθας δεινόν; ἡρπάγης; Δι' αὐτὸ μὲν οὖν τοῦτο δεῖ ἐνεγκεῖν, ὥστε μειζόνως κερδᾶναι. Ἀλλὰ δόξης ἀπεστερήθης; Καὶ τί τοῦτο; Οὐδὲν γὰρ ἠλάττωται ταύτῃ τὰ κατὰ σέ, ἐὰν φιλοσοφῇς. Εἰ δὲ οὐδὲν πάσχεις δεινόν, πόθεν ὀργίζῃ τῷ μηδέν σε διαθέντι κακόν, ἀλλὰ καὶ ὠφεληκότι; Οἱ μὲν γὰρ τιμῶντες, τοὺς μὴ νήφοντας καὶ χαυνοτέρους ποιοῦσιν· οἱ δὲ ὑβρίζοντες καὶ καταφρονοῦντες, τοὺς ἑαυτοῖς προσέχοντας καρτερικωτέρους ἐργάζονται. Οἱ γὰρ δὴ ῥάθυμοι τιμώμενοι μᾶλλον ἀδικοῦνται, ἢ ὑβριζόμενοι. Καὶ οὗτοι μέν, ἐὰν νήφωμεν, αἴτιοι γίνονται φιλοσοφίας ἡμῖν· ἐκεῖνοι δὲ τὸν τῦφον ἡμῶν ἐπαίρουσιν, ἀλαζονείας, κενοδοξίας, βλακείας πληροῦσι, μαλακωτέραν ἡμῶν ἐργάζονται τὴν ψυχήν.

Καὶ μαρτυροῦσιν οἱ πατέρες οἱ τοὺς ἑαυτῶν υἱοὺς οὐ τοσαῦτα κολακεύοντες ὅσα ὑβρίζουσι, δεδοικότες μή τινα ἐντεῦθεν δέξωνται βλάβην· καὶ οἱ διδάσκαλοι τούτῳ πρὸς αὐτοὺς κέχρηνται τῷ φαρμάκῳ. Ὥστε εἰ χρὴ ἀποστρέφεσθαι, κολακεύοντας μᾶλλον ἢ ὑβρίζοντας χρή· μείζονα γὰρ φέρει λύμην τῆς ὕβρεως τουτὶ τὸ δέλεαρ τοῖς μὴ προσέχουσι, καὶ δυσκολώτερον τούτου κατασχεῖν, ἢ ἐκείνου τοῦ πάθους.

Καὶ ὁ μισθὸς δὲ πολλῷ πλείων ἐντεῦθεν, καὶ τὸ θαῦμα πλέον. Καὶ γὰρ θαυμαστότερον ἰδεῖν ἄνθρωπον ὑβριζόμενον καὶ μὴ κινούμενον, ἢ τυπτόμενον καὶ πληττόμενον καὶ μὴ καταπίπτοντα. Καὶ πῶς δυνατὸν μὴ κινηθῆναι; φησίν. Ὑβρι-

γικὸν καὶ εἶναι εἰς τὴν φύσιν των νὰ ἐξαγριώνωνται.

Σὺ ὅμως, εἰπέ μου, ἀπὸ ποῦ θὰ ἠμπορέσῃς νὰ τύχῃς συγγνώμης, ὅταν γίνεσαι θηρίον καὶ ἐξαγριώνεσαι; Τί κακὸν ἔχεις πάθει; Ἔγινες θῦμα ἁρπαγῆς; Δι' αὐτὸ ἀκριβῶς πρέπει νὰ τὸ ὑπομείνῃς, διὰ νὰ κερδήσῃς περισσότερον. Ἀλλὰ μήπως ἔχασες δόξαν; Καὶ τί εἶναι αὐτό; Διότι ἐὰν τὸ καλοσκεφθῇς, κατὰ τίποτε δὲν ἔχουν μειωθῆ τὰ ὑπάρχοντά σου μὲ αὐτό. Ἐὰν δὲ δὲν πάσχῃς κανένα κακόν, διατί ὀργίζεσαι ἐναντίον ἐκείνου ὁ ὁποῖος ὄχι μόνον κανένα κακὸν δὲν σοῦ ἔκαμεν, ἀλλὰ καὶ σὲ ὠφέλησε; Διότι ἐκεῖνοι μὲν ποὺ ἐκτιμοῦν ὅσους δὲν εἶναι νηφάλιοι τοὺς κάμνουν περισσότερον ἀλαζόνας· ἐνῷ ἐκεῖνοι ποὺ ὑβρίζουν καὶ περιφρονοῦν ὅσους προσέχουν τοὺς ἑαυτούς των τοὺς κάμνουν περισσότερον καρτερικούς. Διότι οἱ μὲν ὀκνηροὶ ἀδικοῦνται περισσότερον ὅταν τιμωρῶνται παρὰ ὅταν ὑβρίζωνται. Καὶ αὐτοὶ μέν, ἐὰν εἴμεθα νηφάλιοι, γίνονται εἰς ἡμᾶς αἴτιοι καρτερίας· ἐκεῖνοι δὲ ἐξάπτουν τὸν ἐγωισμόν μας, μᾶς γεμίζουν μὲ ἀλαζονείαν, κενοδοξίαν καὶ βλακείαν καὶ κάμνουν τὴν ψυχήν μας περισσότερον ἀσθενικήν.

Καὶ ἐπιβεβαιώνουν αὐτὰ οἱ πατέρες, οἱ ὁποῖοι δὲν κολακεύουν τόσον πολὺ τοὺς υἱούς των ὅσον τοὺς ταπεινώνουν, ἀπὸ φόβον μήπως ὑποστοῦν ζημίαν ἀπὸ τὰς κολακείας. Ἀλλὰ καὶ οἱ διδάσκαλοι χρησιμοποιοῦν τὸ ἴδιον φάρμακον πρὸς αὐτούς. Ὥστε, ἐὰν πρέπει νὰ ἀποστρεφώμεθα κάποιους, πρέπει νὰ ἀποστρεφώμεθα ἐκείνους ποὺ μᾶς κολακεύουν μᾶλλον παρὰ ἐκείνους ποὺ μᾶς ὑβρίζουν. Διότι τὸ δόλωμα αὐτὸ φέρει περισσοτέραν βλάβην ἀπὸ τὴν ὕβριν εἰς ὅσους δὲν προσέχουν, καὶ εἶναι δυσκολώτερον νὰ κυριαρχήσωμεν εἰς αὐτὸ παρὰ εἰς ἐκεῖνο τὸ πάθος.

Καὶ ἡ ἀνταμοιβὴ ἀπὸ αὐτὸ εἶναι πολὺ περισσοτέρα καὶ ὁ θαυμασμὸς μεγαλύτερος. Διότι ὄντως εἶναι πιὸ ἀξιοθαύμαστον νὰ ἴδῃς ἄνθρωπον ὁ ὁποῖος ὑβρίζεται καὶ δὲν ἀντιδρᾷ, ἢ κτυπᾶται καὶ δέρνεται καὶ δὲν καταβάλλεται. Καὶ πῶς εἶναι δυνατὸν νὰ μὴ ἀντιδράσῃ, λέγει; Σὲ ὕβρισε κά-

σέ τις; Τὸ σημεῖον ἐπίθες τῷ στήθει· ἀναμνήσθητι πάντων τῶν τότε γενομένων, καὶ πάντα σβέννυται. Μὴ ἐννοήσῃς τὰς ὕβρεις μόνον, ἀλλ' εἰ καὶ τί σοι χρηστὸν γέγονέ ποτε παρὰ τοῦ ὑβρικότος, καὶ εὐθέως γενήσῃ πρᾶος. Μᾶλλον δὲ ἐννόησον πρὸ πάντων τὸν τοῦ Θεοῦ φόβον, καὶ ταχέως ἔσῃ μέτριος καὶ ἐπιεικής.

4. Μετὰ τούτων καὶ ἀπὸ τῶν οἰκετῶν τῶν σῶν λάμβανε τὴν ὑπὲρ τούτων νουθεσίαν. Καὶ ὅταν ἴδῃς σαυτὸν μὲν ὑβρίζοντα, ἐκεῖνον δὲ σιγῶντα, ἐννόησον ὅτι δυνατὸν φιλοσοφεῖν, καὶ κατάγνωθι σαυτοῦ τραχυνομένου, καὶ ἐν αὐτῷ τῷ καιρῷ τῶν ὕβρεων παιδεύθητι μὴ ὑβρίζειν, καὶ οὕτως οὐδὲ ὑβριζόμενος ἀλγήσεις. Ἐννόησον ὅτι ἐξέστηκεν ὁ ὑβρίζων καὶ μαίνεται, καὶ οὐκ ἀγανακτήσεις ὑβριζόμενος· ἐπεὶ καὶ οἱ δαιμονῶντες τύπτουσιν ἡμᾶς, καὶ οὐ μόνον οὐ κινούμεθα, ἀλλὰ καὶ ἐλεοῦμεν αὐτούς.

Τοῦτο καὶ σὺ ποίησον· ἐλέησον τὸν ὑβρίζοντα· δεινῷ γὰρ κατέχεται θηρίῳ, τῷ θυμῷ· χαλεπῷ δαίμονι, τῇ ὀργῇ. Λῦσον αὐτὸν ἐνεργούμενον ὑπὸ δαίμονος χαλεποῦ, καὶ ἐν βραχεῖ διαφθειρόμενον. Τοιοῦτον γὰρ τοῦτο τὸ νόσημα, ὡς μηδὲ χρόνον δεῖσθαι εἰς ἀπώλειαν τοῦ ἁλόντος. Διὸ καί τις ἔλεγεν· «Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ»· τούτῳ αὐτοῦ μάλιστα δεικνὺς τὸ τυραννικόν, ὅτι ἐν βραχεῖ καιρῷ μεγάλα ἐργάζεται κακά, καὶ οὐ δεῖται πολλῆς τῆς διατριβῆς· ὡς εἴγε πρὸς τῇ ἰσχύει καὶ μόνιμον εἴη, καὶ δυσκαταγώνιστον ἔσται.

Ἠβουλόμην δεῖξαι, τίς μὲν ὁ ὑβρίζων, τίς δὲ ὁ φιλοσοφῶν, καὶ γυμνὴν εἰς μέσον ἀγαγεῖν τὴν ἑκατέρου ψυχήν. Εἶδες γὰρ ἂν τὴν μὲν ἐοικυῖαν πελάγει κλυδωνιζομένῳ, τὴν δὲ λιμένι ταραχῆς ἀπηλλαγμένῳ. Οὔτε γὰρ ταράττεται ὑπὸ

5. Ἐκκλ. 1, 28.

ποιος; Τοποθέτησε ἐπάνω εἰς τὸ στῆθος σου τὸ σημεῖον τοῦ σταυροῦ. Θυμήσου ὅλα ὅσα ἔγιναν τότε καὶ ὅλα σβήνουν. Μὴ κυττᾷς μόνον τὰς ὕβρεις, ἀλλὰ καὶ ὅ,τι τυχὸν καλὸν σοῦ ἔχει κάμει ποτὲ ὁ ὑβριστὴς καὶ θὰ γίνῃς ἀμέσως πρᾶος. Ἢ καλύτερα θυμήσου πρὸ πάντων τὸν φόβον τοῦ Θεοῦ, καὶ ἀμέσως θὰ γίνῃς πρᾶος καὶ ἐπιεικής.

4. Μαζὶ μὲ αὐτὰ διδάξου καὶ ἀπὸ τοὺς δούλους σου περὶ αὐτῶν τῶν πραγμάτων. Ἔτσι, ὅταν ἰδῇς τὸν μὲν ἑαυτόν σου νὰ ὑβρίζῃ, ἐκεῖνον δὲ νὰ σιωπᾷ, σκέψου ὅτι δείχνει μεγάλην καρτερικότητα καὶ καταδίκασε τὸν ἑαυτόν σου ὁ ὁποῖος ἐρεθίζεται, καὶ διδάξου ἀκόμη καὶ τὴν ὥρα τῶν ὕβρεων νὰ μὴ ὑβρίζῃς καὶ ἔτσι οὔτε ὅταν ὑβρίζεσαι θὰ πονέσῃς. Σκέψου ὅτι αὐτὸς ποὺ σὲ ὑβρίζει παρεφρόνησε καὶ μαίνεται καὶ δὲν θὰ ἀγανακτήσῃς καίτοι ὑβρίζεσαι. Διότι καὶ οἱ δαιμονισμένοι μᾶς κτυποῦν καὶ ὄχι μόνον δὲν ἀντιδρῶμεν, ἀλλὰ καὶ τοὺς εὐσπλαγχνιζόμεθα.

Αὐτὸ κάμε καὶ σύ· εὐσπλαγχνίσου αὐτὸν ποὺ σὲ ὑβρίζει· διότι κατέχεται ἀπὸ δεινὸν θηρίον, τὸν θυμόν· ἀπὸ τρομερὸν δαίμονα, τὴν ὀργήν. Ἐλευθέρωσε αὐτὸν ποὺ κατευθύνεται ἀπὸ φαβερὸν δαίμονα καὶ θὰ καταστραφῇ ἐντὸς ὀλίγου τελείως. Διότι τὸ νόσημα αὐτὸ εἶναι τοιαύτης φύσεως, ὥστε νὰ μὴ χρειάζεται πολὺν χρόνον διὰ νὰ καταστρέψῃ αὐτὸν ποὺ καταλαμβάνει. Δι' αὐτὸ καὶ κάποιος ἔλεγεν· «Διότι τὸ πάθος τοῦ θυμοῦ του εἶναι ἡ καταστροφή του»[5], θέλων μὲ αὐτὸ νὰ δείξῃ κυρίως τὴν τυραννικότητα τοῦ θυμοῦ, ὅτι δηλαδὴ μέσα εἰς βραχὺν χρόνον προκαλεῖ μεγάλα κακὰ καὶ ὅτι δὲν χρειάζεται πολλὴν χρονοτριβήν. Καθὼς ἐπίσης καὶ ὅτι ἐάν, μαζὶ μὲ τὴν δύναμιν, εἶναι καὶ μόνιμον πάθος, τότε γίνεται δυσκολοπολέμητον.

Ἤθελα νὰ σοῦ δείξω ποῖος εἶναι αὐτὸς ποὺ ὑβρίζει καὶ ποῖος αὐτὸς ποὺ ὑπομένει καὶ νὰ σοῦ παρουσιάσω γυμνὴν τὴν ψυχὴν τοῦ καθενός. Θὰ ἔβλεπες τότε τὴν μὲν μίαν νὰ ὁμοιάζῃ μ πέλαγος ποὺ συνταράσσεται ἀπὸ τὰ κύματα, τὴν δὲ ἄλλην μὲ λιμάνι ἀπηλλαγμένον θαλασσοτα-

τῶν πονηρῶν τούτων πνευμάτων, καὶ αὐτὰ καταλύει ῥαδίως. Καὶ γὰρ οἱ ὑβρίζοντες πάντα ποιοῦσιν ὥστε δακεῖν· ὅταν οὖν ταύτης ἐκπέσωσι τῆς ἐλπίδος, καὶ αὐτοὶ λοιπὸν καταλύουσι, καὶ διορθωθέντες ἀπέρχονται. Οὐ γάρ ἐστιν ἄνθρωπον ὀργιζόμενον μὴ σφόδρα καταγινώσκειν ἑαυτοῦ· ὥσπερ οὖν οὐκ ἔστι μὴ ὀργιζόμενον καταγινώσκειν ἑαυτοῦ. Κἂν γὰρ ἐπεξιέναι δέῃ, ἔξεστι χωρὶς ὀργῆς τοῦτο ποιῆσαι, καὶ εὐκολώτερον καὶ συνετώτερον, ἢ μετ' ὀργῆς, καὶ μηδὲν παθεῖν ἀηδές. Ἂν γὰρ ἐθέλωμεν, παρ' ἡμῶν αὐτῶν τὰ ἀγαθὰ ἔσται, καὶ αὐτάρκεις ἐσόμεθα μετὰ τῆς τοῦ Θεοῦ χάριτος πρὸς τὴν ἑαυτῶν ἀσφάλειαν καὶ τιμήν.

Τί γὰρ ζητεῖς τὴν παρ' ἑτέρου δόξαν; Σὺ σαυτὸν τίμησον, καὶ οὐδείς σε ὑβρίσαι δυνήσεται· ἂν δὲ σὺ σαυτὸν ἀτιμάσῃς, κἂν ἅπαντάς σε τιμῶσιν, οὐ τιμηθήσῃ. Ὥσπερ γὰρ ἐὰν μὴ ἑαυτοὺς κακῶς διαθῶμεν, οὐδεὶς ἡμᾶς ἕτερος διαθήσει· οὕτως ἐὰν μὴ ἑαυτοὺς ὑβρίσωμεν, οὐδεὶς ἡμᾶς ἕτερος καταισχυνεῖ. Ἔστω γάρ τις ἀνὴρ θαυμαστὸς καὶ μέγας, καὶ πάντες αὐτὸν μοιχὸν καλείτωσαν, κλέπτην, τυμβωρύχον, ἀνδροφόνον, λῃστήν· ἐκεῖνος δὲ μήτε παροξυνέσθω, μήτε ἀγανακτείτω, μήτε συνειδέτω τι τούτων ἑαυτῷ· ποίαν ἐντεῦθεν ὕβριν ὑπομενεῖ; Οὐδεμίαν. Τί οὖν, ἂν πολλοὶ τοιαύτην περὶ αὐτοῦ δόξαν ἔχωσι; φησίν. Οὐδὲ οὕτως ὑβρίσθη, ἀλλ' ἐκεῖνοι ἑαυτοὺς κατῄσχυναν τὸν οὐ τοιοῦτον τοιοῦτον νομίζοντες. Εἰπὲ γάρ μοι, εἴ τις τὸν ἥλιον σκοτεινὸν εἶναι νομίζοι, ἆρα τὸ ἄστρον διέβαλεν, ἢ ἑαυτόν; Ἑαυτὸν δηλονότι, πηροῦ δόξαν ἢ μαινομένου ἑαυτῷ περιθείς. Οὕτω καὶ οἱ τοὺς

ραχῆς. Διότι οὔτε συνταράσσεται ἀπὸ τὰ πονηρὰ αὐτὰ δαιμόνια καὶ τὰ καταβάλλει εὐκόλως. Διότι ἐκεῖνοι ποὺ ὑβρίζουν κάνουν τὰ πάντα ὥστε νὰ δαγκώσουν· ὅταν λοιπὸν χάσουν αὐτὴν τὴν ἐλπίδα, τότε καὶ αὐτοὶ παραιτοῦνται καὶ σωφρονισμένοι ἀποχωροῦν. Διότι δὲν εἶναι δυνατὸν ἄνθρωπος ὁ ὁποῖος ὀργίζεται νὰ μὴ κατακρίνῃ τὸν ἑαυτόν του, ὅπως δὲν εἶναι δυνατὸν ἄνθρωπος ποὺ δὲν ὀργίζεται νὰ κατηγορῇ τὸν ἑαυτόν του. Διότι καὶ ἂν ἀκόμη πρέπει νὰ ἐπιτεθῇς, εἶναι δυνατὸν νὰ τὸ κάνῃς χωρὶς ὀργήν, καὶ μάλιστα εὐκολώτερα καὶ φρονιμώτερα, παρ' ὅσον μὲ τὴν ὀργήν, καὶ χωρὶς νὰ πάθῃς τίποτε τὸ ἀηδές. Διότι ἐὰν θέλωμεν, ἀπὸ ἡμᾶς τοὺς ἰδίους θὰ ἔλθουν τὰ ἀγαθὰ καὶ μὲ τὴν χάριν τοῦ Θεοῦ θὰ γίνωμεν αὐτάρκεις εἰς τὴν ἀσφάλειαν καὶ τιμήν μας.

Διατί ἐπὶ τέλους ζητεῖς τὴν δόξαν ἀπὸ ἄλλον; Σὺ τίμησε τὸν ἑαυτόν σου καὶ κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ σὲ ὑβρίσῃ. Ἐνῷ ἐὰν σὺ ἀτιμάσῃς τὸν ἑαυτόν σου, καὶ ἂν ἀκόμη ὅλοι σὲ τιμοῦν, δὲν θὰ τιμηθῇς. Διότι ὅπως, ὅταν δὲν διαθέσωμεν ἐμεῖς τοὺς ἑαυτούς μας κακῶς, κανεὶς ἄλλος δὲν ἠμπορεῖ νὰ μᾶς διαθέσῃ, ἔτσι καὶ ἐὰν δὲν ὑβρίσωμεν τοὺς ἑαυτούς μας, κανεὶς ἄλλος δὲν θὰ μᾶς καταισχύνῃ. Ἂς ὑποθέσωμεν ὅτι ὑπάρχει κάποιος ἄνδρας ἀξιοθαύμαστος καὶ σπουδαῖος καὶ ὅτι ὅλοι τὸν ἀποκαλοῦν μοιχόν, κλέπτην, τυμβωρύχον, δολοφόνον, λῃστήν· ἐκεῖνος ὅμως οὔτε ὀργίζεται, οὔτε ἀγανακτεῖ, οὔτε πιστεύει κάτι τέτοιο διὰ τὸν ἑαυτόν του. Ποίαν ὕβριν θὰ ὑποστῇ ἀπὸ αὐτό; Καμμίαν. Ἐπομένως, τί καὶ ἂν πολλοὶ ἔχουν αὐτὴν τὴν γνώμην περὶ αὐτοῦ; Δὲν μειώνεται μὲ αὐτό· ἀντιθέτως, ἐκεῖνοι ἐντροπιάζουν τοὺς ἑαυτούς των, διότι νομίζουν ὅτι εἶναι τέτοιος, ἐνῷ δὲν εἶναι. Διότι, εἰπέ μου, ἐὰν κάποιος νομίζῃ ὅτι ὁ ἥλιος εἶναι σκοτεινός, διαβάλλει τὸν φωστῆρα ἢ τὸν ἑαυτόν του; Εἶναι ὁλοφάνερον ὅτι διαβάλλει τὸν ἑαυτόν του, διότι δημιουργεῖ τὴν ἐντύπωσιν διὰ τὸν ἑαυτόν του ὅτι εἶναι τυφλὸς ἢ τρελλός. Ἔτσι, καὶ ἐκεῖνοι οἱ ὁποῖοι νομίζουν καλοὺς τοὺς πονηρούς, καθὼς καὶ οἱ ἀντίθετοι,

πονηροὺς ἀγαθοὺς νομίζοντες, καὶ οἱ τοὐναντίον, ἑαυτοὺς καταισχύνουσι.

Διὸ χρὴ πλείονα ποιεῖσθαι σπουδήν, ὥστε τὸ συνειδὸς ἡμῶν ἐκαθαίρειν, καὶ μηδεμίαν καθ' ἡμῶν αὐτῶν παρέχειν λαβήν, μηδὲ ὑποψίαν πονηράν· εἰ δὲ ἕτεροι βούλοιντο μαίνεσθαι, καὶ οὕτω διακειμένων ἡμῶν, μὴ σφόδρα φροντίζειν, μηδὲ ἀλγεῖν. Ὁ μὲν γὰρ πονηροῦ δόξαν λαβών, ἀγαθὸς ὤν, οὐδὲν ἐντεῦθεν βλάπτεται εἰς τὸ εἶναι τοιοῦτος, οἷός ἐστιν· ὁ δὲ ὑποπτεύσας εἰκῇ καὶ μάτην, τὴν ἐσχάτην ἐδέξατο λύμην· ὥσπερ οὖν καὶ ὁ πονηρός, ἂν ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύηται, οὐδὲν ἐντεῦθεν κερδανεῖ, ἀλλὰ καὶ κρίμα ἕξει μεῖζον, καὶ εἰς πλείονα ἥξει ῥαθυμίαν.

Ὁ μὲν γὰρ ὢν τοιοῦτος καὶ ὑποπτευόμενος, κἂν ταπεινωθείη καὶ ἐπιγνοίη τὰ ἁμαρτήματα αὐτοῦ· ὅταν δὲ λανθάνῃ, εἰς ἀναλγησίαν ἐκπίπτει. Εἰ γὰρ πάντων κατηγορούντων μόλις διανίστανται οἱ πλημμελοῦντες εἰς τὸ κατανύττεσθαι· ὅταν μὴ μόνον μὴ κατηγορῶσιν, ἀλλὰ καὶ ἐπαινῶσί τινες αὐτούς, πότε διαβλέψει δυνήσονται οἱ τῇ κακίᾳ συζῶντες; Οὐκ ἀκούεις, ὅτι καὶ Παῦλος τοῦτο ἐγκαλεῖ, ὅτι τὸν πεπορνευκότα οὐ μόνον οὐκ ἠφίεσαν ἐπιγνῶναι τὸ οἰκεῖον ἁμάρτημα Κορίνθιοι, κροτοῦντες, τιμῶντες αὐτόν, ἀλλὰ καὶ ἐπέτριβον εἰς κακίαν ἐντεῦθεν;

Διὸ παρακαλῶ, τὰς τῶν πολλῶν ὑπονοίας ἀφέντες, καὶ τὰς ὕβρεις καὶ τὰς τιμάς, ἓν σπουδάζωμεν μόνον, τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρόν, μηδὲ ἑαυτοὺς καθυβρίζειν. Οὕτω γὰρ καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι πολλῆς ἀπολαυσόμεθα δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Α΄ Κορ. 5, 1-2.

τοὺς ἑαυτούς των καταισχύνουν.

Δι' αὐτὸ πρέπει νὰ καταβάλλωμεν περισσοτέραν προσπάθειαν ὥστε νὰ καθαρίσωμεν τὴν συνείδησίν μας καὶ νὰ μὴ δίδωμεν καμμίαν λαβὴν εἰς βάρος μας, οὔτε πονηρὰν ὑποψίαν. Ἐὰν δὲ ἄλλοι θέλουν νὰ εἶναι τρελλοὶ καὶ ὅταν ἐμεῖς συμπεριφερώμεθα ἔτσι, νὰ μὴ δίδωμεν σημασίαν, οὔτε νὰ ἐνοχλούμεθα. Διότι ἐκεῖνος μὲν ὁ ὁποῖος ἀπέκτησε φήμην πονηροῦ, ἐνῷ εἶναι ἀγαθός, δὲν ἐμποδίζεται καθόλου νὰ εἶναι τέτοιος ποὺ εἶναι. Ἐκεῖνος δὲ ὁ ὁποῖος ἄδικα καὶ μάταια τὸν ὑποπτεύθηκε, δέχεται τὴν χειροτέραν βλάβην. Ἔτσι ἀκριβῶς καὶ ὁ πονηρός, ἐὰν τὸν ὑποπτεύωνται διὰ τὸ ἀντίθετον, τίποτε δὲν κερδίζει ἀπὸ αὐτό, ἀντιθέτως μάλιστα θὰ ἔχῃ μεγαλύτερον κρίμα καὶ θὰ καταντήσῃ εἰς περισσοτέραν ὀκνηρίαν.

Διότι ἐκεῖνος μὲν ὁ ὁποῖος εἶναι καὶ θεωρεῖται πονηρός, ἠμπορεῖ νὰ ταπεινωθῇ καὶ νὰ ἀναγνωρίσῃ τὰ ἁμαρτήματά του. Ἐνῷ ὅταν ξεφεύγῃ, περιπίπτει εἰς ἀναλγησίαν. Διότι ἐὰν οἱ ἁμαρτάνοντες, ὅταν οἱ πάντες τοὺς κατηγοροῦν, μόλις συγκινοῦνται καὶ συνέρχονται, ὅταν ὄχι μόνον δὲν τοὺς κατηγοροῦν, ἀλλὰ μερικοὶ καὶ τοὺς ἐπαινοῦν, πότε θὰ ἠμπορέσουν νὰ τὸ ἀντιληφθοῦν αὐτοὶ οἱ ὁποῖοι συζοῦν μὲ τὴν κακίαν; Δὲν ἀκοῦς ὅτι καὶ ὁ Παῦλος κατακρίνει τὸ ὅτι οἱ Κορίνθιοι ὄχι μόνον δὲν ἄφησαν ἐκεῖνον ποὺ εἶχε πορνεύσει νὰ συναισθανθῇ τὸ ἁμάρτημά του, μὲ τὸ νὰ τὸν ἐπικροτοῦν καὶ νὰ τὸν τιμοῦν, ἀλλὰ καὶ ὅτι τὸν ὤθουσαν μὲ τὸν τρόπον αὐτὸν εἰς τὴν κακίαν;[6]

Δι' αὐτὸ παρακαλῶ, ἀφοῦ ἀφήσωμεν τὰς ὑπονοίας τῶν πολλῶν καὶ τὰς ὕβρεις καὶ τὰς τιμάς, ἕνα μόνον νὰ ἐπιδιώξωμεν, νὰ μὴ ἐπιτρέψωμεν εἰς τὴν συνείδησίν μας τίποτε τὸ πονηρὸν καὶ νὰ μὴ ὑβρίζωμεν ἐμεῖς τὸν ἑαυτόν μας. Διότι ἔτσι καὶ ἐδῶ καὶ εἰς τὸ μέλλον θὰ ἀπολαύσωμεν πολλὴν δόξαν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΗ΄.

Ματθ. 27, 45-61

«Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἔκραξεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, καὶ εἶπεν· ἠλί, ἠλί, λιμὰ σαβαχθανί; τουτέστι, Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον, ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν».

1. Τοῦτό ἐστι τὸ σημεῖον, ὅπερ ἔμπροσθεν αἰτοῦσιν· ὑπέσχετο δώσειν, λέγων· «Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου»· τὸν σταυρὸν λέγων καὶ τὸν θάνατον, καὶ τὸν τάφον καὶ τὴν ἀνάστασιν.

Καὶ πάλιν ἑτέρως δηλῶν τοῦ σταυροῦ τὴν ἰσχὺν ἔλεγεν· «Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὅταν σταυρώσητέ με καὶ νομίσητε περιγεγενῆσθαί μου, τότε μάλιστα εἴσεσθέ μου τὴν ἰσχύν. Μετὰ γὰρ τὸ σταυρωθῆναι ἡ πόλις ἀπώλετο, τὰ Ἰουδαϊκὰ ἐπαύσατο, τῆς πολιτείας καὶ τῆς ἐλευθερίας ἐξέπεσον τῆς ἑαυτῶν, τὸ κήρυγμα ἤνθησε, πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἐξετάθη ὁ λόγος· καὶ γῆ καὶ θάλαττα, καὶ ἡ οἰκουμένη καὶ ἡ ἀοίκητος τὴν δύναμιν αὐτοῦ διαπαντὸς ἀνακηρύττουσι.

Ταῦτά τε οὖν φησι, καὶ τὰ παρ' αὐτὸν τὸν καιρὸν τοῦ σταυροῦ συμβάντα. Καὶ γὰρ πολλῷ θαυμαστότερον ἐπὶ τοῦ σταυροῦ προσηλωμένου ταῦτα γίνεσθαι, ἢ βαδίζοντος ἐπὶ τῆς γῆς. Οὐ ταύτῃ δὲ μόνον τὸ παράδοξον ἦν, ἀλλ' ὅτι καὶ

1. Ματθ. 12, 39.
2. Ἰω. 8, 28.

ΟΜΙΛΙΑ ΠΗ΄.

Ματθ. 27, 45-61

«Ἀπὸ τὴν ἕκτην ὥραν δὲ ἔγινε σκοτάδι εἰς ὅλην τὴν γῆν μέχρι τὴν ἐνάτην ὥραν. Κατὰ τὴν ἐνάτην δὲ ὥραν ἐφώναξεν ὁ Ἰησοῦς μὲ δυνατὴν φωνὴν καὶ εἶπεν· Ἠλί, Ἠλί, λιμὰ σαβαχθανί; δηλαδή, Θεέ μου, Θεέ μου, διατί μὲ ἐγκατέλειψες; Μερικοὶ δὲ ἀπὸ ἐκείνους ποὺ ἦσαν ἐκεῖ, ὅταν ἤκουσαν αὐτὰ εἶπαν· Τὸν Ἠλίαν φωνάζει αὐτός. Καὶ ἀμέσως ἕνας ἀπὸ αὐτοὺς ἔτρεξεν, ἐπῆρε σπόγγον, τὸν ἐγέμισε μὲ ὄξος καὶ ἀφοῦ τὸν ἔβαλεν εἰς καλάμι τὸν ἐπότιζεν».

1. Αὐτὸ εἶναι τὸ σημεῖον, τὸ ὁποῖον ὅταν εἰς τὸ παρελθὸν ἐζητοῦσαν ὑπεσχέθη νὰ δώσῃ λέγων· «Ἡ γενεὰ ἡ πονηρὰ καὶ μοιχαλὶς ζητεῖ θαῦμα καὶ θαῦμα δὲν θὰ τῆς δοθῇ ἄλλο παρὰ τὸ θαῦμα τοῦ προφήτου Ἰωνᾶ»[1], ἐννοῶν τὴν σταύρωσιν καὶ τὸν θάνατον καὶ τὴν ταφὴν καὶ τὴν ἀνάστασιν.

Ἄλλος πάλιν φανερώνων τὴν δύναμιν τοῦ σταυροῦ ἔλεγεν· «Ὅταν θὰ ὑψώσετε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε θὰ γνωρίσετε ὅτι ἐγὼ εἶμαι»[2]. Αὐτὸ δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· ὅταν μὲ σταυρώσετε καὶ νομίσετε ὅτι μοῦ ἔχετε ἐπιβληθῆ, τότε ἀκριβῶς θὰ γνωρίσετε τὴν δύναμίν μου. Διότι μετὰ τὴν σταύρωσιν κατεστράφη ἡ πόλις, κατηργήθησαν τὰ ἰουδαϊκὰ ἤθη καὶ ἔθιμα, ἔχασαν τὴν ζωὴν καὶ τὴν ἐλευθερίαν των, τὸ κήρυγμα ἤκμασεν, εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐξηπλώθη ὁ λόγος τοῦ σταυροῦ. Ἡ ξηρὰ καὶ ἡ θάλασσα, τόσον ἡ κατοικουμένη ὅσον καὶ ἡ ἀκατοίκητος, διακηρύσσουν διαρκῶς τὴν δύναμίν του.

Καὶ αὐτὰ λοιπὸν ἐννοεῖ καὶ ἐκεῖνα ποὺ συνέβησαν κατὰ τὴν στιγμὴν τῆς σταυρώσεως. Διότι πράγματι αὐτὰ ἔγιναν κατὰ πολὺ πιὸ θαυμαστὸν τρόπον ὅταν ἐκαρφώνετο ἐπάνω εἰς τὸν σταυρὸν παρὰ ὅταν ἐβάδιζεν εἰς τὴν γῆν. Καὶ δὲν

ἐκ τοῦ οὐρανοῦ γέγονεν, ὅπερ ἐζήτουν· καὶ ἐπὶ πᾶσαν τὴν οἰκουμένην, ὅπερ οὐδέποτε πρότερον συνέβη, ἀλλ' ἢ ἐν Αἰγύπτῳ μόνον, ὅτε τὸ Πάσχα τελεῖσθαι ἔμελλε. Καὶ γὰρ ἐκεῖνα τούτων τύπος ἦν. Καὶ σκόπει πότε γίνεται. Ἐν μέσῃ ἡμέρᾳ, ἵνα πάντες οἱ τὴν γῆν οἰκοῦντες μάθωσιν· ὅτε πανταχοῦ τῆς οἰκουμένης ἡμέρα ἦν· ὅπερ ἱκανὸν ἦν αὐτοὺς ἐπιστρέψαι, οὐ τῷ μεγέθει τοῦ θαύματος, ἀλλὰ καὶ τῷ εὐκαίρως συμβῆναι.

Μετὰ γὰρ πάντα τὰ τῆς παροινίας, καὶ τῆς παρανόμου κωμῳδίας, τοῦτο γίνεται, ὅτε τὸν θυμὸν εἴασαν, ὅτε ἀνεπαύσαντο γελῶντες, ὅτε κόρον ἔλαβον τῶν σκωμμάτων, καὶ πάντα ἐφθέγξαντο ἅπερ ἠθέλησαν· τότε δείκνυσι τὸ σκότος, ἵνα κἂν οὕτω τὴν ὀργὴν ἀφέντες κερδάνωσιν ἀπὸ τοῦ θαύματος. Τοῦ γὰρ καταβῆναι ἀπὸ τοῦ σταυροῦ τοῦτο θαυμαστότερον ἦν, τὸ ὄντα ἐν τῷ σταυρῷ ταῦτα ἐνεργεῖν. Εἴτε γὰρ αὐτὸν αὐτὰ ἐνόμιζον πεποιηκέναι, ἔδει πιστεῦσαι καὶ φοβηθῆναι· εἴτε οὐκ αὐτόν, ἀλλὰ τὸν Πατέρα, καὶ ἐκ τούτων ἔδει κατανυγῆναι· ὀργιζομένου γὰρ ἦν ἐπὶ τοῖς τολμωμένοις τὸ σκότος ἐκεῖνο.

Ὅτι γὰρ οὐκ ἦν ἔκλειψις, ἀλλ' ὀργή τε καὶ ἀγανάκτησις, οὐκ ἐντεῦθεν μόνον δῆλον ἦν, ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ· τρεῖς γὰρ ὥρας παρέμεινεν ἡ δὲ ἔκλειψις ἐν μιᾷ γίνεται καιροῦ ῥοπῇ· καὶ ἴσασιν οἱ ταύτην τεθεαμένοι· καὶ γὰρ καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας συνέβη. Καὶ πῶς οὐκ ἐθαύμασαν, φησίν, ἅπαντες, οὐδὲ ἐνόμισαν εἶναι Θεόν; Ὅτι τὸ τῶν ἀνθρώπων γένος τότε ἐν πολλῇ ῥᾳθυμίᾳ καὶ κακίᾳ κατείχετο. Καὶ τὸ θαῦμα τοῦτο ἓν ἦν, καὶ γενόμενον εὐθέως

ἦτο μόνον δι' αὐτὸ τὸ παράδοξον, ἀλλὰ καὶ διότι ἔγινεν ἀπὸ τὸν οὐρανόν, αὐτὸ τὸ ὁποῖον ἐζητοῦσαν, καὶ μάλιστα εἰς ὁλόκληρον τὴν οἰκουμένην, πρᾶγμα τὸ ὁποῖον οὐδέποτε ἄλλοτε εἰς τὸ παρελθὸν εἶχε συμβῇ, παρὰ μόνον εἰς τὴν Αἴγυπτον, ὅταν ἐπρόκειτο νὰ τελεσθῇ τὸ Πάσχα. Καὶ τοῦτο διότι καὶ ἐκεῖνα ἦσαν προτύπωσις αὐτῶν. Καὶ πρόσεξε πότε γίνεται. Εἰς τὸ μέσον τῆς ἡμέρας, διὰ νὰ τὸ μάθουν ὅλοι ὅσοι κατοικοῦν τὴν γῆν· ὅταν εἰς ὁλόκληρον τὴν οἰκουμένην ἦτο ἡμέρα, πρᾶγμα τὸ ὁποῖον ἦτο ἀρκετὸν νὰ τοὺς ἐπιστρέψῃ, ὄχι μόνον μὲ τὸ μέγεθος τοῦ θαύματος, ἀλλὰ καὶ διότι συνέβη εἰς τὴν κατάλληλον στιγμήν.

Διότι ἔγινε μετὰ ἀπὸ ὅλας τὰς πράξεις τῆς μέθης καὶ τῆς παρανόμου διακωμῳδήσεως, ὅταν ἀπέβαλαν τὸν θυμόν, ὅταν ἔπαυσαν νὰ γελοῦν, ὅταν ἐχόρτασαν νὰ κοροϊδεύουν καὶ εἶπαν ὅλα ὅσα ἤθελαν νὰ εἰποῦν. Παρουσιάζει τὸ σκοτάδι τότε, μήπως ἔστω καὶ ἔτσι, ἀφοῦ ἄφησαν τὴν ὀργήν, ὠφεληθοῦν ἀπὸ τὸ θαῦμα. Διότι ἀπὸ τὸ νὰ κατεβῇ ἀπὸ τὸν Σταυρόν, αὐτὸ ἦτο περισσότερον ἄξιον θαυμασμοῦ, τὸ νὰ κάνῃ αὐτὰ εὑρισκόμενος ἐπάνω εἰς τὸν Σταυρόν. Διότι, εἴτε ἐπίστευαν ὅτι τὰ ἔκανεν Ἐκεῖνος, ἔπρεπε νὰ πιστεύσουν καὶ νὰ φοβηθοῦν, εἴτε ἐπίστευαν ὅτι δὲν τὰ ἔκανεν Ἐκεῖνος, ἀλλὰ ὁ Πατήρ, καὶ πάλιν ἔπρεπε νὰ συγκινηθοῦν βαθέως· διότι τὸ σκοτάδι ἐκεῖνο ἦτο ἐνέργεια ὀργῆς δι' ὅσα εἶχαν ἀποτολμηθῆ.

Ὅτι δὲ δὲν ἦτο ἔκλειψις, ἀλλὰ ὀργὴ καὶ ἀγανάκτησις, δὲν φαίνεται μόνον ἀπὸ αὐτά, ἀλλὰ καὶ ἀπὸ τὴν διάρκειαν· διότι παρέμεινεν ἐπὶ τρεῖς ὥρας, ἐνῷ ἡ ἔκλειψις γίνεται ἐντὸς ἐλαχίστου χρονικοῦ διαστήματος· καὶ τὴν γνωρίζουν ἐκεῖνοι ποὺ τὴν εἶδαν, διότι συνέβη καὶ εἰς τὴν ἰδικήν μας γενεάν. Καὶ πῶς δὲν ἐθαύμασαν ὅλοι, θὰ ἐρωτήσῃ κανείς, οὔτε ἐπίστευσαν ὅτι εἶναι Θεός; Ἐπειδὴ τὸ γένος τῶν ἀνθρώπων τότε διακατείχετο ἀπὸ πολλὴν νωθρότητα καὶ κακίαν. Καὶ τὸ θαῦμα αὐτὸ ἕνα ἦτο καὶ ἀφοῦ ἔγινεν ἀμέσως

παρῆλθε· καὶ οὐδενὶ τὴν αἰτίαν ἐπιζητῆσαι ἐμέλησε· καὶ πολλὴ τῆς ἀσεβείας ἡ πρόληψις ἦν καὶ ἡ συνήθεια. Καὶ οὐδὲ ᾔδεσαν τίς ἡ αἰτία τοῦ γινομένου· καὶ ἐνόμιζον ἴσως κατ' ἔκλειψιν ἢ ἑτέραν τινὰ ἀκολουθίαν φυσικὴν γεγενῆσθαι τοῦτο.

Καὶ τί θαυμάζεις περὶ τῶν ἔξω τῶν οὐδὲν εἰδότων, οὐδὲ ἐπιζητησάντων διὰ ῥαθυμίαν πολλήν, ὅπου γε οἱ ἐν αὐτῇ τῇ Ἰουδαίᾳ ὄντες, μετὰ τοσαῦτα θαύματα, ἔτι ἐπέμενον ἐνυβρίζοντες, καίτοι σαφῶς αὐτοῖς ἐδείκνυ, ὅτι αὐτὸς τοῦτο εἰργάσατο; Διὰ γὰρ τοῦτο καὶ μετὰ τοῦτο φθέγγεται, ἵνα μάθωσιν ὅτι ἔτι ζῇ, καὶ αὐτὸς τοῦτο ἐποίησε, καὶ γένωνται κἀντεῦθεν ἐπιεικέστεροι· καὶ λέγει, «Ἠλί, Ἠλί, λιμὰ σαβαχθανί», ἵνα μέχρις ἐσχάτης ἀναπνοῆς ἴδωσιν ὅτι τιμᾷ τὸν Πατέρα, καὶ οὐκ ἔστιν ἀντίθεος. Διὸ καὶ προφητικὴν ἀφῆκέ τινα φωνήν, μέχρις ἐσχάτης ὥρας μαρτυρῶν τῇ παλαιᾷ· καὶ οὐχ ἁπλῶς προφητικήν, ἀλλὰ καὶ ἑβραϊκὴν φωνήν, ὥστε αὐτοῖς γενέσθαι γνώριμον καὶ κατάδηλον· καὶ διὰ πάντων δείκνυσιν αὐτοῦ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν γεγεννηκότα.

Ἀλλὰ ὅρα καὶ ἐντεῦθεν τὴν ἀσέλγειαν, καὶ τὴν ἀκολασίαν, καὶ τὴν ἄνοιαν. Ἐνόμισαν Ἠλίαν εἶναι, φησί, τὸν καλούμενον, καὶ εὐθέως ἐπότισαν αὐτὸν ὄξος. «Ἕτερος δὲ προσελθὼν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε». Τί γένοιτ' ἂν τούτων παρανομώτερον, τί δὲ θηριωδέστερον, οἳ μέχρι τοσούτου τὴν ἑαυτῶν μανίαν ἐξέτειναν, καὶ εἰς νεκρὸν σῶμα λοιπὸν ὑβρίζοντες; Σὺ δέ μοι σκόπει πῶς ταῖς παρανομίαις αὐτῶν εἰς ἡμετέραν κέχρηται σωτηρίαν. Μετὰ γὰρ τὴν πληγὴν αἱ πηγαὶ τῆς σωτηρίας ἡμῶν ἐκεῖθεν ἀνέβλυσαν.

«Ὁ δὲ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦ-

ἐπέρασε καὶ κανεὶς δὲν ἐφρόντισε νὰ ἐρευνήσῃ τὴν αἰτίαν, διότι εἶναι μεγάλη ἡ πρόληψις εἰς τὴν ἀσέβειαν καὶ ἡ συνήθεια. Ἔτσι, οὔτε ἐγνώριζαν ποία ἦτο ἡ αἰτία τοῦ φαινομένου, ἴσως δὲ καὶ νὰ ἐνόμιζαν ὅτι τοῦτο εἶχε γίνει ἀπὸ ἔκλειψιν ἢ ἀπὸ κάποιαν ἄλλην αἰτίαν φυσικήν.

Καὶ διατί ἀπορεῖς περὶ τῶν ἐθνικῶν οἱ ὁποῖοι δὲν ἐγνώριζαν τίποτε, οὔτε ἐπεδίωξαν νὰ μάθουν ἐξ αἰτίας τῆς πολλῆς ἀδιαφορίας των, τὴν στιγμὴν κατὰ τὴν ὁποίαν ἐκεῖνοι ποὺ εὑρίσκοντο εἰς αὐτὴν τὴν Ἰουδαίαν, ὕστερα ἀπὸ τόσα θαύματα, ἐξηκολούθουν νὰ τὸν ὑβρίζουν, μολονότι τοὺς ἔδειχνε καθαρὰ ὅτι Ἐκεῖνος τὸ εἶχε κάνει αὐτό; Δι' αὐτὸ ἄλλωστε ὁμιλεῖ καὶ μετὰ ἀπὸ αὐτό, διὰ νὰ μάθουν ὅτι ἀκόμη ζῇ καὶ ὅτι Αὐτὸς τὸ ἔκανε καὶ νὰ γίνουν καὶ ἀπὸ αὐτὸ ἐπιεικέστεροι. Καὶ λέγει· «Ἠλί, Ἠλί, λιμὰ σαβαχθανί», διὰ νὰ ἰδοῦν ὅτι μέχρι τὴν τελευταίαν πνοήν Του τιμᾷ τὸν Πατέρα καὶ δὲν εἶναι ἀντίθεος. Δι' αὐτὸ καὶ ἔβγαλεν αὐτὴν τὴν προφητικὴν φωνήν, ἐπιβεβαιώνων μέχρι τῆς τελευταίας ὥρας τὴν Παλαιὰν Διαθήκην. Μάλιστα ὄχι μόνον προφητικήν, ἀλλὰ καὶ ἑβραϊκὴν φωνήν, διὰ νὰ τοὺς φανῇ γνωστὴ καὶ καταφανής. Καὶ γενικῶς μὲ ὅλα δείχνει τὴν συμφωνίαν Του πρὸς Ἐκεῖνον ποὺ τὸν ἐγέννησεν.

Ἀλλὰ κύττα καὶ ἀπὸ αὐτὸ τὴν ἀσέλγειαν καὶ τὴν ἀκολασίαν καὶ τὴν μωρίαν των. Ἐνόμισαν, λέγει, ὅτι καλεῖ τὸν Ἠλίαν καὶ ἀμέσως τὸν ἐπότισαν ὄξος. Ἐνῷ ἄλλος προσῆλθε καὶ ἐτρύπησε τὴν πλευράν Του μὲ λόγχην. Τί ἄλλο θὰ ἠμποροῦσε νὰ γίνῃ περισσότερον παράνομον καὶ θηριῶδες, ἀπὸ αὐτοὺς τῶν ὁποίων ἡ μανία ἔφθασε μέχρι τοιούτου σημείου, ὥστε νὰ ἐξυβρίζουν ἀκόμη καὶ νεκρὸν σῶμα; Σὺ δὲ κάνε μου τὴν χάριν νὰ προσέξῃς τὸν τρόπον μὲ τὸν ὁποῖον χρησιμοποιεῖ τὰς παρανομίας αὐτῶν διὰ τὴν ἰδικήν μας σωτηρίαν. Διότι μετὰ ἀπὸ τὴν πληγὴν Ἐκείνου, ἀνέβλυσαν ἀπ' ἐκεῖ αἱ πηγαὶ τῆς σωτηρίας μας.

«Ὁ δὲ Ἰησοῦς, ἀφοῦ ἐφώναξε μὲ δυνατὴν φωνήν, ἀ-

μα». Τοῦτό ἐστιν ὃ ἔλεγεν· «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»· καί, «Ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ». Διὰ τοῦτο γὰρ φωνῇ ἔκραξεν, ἵνα δειχθῇ ὅτι κατ' ἐξουσίαν τὸ πρᾶγμα γίνεται. Ὁ γοῦν Μᾶρκος, φησίν, ὅτι ἐθαύμασεν ὁ Πιλᾶτος, εἰ ἤδη ἐτεθνήκει· καὶ ὅτι ὁ κεντυρίων διὰ τοῦτο μάλιστα ἐπίστευσεν, ὅτι μετ' ἐξουσίας ἀπέθανεν.

Αὕτη ἡ φωνὴ τὸ καταπέτασμα ἔσχισε, καὶ τὰ μνημεῖα ἀνέῳξε, καὶ τὸν οἶκον ἐποίησεν ἔρημον. Ἐποίησε δὲ τοῦτο οὐκ ἐνυβρίζων εἰς τὸν ναὸν (πῶς γάρ, ὁ λέγων, «Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου»), ἀλλ' ἀναξίους αὐτοὺς ἀποφαίνων καὶ τῆς ἐκεῖ διατριβῆς, ὥσπερ οὖν καὶ ὅτε παρέδωκεν αὐτὸν τοῖς Βαβυλωνίοις. Οὐ διὰ τοῦτο δὲ μόνον ταῦτα ἐγίνετο, ἀλλὰ καὶ προφητεία τῆς μελλούσης ἐρημώσεως ἦν τὸ συμβαῖνον, καὶ τῆς ἐπὶ τὰ μείζω καὶ ὑψηλότερα μεταθέσεως, καὶ τῆς ἰσχύος αὐτοῦ.

2. Μετὰ δὲ τούτων καὶ ἐκ τῶν μετὰ ταῦτα ἑαυτὸν ἐδείκνυ, ἐκ τῆς τῶν νεκρῶν ἀναστάσεως, ἐκ τῆς τοῦ φωτὸς ἀμαυρώσεως, ἐκ τῆς τῶν στοιχείων ἀλλοιώσεως. Ἐπὶ μὲν γὰρ Ἐλισσαίου νεκρὸς εἷς ἁψάμενος νεκροῦ ἀνέστη· νυνὶ δὲ φωνὴ αὐτοὺς ἤγειρε, τοῦ σώματος ἄνω κειμένου ἐπὶ τοῦ σταυροῦ. Ἄλλως δὲ καὶ ἐκεῖνα τούτου τύπος ἦν. Ἵνα γὰρ τοῦτο πιστευθῇ, διὰ τοῦτο κἀκεῖνο γίνεται. Καὶ οὐχ ἁπλῶς ἐγείρονται, ἀλλὰ καὶ πέτραι ῥήγνυνται, καὶ ἡ γῆ σείεται, ἵνα μάθωσιν ὅτι καὶ αὐτοὺς ἠδύνατο καὶ πηρῶσαι καὶ ῥῆξαι. Ὁ γὰρ πέτρας διατεμών, καὶ τὴν οἰκουμένην σκοτίσας, πολλῷ μᾶλλον εἰς ἐκείνους ταῦτα ἐποίησεν ἄν, εἴ γε ἐβούλετο. Ἀλλ' οὐκ ἠ-

3. Ἰω. 10, 18.
4. Αὐτόθι.
5. Μάρκ. 15, 44 καὶ 39.
6. Ἰω. 2, 16.
7. Δ' Βασιλ. 13, 21.

φησε τὸ πνεῦμά Του». Αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἔλεγεν ὅτι «Ἔχω ἐξουσίαν νὰ θυσιάσω τὴν ζωήν μου καὶ ἔχω ἐξουσίαν πάλιν νὰ τὴν πάρω»[3], καί· «Ἐγὼ τὴν θυσιάζω οἰκειοθελῶς»[4]. Δι' αὐτὸ ἄλλωστε ἐφώναξε, διὰ νὰ φανῇ ὅτι ὁ θάνατος γίνεται μὲ τὴν ἰδικήν Του ἐξουσίαν. Ὁ Μᾶρκος λοιπὸν λέγει ὅτι ὁ Πιλᾶτος ἠπόρησε πῶς ἀπέθανε τόσον γρήγορα, καὶ ὅτι ὁ ἑκατόνταρχος δι' αὐτὸ κυρίως ἐπίστευσεν, διότι ἀπέθανε μὲ ἐξουσίαν[5].

Αὐτὴ ἡ φωνὴ ἔσχισε τὸ παραπέτασμα τοῦ ναοῦ καὶ ἤνοιξε τὰ μνημεῖα καὶ ἔκανεν ἔρημον τὸν ναόν. Τὸ ἔκανε δὲ αὐτὸ ὄχι διὰ νὰ δείξῃ ἀσέβειαν πρὸς τὸν ναόν, (διότι πῶς θὰ τὸ ἔκανεν αὐτὸ Αὐτὸς ποὺ λέγει· «Μὴ κάμνετε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου»;[6]), ἀλλὰ διὰ νὰ δείξῃ ὅτι αὐτοὶ εἶναι ἀνάξιοι ἀκόμη καὶ τοῦ νὰ μένουν ἐκεῖ, ὅπως ἀκριβῶς καὶ ὅταν παρέδωσε τὸν ναὸν εἰς τοὺς Βαβυλωνίους. Ἀλλὰ αὐτὰ δὲν ἔγιναν μόνον δι' αὐτὸν τὸν λόγον. Ὅ,τι ἔγινεν ἦτο καὶ μία προφητεία τῆς μελλοντικῆς ἐρημώσεως τοῦ ναοῦ, καὶ τῆς μεταθέσεώς του πρὸς τὰ ἀνώτερα καὶ ὑψηλότερα, καὶ τῆς δυνάμεώς του.

2. Μαζὶ δὲ μὲ αὐτά, ἐφανέρωνε τὸν ἑαυτόν Του καὶ μὲ ἐκεῖνα ποὺ ἠκολούθησαν, μὲ τὴν ἀνάστασιν τῶν νεκρῶν, μὲ τὴν συσκότισιν τοῦ φωτός, μὲ τὴν ἀλλοίωσιν τῶν στοιχείων τῆς φύσεως. Διότι ἐπὶ μὲν τῆς ἐποχῆς τοῦ Ἐλισσαίου ἕνας νεκρὸς ὅταν ἦλθεν εἰς ἐπαφὴν μὲ νεκρὸν ἀνεστήθη[7]. Αὐτοὺς δὲ τώρα τοὺς ἀνέστησε φωνή, ἐνῷ τὸ σῶμα εὑρίσκετο ἐπάνω εἰς τὸν Σταυρόν. Ἄλλωστε καὶ ἐκεῖνα ἦσαν προτυπώσεις αὐτοῦ. Διότι ἐκεῖνο ἔγινε διὰ νὰ πιστευθῇ αὐτό. Καὶ δὲν ἀνίστανται μόνον, ἀλλὰ σχίζονται καὶ αἱ πέτραι καὶ σείεται ἡ γῆ, διὰ νὰ ἀντιληφθοῦν ὅτι καὶ αὐτὸς ἠμποροῦσε νὰ τοὺς ἀκρωτηριάσῃ καὶ νὰ τοὺς σχίσῃ. Διότι Ἐκεῖνος ποὺ ἔσχισε τὰς πέτρας καὶ ἐσκότισε τὴν οἰκουμένην, πολὺ περισσότερον θὰ ἠμποροῦσε νὰ κάνῃ τὰ ἴδια εἰς ἐκείνους, ἐὰν βεβαίως ἤθελε. Δὲν ἠθέλησεν ὅμως, ἀλλ' ἀφοῦ ἐξεδήλωσε

θέλησεν, ἀλλ᾽ εἰς τὰ στοιχεῖα τὴν ὀργὴν ἀφείς, ἐκείνους ἐξ ἐπιεικείας σῶσαι ἐβούλετο.

Ἀλλ᾽ οὐ καθυφῆκαν τῆς μανίας. Τοιοῦτον γὰρ ὁ φθόνος, τοιοῦτον ἡ βασκανία· οὐχ ἵσταται ῥᾳδίως. Τότε μὲν οὖν καὶ πρὸς αὐτὰ τὰ φαινόμενα ἠναισχύντουν· μετὰ δὲ ταῦτα ὅτε σφραγῖδος ἐπικειμένης καὶ στρατιωτῶν τηρούντων ἀνέστη, καὶ παρ᾽ αὐτῶν ταῦτα ἤκουσαν τῶν φυλάκων, καὶ ἀργύριον ἔδοσαν, ὥστε καὶ ἑτέρους διαφθεῖραι, καὶ κλέψαι τῆς ἀναστάσεως τὸν λόγον.

Μὴ τοίνυν θαύμαζε, εἰ καὶ τότε ἠγνωμόνουν, οὕτω καθάπαξ παρεσκευασμένοι πρὸς πάντα ἀναισχυντεῖν· ἀλλ᾽ ἐκεῖνο σκόπει ἡλίκα σημεῖα πεποίηκε, τὰ μὲν ἐξ οὐρανοῦ, τὰ δὲ ἐπὶ τῆς γῆς, τὰ δὲ ἐν αὐτῷ τῷ ναῷ· ὁμοῦ μὲν τὴν ἀγανάκτησιν ἐνδεικνύμενος, ὁμοῦ δὲ ὅτι τὰ ἄβατα λοιπὸν ἔσται βατά, καὶ ὁ οὐρανὸς ἀνοιγήσεται, καὶ πρὸς τὰ ἀληθινὰ ἅγια τῶν ἁγίων τὰ πράγματα μεταστήσεται.

Καὶ οἱ μὲν ἔλεγον, «Εἰ βασιλεὺς τοῦ Ἰσραήλ ἐστι, καταβάτω ἀπὸ τοῦ σταυροῦ»· αὐτὸς δὲ δείκνυσιν ὅτι τῆς οἰκουμένης ἁπάσης. Καὶ ἐκεῖνοι μὲν ἔλεγον. «Ὁ καταλύων τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτόν»· αὐτὸς δὲ δείκνυσιν, ὅτι εἰς τέλος ἐρημωθήσεται. Πάλιν οὗτοι μὲν ἔλεγον, «Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι»· αὐτὸς δὲ ἐν τῷ σταυρῷ μένων, ἐν τοῖς τῶν δούλων σώμασι τοῦτο ἐκ περιουσίας ἐδείκνυ πολλῆς. Εἰ γὰρ τὸ τεταρταῖον ἐξελθεῖν Λάζαρον μέγα, πολλῷ μᾶλλον τὸ πάντας ἀθρόως τοὺς πάλαι κοιμηθέντας φανῆναι ζῶντας· ὃ τῆς ἐσομένης ἀναστάσεως σημεῖον ἦν. «Πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη», φησί, «καὶ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ πολλοῖς ἐνεφανί-

τὴν ὀργήν του εἰς τὰ στοιχεῖα τῆς φύσεως, ἐκείνους ἠθέλησε νὰ τοὺς σώση ἀπὸ ἐπιείκειαν.

Ἀλλὰ δὲν ἠλάττωσαν τὴν μανίαν των. Διότι ὁ φθόνος καὶ ἡ ζήλεια, δὲν ὑποχωροῦν εὐκόλως. Τότε μὲν λοιπὸν συμπεριεφέροντο μὲ ἀναισχυντίαν πρὸς τὰ ἴδια τὰ φαινόμενα. Ἔπειτα δὲ ἀπὸ αὐτά, ὅταν ἀνέστη ἐνῷ ὁ τάφος ἦτο ἐσφραγισμένος καὶ τὸν ἐφύλασσαν στρατιῶται, ἔδωσαν καὶ ἀργύρια, διὰ νὰ διαφθείρουν καὶ ἄλλους καὶ νὰ διαψεύσουν τὸ κήρυγμα τῆς Ἀναστάσεως.

Μὴ ἀπορῇς λοιπόν, ἂν καὶ τότε ἔδειχναν ἀγνωμοσύνην, ἀφοῦ οὕτως ἢ ἄλλως ἦσαν διατεθειμένοι νὰ δείχνουν ἀναισχυντίαν πρὸς ὅλα. Πρόσεξε μόνον ἐκεῖνο, πόσον μεγάλα θαύματα ἔκανεν, ἄλλα μὲν ἀπὸ τὸν οὐρανόν, ἄλλα δὲ ἐπάνω εἰς τὴν γῆν καὶ ἄλλα μέσα εἰς τὸν ναόν, δεικνύων ἀφ᾽ ἑνὸς μὲν τὴν ἀγανάκτησίν Του, ἀφ᾽ ἑτέρου δὲ ὅτι τὰ ἄβατα θὰ γίνουν βατὰ καὶ ὁ οὐρανὸς θὰ ἀνοίξῃ καὶ τὰ πράγματα θὰ μετατεθοῦν εἰς τὰ ἀληθινὰ Ἅγια τῶν ἁγίων.

Καὶ ἐκεῖνοι μὲν ἔλεγον· «Ἐὰν εἶναι βασιλεὺς τοῦ Ἰσραήλ, ἂς κατεβῇ ἀπὸ τὸν Σταυρόν», ἐνῷ Αὐτὸς δείχνει ὅτι εἶναι ὁλοκλήρου τῆς οἰκουμένης βασιλεύς. Ἐπίσης ἐκεῖνοι ἔλεγον· «Σὺ ποὺ γκρεμίζεις τὸν ναὸν αὐτὸν καὶ εἰς τρεῖς ἡμέρας τὸν ἀνοικοδομεῖς», Αὐτὸς δὲ δείχνει ὅτι ὁ ναὸς θὰ ἐρημωθῇ ὁλοκληρωτικῶς. Πάλιν, αὐτοὶ μὲν ἔλεγον· «Ἄλλους ἔσωσεν, ἀλλὰ δὲν ἠμπορεῖ νὰ σώση τὸν ἑαυτόν του», Αὐτὸς δὲ παραμένων ἐπάνω εἰς τὸν Σταυρόν, ἔδειχνε τοῦτο μὲ πολλὴν ἀφθονίαν εἰς τὰ σώματα τῶν δούλων. Διότι ἐὰν τὸ νὰ ἐξέλθῃ ὁ Λάζαρος ἀπὸ τὸν τάφον μετὰ τέσσαρας ἡμέρας ἦτο σπουδαῖον, πολὺ σπουδαιότερον ἦτο νὰ ἐμφανισθοῦν ζωντανοὶ ὅλοι μαζὶ οἱ νεκροὶ ἀπὸ πολλῶν ἐτῶν, πρᾶγμα τὸ ὁποῖον ἦτο σημεῖον τῆς μελλοντικῆς ἀναστάσεως. Διότι «πολλὰ σώματα τῶν ἀποθαμένων ἁγίων ἀνεστήθησαν», λέγει, «καὶ εἰσῆλθαν εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν εἰς πολλούς». Διὰ νὰ μὴ νομισθῇ δηλαδὴ

σθησαν». Ἵνα γὰρ μὴ νομισθῇ φαντασία εἶναι τὸ γεγενημένον, καὶ πολλοῖς φαίνονται ἐν τῇ πόλει.

Καὶ ὁ κεντυρίων δὲ τότε ἐδόξαζε τὸν Θεὸν λέγων· «Οὕτως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ οἱ ὄχλοι δέ, οἱ παραγενόμενοι εἰς τὴν θεωρίαν, τύπτοντες αὐτῶν τὰ στήθη ὑπέστρεφον». Τοσαύτη τοῦ ἐσταυρωμένου ἡ δύναμις, ὡς μετὰ χλευασίας τοσαύτας καὶ κωμῳδίας καὶ σκώμματα, καὶ τὸν κεντυρίωνα κατανυγῆναι, καὶ τὸν δῆμον. Τινὲς δέ φασιν, ὅτι καὶ μαρτύριόν ἐστι τοῦ κεντυρίωνος τούτου, ἀνδρισαμένου μετὰ ταῦτα ἐν τῇ πίστει.

«Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν διακονοῦσαι αὐτῷ, Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ μήτηρ τῶν υἱῶν Ζεβαδαίου». Ταῦτα θεωροῦσιν αἱ γυναῖκες γινόμενα, αἱ μάλιστα συμπαθέστεραι, αἱ μάλιστα θρηνοῦσαι. Καὶ σκόπει πόση αὐτῶν ἡ προσεδρεία. Ἠκολούθουν αὐτῷ διακονούμεναι, καὶ μέχρι τῶν κινδύνων παρῆσαν. Διὸ καὶ πάντα ἐθεώρουν, πῶς ἐβόησε, πῶς ἐξέπνευσε, πῶς αἱ πέτραι ἐσχίσθησαν, καὶ ἄλλα πάντα. Καὶ αὗται πρῶται ὁρῶσι τὸν Ἰησοῦν, καὶ τὸ μάλιστα γένος κατακριθὲν τοῦτο πρῶτον ἀπολαύει τῆς τῶν ἀγαθῶν θεωρίας· τοῦτο μάλιστα ἐπιδείκνυται τὴν ἀνδρείαν. Καὶ οἱ μὲν μαθηταὶ ἔφυγον, αὗται δὲ παρῆσαν. Τίνες δὲ ἦσαν; Ἡ μήτηρ αὐτοῦ· ταύτην γὰρ λέγει τὴν Ἰακώβου· καὶ αἱ λοιπαί.

Ἄλλος δὲ εὐαγγελιστής φησιν, ὅτι καὶ ἐκόπτοντο πολλοὶ ἐπὶ τοῖς γινομένοις, καὶ τὸ στῆθος ἔτυπτον· ὃ μάλιστα δείκνυσι τῶν Ἰουδαίων τὴν ὠμότητα, ὅτι ἐφ' οἷς ἐθρήνουν ἕτεροι, ἐπὶ τούτοις ἐκόμπαζον οὗτοι, καὶ οὔτε ἐλέῳ ἐκάμφθησαν,

---

8. Λουκᾶ 23, 47-48.
9. Λουκᾶ, ἔνθ. ἀν.

ὅτι τὸ γεγονὸς εἶναι φανταστικόν, ἐμφανίζονται ἐνώπιον πολλῶν εἰς τὴν πόλιν.

Ἀκόμη καὶ ὁ ἑκατόνταρχος τότε ἐδόξαζε τὸν Θεὸν λέγων· «Πράγματι ὁ ἄνθρωπος αὐτὸς ἦτο ἀθῶος. Καὶ τὰ πλήθη δὲ ποὺ εἶχαν ἔλθει διὰ νὰ ἰδοῦν τὸ θέαμα, ἐπέστρεφαν κτυπῶντες τὰ στήθη των»[8]. Τόσον μεγάλη ἦτο ἡ δύναμις τοῦ ἐσταυρωμένου, ὥστε ὕστερα ἀπὸ τόσας χλεύας καὶ διακωμωδήσεις καὶ πειράγματα, καὶ ὁ ἑκατόνταρχος νὰ συγκινηθῇ βαθέως καὶ ὁ ὄχλος. Μερικοὶ μάλιστα λέγουν ὅτι καὶ ἐμαρτύρησεν ὁ ἑκατόνταρχος αὐτός, ἀφοῦ ἠνδρώθη εἰς τὴν πίστιν ὕστερα ἀπὸ αὐτά.

«Ἦσαν δὲ ἐκεῖ καὶ γυναῖκες πολλαὶ ποὺ παρακολουθοῦσαν ἀπὸ μακρυά, αἱ ὁποῖαι εἶχαν ἀκολουθήσει τὸν Ἰησοῦν καὶ τὸν ὑπηρετοῦσαν, ἡ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ Μαρία ἡ μητέρα τοῦ Ἰακώβου καὶ τοῦ Ἰωσῆ, καὶ ἡ μητέρα τῶν υἱῶν τοῦ Ζεβεδαίου». Καθὼς γίνονται αὐτὰ τὰ βλέπουν αἱ γυναῖκες, αἱ πλέον συμπαθεῖς εἰς Αὐτόν, αἱ ὁποῖαι θρηνοῦν πάρα πολύ. Καὶ πρόσεξε πόση εἶναι ἡ ἐπιμονή των. Τὸν ἠκολούθουν καὶ τὸν ἐπεριποιοῦντο καὶ ἦσαν παροῦσαι φθάνουσαι μέχρι κινδύνων. Δι' αὐτὸ καὶ τὰ ἔβλεπαν ὅλα· πῶς ἐφώναξε, πῶς ἐξέπνευσε, πῶς ἐσχίσθησαν αἱ πέτραι καὶ ὅλα τὰ ἄλλα. Καὶ αὐταὶ πρῶτα βλέπουν τὸν Ἰησοῦν καὶ τὸ φῦλον ποὺ ἔχει τόσον κατηγορηθῆ, αὐτὸ πρῶτον ἀπολαμβάνει τὸ προνόμιον νὰ ἰδῇ τὰ εὐχάριστα. Αὐτὸ τὸ φῦλον ἐπιδεικνύει περισσοτέραν ἀνδρείαν. Καὶ οἱ μὲν μαθηταὶ ἔφυγαν, ἐνῷ αὐταὶ παρέμειναν. Ποῖαι δὲ ἦσαν; Ἡ μητέρα Του, διότι αὐτὴν ὀνομάζει Μαρίαν τοῦ Ἰακώβου, καὶ αἱ ὑπόλοιποι.

Ἄλλος πάλιν Εὐαγγελιστὴς[9] λέγει ὅτι πολλοί, βλέποντες ὅσα ἐγίνοντο, ὠδύροντο καὶ ἐκτυποῦσαν τὸ στῆθος των. Αὐτὸ μάλιστα ποὺ δείχνει τὴν ὠμότητα τῶν Ἰουδαίων, εἶναι ὅτι δι' ἐκεῖνα ποὺ ἄλλοι ἐθρηνοῦσαν, αὐτοὶ ἐκαυχῶντο καὶ οὔτε ἀπὸ εὐσπλαγχνίαν ἐλύγισαν, οὔτε ἀπὸ φό-

οὔτε φόβῳ κατεστάλησαν. Καὶ γὰρ ὀργῆς τὰ γινόμενα ἦν μεγάλης· καὶ οὐχ ἁπλῶς σημεῖα, ἀλλὰ θυμοῦ σημεῖα ἅπαντα· τὸ σκότος, αἱ τεμνόμεναι πέτραι, τὸ καταπέτασμα ῥιγνύμενον μέσον, ὁ τῆς γῆς κλόνος· καὶ πολλὴ τῆς ἀγανακτήσεως ἦν ἡ ὑπερβολή.

«Προσελθὼν δὲ ὁ Ἰωσὴφ ᾔτει τὸ σῶμα». Οὗτος ἦν Ἰωσὴφ ὁ κρυπτόμενος πρώην· νῦν μέντοι μέγα ἐτόλμησε μετὰ τὸν θάνατον τοῦ Χριστοῦ. Οὐδὲ γὰρ ἄσημος ἦν, οὐδὲ τῶν λανθανόντων, ἀλλὰ τῆς βουλῆς εἷς, καὶ σφόδρα ἐπίσημος· ὅθεν μάλιστα τὴν ἀνδρείαν αὐτοῦ κατιδεῖν ἔνι. Εἰς γὰρ θάνατον ἑαυτὸν ἐξέδωκε, τὴν πρὸς πάντας ἀπέχθειαν ἀναδεξάμενος τῇ περὶ τὸν Ἰησοῦν εὐνείᾳ, καὶ τολμήσας αἰτῆσαι τὸ σῶμα, καὶ μὴ πρότερον ἀποστάς, ἕως ἐπέτυχεν. Οὐ τῷ λαβεῖν δὲ μόνον, οὐδὲ τῷ θάψαι πολυτελῶς, ἀλλὰ καὶ τῷ ἐν τῷ μνημείῳ τῷ ἑαυτοῦ τῷ καινῷ, δείκνυσι τὸ φίλτρον καὶ τὴν ἀνδρείαν. Καὶ τοῦτο δὲ οὐχ ἁπλῶς ᾠκονομεῖτο, ἀλλ' ὥστε μὴ ὑποψίαν τινὰ ψιλὴν γενέσθαι, ὅτι ἕτερος ἀνθ' ἑτέρου ἀνέστη.

«Ἦν δὲ Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία καθήμεναι ἀπέναντι τοῦ τάφου». Τίνος ἕνεκεν αὗται προσεδρεύουσιν; Οὐδὲν οὐδέπω μέγα, ὡς χρή, καὶ ὑψηλὸν ᾔδεσαν περὶ αὐτοῦ· διὸ καὶ μύρα ἐκόμισαν, καὶ τῷ τάφῳ προσεκαρτέρουν, ὥστε, εἰ λωφήσειεν ἡ μανία τῶν Ἰουδαίων, καὶ ἀπελθεῖν καὶ περιχυθῆναι.

3. Εἶδες γυναικῶν ἀνδρείαν; εἶδες φιλοστοργίαν; εἶδες μεγαλοψυχίαν τὴν ἐν τοῖς χρήμασι, τὴν μέχρι θανάτου; Μιμησώμεθα τὰς γυναῖκας οἱ ἄνδρες· μὴ καταλείψωμεν ἐν πει-

βον συνεκρατήθησαν. Διότι ὅσα ἐγίνοντο ἦσαν δείγματα μεγάλης ὀργῆς. Καὶ ὄχι ἁπλῶς δείγματα ὀργῆς, ἀλλὰ δείγματα θυμοῦ ἦσαν ὅλα· τὸ σκοτάδι, οἱ βράχοι ποὺ ἐσχίσθησαν, τὸ παραπέτασμα τοῦ ναοῦ ποὺ ἐσχίσθη εἰς τὰ δύο, ὁ κλονισμὸς τῆς γῆς· ὅλα αὐτὰ ἔδειχναν πάρα πολλὴν ἀγανάκτησιν.

«Ὁ δὲ Ἰωσὴφ ἦλθε καὶ ἐζήτησε τὸ σῶμα». Αὐτὸς εἶναι ὁ Ἰωσὴφ ὁ ὁποῖος προηγουμένως ἐκρύπτετο. Τώρα ὅμως μετὰ τὸν θάνατον τοῦ Χριστοῦ ἔδειξε μεγάλην τόλμην. Διότι οὔτε ἀσήμαντος ἦτο, οὔτε ἀπὸ ἐκείνους ποὺ μένουν ἀπαρατήρητοι, ἀλλὰ ἕνας ἀπὸ τὰ μέλη τοῦ Συνεδρίου καὶ πολὺ ἐπιφανής. Ἀπὸ αὐτὸ μάλιστα φαίνεται καθαρὰ ἡ ἀνδρεία του. Διότι κατεδίκασεν εἰς θάνατον τὸν ἑαυτόν του, ὅταν διεκήρυξε τὴν ἀπέχθειάν του πρὸς ὅλους μὲ τὴν συμπάθειάν του πρὸς τὸν Ἰησοῦν, καὶ ἐτόλμησε νὰ ζητήσῃ τὸ σῶμα Του, καὶ δὲν ἀπεμακρύνθη παρὰ μόνον ἀφοῦ ἐπέτυχεν αὐτὸ ποὺ ἤθελε. Τὴν ἀγάπην δὲ καὶ τὴν ἀνδρείαν του τὴν δείχνει ὄχι μόνον μὲ τὸ ὅτι παρέλαβε τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ ἔθαψε μὲ πολυτέλειαν, ἀλλὰ καὶ μὲ τὸ ὅτι τὸν ἔθαψεν εἰς τὸ ἰδικόν του καινὸν μνημεῖον. Καὶ αὐτὸ δὲν ἔγινεν ἔτσι εἰς τὴν τύχην, ἀλλὰ διὰ νὰ μὴ ὑπάρξῃ οὔτε ἡ παραμικρὰ ὑποψία ὅτι ἀνεστήθη ἄλλος ἀντὶ ἄλλου.

«Ἦσαν δὲ ἡ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, αἱ ὁποῖαι ἐκάθηντο ἀπέναντι ἀπὸ τὸν τάφον». Διατί κάθονται αὐταὶ πλησίον τοῦ τάφου; Τίποτε ἀκόμη μεγάλο καὶ ὑψηλὸν δὲν ἐγνώριζαν, ὅπως ἔπρεπε, περὶ αὐτοῦ. Δι' αὐτὸ ἔφεραν καὶ μύρα καὶ παρέμεναν μὲ καρτερίαν εἰς τὸν τάφον, ὥστε ἐὰν κατασιγάσῃ ἡ μανία τῶν Ἰουδαίων, νὰ μεταβοῦν καὶ νὰ Τὸν ἀλείψουν.

3. Εἶδες τὴν ἀνδρείαν τῶν γυναικῶν; Εἶδες τὴν ἀγάπην; Εἶδες τὴν μεγαλοψυχίαν τὴν ἔμπρακτον, ἡ ὁποία φθάνει μέχρι θανάτου; Ἂς μιμηθῶμεν τὰς γυναῖκας ἐμεῖς οἱ ἄνδρες· ἂς μὴ ἐγκαταλείψωμεν τὸν Ἰησοῦν εἰς τὰς δοκιμα-

ρασμοῖς τὸν Ἰησοῦν. Ἐκεῖναι μὲν γὰρ καὶ εἰς τελευτήσαντα τοσαῦτα ἀνάλωσαν, καὶ τὰς ψυχὰς ἐξέδωκαν· ἡμεῖς δὲ (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) οὐδὲ πεινῶντα τρέφομεν, οὐδὲ γυμνὸν περιβάλλομεν, ἀλλ' ὁρῶντες αὐτὸν προσαιτοῦντα παρατρέχομεν. Καίτοιγε εἰ αὐτὸν ἐκεῖνον εἴδετε, τὰ ὑπάρχοντα ἂν ἕκαστος ἐκένωσεν. Ἀλλὰ καὶ νῦν ὁ αὐτός ἐστιν. Αὐτὸς γὰρ εἶπεν, ὅτι «ἐγώ εἰμι».

Τίνος οὖν ἕνεκεν οὐ πάντα κενοῖς; Καὶ γὰρ καὶ νῦν ἀκούεις λέγοντος, ὅτι «ἐμοὶ ποιεῖς» καὶ οὐδὲν τὸ μέσον, ἄν τε τούτῳ, ἄν τε ἐκείνῳ δῷς οὐδὲν ἔλαττον ἔχεις τούτων τῶν γυναικῶν τῶν τότε τρεφουσῶν αὐτόν, ἀλλὰ καὶ πολλῷ πλέον. Ἀλλὰ μὴ θορυβηθῆτε. Οὐ γάρ ἐστιν ἴσον αὐτὸν κυρίως φαινόμενον θρέψαι, ὃ καὶ λιθίνην ἱκανὸν ἦν ἐπισπάσασθαι ψυχήν, καὶ διὰ τὴν ἀπόφασιν αὐτοῦ μόνην τὸν πένητα, τὸν ἀνάπηρον, τὸν συγκεκυφότα θεραπεῦσαι. Ἐκεῖ μὲν γὰρ ἡ ὄψις καὶ τὸ ἀξίωμα τοῦ φαινομένου μερίζεται πρὸς σὲ τὸ γινόμενον· ἐνταῦθα δὲ ὁλόκληρον σὸν τῆς φιλανθρωπίας τὸ βραβεῖόν ἐστι· καὶ μείζονος τῆς περὶ αὐτὸν αἰδοῦς τὸ δεῖγμα, ὅταν διὰ τὴν ἀπόφασιν αὐτοῦ μόνην τὸν ὁμόδουλον οὕτω θεραπεύων ἀναπαύσῃς ἐν πᾶσιν.

Ἀνάπαυε τοίνυν, πιστεύων αὐτῷ τῷ λαμβάνοντι καὶ λέγοντι, ὅτι ἐμοὶ δίδως. Εἰ γὰρ μὴ αὐτῷ ἐδίδως, οὐκ ἄν σε βασιλείας ἠξίωσεν. Εἰ μὴ αὐτὸν ἀπεστρέφου, οὐκ ἂν εἰς γέενναν ἔπεμψεν, εἰ τὸν τυχόντα παρίδοις· ἀλλ' ἐπειδὴ αὐτός ἐστιν ὁ καταφρονούμενος, διὰ τοῦτο μέγα τὸ ἔγκλημα. Οὕτω καὶ Παῦλος αὐτὸν ἐδίωκε, τοὺς αὐτοῦ διώκων· διὸ καὶ ἔλεγε, «Τί με διώκεις;». Οὕτω τοίνυν διακεώμεθα, ὡς αὐτῷ τῷ Χριστῷ

10. Πράξ. 9, 4.

σίας Του. Διότι ἐκεῖναι μέν, καὶ ὅταν ἀπέθανεν, ἐξώδευσαν τόσα πολλὰ καὶ ἔθεσαν εἰς κίνδυνον τὴν ζωήν των. Ἐνῷ ἐμεῖς (πάλιν τὰ ἴδια θὰ ἐπαναλάβω) οὔτε ὅταν πεινᾷ τὸν τρέφομεν, οὔτε ὅταν εἶναι γυμνὸς τὸν ἐνδύομεν, ἀλλ' ἀντιθέτως ὅταν τὸν βλέπωμεν νὰ ζητιανεύῃ τὸν προσπερνοῦμεν. Εἶμαι βέβαιος ὅτι ἐὰν ἐβλέπατε τὸν ἴδιον τὸν Κύριον, θὰ ἔδινε ὁ καθένας σας ὅλα τὰ ὑπάρχοντά του. Ἀλλὰ καὶ τώρα ὁ ἴδιος εἶναι. Ἄλλως τε αὐτὸς εἶπεν, ὅτι «ἐγὼ εἶμαι».

Διατί λοιπὸν δὲν προσφέρεις τὰ πάντα; Διὰ τοῦτο καὶ τώρα τὸν ἀκούεις νὰ λέγῃ «εἰς ἐμένα τὸ κάμνεις» καὶ δὲν διαφέρει καθόλου εἴτε δίδεις εἰς αὐτὸν εἴτε εἰς Ἐκεῖνον. Δὲν θὰ λάβῃς μικροτέραν ἀμοιβὴν ἀπὸ τὰς γυναῖκας αὐτὰς αἱ ὁποῖαι τότε τὸν ἔτρεφαν, ἀλλ' ἀντιθέτως πολὺ μεγαλυτέραν. Ἀλλὰ μὴ θορυβηθῆτε. Διότι δὲν εἶναι ἴδιον τὸ νὰ θρέψῃς Αὐτὸν ὅταν ἐμφανίζεται μὲ ἐξουσίαν, πρᾶγμα τὸ ὁποῖον εἶναι ἀρκετὸν νὰ συγκινήσῃ ἀκόμη καὶ λιθίνην ψυχήν, μὲ τὸ νὰ περιθάλψῃς τὸν πτωχόν, τὸν ἀνάπηρον, τὸν καμπούρην μὲ μόνην τὴν ἐντολὴν Αὐτοῦ. Διότι εἰς μὲν τὴν πρώτην περίπτωσιν ἡ θέα καὶ τὸ ἀξίωμα τοῦ ἐμφανιζομένου μοιράζεται μαζί σου τὴν πρᾶξιν· ἐνῷ ἐδῶ τὸ βραβεῖον τῆς φιλανθρωπίας εἶναι ἰδικόν σου. Καὶ εἶναι ἀπόδειξις μεγαλυτέρου σεβασμοῦ πρὸς Αὐτόν, ὅταν διὰ τὴν ἐντολὴν Αὐτοῦ καὶ μόνον ἀνακουφίσῃς τὸν σύνδουλόν σου περιθάλπων αὐτὸν καθ' ὅλα.

Ἀνακούφιζε λοιπὸν πιστεύων εἰς Αὐτὸν ὁ ὁποῖος λαμβάνει καὶ λέγει «εἰς ἐμένα δίνεις». Διότι ἐὰν δὲν ἔδιδες εἰς Αὐτόν, δὲν θὰ σὲ ἔκαμνεν ἄξιον τῆς Βασιλείας. Ἐὰν δὲν ἀπεστρέφεσο Αὐτόν, δὲν θὰ σὲ ἔστελνεν εἰς τὴν γέενναν τοῦ πυρός, ἐπειδὴ παρέβλεψες ἕνα ὁποιονδήποτε. Ἐπειδὴ ὅμως Αὐτὸς εἶναι ἐκεῖνος ποὺ περιφρονεῖται, δι' αὐτὸ τὸ ἁμάρτημα θεωρεῖται μέγα. Ἔτσι καὶ ὁ Παῦλος Αὐτὸν ἐδίωκεν, ὅταν κατεδίωκε τοὺς ἰδικούς του. Δι' αὐτὸ καὶ τοῦ ἔλεγε· «διατί μὲ καταδιώκεις;»[10]. Ἂς συμπεριφερώμεθα λοι-

παρέχοντες, ὅταν παρέχωμεν. Καὶ γὰρ τὰ ῥήματα αὐτοῦ τῆς ὄψεως ἡμῶν πιστότερα.

Ἐπειδὰν οὖν ἴδῃς πένητα, ἀναμνήσθητι τῶν ῥημάτων, δι᾽ ὧν ἐδήλου, ὅτι αὐτὸς εἴη ὁ τρεφόμενος. Εἰ γὰρ καὶ τὸ φαινόμενον οὐκ ἔστι Χριστός, ἀλλ᾽ ἐν τῷ τούτου σχήματι αὐτὸς λαμβάνει καὶ προσαιτεῖ. Ἀλλ᾽ αἰσχύνῃ ἀκούων ὅτι ὁ Χριστὸς προσαιτεῖ; Αἰσχύνθητι μᾶλλον, ὅταν προσαιτοῦντι μὴ δῷς. Τοῦτο γὰρ αἰσχύνη, τοῦτο τιμωρία καὶ κόλασις. Τὸ μὲν γὰρ προσαιτεῖν αὐτόν, τῆς αὐτοῦ ἀγαθότητος· διὸ καὶ ἐγκαλλωπίζεσθαι ἡμᾶς αὐτῷ χρή· τὸ δὲ μὴ δοῦναι τῆς σῆς ὠμότητος. Εἰ δὲ οὐ πιστεύεις νῦν, ὅτι πένητα πιστὸν παρατρέχων, αὐτὸν παρατρέχεις, πιστεύσεις τότε, ὅταν εἰς μέσον σε παραγαγὼν λέγῃ, «Ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε τούτοις, οὐδὲ ἐμοὶ ἐποιήσατε». Ἀλλὰ μὴ γένοιτο ἡμᾶς οὕτως αὐτὸ μαθεῖν, ἀλλὰ πιστεύσαντας νῦν, καὶ καρπὸν ποιήσαντας, τῆς μακαριωτάτης ἐκείνης ἀκοῦσαι φωνῆς, τῆς εἰς τὴν βασιλείαν ἡμᾶς εἰσαγούσης.

Ἀλλ᾽ ἴσως ἐρεῖ τις· καθ᾽ ἑκάστην ἡμέραν περὶ ἐλεημοσύνης διαλέγῃ καὶ φιλανθρωπίας ἡμῖν. Οὐδὲ παύσομαι τοῦτο λέγων. Εἰ μὲν γὰρ κατώρθωτο ὑμῖν τοῦτο, μάλιστα μὲν οὐδὲ τότε ἀποστῆναι ἐχρῆν, ὥστε μὴ ποιῆσαι ῥαθυμοτέρους· πλὴν ἀλλ᾽ εἰ μὲν κατώρθωτο, καὶ μικρὸν ἐνέδωκα ἄν· εἰ δὲ οὐδὲ εἰς τὸ μέσον ἐφθάσατε, μὴ πρὸς ἐμὲ ταῦτα, ἀλλὰ πρὸς ἑαυτοὺς λέγετε. Καὶ γὰρ ταὐτὸν ποιεῖς ἐγκαλῶν, ὥσπερ ἂν εἰ παιδίον τὸ ἄλφα στοιχεῖον ἀκοῦον πολλάκις, καὶ μὴ μανθάνον, ἐγκαλοίη τῷ διδασκάλῳ, ὅτι συνεχῶς ὑπὲρ τούτου καὶ διηνεκῶς αὐτὸ ὑπομιμνήσκει. Τίς γὰρ ἀπὸ τῶν λόγων τούτων γέγονεν εὐκολώτερος πρὸς ἐλεημοσύνην; τίς τὰ

πὸν κατὰ τοιοῦτον τρόπον, ὡσὰν νὰ ἐδίδαμεν εἰς τὸν Χριστόν, ὅταν δίδωμεν κάτι. Διότι τὰ λόγια Του εἶναι ἄξια περισσοτέρας ἐμπιστοσύνης ἀπὸ τὴν θέαν Του.

Ὅταν λοιπὸν ἰδῇς πτωχόν, ἐνθυμήσου τὰ λόγια μὲ τὰ ὁποῖα ἐβεβαίωνεν ὅτι Αὐτὸς θὰ εἶναι ἐκεῖνος ποὺ τρέφεται. Διότι ἂν καὶ αὐτὸς ποὺ φαίνεται δὲν εἶναι ὁ Χριστός, ὅμως μὲ τὴν ἐμφάνισιν αὐτοῦ ὁ Χριστὸς λαμβάνει καὶ ζητιανεύει. Ἀλλὰ μήπως ἐντρέπεσαι ἀκούων ὅτι ὁ Χριστὸς ζητιανεύει; Νὰ ἐντρέπεσαι περισσότερον, ὅταν, ἐνῷ ζητιανεύει, δὲν τοῦ δίδῃς. Διότι αὐτὸ εἶναι ἐντροπή, αὐτὸ εἶναι τιμωρία καὶ κόλασις. Διότι τὸ ὅτι μὲν Αὐτὸς ζητιανεύει, ἀνάγεται εἰς τὴν ἀγαθότητά Του, δι' αὐτὸ καὶ ὀφείλομεν ἐμεῖς νὰ καυχώμεθα δι' αὐτό· ἐνῷ τὸ νὰ μὴ δώσῃς δείχνει τὴν ἰδικήν σου σκληρότητα. Ἐὰν δὲ δὲν πιστεύῃς ὅτι περιφρονῶν πτωχὸν πιστόν, περιφρονεῖς Ἐκεῖνον, θὰ πιστεύσῃς τότε, ὅταν σὲ ὁδηγήσῃ εἰς τὸ μέσον, καὶ σοῦ εἰπῇ «Ἐφ' ὅσον δὲ τὰ ἐκάματε εἰς αὐτούς, οὔτε εἰς ἐμένα τὰ ἐκάματε». Ἀλλὰ εἴθε νὰ μὴ χρειασθῇ ἐμεῖς μὲ τὸν τρόπον αὐτὸν νὰ μάθωμεν τοῦτο, ἀλλὰ ἀφοῦ πιστεύσωμεν τώρα καὶ ἀποφέρωμεν καρπούς, νὰ ἀκούσωμεν τὴν μακαρίαν ἐκείνην φωνήν, ἡ ὁποία θὰ μᾶς εἰσαγάγῃ εἰς τὴν Βασιλείαν.

Ἴσως ὅμως εἰπῇ κάποιος· Καθημερινῶς μᾶς ὁμιλεῖς περὶ ἐλεημοσύνης καὶ φιλανθρωπίας. Οὔτε θὰ παύσω νὰ ὁμιλῶ περὶ αὐτοῦ τοῦ θέματος. Διότι, ἐὰν μὲν τὸ ἐπιτυγχάνατε, οὔτε τότε βέβαια θὰ ἔπρεπε νὰ σταματήσω, διὰ νὰ μὴ σᾶς κάνω πιὸ νωθρούς, πλὴν ὅμως, ἐὰν τὸ ἐπετυγχάνατε, θὰ ἠμποροῦσα κάπως νὰ ἐνδώσω. Ἐὰν ὅμως δὲν ἐφθάσατε οὔτε εἰς τὸ μέσον, μὴ λέγετε αὐτὸ εἰς ἐμένα ἀλλὰ εἰς τοὺς ἑαυτούς σας. Διότι, ὅταν μὲ κατηγορῇς, κάνεις τὸ ἴδιον ποὺ κάνει καὶ τὸ παιδὶ ποὺ ἐνῷ ἀκούει διαρκῶς τὸ γράμμα ἄλφα καὶ δὲν τὸ μαθαίνει, κατηγορεῖ τὸν διδάσκαλον, ὅτι συνεχῶς καὶ κατ' ἐπανάληψιν ὑπενθυμίζει τὸ ἴδιον γράμμα. Διότι ποῖος μὲ τὰ λόγια αὐτὰ ἔγινε περισσότερον ἐλεήμων; Ποῖος

χρήματα ἔρριψε; τίς τὸ ἥμισυ τῆς οὐσίας; τίς τὸ τρίτον; Οὐδείς. Πῶς οὖν οὐκ ἄτοπον, μὴ μανθανόντων ὑμῶν, ἡμᾶς κελεύειν ἀποστῆναι τοῦ διδάσκειν; Τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν· εἰ καὶ ἡμεῖς ἐβουλόμεθα ἀποστῆναι, ἡμᾶς κατέχειν καὶ λέγειν· οὐδέπω ταῦτα μεμαθήκαμεν, καὶ πῶς ἀπέστητε ὑπομιμνήσκοντες;

Εἴ τινι συνέβη τὸν ὀφθαλμὸν παθεῖν, ἐγὼ δὲ ἰατρὸς ἐτύγχανον, εἶτα περιπλάσας καὶ διαχρίσας, καὶ τὴν ἄλλην προσαγαγὼν ἐπιμέλειαν, μηδὲν ὤνησα μέγα, καὶ ἀπέστην οὐκ ἂν ἐλθὼν ἐπὶ τὰς τοῦ ἐργαστηρίου θύρας κατεβόησεν ἄν, ῥαθυμίαν πολλὴν ἐγκαλῶν, ὅτι τῆς νόσου μενούσης αὐτὸς ἀνεχώρησα; καὶ εἰ πρὸς ταῦτα ἐγκαλούμενος εἶπον, ὅτι κατέπλασα, ὅτι διέχρισα, ἆρα ἂν ἠνέσχετο; Οὐδαμῶς, ἀλλ' εὐθέως ἂν εἶπε· καὶ τί τὸ ὄφελος, ὅτι ἔτι ἀλγῶ; Τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς λογίζου. Τί δέ, εἰ χεῖρα ναρκῶσαν καὶ συνεσταλμένην πολλάκις καταιονήσας οὐκ ἴσχυσα μαλάξαι; ἆρα οὐκ ἂν τὸ αὐτὸ ἤκουσα;

Καὶ νῦν χεῖρα συνεσταλμένην καὶ ξηρανθεῖσαν περικλύζομεν· καὶ διὰ τοῦτο, ἕως ἂν αὐτὴν ἐκτείνωμεν τέλεον, οὐκ ἀποστησόμεθα. Εἴθε καὶ ὑμεῖς μηδὲν ἕτερον διαλέγεσθε, καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ ἀγορᾶς, καὶ ἐπὶ τραπέζης, καὶ ἐν νυκτί, καὶ ὄναρ. Εἰ γὰρ ταῦτα μεθ' ἡμέραν ἐμεριμνῶμεν ἀεί, καὶ ὄναρ ἂν ἐν τούτοις ἦμεν.

4. Τί λέγεις; Περὶ ἐλεημοσύνης ἀεὶ διαλέγομαι; Ἐβουλόμην καὶ αὐτὸς μὴ πολλὴν εἶναί μοι χρείαν ταύτης πρὸς ὑμᾶς τῆς συμβουλῆς, ἀλλὰ διαλέγεσθαι περὶ μάχης τῆς πρὸς Ἰουδαίους καὶ Ἕλληνας καὶ αἱρετικούς· ἀλλὰ μηδέπω ὑ-

ἐπέταξε τὰ χρήματα; Ποῖος παρεχώρησε τὸ ἥμισυ τῆς περιουσίας του; Ποῖος παρεχώρησε τὸ ἓν τρίτον; Κανείς. Πῶς λοιπὸν δὲν θὰ ἦτο ἄτοπον, ἐνῷ σεῖς δὲν μαθαίνετε, νὰ μᾶς διατάζετε νὰ παύσωμεν νὰ διδάσκωμεν; Τὸ ἀντίθετον μάλιστα ἔπρεπε νὰ κάνετε. Ἐὰν ἐμεῖς ἠθέλαμεν νὰ σταματήσωμεν, σεῖς νὰ μᾶς συγκρατήσετε καὶ νὰ μᾶς εἰπῆτε· δὲν τὰ ἐμάθαμεν ἀκόμη· διατί ἐσταματήσατε νὰ μᾶς τὰ ὑπενθυμίζετε;

Ἐὰν συνέβαινεν εἰς κάποιον νὰ πάθῃ ὁ ὀφθαλμός του, ἐγὼ δὲ νὰ εἶμαι ἰατρός, καὶ ἀφοῦ τὸν ἔπλαθα τριγύρω καὶ τὸν ἄλειφα καὶ τοῦ ἔκανα κάθε ἄλλην περιποίησιν, χωρὶς νὰ ἐπιφέρω μεγάλην ὠφέλειαν, ἀνεχώρουν, δὲν θὰ ἤρχετο εἰς τὰς θύρας τοῦ ἐργαστηρίου φωνασκῶν καὶ ἀποδίδων εἰς ἐμὲ πολλὴν ὀκνηρίαν, ἐπειδὴ ἀνεχώρησα ἐνῷ ὑφίσταται ἀκόμη ἡ νόσος; Καὶ ἂν κατηγορούμενος ἀπαντοῦσα εἰς αὐτά, ὅτι τὸν ἔπλασα καὶ τὸν ἄλειψα, ἆρά γε θὰ τὸ ἀνεχόταν; Ὄχι, ἀλλὰ ἀμέσως θὰ ἀπαντοῦσε· καὶ τί τὸ ὄφελος, ἀφοῦ ἀκόμη πονῶ; Αὐτὸ νὰ σκέπτεσαι καὶ προκειμένου περὶ τῆς ψυχῆς. Τί δὲ θὰ συνέβαινεν, ἐὰν ἔκανα πολλὲς φορὲς καταιόνησιν εἰς ἕνα χέρι ξηρὸν καὶ ἀγκυλωμένον χωρὶς νὰ κατορθώσω νὰ τὸ μαλάξω; Ἆρά γε δὲν θὰ ἤκουα τὰ ἴδια;

Καὶ τώρα χέρι ἀγκυλωμένον καὶ ξηραμένον περιβρέχομεν καὶ δι' αὐτό, μέχρι νὰ τὸ κάνωμεν νὰ τεντωθῇ τελείως, δὲν θὰ σταματήσωμεν. Μακάρι καὶ σεῖς νὰ μὴ ὁμιλούσατε διὰ τίποτε ἄλλο καὶ εἰς τὴν οἰκίαν καὶ εἰς τὴν ἀγορὰν καὶ εἰς τὸ τραπέζι καὶ κατὰ τὴν νύκτα καὶ εἰς τὰ ὄνειρά σας. Διότι, ἐὰν ἐφροντίζαμεν δι' αὐτὰ διαρκῶς κατὰ τὴν ἡμέραν, καὶ εἰς τὰ ὄνειρά μας μὲ αὐτὰ θὰ ἠσχολούμεθα.

4. Λέγεις ὅτι διαρκῶς ὁμιλῶ περὶ ἐλεημοσύνης; Θὰ ἤθελα καὶ ἐγὼ νὰ μὴ ἔχω πολλὴν ἀνάγκην νὰ σᾶς συμβουλεύω περὶ αὐτῆς καὶ νὰ ὁμιλῶ περὶ τοῦ ἀγῶνος ἐναντίον τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν καὶ τῶν αἱρετικῶν· ἀλλὰ πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ ἐξοπλίσῃ ἀνθρώπους οἱ ὁποῖοι

γιαίνοντας πῶς ἄν τις καθοπλίσειε; Πῶς ἂν εἰς παράταξιν ἐξαγάγοι, ἔτι τραύματα ἔχοντας καὶ ὠτειλάς; Ὡς εἴγε ὑγιαίνοντας εἶδον καθαρῶς, ἐπὶ τὴν παράταξιν ὑμᾶς ἐξήγαγον ἂν ἐκείνην· καὶ εἴδετε ἂν τῇ τοῦ Χριστοῦ χάριτι μυρίους βαλλομένους νεκροὺς καὶ φερομένας αὐτῶν ἐπαλλήλους τὰς κεφαλάς.

Ἐν γοῦν ἑτέροις βιβλίοις πολλοὶ περὶ τούτων ἡμῖν εἴρηνται λόγοι· ἀλλ' οὐδὲ οὕτω δυνάμεθα καθαρῶς ἐπὶ τῇ νίκῃ πανηγυρίζειν, διὰ τὴν τῶν πολλῶν ὀλιγωρίαν. Ὅταν γὰρ αὐτοὺς μυριάκις νικήσωμεν τοῖς δόγμασιν, ὀνειδίζουσιν ἡμῖν τὸν βίον τὸν τῶν πολλῶν τῶν παρ' ἡμῖν συλλεγομένων, τὰ τραύματα, τὰ νοσήματα τὰ κατὰ ψυχήν. Πῶς οὖν ὑμᾶς θαρροῦντες ἐπὶ τῆς παρατάξεως δείξομεν, ὅταν καὶ ἡμῖν ἐπηρεάζητε, εὐθέως βαλλόμενοι παρὰ τῶν πολεμίων καὶ κωμῳδούμενοι; Τοῦ μὲν γὰρ ἡ χεὶρ ἀλγεῖ, καὶ ἔστι συνεσταλμένη πρὸς διάδοσιν. Πῶς οὖν ἀσπίδα κατασχεῖν ὁ τοιοῦτος καὶ προβαλέσθαι δυνήσεται, καὶ μὴ πρωθῆναι τοῖς τῆς ὠμότητος σκώμμασιν; Ἑτέροις σκάζουσιν οἱ πόδες, ὅσοι εἰς θέατρα ἀναβαίνουσι, καὶ τὰ τῶν πορνευομένων γυναικῶν καταγώγια. Πῶς οὖν οὗτοι ἐν τῇ μάχῃ δυνήσονται στῆναι, καὶ μὴ βληθῆναι τοῖς τῆς ἀσελγείας ἐγκλήμασιν;

Ἄλλος τοὺς ὀφθαλμοὺς ἀλγεῖ καὶ πεπήρωται, οὐκ ὀρθὰ βλέπων, ἀλλὰ ἀσελγείας γέμων, καὶ γυναικῶν σωφροσύνῃ προσβάλλων, καὶ γάμους διορύττων. Πῶς οὖν οὗτος πρὸς τοὺς πολεμίους ἀντιβλέψαι δυνήσεται, καὶ σεῖσαι δόρυ, καὶ βέλος ἀφεῖναι, πάντοθεν κεντούμενος σκώμμασιν; Ἔστιν ἰδεῖν καὶ γαστέρα ἀλγοῦντας πολλοὺς τῶν ὑδεριώντων οὐκ

δὲν εἶναι ἀκόμη ὑγιεῖς; Πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ παρατάξῃ εἰς μάχην αὐτοὺς ποὺ ἀκόμη ἔχουν τραύματα καὶ νωπὰς πληγάς; Ἐνῷ ἐὰν σᾶς ἔβλεπα νὰ εἶσθε τελείως ὑγιεῖς, θὰ σᾶς ὡδηγοῦσα εἰς τὴν παράταξιν ἐκείνην καὶ θὰ ἐβλέπατε μὲ τὴν χάριν τοῦ Χριστοῦ μυριάδες νεκρῶν νὰ πίπτουν καὶ νὰ στιβάζωνται αἱ κεφαλαί των.

Εἰς ἄλλα λοιπὸν βιβλία σᾶς ἔγιναν πολλαὶ ὁμιλίαι περὶ αὐτῶν. Ἀλλὰ οὔτε ἔτσι ἠμποροῦμεν νὰ πανηγυρίζωμεν πλήρως διὰ τὴν νίκην, ἐξ αἰτίας τῆς ὀλιγωρίας τῶν πολλῶν. Διότι καὶ μυρίας φορὰς ἂν τοὺς νικήσωμεν μὲ τὰ δόγματα, θὰ μᾶς κατηγορήσουν τὸν βίον τῶν πολλῶν οἱ ὁποῖοι συγκεντρώνονται μὲ τὸ μέρος μας, τὰ τραύματα καὶ τὰ ψυχικὰ νοσήματα. Πῶς λοιπὸν νὰ τολμήσωμεν νὰ σᾶς ἐμφανίσωμεν εἰς τὴν παράταξιν, τὴν στιγμὴν κατὰ τὴν ὁποίαν καὶ ἐμᾶς μᾶς ἐπηρεάζετε, βαλλόμενοι εὐθέως καὶ διακωμωδούμενοι ἀπὸ τοὺς ἀντιπάλους; Διότι ἄλλου μὲν πονεῖ τὸ χέρι καὶ πάσχει ἀπὸ ἀγκύλωσιν προκειμένου νὰ δώσῃ. Πῶς λοιπὸν θὰ ἠμπορέσῃ αὐτὸς νὰ κρατήσῃ ἀσπίδα καὶ νὰ τὴν προτάξῃ καὶ νὰ μὴ τραυματισθῇ ἀπὸ τὰ σκώμματα τῆς σκληρότητος; Εἰς ἄλλους χωλαίνουν τὰ πόδια· εἶναι ἐκεῖνοι ποὺ μεταβαίνουν εἰς τὰ θέατρα καὶ εἰς τὰ καταγώγια τῶν γυναικῶν ποὺ πορνεύονται. Πῶς λοιπὸν θὰ ἠμπορέσουν αὐτοὶ νὰ σταθοῦν εἰς τὴν μάχην καὶ νὰ μὴ βληθοῦν ἀπὸ τὰ ἐγκλήματα τῆς ἀσελγείας;

Ἄλλος πάλιν ὑποφέρει ἀπὸ τὰ μάτια του καὶ εἶναι ἀνάπηρος διότι δὲν βλέπει σωστά, ἀλλὰ εἶναι γεμᾶτος ἀσέλγειαν καὶ προσβάλλει τὴν σωφροσύνην τῶν γυναικῶν καὶ ὑπονομεύει τοὺς γάμους. Πῶς λοιπὸν αὐτὸς θὰ ἠμπορέσῃ νὰ ἀτενίσῃ κατὰ πρόσωπον τοὺς ἐχθροὺς καὶ νὰ κινήσῃ τὸ δόρυ καὶ νὰ ρίψῃ τὸ βέλος, ἀφοῦ ἀπὸ παντοῦ κτυπᾶται μὲ σκώμματα; Εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς πολλοὺς ἀπὸ ἐκείνους ποὺ ὁμοιάζουν μὲ ὑδρωπικοὺς νὰ ὑποφέρουν ὄχι ὀλιγώτερον εἰς τὴν κοιλίαν, ὅταν κυριεύωνται ἀπὸ τὴν

ἔλαττον, ὅταν ὑπὸ γαστριμαργίας καὶ μέθης κατέχωνται. Πῶς οὖν τούτους μεθύοντας εἰς πόλεμον ἐξαγαγεῖν δυνήσομαι;

Ἑτέρου τὸ στόμα ἐστὶ σεσηπός· τοιοῦτοι γὰρ οἱ ἀκρόχολοι καὶ λοίδοροι καὶ βλάσφημοι. Πῶς οὖν οὗτος ἀλαλάξει ποτὲ ἐν μάχῃ, καὶ μέγα τι καὶ γενναῖον ἐργάσεται, μέθην καὶ οὗτος ἑτέραν μεθύων, καὶ πολὺν παρέχων τοῖς πολεμίοις τὸν γέλωτα; Διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν περίειμι τουτὶ τὸ στρατόπεδον, τὰ τραύματα θεραπεύων ταῦτα, τὰ ἕλκη διορθούμενος. Ἐὰν δὲ ἀνανήψητέ ποτε, καὶ ἐπιτήδειοι γένησθε καὶ ἑτέρους βάλλειν, καὶ ταῦτα ὑμᾶς διδάξω τὰ τακτικά, καὶ παιδεύσω ταῦτα μεταχειρίζεσθαι τὰ ὅπλα· μᾶλλον δὲ καὶ αὐτὰ τὰ ἔργα ὑμῖν ὅπλα ἔσται, καὶ πάντες εὐθέως ὑποκύψουσιν, ἂν ἐλεήμονες, ἂν ἐπιεικεῖς, ἂν ἥμεροι καὶ ἀνεξίκακοι γένησθε, ἂν τὴν ἄλλην ἀρετὴν ἅπασαν ἐπιδείξησθε. Εἰ δέ τινες ἀντιλέγοιεν, τότε καὶ τὰ παρ' ἑαυτῶν προσθήσομεν, ὑμᾶς εἰς μέσον φέροντες· ὡς νῦν γε καὶ ἐγκοπτόμεθα, τό γε ὑμέτερον μέρος, ἐν τῷ δρόμῳ τούτῳ.

Σκόπει δέ. Λέγομεν ὅτι μεγάλα εἰργάσατο ὁ Χριστός, ἀγγέλους ἀντὶ ἀνθρώπων ποιήσας· εἶτα ἀπαιτούμενοι εὐθύνας, καὶ κελευόμενοι ἐκ τῆς ἀγέλης ταύτης παρασχεῖν τὴν ἀπόδειξιν, ἐπιστομιζόμεθα. Δέδοικα γάρ, μὴ ἀντὶ ἀγγέλων, ὥσπερ ἀπὸ συφεῶνος χοίρους ἐξαγάγω, καὶ ἵππους θηλυμανεῖς. Οἶδα ὅτι ἀλγεῖτε, ἀλλ' οὐ κατὰ πάντων ὑμῶν ταῦτα εἴρηται, ἀλλὰ κατὰ τῶν ὑπευθύνων· μᾶλλον δὲ οὐδὲ κατ' ἐκείνων, ἐὰν νήφωσιν, ἀλλ' ὑπὲρ ἐκείνων. Ὡς νῦν γε πάντα ἀπόλωλε καὶ διέφθαρται· καὶ ἡ ἐκκλησία βοοστασίου οὐδὲν διενήνοχε, καὶ ἐπαύλεως ὄνων καὶ καμήλων· καὶ περιέρχομαι πρόβατον ἐπιζητῶν, καὶ οὐ δύναμαι ἰδεῖν. Οὕτω

γαστριμαργίαν καὶ τὴν μέθην. Πῶς λοιπὸν θὰ ἠμπορέσω αὐτοὺς ἐνῷ εἶναι μεθυσμένοι νὰ τοὺς βγάλω εἰς τὸν πόλεμον;

Ἄλλου εἶναι σάπιον τὸ στόμα· διότι τέτοιοι εἶναι οἱ ὀξύθυμοι καὶ οἱ ὑβρισταὶ καὶ οἱ βλάσφημοι. Πῶς λοιπὸν αὐτὸς θὰ ἠμπορέσῃ ποτὲ νὰ ἀλαλάξῃ εἰς τὴν μάχην καὶ νὰ κατορθώσῃ κάτι τὸ σπουδαῖον καὶ γενναῖον, ἀφοῦ καὶ αὐτὸς εἶναι μεθυσμένος ἄλλου εἴδους μέθην, καὶ προκαλεῖ εἰς τοὺς ἐχθροὺς πολὺν γέλωτα; Δι' αὐτὸ καθημερινῶς περιέρχομαι αὐτὸ ἐδῶ τὸ στρατόπεδον, θεραπεύων τὰ τραύματα αὐτὰ καὶ ἀποκαθιστῶν τὰ ἕλκῃ. Ὅταν δὲ κάποτε ἀνανήψετε καὶ γίνετε ἱκανοὶ νὰ καταβάλετε καὶ ἄλλους, τότε θὰ σᾶς διδάξω καὶ αὐτὴν τὴν τακτικὴν καὶ θὰ σᾶς ἐκπαιδεύσω πῶς νὰ μεταχειρίζεσθε αὐτὰ τὰ ὅπλα· μᾶλλον καὶ αὐτὰ τὰ ἔργα θὰ σᾶς εἶναι ὅπλα καὶ ἀμέσως ὅλοι θὰ ὑποκύψουν, ἐὰν εἶσθε ἐλεήμονες, ἐὰν εἶσθε ἐπιεικεῖς, ἐὰν γίνετε ἥμεροι καὶ ἀνεξίκακοι, ἐὰν ἐπιδείξετε ὅλας τὰς ἄλλας ἀρετάς. Ἐὰν δὲ μερικοὶ ἔχουν ἀντίρρησιν, τότε θὰ προσθέσωμεν καὶ τὰ ἰδικά μας, ἐκθέτοντες τὰ ἰδικά σας, ἀφοῦ τώρα τοὐλάχιστον ἐμποδιζώμεθα, ἀπὸ ἰδικῆς σας πλευρᾶς, εἰς τὸν δρόμον αὐτόν.

Κύτταξε ὅμως. Λέγομεν ὅτι ὁ Χριστὸς ἔκαμε μεγάλα ἔργα, μεταμορφώσας τοὺς ἀνθρώπους εἰς ἀγγέλους. Ὅταν ὅμως μᾶς ζητοῦν συγκεκριμένα στοιχεῖα καὶ προκαλούμεθα νὰ παρουσιάσωμεν ἀπὸ τὸ πλῆθος αὐτὸ ἀποδείξεις, ἀποστομωνόμεθα. Φοβοῦμαι μάλιστα μήπως ἀντὶ ἀγγέλων βγάλω, ὡσὰν ἀπὸ κανένα χοιροστάσιον, χοίρους καὶ θηλυμανεῖς ἵππους. Γνωρίζω ὅτι στενοχωρεῖσθε, ὅμως αὐτὰ δὲν ἐλέχθησαν ἐναντίον ὅλων σας, ἀλλὰ ἐναντίον τῶν ὑπευθύνων· ἢ μᾶλλον οὔτε ἐναντίον ἐκείνων, ἐὰν ἀνανήψουν, ἀλλὰ ὑπὲρ ἐκείνων. Διότι τώρα βέβαια ὅλα ἔχουν χαθῆ καὶ διαφθαρῆ καὶ ἡ Ἐκκλησία εἰς τίποτε δὲν διαφέρει ἀπὸ στάβλον καὶ ἀπὸ μάνδραν ὄνων καὶ καμήλων. Καὶ περιφέρομαι ἀναζητῶν πρόβατον καὶ δὲν ἠμπορῶ νὰ ἰδῶ. Ἔτσι

πάντες λακτίζουσι, καθάπερ ἵπποι καὶ ὄνοι τινὲς ἄγριοι, καὶ κόπρου πολλῆς τὰ ἐνταῦθα πληροῦσι· τοιαῦται γὰρ αὐτῶν αἱ διαλέξεις.

Καὶ εἴγε ἦν ἰδεῖν τὰ καθ' ἑκάστην σύναξιν λεγόμενα ὑπὸ ἀνδρῶν, ὑπὸ γυναικῶν, εἶδες ἂν τῆς κόπρου ἐκείνης τὰ ρήματα ἀκαθαρτότερα. Διὸ παρακαλῶ μεταβαλεῖν τὴν πονηρὰν ταύτην συνήθειαν, ἵνα μύρου ἡ ἐκκλησία πνέῃ. Νῦν δὲ θυμιάματα μὲν αἰσθητὰ ἀποτιθέμεθα ἐν αὐτῇ, τὴν δὲ νοητὴν ἀκαθαρσίαν οὐ πολλὴν ποιούμεθα σπουδὴν ὥστε ἐκκαθαίρειν καὶ ἀπελαύνειν.

Τί οὖν τὸ ὄφελος; Οὐδὲ γὰρ οὕτως αἰσχύνομεν τὴν ἐκκλησίαν κόπρον εἰσάγοντες, ὡς αἰσχύνομεν αὐτὴν τοιαῦτα πρὸς ἀλλήλους φθεγγόμενοι, περὶ κερδῶν, περὶ ἐμπορίας, περὶ καπηλείας, περὶ τῶν οὐδὲν πρὸς ἡμᾶς ὄντων. Δέον ἀγγέλων ἐνταῦθα εἶναι χορούς, καὶ οὐρανὸν τὴν ἐκκλησίαν ποιεῖν, καὶ μηδὲν ἕτερον ἢ εὐχὰς ἐκτενεῖς καὶ σιγὴν μετὰ ἀκροάσεως εἰδέναι. Τοῦτο δὲ κἂν ἐκ τοῦ νῦν ποιῶμεν, ἵνα καὶ τὸν βίον ἐκκαθάρωμεν τὸν ἡμέτερον, καὶ τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅλοι κλωτσοῦν, ὅπως ὡρισμένοι ἄγριοι ἵπποι καὶ ὄνοι, καὶ γεμίζουν τὸν χῶρον ἐδῶ μὲ πολλὴν κόπρον. Διότι τοιαῦται εἶναι αἱ συνομιλίαι των.

Καὶ ἐὰν ἦτο δυνατὸν νὰ ἰδῃς ὅσα λέγονται εἰς κάθε σύναξιν ἀπὸ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, θὰ ἔβλεπες ὅτι τὰ λόγια τους εἶναι πιὸ ἀκάθαρτα ἀπὸ τὴν κόπρον τῶν στάβλων. Δι' αὐτὸ παρακαλῶ νὰ ἀλλάξετε αὐτὴν τὴν κακὴν συνήθειαν, διὰ νὰ ἀποπνέῃ ἡ Ἐκκλησία μύρον. Τώρα ὅμως σκορπίζομεν εἰς αὐτὴν θυμιάματα αἰσθητά, ἐνῷ δὲν ἐνδιαφερόμεθα καὶ πολὺ νὰ καθαρίσωμεν καὶ νὰ ἀπομακρύνωμεν τὴν νοητὴν ἀκαθαρσίαν.

Ποῖον τὸ ὄφελος λοιπόν; Διότι δὲν βρωμίζομεν τόσον πολὺ τὴν Ἐκκλησίαν φέροντες μέσα εἰς αὐτὴν κόπρον, ὅσον τὴν καταισχύνομεν ὅταν ὁμιλοῦμεν μεταξύ μας διὰ κέρδη, ἐμπορικὰς ἐπιχειρήσεις, μικρεμπόριον καὶ διὰ πράγματα ποὺ καθόλου δὲν μᾶς ἐνδιαφέρουν. Ἐδῶ πρέπει νὰ εἴμεθα χοροὶ ἀγγέλων καὶ νὰ κάνωμεν τὴν Ἐκκλησίαν οὐρανὸν καὶ τίποτε ἄλλο νὰ μὴ γνωρίζωμεν παρὰ μόνον σχοινοτενεῖς προσευχὰς καὶ σιωπηρὰν ἀκρόασιν. Αὐτὸ δὲ ἠμποροῦμεν καὶ ἀπὸ τώρα νὰ τὸ ἐφαρμόσωμεν, ὥστε καὶ τὸν βίον μας νὰ καθαρίσωμεν καὶ τὰ ἀγαθὰ ποὺ μᾶς ἔχουν ὑποσχεθῇ νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΘʹ.

Ματθ. 27, 62 - 28, 10

«*Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλᾶτον, λέγοντες· Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης*».

1. Πανταχοῦ ἡ πλάνη ἑαυτῇ περιπίπτει, καὶ τῇ ἀληθείᾳ ἄκουσα συνηγορεῖ. Σκόπει δέ. Ἔδει πιστευθῆναι, ὅτι ἀπέθανε, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἀνέστη· καὶ ταῦτα πάντα διὰ τῶν ἐχθρῶν γίνεται. Ὅρα γοῦν τὰ ῥήματα ταῦτα τούτοις μαρτυροῦντα ἅπασιν. «Ἐμνήσθημεν», φησίν, «ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν»· οὐκοῦν ἐτελεύτησεν· «ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν σφραγισθῆναι τὸν τάφον»· οὐκοῦν ἐτάφη· «Μήποτε ἔλθωσιν οἱ μαθηταὶ αὐτοῦ, καὶ κλέψωσιν αὐτόν». Οὐκοῦν ὁ τάφος ἐὰν σφραγισθῇ, οὐκ ἔσται τις κακουργία. Οὐ γὰρ οὖν. Οὐκοῦν ἀναντίῤῥητος ἡ ἀπόδειξις τῆς ἀναστάσεως, δι' ὧν ὑμεῖς προτείνατε, γέγονεν. Ἐπειδὴ γὰρ ἐσφραγίσθη, οὐδεμία γέγονε κακουργία. Εἰ δὲ οὐδεμία γέγονε κακουργία, εὕρηται δὲ ὁ τάφος κενός, δῆλον ὅτι ἀνέστη σαφῶς καὶ ἀναντιῤῥήτως.

Εἶδες πῶς καὶ ἄκοντες συναγωνίζονται τῇ τῆς ἀληθείας ἀποδείξει; Σὺ δέ μοι σκόπει τῶν μαθητῶν τὸ φιλάληθες· πῶς τῶν λεγομένων παρὰ τῶν ἐχθρῶν οὐδὲν ἀποκρύπτον-

ΟΜΙΛΙΑ ΠΘ΄.

Ματθ. 27, 62 - 28, 10

«Τὴν δὲ ἑπομένην ἡμέραν, μετὰ τὴν Παρασκευήν, συνεκεντρώθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισσαῖοι εἰς τὸν Πιλᾶτον καὶ τοῦ εἶπαν· Κύριε, ἐνεθυμήθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ὅταν ἀκόμη ἐζοῦσε, μετὰ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ. Δῶσε λοιπὸν διαταγὴν νὰ ἀσφαλισθῇ ὁ τάφος ἕως τὴν τρίτην ἡμέραν, μήπως ἔλθουν οἱ μαθηταί Του καὶ τὸν κλέψουν καὶ εἰποῦν εἰς τὸν λαὸν ὅτι 'ἀνεστήθη ἀπὸ τοὺς νεκρούς', ὁπότε ἡ τελευταία αὐτὴ ἀπάτη θὰ εἶναι χειροτέρα ἀπὸ τὴν πρώτην».

1. Παντοῦ ἡ πλάνη συγκρούεται μὲ τὸν ἑαυτόν της καὶ ἄθελά της συνηγορεῖ ὑπὲρ τῆς ἀληθείας. Πρόσεξε ὅμως. Ἔπρεπε νὰ πιστευθῇ ὅτι ἀπέθανεν, ὅτι ἐτάφη καὶ ὅτι ἀνέστη. Καὶ ὅλα αὐτὰ γίνονται ἀπὸ τοὺς ἐχθρούς. Κύτταξε λοιπὸν ὅτι τὰ λόγια αὐτὰ βεβαιώνουν ὅλα αὐτά. «Ἐνεθυμήθημεν», λέγει, «ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἐνῷ ἀκόμη ἐζοῦσεν»· ἄρα ἀπέθανεν· «Ὅτι μετὰ ἀπὸ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ. Δῶσε λοιπὸν διαταγὴν νὰ σφραγισθῇ ὁ τάφος»· ἄρα ἐτάφη· «Μήπως ἔλθουν οἱ μαθηταί του καὶ τὸν κλέψουν». Ἄρα, ἐὰν ὁ τάφος σφραγισθῇ δὲν θὰ γίνῃ καμμία ἀπάτη. Δὲν ἔγινε λοιπόν. Ἑπομένως ἡ ἀπόδειξις τῆς ἀναστάσεως, μὲ ὅσα ἐπροτείνατε σεῖς, ἔγινεν ἀναντίρρητος. Διότι ἀφοῦ ἐσφραγίσθη, δὲν συνέβη καμμία ἀπάτη. Ἐὰν δὲ δὲν ἔγινε καμμία ἀπάτη, εὑρέθη ὅμως κενὸς ὁ τάφος, εἶναι φανερὸν ὅτι ἀνέστη σαφῶς καὶ ἀναντιρρήτως.

Εἶδες ὅτι καὶ χωρὶς νὰ τὸ θέλουν ὑποστηρίζουν τὴν ἀπόδειξιν τῆς ἀληθείας; Σὺ δὲ κάνε μου τὴν χάριν νὰ προσέξῃς τὴν φιλαλήθειαν τῶν μαθητῶν· ὅτι δὲν ἀποκρύπτουν τίποτε ἀπὸ ὅσα λέγουν οἱ ἐχθροί, καὶ ὅταν ἀκόμη λέγουν

ται, κἂν ἐπονείδιστα λέγωσιν. Ἰδοὺ γοῦν καὶ πλάνον καλοῦσι, καὶ οὐ σιγῶσιν αὐτὸ οὗτοι. Ταῦτα δὲ καὶ τὴν ἐκείνων δείκνυσιν ὠμότητα, ὅτι οὐδὲ τῷ θανάτῳ τὴν ὀργὴν ἀφῆκαν· καὶ τούτων τὸν ἁπλοῦν καὶ φιλαληθῆ τρόπον.

Ἄξιον δὲ κἀκεῖνο ζητῆσαι, ποῦ εἶπεν, ὅτι «Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι»; Οὐ γὰρ εὕροι τις ἂν οὕτω σαφῶς εἰρημένον, ἀλλ' ἢ τὸ τοῦ Ἰωνᾶ παράδειγμα. Ὥστε ᾔδεσαν τὰ λεγόμενα, καὶ ἑκόντες ἐκακούργουν. Τί οὖν ὁ Πιλᾶτος; Ἔχετε κουστωδίαν, ἀσφαλίσασθε ὡς οἴδατε. Καὶ ἠσφαλίσαντο σφραγίσαντες τὸν τάφον μετὰ τῆς κουστωδίας». Οὐκ ἀφίησι τοὺς στρατιώτας μόνους σφραγίσαι· ἅτε γὰρ μαθὼν τὰ περὶ αὐτοῦ, οὐκέτι συμπράττειν αὐτοῖς ἤθελεν. Ἀλλ' ὑπὲρ ἀπαλλαγῆς αὐτῶν καὶ τοῦτο ἀνέχεται, καί φησιν· ὑμεῖς ὡς βούλεσθε σφραγίσατε, ἵνα μὴ ἑτέρους ἔχητε αἰτιᾶσθαι. Εἰ γὰρ μόνοι οἱ στρατιῶται ἐσφραγίσαντο, ἠδύναντο λέγειν, (εἰ καὶ ἀπίθανα καὶ ψευδῆ τὰ λεγόμενα· ἀλλ' ὅμως ὡς ἐν τοῖς ἄλλοις ἠναισχύντουν, οὕτω καὶ ἐν τούτῳ λέγειν εἶχον), ὅτι οἱ στρατιῶται τὸ σῶμα δόντες κλαπῆναι, παρέσχον τοῖς μαθηταῖς τὸν περὶ τῆς ἀναστάσεως πλάσαι λόγον· νῦν δὲ αὐτοὶ ἀσφαλισάμενοι, οὐδὲ τοῦτο λέγειν δύνανται.

Εἶδες πῶς σπουδάζωσιν ὑπὲρ τῆς ἀληθείας ἄκοντες; Καὶ γὰρ αὐτοὶ προσῆλθον, αὐτοὶ ᾔτησαν, αὐτοὶ ἐσφράγισαν μετὰ τῆς κουστωδίας, ὥστε ἀλλήλων εἶναι κατήγοροι καὶ ἔλεγχοι. Καίτοι πότε ἂν ἔκλεψαν; Τῷ Σαββάτῳ; Καὶ πῶς; οὐδὲ γὰρ ἐξῆν προελθεῖν. Εἰ δὲ καὶ τὸν νόμον παρέβαινον, πῶς ἂν ἐτόλμησαν οἱ οὕτω δειλοὶ προελθεῖν; Πῶς δὲ καὶ πεῖσαι τὸν ὄχλον ἠδύναντο; τί λέγοντες; τί ποιοῦντες; ποία

πράγματα ὑβριστικά. Νὰ ποὺ τὸν ὀνομάζουν καὶ πλάνον καὶ αὐτοὶ δὲν τὸ ἀποσιωποῦν. Αὐτὰ δὲ δείχνουν καὶ τὴν σκληρότητα ἐκείνων, ἀφοῦ οὔτε μὲ τὸν θάνατον ἀπέβαλαν τὴν ὀργήν, καὶ αὐτῶν τὴν ἁπλότητα καὶ φιλαλήθειαν.

Ἀξίζει δὲ νὰ ἀναζητήσωμεν καὶ τοῦτο, ποῦ εἶπεν ὅτι «μετὰ ἀπὸ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ»; Διότι δὲν θὰ τὸ εὕρῃ κανεὶς πουθενὰ νὰ λέγεται τόσον σαφῶς, ἐκτὸς ἀπὸ τὸ παράδειγμα τοῦ Ἰωνᾶ. Ὥστε λοιπὸν ἐγνώριζαν αὐτὰ ποὺ ἔλεγαν καὶ ἠθελημένως τὰ παραποιοῦσαν. Τί ἀπαντᾷ δὲ ὁ Πιλᾶτος; «Ἔχετε φρουράν, ἀσφαλίσατέ τον ὅπως γνωρίζετε. Καὶ τὸν ἠσφάλισαν σφραγίσαντες τὸν λίθον μαζὶ μὲ τὴν φρουράν». Δὲν ἀφήνει μόνους τοὺς στρατιώτας νὰ τὸν σφραγίσουν. Διότι, ἐπειδὴ εἶχε μάθει τὰ σχετικὰ μὲ Αὐτόν, δὲν ἤθελε πλέον νὰ συμπράξῃ μὲ αὐτούς. Ἀλλὰ διὰ νὰ ἀπαλλαγῇ ἀπὸ αὐτὰ ἀνέχεται καὶ τοῦτο καὶ λέγει· Σφραγίσατέ τον ὅπως θέλετε σεῖς, διὰ νὰ μὴ ἠμπορῆτε νὰ κατηγορῆτε ἄλλους. Διότι ἐὰν τὸν ἐσφράγιζαν μόνοι οἱ στρατιῶται, θὰ ἠμποροῦσαν νὰ εἰποῦν (ἂν καὶ θὰ ἦσαν ἀπίθανα καὶ ψευδῆ ὅσα θὰ ἔλεγαν, ἀλλ' ὅμως, ὅπως εἰς τὰ ἄλλα ἔδειχναν ἀναισχυντίαν, ἔτσι θὰ ἠμποροῦσαν νὰ εἰποῦν καὶ εἰς τὴν περίπτωσιν αὐτήν), ὅτι οἱ στρατιῶται ἐπιτρέψαντες νὰ κλαπῇ τὸ σῶμα, ἔδωσαν τὸ δικαίωμα εἰς τοὺς μαθητὰς νὰ πλάσουν τὸ κήρυγμα τῆς ἀναστάσεως. Τώρα ὅμως ποὺ οἱ ἴδιοι ἐσφράγισαν τὸν τάφον, οὔτε αὐτὸ ἠμποροῦν νὰ εἰποῦν.

Εἶδες πῶς πασχίζουν ἄθελά τους ὑπὲρ τῆς ἀληθείας; Διότι αὐτοὶ προσῆλθαν εἰς τὸν Πιλᾶτον, αὐτοὶ ἐζήτησαν νὰ ἀσφαλισθῇ ὁ τάφος, αὐτοὶ τὸν ἐσφράγισαν μαζὶ μὲ τὴν φρουράν, ὥστε νὰ εἶναι κατήγοροι καὶ ἐλεγκταὶ τῶν ἑαυτῶν των. Ἂν καὶ πότε θὰ ἠμποροῦσαν νὰ τὸν κλέψουν; Τὸ Σάββατον; Καὶ μὲ ποῖον τρόπον, ἀφοῦ οὔτε νὰ ἐξέλθουν ἦτο δυνατόν; Ἐὰν πάλιν παρέβαιναν τὸν νόμον, πῶς θὰ ἐτόλμων νὰ ἐξέλθουν αὐτοὶ οἱ τόσον δειλοί; Πῶς ἀκόμη θὰ ἠμποροῦσαν νὰ πείσουν τὸ πλῆθος; Τί θὰ ἔλεγαν; Τί θὰ

δὲ προθυμίᾳ στῆναι εἶχον ὑπὲρ τοῦ νεκροῦ; τίνα δὲ προσδοκῶντες ἀντίδοσιν; ποίαν ἀμοιβήν; Ἔτι ζῶντα καὶ μόνον κατασχεθέντα ἰδόντες ἔφυγον· καὶ μετὰ τὴν τελευτὴν ὑπὲρ αὐτοῦ παρρησιάζεσθαι ἔμελλον, εἰ μὴ ἀνέστη;

Καὶ πῶς ἂν ἔχοιεν ταῦτα λόγον; Ὅτι γὰρ οὔτ᾿ ἂν ἠβουλήθησαν, οὔτ᾿ ἂν ἠδυνήθησαν πλάσαι ἀνάστασιν μὴ γενομένην, δῆλον ἐκεῖθεν. Πολλὰ περὶ ἀναστάσεως αὐτοῖς διελέχθη, καὶ συνεχῶς ἔλεγεν, ὡς καὶ αὐτοὶ οὗτοι εἰρήκασιν, ὅτι «Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι». Εἰ τοίνυν οὐκ ἀνέστη, εὔδηλον ὡς ἀπατηθέντες οὗτοι, καὶ πρὸς ὁλόκληρον ἔθνος δι᾿ αὐτὸν ἐκπολεμωθέντες, καὶ ἄοικοι καὶ ἀπόλιδες γενόμενοι, ἀπεστράφησαν ἂν αὐτόν, καὶ οὐκ ἂν ἠβουλήθησαν τοιαύτην αὐτῷ περιθεῖναι δόξαν, ἅτε ἠπατημένοι, καὶ εἰς τοὺς ἐσχάτους δι᾿ αὐτὸν ἐμπεσόντες κινδύνους.

Ὅτι δὲ οὐδ᾿ ἂν ἠδυνήθησαν, εἰ μὴ ἦν ἀληθὴς ἡ ἀνάστασις, πλάσαι αὐτήν, τοῦτο οὐδὲ λόγου δεῖται. Τίνι γὰρ ἐθάρρουν; τῇ δεινότητι τῶν λόγων; Ἀλλὰ πάντων ἦσαν ἀμαθέστεροι. Ἀλλὰ τῇ περιουσίᾳ τῶν χρημάτων; Ἀλλ᾿ οὐδὲ ῥάβδον, οὐδὲ ὑποδήματα εἶχον. Ἀλλὰ τῇ περιφανείᾳ τοῦ γένους; Ἀλλ᾿ εὐτελεῖς ἦσαν, καὶ ἐξ εὐτελῶν. Ἀλλὰ τῷ μεγέθει τῆς πατρίδος; Ἀλλ᾿ ἀπὸ χωρίων ἦσαν ἀσήμων. Ἀλλὰ τῷ πλήθει τῷ ἑαυτῶν; Ἀλλὰ τῶν ἕνδεκα οὐκ ἦσαν πλείους, καὶ αὐτοὶ δὲ διεσπάρησαν. Ἀλλὰ ταῖς ἐπαγγελίαις τοῦ διδασκάλου; Ποίαις; Εἰ γὰρ μὴ ἀνέστη, οὐδὲ ἐκεῖναι ἤμελλον εἶναι αὐτοῖς πισταί.

Πῶς δ᾿ ἂν ἤνεγκαν δῆμον μαινόμενον; Εἰ γὰρ ὁ κορυφαῖος αὐτῶν θυρωροῦ ῥῆμα οὐκ ἤνεγκε γυναικός, καὶ οἱ

ἔκαναν; Μὲ ποίαν διάθεσιν θὰ ἐτάσσοντο μὲ τὸ μέρος τοῦ νεκροῦ; Ποίαν ἐπὶ τέλους ἀντιμισθίαν θὰ ἐπερίμεναν; Ποίαν ἀνταμοιβήν; Ἐνῷ ἀκόμη ἦτο ζωντανός, καὶ μόνον ὅταν τὸν εἶδαν νὰ συλλαμβάνεται, ἔφυγαν. Καὶ θὰ ὡμιλοῦσαν μὲ θάρρος μετὰ τὸν θάνατόν Του ὑπὲρ Αὐτοῦ ἐὰν δὲν εἶχεν ἀναστηθῇ;

Καὶ πῶς θὰ ἠμποροῦσαν αὐτὰ νὰ δικαιολογηθοῦν; Διότι ὅτι οὔτε ἐσκέφθησαν οὔτε ἠμποροῦσαν νὰ πλάσουν μίαν ἀνάστασιν ἡ ὁποία δὲν ἔγινεν, εἶναι φανερὸν ἀπὸ τὰ ἑξῆς· Πολλὰ τοὺς εἶχεν εἰπεῖ καὶ συνεχῶς τοὺς ἔλεγε περὶ τῆς ἀναστάσεως, ὅπως εἶπαν καὶ αὐτοὶ οἱ ἴδιοι ὅτι «μετὰ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ». Ἐὰν ὅμως δὲν ἀνίστατο, εἶναι ὁλοφάνερον ὅτι, ἐπειδὴ αὐτοὶ εἶχαν ἀπατηθῇ καὶ εἶχαν παρασυρθῇ ἐξ αἰτίας Του εἰς πόλεμον πρὸς ὁλόκληρον τὸ ἔθνος, καὶ εἶχαν μείνει χωρὶς οἰκογένειαν καὶ χωρὶς πατρίδα, θὰ τὸν ἀπεστρέφοντο καὶ δὲν θὰ ἤθελαν νὰ τοῦ προσδώσουν τοιαύτην δόξαν, καθόσον εἶχαν ἀπατηθῇ καὶ εἶχαν περιέλθει εἰς ἔσχατον κίνδυνον δι' Αὐτόν.

Ὅτι δὲ δὲν θὰ ἠμποροῦσαν, ἐὰν ἡ ἀνάστασις δὲν ἦτο ἀληθινή, νὰ τὴν πλάσουν, αὐτὸ δὲν χρειάζεται οὔτε ἀπόδειξιν. Διότι εἰς τί θὰ ἐβασίζοντο; Εἰς τὴν δεινότητα τῶν λόγων; Ἀλλ' αὐτοὶ ἦσαν πιὸ ἀμαθεῖς ἀπὸ ὅλους. Μήπως εἰς τὰ πολλά τους χρήματα; Ἀλλ' αὐτοὶ δὲν εἶχαν οὔτε ράβδον οὔτε ὑποδήματα. Μήπως εἰς τὴν εὐγενῆ καταγωγήν των; Ἀλλ' αὐτοὶ ἦσαν ἄσημοι καὶ κατήγοντο ἀπὸ ἀσήμους γονεῖς. Μήπως εἰς τὴν μεγάλην πατρίδα των; Ἀλλὰ κατήγοντο ἀπὸ ἀσήμαντα χωριά. Μήπως εἰς τὸν μεγάλον ἀριθμόν των; Ἀλλὰ δὲν ἦσαν περισσότεροι ἀπὸ ἕνδεκα καὶ αὐτοὶ μάλιστα διεσπαρμένοι. Μήπως εἰς τὰς ὑποσχέσεις τοῦ Διδασκάλου των; Ποίας; Διότι ἐὰν δὲν ἀνίστατο, οὔτε ἐκεῖναι θὰ ἦσαν δι' αὐτοὺς ἀξιόπιστοι.

Πῶς δὲ θὰ ὑπέφεραν τὸν μαινόμενον ὄχλον; Διότι ἐὰν ὁ κορυφαῖος ἀπὸ αὐτοὺς δὲν ἄντεξε τὸν λόγον τῆς θυρω-

λοιποὶ δὲ πάντες δεδεμένον ἰδόντες διεσπάρησαν· πῶς ἂν ἐνενόησαν εἰς τὰ πέρατα τῆς οἰκουμένης δραμεῖν, καὶ φυτεῦσαι πεπλασμένον ἀναστάσεως λόγον; Εἰ γὰρ ὁ μὲν πρὸς γυναικὸς ἀπειλὴν οὐκ ἔστη, οἱ δὲ οὐδὲ πρὸς δεσμῶν ὄψιν, πῶς ἠδύναντο πρὸς βασιλέας καὶ ἄρχοντας καὶ δήμους ἵστασθαι, ὅπου ξίφη καὶ τήγανα καὶ κάμινοι καὶ μυρίοι καθ' ἡμέραν θάνατοι, εἰ μὴ τῆς τοῦ ἀναστάντος δυνάμεως καὶ ῥοπῆς ἀπέλαυσαν; Τοιαῦτα σημεῖα γέγονε καὶ τοσαῦτα, καὶ οὐδὲν τούτων ᾐδέσθησαν Ἰουδαῖοι, ἀλλ' ἐσταύρωσαν τὸν πεποιηκότα· καὶ τούτοις ἔμελλον ἁπλῶς λέγουσι πείθεσθαι περὶ ἀναστάσεως; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλ' ἡ τοῦ ἀναστάντος ἰσχὺς ταῦτα εἰργάσατο.

2. Σκόπει δέ μοι τὴν κακουργίαν αὐτῶν τὴν καταγέλαστον. «Ἐμνήσθημεν», φησίν, «ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Καὶ εἰ πλάνος ἦν, καὶ ψευδῆ ἐκόμπαζε, τί δεδοίκατε καὶ περιτρέχετε, καὶ τοσαύτῃ κέχρησθε σπουδῇ; Δεδοίκαμεν, φησί, μήποτε κλέψωσιν αὐτὸν οἱ μαθηταί, καὶ ἀπατήσωσι τοὺς πολλούς. Καίτοιγε ἀπεδείχθη τοῦτο οὐκ ἔχον λόγον καθόλου. Ἀλλ' ὅμως ἡ κακία φιλόνεικον καὶ ἀναιδές, καὶ τοῖς ἀλογίστοις ἐπιχειρεῖ. Καὶ μέχρι τριῶν ἡμερῶν κελεύουσιν ἀσφαλισθῆναι, ὡς ὑπὲρ δογμάτων μαχόμενοι, καὶ βουλόμενοι δεῖξαι καὶ πρὸ τούτου πλάνον ὄντα, καὶ μέχρι τοῦ τάφου τὴν κακίαν ἐκτείνουσι.

Διά τοι τοῦτο τάχιον ἀνέστη, ἵνα μὴ λέγωσιν, ὅτι ἐψεύσατο, καὶ ἐκλάπη. Τοῦτο μὲν γὰρ ἔγκλημα οὐκ εἶχε, τὸ θᾶττον ἀναστῆναι· τὸ δὲ βράδιον, ὑποψίας ἔγεμε. Καὶ γὰρ

ρου ποὺ ἦτο γυναῖκα, ὅλοι δὲ οἱ ὑπόλοιποι ὅταν τὸν εἶδαν δεμένον διεσκορπίσθησαν, πῶς θὰ διενοοῦντο νὰ τρέξουν εἰς τὰ πέρατα τῆς οἰκουμένης καὶ νὰ σπείρουν τὸ φανταστικὸν κήρυγμα τῆς ἀναστάσεως; Διότι, ἐὰν ὁ μὲν πρῶτος δὲν ἀντέστη εἰς τὴν ἀπειλὴν τῆς γυναικός, οἱ δὲ ἄλλοι οὔτε εἰς τὴν θέαν τῆς δεσμεύσεως, πῶς ἠμποροῦσαν νὰ ἀντισταθοῦν εἰς βασιλεῖς καὶ ἄρχοντας καὶ πλήθη, ὅπου ὑπῆρχαν ξίφη καὶ τηγάνια καὶ κάμινοι καὶ μυρίου εἴδους θανατώσεις καθημερινῶς, ἐὰν δὲν ἐδέχοντο τὴν δύναμιν καὶ τὴν τόνωσιν τοῦ ἀναστάντος; Τόσα καὶ τοιούτου εἴδους θαύματα εἶχαν γίνει καὶ τίποτε ἀπὸ αὐτὰ δὲν ἐσεβάσθησαν οἱ Ἰουδαῖοι, ἀλλὰ ἐσταύρωσαν Αὐτὸν ποὺ τὰ ἔκαμεν· καὶ θὰ ἔλεγαν εἰς αὐτοὺς ἁπλῶς νὰ πιστεύσουν εἰς τὴν ἀνάστασιν; Δὲν εἶναι δυνατὰ αὐτά, δὲν εἶναι· ἀλλὰ μόνον ἡ δύναμις τοῦ ἀναστάντος τὰ ἔκαμεν.

2. Κάνε μου δὲ τὴν χάριν νὰ προσέξῃς τὴν καταγέλαστον ἀπάτην των. «Ἐνεθυμήθημεν», λέγει, «ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ὅταν ἀκόμη ἐζοῦσεν, ὅτι μετὰ ἀπὸ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ». Καὶ ἐφ' ὅσον ἦτο πλάνος καὶ ἐκαυχᾶτο ψευδῶς, διατί ἐφοβήθητε καὶ τρέχετε τριγύρω καὶ δείχνετε τόσην βιασύνην; Φοβούμεθα, λέγει, μήπως Τὸν κλέψουν οἱ μαθηταὶ καὶ ἐξαπατήσουν τὰ πλήθη. Ἂν καὶ βεβαίως ἀπεδείχθη ὅτι ὁ φόβος των αὐτὸς δὲν εἶχε κανένα λόγον, ἀλλὰ ἡ κακία εἶναι πρᾶγμα φιλόνεικον καὶ ἀναιδὲς καὶ ἐπιχειρεῖ καὶ τὰ παράλογα. Ἔτσι παρακαλοῦν νὰ ἀσφαλισθῇ ὁ τάφος ἐπὶ τρεῖς ἡμέρας, ὡσὰν νὰ ἠγωνίζοντο περὶ ἀποφάσεων, καὶ θέλοντες νὰ δείξουν ὅτι καὶ πρὶν ἀπὸ αὐτὸ ὅτι εἶναι πλάνος, δι' αὐτὸ ἐπεκτείνουν τὴν κακίαν των μέχρι τοῦ τάφου.

Διὰ τοῦτο ἀκριβῶς ἀνεστήθη ἐνωρίτερα, διὰ νὰ μὴ λέγουν ὅτι διεψεύσθη καὶ ὅτι ἐκλάπη. Διότι αὐτὸ μέν, τὸ νὰ ἀναστηθῇ ἐνωρίτερα, δὲν ἐπέτρεπε κατηγορίαν, ἐνῷ τὸ νὰ ἀναστηθῇ βραδύτερον, ἦτο γεμᾶτον ὑποψίας. Διότι, ἐὰν

εἰ μὴ τότε ἀνέστη, καθημένων αὐτῶν αὐτόθι καὶ φυλαττόντων, ἀλλ᾽ ἀναχωρησάντων μετὰ τὴν τριήμερον, εἶχόν τι λέγειν καὶ ἀντιλέγειν, εἰ καὶ ἀνοήτως. Διὰ τοῦτο τοίνυν προέφθασεν. Ἔδει γὰρ παρακαθημένων αὐτῶν καὶ φυλαττόντων, γενέσθαι τὴν ἀνάστασιν. Οὐκοῦν καὶ εἴσω τῶν τριῶν ἡμερῶν ἔδει γενέσθαι· ὡς εἴγε παρελθουσῶν αὐτῶν καὶ ἀναχωρησάντων ἐγένετο, ὕποπτον τὸ πρᾶγμα ἔμελλεν εἶναι. Διὸ καὶ σφραγίσαι συνεχώρησεν, ὡς ἠβούλοντο, καὶ στρατιῶται παρεκάθηντο.

Καὶ οὐκ ἔμελεν αὐτοῖς ἐν Σαββάτῳ ταῦτα ποιοῦσι, καὶ ἐργαζομένοις, ἀλλὰ πρὸς ἓν μόνον ἑώρων, τὴν ἑαυτῶν πονηρίαν, ὡς ταύτῃ περιεσόμενοι· ὅπερ ἐσχάτης ἀνοίας ἦν, καὶ φόβον σφόδρα αὐτοὺς κατασείοντος λοιπόν. Οἱ γὰρ ζῶντα αὐτὸν κατασχόντες, ἀποθανόντα δεδοίκασι. Καίτοιγε εἰ ψιλός τις ἄνθρωπος ἦν, ἔδει θαρρεῖν. Ἀλλ᾽ ἵνα μάθωσιν, ὅτι καὶ ζῶν ἑκὼν ἔπαθεν, ἅπερ ἔπαθεν, ἰδοὺ καὶ σφραγίς, καὶ λίθος, καὶ κουστωδία, καὶ οὐκ ἴσχυσαν κατασχεῖν· ἀλλ᾽ ἓν γίνεται μόνον, τὸ δημοσιευθῆναι τὴν ταφήν, καὶ πιστευθῆναι ἐντεῦθεν τὴν ἀνάστασιν. Καὶ γὰρ στρατιῶται παρεκάθηντο, καὶ Ἰουδαῖοι προσεδρεύουσιν.

«Ὀψὲ δὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. Ἄγγελος γὰρ Κυρίου καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ προσελθών, ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν καὶ ὡσεὶ χιών». Μετὰ τὴν ἀνάστασιν ἦλθεν ὁ ἄγγελος. Τίνος οὖν ἕνεκεν ἦλθε, καὶ τὸν λίθον ἦρε;

δὲν ἀνίστατο τότε, ὅταν ἐκάθηντο αὐτοὶ ἐκεῖ καὶ ἐφύλασσαν τὸν τάφον, ἀλλὰ ὅταν θὰ ἀνεχώρουν μετὰ τρεῖς ἡμέρας, θὰ εἶχαν κάτι νὰ ἰσχυρισθοῦν καὶ νὰ ἀντείπουν, ἔστω καὶ ἀνοήτως. Δι' αὐτὸ λοιπὸν τοὺς ἐπρόλαβε. Διότι ἔπρεπε καθὼς ἐκάθηντο κοντὰ εἰς τὸν τάφον καὶ τὸν ἐφύλασσαν νὰ γίνῃ ἡ ἀνάστασις. Ἐπίσης ἔπρεπε νὰ γίνῃ ἐντὸς τῶν τριῶν ἡμερῶν, διότι ἐὰν ἐγίνετο ὅταν παρήρχοντο αὐταὶ καὶ ἀνεχώρουν, θὰ ἐθεωρεῖτο ὕποπτον τὸ πρᾶγμα. Δι' αὐτὸ καὶ ἐπέτρεψε νὰ σφραγίσουν τὸν τάφον ὅπως ἤθελαν καὶ στρατιῶται ἐφύλασσαν.

Καὶ δὲν τοὺς ἔμελε ποὺ ἔκαναν αὐτὰ εἰς ἡμέραν Σαββάτου καὶ ὅτι εἰργάζοντο, ἀλλὰ μόνον εἰς ἕνα πρᾶγμα ἀπέβλεπαν, τὴν πονηρίαν των, πῶς θὰ ἐπικρατήσουν μὲ αὐτήν, πρᾶγμα τὸ ὁποῖον ἦτο δεῖγμα ἐσχάτης μωρίας καὶ φόβου ὁ ὁποῖος τοὺς ἐτάρασσε δυνατά. Διότι αὐτοὶ οἱ ὁποῖοι Τὸν συνέλαβαν ζωντανόν, τὸν ἐφοβοῦντο νεκρόν. Ἂν καί, ἐὰν ἦτο ἁπλὸς ἄνθρωπος, ἔπρεπε νὰ ἔχουν θάρρος. Ἀλλὰ διὰ νὰ μάθουν ὅτι καὶ ὅταν ἦτο ζωντανὸς μὲ τὴν θέλησίν Του ἔπαθεν αὐτὰ τὰ ὁποῖα ἔπαθεν, ἐτοποθετήθη καὶ ἡ σφραγὶς καὶ ὁ λίθος καὶ ἡ φρουρά, καὶ δὲν ἠμπόρεσαν νὰ τὸν κρατήσουν. Μὲ ὅλα αὐτὰ ἕνα πρᾶγμα μόνον ἐπιτυγχάνεται, νὰ γίνῃ γνωστὴ δημοσίᾳ ἡ ταφὴ καὶ ἔτσι νὰ πιστευθῇ ἡ ἀνάστασις. Διότι καὶ στρατιῶται ἐφύλασσαν καὶ οἱ Ἰουδαῖοι ἐκάθηντο πλησίον.

«Ἀργὰ δὲ τὸ Σάββατον, μόλις ἤρχισε νὰ φωτίζῃ ἡ πρώτη ἡμέρα τῆς ἑβδομάδος, ἦλθεν ἡ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία διὰ νὰ ἰδοῦν τὸν τάφον. Καὶ τότε ἔγινε μεγάλος σεισμός, διότι ἕνας ἄγγελος τοῦ Κυρίου κατέβη ἀπὸ τὸν οὐρανὸν καὶ ἀφοῦ ἐπλησίασεν ἀπεκύλισε τὸν λίθον ἀπὸ τὴν θύραν τοῦ μνήματος καὶ ἐκάθητο ἐπάνω εἰς αὐτόν. Τὸ πρόσωπόν του δὲ ἦτο ὡσὰν ἀστραπὴ καὶ τὸ ἔνδυμά του λευκὸν ὡσὰν τὸ χιόνι». Μετὰ τὴν ἀνάστασιν ἦλθεν ὁ ἄγγελος. Διατί λοιπὸν ἦλθε καὶ ἐσήκωσε τὸν λίθον;

Διὰ τὰς γυναῖκας· αὗται γὰρ αὐτὸν τότε εἶδον ἐν τῷ τάφῳ. Ἵν' οὖν πιστεύσωσιν ὅτι ἠγέρθη, ὁρῶσι τὸν τάφον κενὸν τοῦ σώματος. Διὰ τοῦτο ἀνεῖλε τὸν λίθον, διὰ τοῦτο καὶ σεισμὸς ἐγένετο, ἵνα διαναστῶσι καὶ ἀφυπνισθῶσι. Καὶ γὰρ ἦσαν παραγενόμεναι, ὥστε ἔλαιον βαλεῖν, καὶ ἐν νυκτὶ ταῦτα ἐγίνετο, καὶ εἰκός τινας καὶ ἀποκαθευδῆσαι.

Καὶ τίνος ἕνεκεν καὶ διατί φησι, «Μὴ φοβεῖσθε ὑμεῖς»; Πρότερον αὐτὰς ἀπαλλάττει τοῦ δέους, καὶ τότε διαλέγεται περὶ τῆς ἀναστάσεως. Καὶ τὸ «Ὑμεῖς» δὲ πολλὴν ἐνδεικνυμένου τὴν τιμήν ἐστι, καὶ δεικνύντος, ὅτι τὰ ἔσχατα μένει τοὺς τετολμηκότας, ἅπερ ἐτόλμησαν, ἂν μὴ μετανοήσωσιν. Οὐ γὰρ ὑμῶν ἐστι τὸ δεδοικέναι, φησίν, ἀλλ' ἐκείνων τῶν σταυρωσάντων.

Ἀπαλλάξας τοίνυν αὐτὰς τοῦ φόβου, καὶ διὰ τῶν ρημάτων καὶ διὰ τῆς ὄψεως (καὶ γὰρ τὸ σχῆμα φαιδρὸν ἔδειξεν, ἅτε εὐαγγέλια τοιαῦτα φέρων), ἐπήγαγε λέγων, «Οἶδα ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε». Καὶ οὐκ ἐπαισχύνεται ἐσταυρωμένον καλῶν· τοῦτο γὰρ τὸ κεφάλαιον τῶν ἀγαθῶν. «Ἠγέρθη». Πόθεν δῆλον; «Καθὼς εἶπεν». Ὥστε κἂν ἐμοί, φησί, διαπιστῆτε, τῶν ἐκείνου μνήσθητε ρημάτων, καὶ οὐδὲ ἐμοὶ διαπιστήσετε.

Εἶτα καὶ ἄλλη ἀπόδειξις. «Δεῦτε καὶ ἴδετε τὸν τόπον, ὅπου ἔκειτο». Διὰ τοῦτο ἐπῆρε τὸν λίθον, ὥστε καὶ ἐντεῦθεν αὐτὰς λαβεῖν τὴν ἀπόδειξιν. «Καὶ εἴπατε τοῖς μαθηταῖς, ὅτι ὄψεσθε αὐτὸν εἰς τὴν Γαλιλαίαν». Καὶ ἑτέροις εὐαγγελίζεσθαι παρασκευάζει, ὃ μάλιστα αὐτὰς ἐποίει πιστεῦσαι. Καὶ καλῶς εἶπεν, «Εἰς τὴν Γαλιλαίαν», ἀπαλλάττων πραγμάτων καὶ κινδύνων, ὥστε μὴ τὸν φόβον διενοχλεῖν τῇ πίστει.

«Καὶ ἐξῆλθον ἐκ τοῦ μνημείου μετὰ φόβου καὶ χα-

Διὰ τὰς γυναῖκας. Διότι αὐταὶ τὸν εἶδαν τότε εἰς τὸν τάφον. Διὰ νὰ πιστεύσουν λοιπὸν ὅτι ἀνεστήθη, βλέπουν τὸν τάφον νὰ εἶναι ἄδειος ἀπὸ τὸ σῶμα. Δι' αὐτὸ ἐσήκωσε τὸν λίθον, δι' αὐτὸ ἔγινε καὶ σεισμός, διὰ νὰ ξυπνήσουν καὶ νὰ σηκωθοῦν. Διότι εἶχαν ἔλθει διὰ νὰ βάλουν ἔλαιον καὶ αὐτὰ ἐγίνοντο κατὰ τὴν διάρκειαν τῆς νυκτὸς καὶ ἦτο φυσικὸν μερικαὶ νὰ ἔχουν ἀποκοιμηθῆ.

Καὶ ἕνεκα τίνος καὶ διατί λέγει· «Μὴ φοβεῖσθε ἐσεῖς»; Πρῶτα τὰς ἀπαλλάσσει ἀπὸ τὸν φόβον καὶ ἔπειτα ὁμιλεῖ περὶ τῆς ἀναστάσεως. Καὶ τὸ «ἐσεῖς» περιέχει πολὺ μεγάλην τιμὴν καὶ δείχνει ὅτι ἡ ἐσχάτη τιμωρία ἀναμένει ἐκείνους ποὺ διέπραξαν ὅσα ἀπετόλμησαν, ἐὰν δὲν μετανοήσουν. Λέγει δηλαδή, δὲν πρέπει σεῖς νὰ φοβῆσθε, ἀλλὰ ἐκεῖνοι ποὺ Τὸν ἐσταύρωσαν.

Ἀφοῦ τὰς ἀπήλλαξε λοιπὸν ἀπὸ τὸν φόβον, καὶ μὲ τὰ λόγια καὶ μὲ τὴν ἐμφάνισίν του (διότι καὶ ἡ ἐμφάνισίς του ἦτο χαρωπή, ἐφ' ὅσον ἔφερε τέτοιαν χαρμόσυνον ἀγγελίαν), ἐπρόσθεσε λέγων «γνωρίζω ὅτι ζητεῖτε τὸν Ἰησοῦν τὸν ἐσταυρωμένον». Καὶ δὲν ἐντρέπεται νὰ Τὸν ἀποκαλῇ ἐσταυρωμένον, διότι αὐτὸ ἦτο ἡ ἀπαρχὴ τῶν ἀγαθῶν. «Ἀνέστη». Ἀπὸ ποῦ εἶναι φανερόν; «ὅπως εἶπεν». Ὥστε καὶ ἂν δυσπιστῆτε εἰς ἐμέ, λέγει, θυμηθεῖτε τὰ λόγια Ἐκείνου καὶ ἔτσι οὔτε εἰς ἐμὲ θὰ δυσπιστήσετε.

Ἔπειτα ἀκολουθεῖ καὶ ἄλλη ἀπόδειξις· «Ἐλᾶτε νὰ ἰδῆτε τὸν τόπον ὅπου εὑρίσκετο». Δι' αὐτὸ ἐσήκωσε τὸν λίθον, ὥστε καὶ ἀπὸ αὐτὸ νὰ πάρουν αὐταὶ ἀπόδειξιν. «Καὶ νὰ εἰπῆτε εἰς τοὺς μαθητάς, ὅτι θὰ τὸν ἰδῆτε εἰς τὴν Γαλιλαίαν». Καὶ μὲ ἄλλα τὰς προετοιμάζει νὰ διαδώσουν τὸ χαρμόσυνον μήνυμα, πρᾶγμα τὸ ὁποῖον τὰς κάνει νὰ πιστεύσουν καλύτερα. Καὶ καλῶς εἶπεν «εἰς τὴν Γαλιλαίαν», ἀπαλλάσσων ἀπὸ ἐνοχλήσεις καὶ κινδύνους, ὥστε νὰ μὴ παρεμποδίσῃ ὁ φόβος τὴν πίστιν των.

«Καὶ ἐβγῆκαν ἀπὸ τὸ μνῆμα μὲ φόβον καὶ μὲ χαράν».

ρᾶς». Τί δήποτε; Ἔκπληκτον πρᾶγμα εἶδον καὶ παράδοξον, τάφον κενόν, ἔνθα πρῶτον τεθέντα εἶδον. Διὸ καὶ ἤγαγεν αὐτὰς εἰς θεωρίαν, ἵνα ἀμφοτέρων γένωνται μάρτυρες, καὶ τοῦ τάφου καὶ τῆς ἀναστάσεως. Καὶ γὰρ ἐνενόουν, ὅτι οὐδεὶς ἂν αὐτὸν ἦρε, στρατιωτῶν τοσούτων παρακαθημένων, εἰ μὴ ἑαυτὸν ἀνέστησε. Διὰ τοῦτο καὶ χαίρουσι καὶ θαυμάζουσι, καὶ τῆς τοσαύτης παραμονῆς λαμβάνουσι τὴν ἀμοιβήν, τὸ πρῶται ἰδεῖν καὶ εὐαγγελίσασθαι, οὐ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ τὰ ὁραθέντα.

3. Ἐπεὶ οὖν ἐξῆλθον μετὰ φόβου καὶ χαρᾶς, «Ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων· χαίρετε. Αἱ δὲ ἐκράτησαν τοὺς πόδας αὐτοῦ», καὶ μεθ' ὑπερβαλλούσης εὐφροσύνης αὐτῷ προσδραμοῦσαι, ἐλάμβανον καὶ διὰ τῆς ἁφῆς τεκμήριον καὶ πληροφορίαν τῆς ἀναστάσεως, «Καὶ προσεκύνησαν αὐτῷ». Τί οὖν αὐτός; «Μὴ φοβεῖσθε». Πάλιν καὶ αὐτὸς τὸ δέος ἐκβάλλει, προοδοποιῶν τῇ πίστει. «Ἀλλ' ὑπάγετε, καὶ εἴπατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς Γαλιλαίαν· κἀκεῖ με ὄψονται». Σκόπει πῶς καὶ αὐτὸς διὰ τούτων τοὺς μαθητὰς εὐαγγελίζεται, ὃ πολλάκις εἶπον, τὸ μάλιστα γένος ἀτιμωθὲν εἰς τιμὴν ἄγων καὶ εἰς χρηστὰς ἐλπίδας, καὶ τὸ πεπονηκὸς ἰώμενος.

Τάχα τις ὑμῶν ἐβούλετο κατ' ἐκείνας γενέσθαι, καὶ τοὺς πόδας κατασχεῖν τοῦ Ἰησοῦ; Δύνασθε καὶ νῦν, ὅσοι βούλεσθε, οὐχὶ τοὺς πόδας καὶ τὰς χεῖρας μόνον, ἀλλὰ καὶ τὴν κεφαλὴν κατασχεῖν τὴν ἱερὰν ἐκείνην, τῶν φρικτῶν ἀπολαύοντες μυστηρίων καθαρῷ συνειδότι. Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὄψεσθε αὐτόν, μετὰ τῆς ἀπορρήτου δόξης ἐκείνης καὶ τοῦ δήμου τῶν ἀγγέλων ἐρχόμενον, εἰ βουληθείητε εἶναι φιλάνθρωποι· καὶ ἀκούσεσθε,

Διατί ἆρά γε; Διότι εἶδαν καταπληκτικὸν καὶ παράδοξον πρᾶγμα, κενὸν τὸν τάφον, ὅπου προηγουμένως τὸν εἶχαν ἰδεῖ νὰ τοποθετῆται. Δι' αὐτὸ καὶ τὰς ὡδήγησε νὰ ἰδοῦν, διὰ νὰ γίνουν μάρτυρες καὶ τῶν δύο, καὶ τοῦ ἐνταφιασμοῦ καὶ τῆς ἀναστάσεως. Διότι κατενόουν ὅτι κανεὶς δὲν ἠμποροῦσε νὰ Τὸν πάρῃ, ἀφοῦ ἐφύλασσαν τόσοι στρατιῶται, ἐὰν δὲν ἀνέστηνεν ὁ ἴδιος τὸν ἑαυτόν Του. Δι' αὐτὸ καὶ χαίρονται καὶ ἀποροῦν καὶ ἀμοίβονται γιὰ τὴν τόσην παραμονήν των, μὲ τὸ νὰ ἰδοῦν πρῶται καὶ νὰ διακηρύξουν ὄχι μόνον ὅσα ἐλέχθησαν, ἀλλὰ καὶ ὅσα ὡράθησαν.

3. Ὅταν λοιπὸν ἐξῆλθαν μὲ φόβον καὶ χαρὰν «τὰς συνήντησεν ὁ Ἰησοῦς καὶ εἶπε· χαίρετε. Αὐταὶ δὲ ἔπιασαν τὰ πόδια Του». Καὶ ἀφοῦ ἔτρεξαν πλησίον του μὲ μεγάλην χαράν, ἔλαβαν καὶ διὰ τῆς ἀφῆς ἀπόδειξιν καὶ διαβεβαίωσιν τῆς ἀναστάσεως. «Καὶ τὸν ἐπροσκύνησαν». Τί τοὺς λέγει δὲ Ἐκεῖνος; «Μὴ φοβᾶσθε». Καὶ Αὐτὸς δηλαδὴ ἐκδιώκει τὸν φόβον των καὶ προετοιμάζει τὴν ὁδὸν διὰ τὴν πίστιν. «Ἀλλὰ πηγαίνετε καὶ νὰ εἰπῆτε εἰς τοὺς ἀδελφούς μου νὰ ἀναχωρήσουν εἰς τὴν Γαλιλαίαν· καὶ ἐκεῖ θὰ μὲ ἰδοῦν». Πρόσεξε ὅτι καὶ Αὐτὸς διὰ μέσου αὐτῶν κηρύσσει εἰς τοὺς μαθητὰς τὸ χαρμόσυνον ἄγγελμα, πρᾶγμα τὸ ὁποῖον ἀνέφερα πολλὲς φορές, τιμῶν καὶ ἀναθέτων χρηστὰς ἐλπίδας εἰς τὸ γένος, ποὺ κατ' ἐξοχὴν εἶχε περιφρονηθῆ καὶ θεραπεύων τὸ ἀσθενὲς φῦλον.

Μήπως κανεὶς ἀπὸ σᾶς θὰ ἤθελε νὰ εὑρίσκετο εἰς τὴν θέσιν των καὶ νὰ κρατήσῃ τὰ πόδια τοῦ Ἰησοῦ; Ἠμπορεῖτε καὶ τώρα ὅσοι θέλετε, ὄχι μόνον τὰ πόδια καὶ τὰ χέρια, ἀλλὰ ἀκόμη καὶ τὴν ἱερὰν ἐκείνην κεφαλὴν νὰ ἀγκαλιάσετε, συμμετέχοντες εἰς τὰ φρικτὰ μυστήρια μὲ καθαρὰν συνείδησιν. Καὶ ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ κατ' ἐκείνην τὴν ἡμέραν θὰ τὸν ἰδῆτε νὰ ἔρχεται μὲ τὴν ἀπερίγραπτον ἐκείνην δόξαν καὶ μὲ τὸ πλῆθος τῶν ἀγγέλων, ἐὰν θελήσετε νὰ γίνετε φιλάνθρωποι. Καὶ θὰ ἀκούσετε ὄχι μόνον τὰ λόγια αὐ-

οὐχὶ ταῦτα τὰ ῥήματα μόνον, ὅτι χαίρετε, ἀλλὰ καὶ ἐκεῖνα· «Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου».

Γίνεσθε τοίνυν φιλάνθρωποι, ἵνα ταῦτα ἀκούσητε, καὶ ὑμεῖς αἱ χρυσοφόροι γυναῖκες, αἱ τὸν δρόμον τῶν γυναικῶν θεασάμεναι τούτων, ὀψὲ γοῦν ποτε τὴν νόσον ἀποθέμεναι τῆς τῶν χρυσίων ἐπιθυμίας. Ὥστε εἰ ζηλοῦτε τὰς γυναῖκας, ἀνταλλάξασθε τὸν κόσμον, ὃν περίκεισθε, ἐλεημοσύνην περιθέμεναι. Τί τὸ ὄφελος, εἰπέ μοι, τῶν λίθων τῶν τιμίων τούτων, καὶ τῶν χρυσοπάστων ἱματίων; Χαίρει τούτοις, φησίν, ἡ ψυχή, καὶ εὐφραίνεται.

Ἐγώ σε τὸ κέρδος ἠρώτησα· σὺ δέ μοι τὸ βλάβος εἶπες. Τοῦ γὰρ περὶ ταῦτα ἠσχολῆσθαι καὶ χαίρειν καὶ προσηλῶσθαι, χεῖρον οὐδέν. Πικροτέρα γὰρ ἡ χαλεπὴ αὕτη δουλεία γίνεται, ὅταν τις καὶ δουλεύων εὐφραίνηται. Ἐπὶ τίνι γὰρ τῶν πνευματικῶν ὡς χρὴ σπουδάσει ποτέ, πότε δὲ καταγελάσεται ὡς δεῖ τῶν βιωτικῶν πραγμάτων, ἡ χαρᾶς ἄξιον εἶναι νομίζουσα τὸ δεδέσθαι χρυσῷ; Ὁ γὰρ ἐν δεσμωτηρίῳ μένων καὶ ἡδόμενος, οὐδέποτε ἀπαλλαγῆναι θελήσει, ὥσπερ οὖν οὐδὲ αὕτη· ἀλλ' ὥσπερ τις αἰχμάλωτος γενομένη τῆς πονηρᾶς ταύτης ἐπιθυμίας, οὐδὲ φωνῆς ἀνέξεται πνευματικῆς ἀκοῦσαι μετὰ τῆς προσηκούσης ἐπιθυμίας τε καὶ σπουδῆς, μήτιγε ἔργον μετελθεῖν.

Τί οὖν τὸ κέρδος τοῦ κόσμου τούτου καὶ τῆς βλακείας ταύτης; εἰπέ μοι. Τέρπομαι, φησί. Πάλιν μοι τὴν βλάβην εἶπες καὶ τὸν ὄλεθρον. Ἀλλὰ καὶ τιμῆς ἀπολαύω, φησί, πολλῆς παρὰ τῶν ὁρώντων. Καὶ τί τοῦτο; Ἑτέρας γὰρ τοῦτο

1. Ματθ. 25, 34.

τά, ὅπως τὸ «χαίρετε», ἀλλὰ καὶ τὰ ἄλλα· «Ἐλᾶτε οἱ εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομήσατε τὴν βασιλείαν ἡ ὁποία εἶναι ἡτοιμασμένη πρὸς χάριν σας ἀπὸ τὸν καιρὸν τῆς δημιουργίας»[1].

Γίνετε λοιπὸν φιλάνθρωποι, διὰ νὰ ἀκούσετε αὐτὰ καὶ σεῖς αἱ χρυσοφορεμέναι γυναῖκες, αἱ ὁποῖαι εἴδατε τὴν διαδρομὴν τῶν γυναικῶν αὐτῶν, ἀφοῦ ἀποβάλετε ἔστω καὶ καθυστερημένα τὴν ἀρρώστιαν τῆς ἐπιθυμίας τῶν χρυσαφικῶν. Εἰς τρόπον ὥστε, ἐὰν θαυμάζετε τὰς γυναῖκας, νὰ ἀντικαταστήσετε τὰ κοσμήματα ποὺ φορεῖτε μὲ τὴν ἐλεημοσύνην. Εἰπέ μου, ποῖον εἶναι τὸ ὄφελος αὐτῶν τῶν πολυτίμων λίθων καὶ τῶν χρυσοκεντήτων ἐνδυμάτων; Χαίρεται μ᾽ αὐτά, ἰσχυρίζεται, ἡ ψυχὴ καὶ εὐφραίνεται.

Ἐγὼ σὲ ἐρώτησα ποῖον εἶναι τὸ κέρδος· ἐνῷ σὺ μοῦ ἀνέφερες τὴν ζημίαν. Διότι δὲν ὑπάρχει χειρότερον πρᾶγμα ἀπὸ τὸ νὰ ἀσχολῆσθε μὲ αὐτὰ καὶ νὰ χαίρεσθε καὶ νὰ προσηλώνεσθε εἰς αὐτά. Μάλιστα ἡ φοβερὰ αὐτὴ δουλεία γίνεται ἀκόμη πιὸ ὀδυνηρά, ὅταν κανείς, ἐνῷ καθίσταται δοῦλος, χαίρεται. Διότι διὰ ποῖον ἀπὸ τὰ πνευματικὰ πράγματα θὰ ἐνδιαφερθῇ ποτε ὅπως πρέπει καὶ πότε θὰ περιγελάσῃ ὅπως ἀξίζει τὰ βιωτικὰ πράγματα, αὐτὴ ἡ ὁποία νομίζει ὅτι εἶναι ἄξιον χαρᾶς τὸ νὰ εἶναι δεμένη μὲ χρυσόν; Διότι αὐτὸς ποὺ μένει εἰς τὸ δεσμωτήριον καὶ εὐχαριστεῖται, ποτὲ δὲν θὰ θελήσῃ νὰ ἀπαλλαγῇ, ὅπως καὶ αὐτὴ ἐδῶ. Ἀλλ᾽ ἐπειδὴ ἔχει γίνει αἰχμάλωτος αὐτῆς τῆς κακῆς ἐπιθυμίας, δὲν ἀνέχεται οὔτε φωνὴν πνευματικὴν νὰ ἀκούσῃ μὲ ὅσην χρειάζεται ἐπιθυμίαν καὶ προθυμίαν, ἀπὸ φόβον μήπως ἀλλάξῃ ἀσχολίαν.

Εἰπέ μου λοιπὸν ποῖον εἶναι τὸ κέρδος αὐτῶν τῶν κοσμημάτων καὶ αὐτῆς τῆς μωρίας; Εὐχαριστοῦμαι, λέγει. Πάλιν ὅμως μοῦ ἀνέφερες τὴν ζημίαν καὶ τὴν καταστροφήν. Ἀλλὰ ἀπολαμβάνω καὶ πολλὰς τιμάς, λέγει, ἀπὸ ἐκείνους ποὺ μὲ βλέπουν. Καὶ τί σημαίνει αὐτό; Διότι αὐτὸ

διαφθορᾶς ὑπόθεσις, ὅταν εἰς τῦφον, ὅταν εἰς ἀπόνοιαν αἴρῃ. Φέρε οὖν, ἐπειδὴ σὺ τὸ κέρδος οὐκ εἶπες, ἀνάσχου ἐμοῦ σοι διηγουμένου τὰς βλάβας.

Τίνες οὖν ἐντεῦθεν αἱ βλάβαι; Ἡ φροντὶς ἡ μείζων τῆς ἡδονῆς. Διὸ πολλοὶ τῶν ὁρώντων, τούτων δὴ τῶν παχυτέρων, τέρπονται μᾶλλον, ἢ ἡ περικειμένη. Σὺ μὲν γὰρ μετὰ μερίμνης καλλωπίζῃ· ἐκεῖνοι δὲ ἄνευ ταύτης ἑστιῶσι τὰς ὄψεις. Εἶτα ἑτέρα πάλιν, τὸ ταπεινοῦσθαι τὴν ψυχήν, τὸ βασκαίνεσθαι πανταχόθεν. Αἱ γὰρ πλησίον δηχθεῖσαι κατὰ τῶν οἰκείων ἀνδρῶν ὁπλίζονται, καὶ πολέμους ἀναρριπίζουσί σοι χαλεπούς. Μετὰ τούτων τὸ τὴν σχολὴν ἅπασαν καὶ τὴν φροντίδα εἰς τοῦτο δαπανᾶσθαι, τὸ τῶν πνευματικῶν μὴ σφόδρα ἀντέχεσθαι κατορθωμάτων, τὸ τύφου καὶ απονοίας καὶ κενῆς πληροῦσθαι δόξης, τὸ τῇ γῇ προσηλῶσθαι, καὶ πτερορρυεῖν, καὶ ἀντὶ ἀετοῦ γενέσθαι κύνα καὶ χοῖρον. Ἀφεῖσα γὰρ πρὸς τὸν οὐρανὸν βλέπειν καὶ πέτασθαι, καθάπερ οἱ χοῖροι χαμαὶ νεύεις, μέταλλα περιεργαζομένη καὶ χηραμούς, καὶ ψυχὴν ἄνανδρον καὶ ἀνελευθέραν κτωμένη.

Ἀλλ' ἐπιστρέφεις φαινομένη τοὺς ἐπὶ τῆς ἀγορᾶς; Δι' αὐτὸ μὲν οὖν τοῦτο χρυσοφορεῖν οὐκ ἔδει, ἵνα μὴ κοινὸν γένῃ θέατρον, καὶ πολλῶν κατηγόρων ἀνοίξῃς στόματα. Οὐδεὶς γάρ σε τῶν ἐπιστρεφομένων θαυμάζει, ἀλλὰ σκώπτουσιν εἰς φιλόκοσμον, ὡς ἀλαζόνα, ὡς σαρκικὴν γυναῖκα. Κἂν εἰς ἐκκλησίαν εἰσέλθῃς, ἐξῆλθες οὐδὲν λαβοῦσα, ἀλλ' ἢ μυρία σκώμματα καὶ λοιδορίας καὶ ἀράς, οὐχὶ παρὰ τῶν ὁρώντων μόνον, ἀλλὰ καὶ παρὰ τοῦ προφήτου. Καὶ γὰρ εὐθέως ὁ μεγαλοφωνότατος Ἠσαΐας ἰδών σε βοήσεται· «Τάδε

εἶναι ἄλλη αἰτία διαφθορᾶς, ὅταν ὠθῇ εἰς ἀλαζονείαν καὶ εἰς ἀνοησίαν. Ἔλα λοιπόν, ἀφοῦ ἐσὺ δὲν ἀνέφερες τὸ κέρδος, ἀνέξου ἐμένα νὰ σοῦ διηγηθῶ τὰς ζημίας.

Ποῖαι λοιπὸν εἶναι αἱ ζημίαι ποὺ προκύπτουν ἀπὸ αὐτά; Ἡ φροντίς, ἡ ὁποία εἶναι μεγαλυτέρα ἀπὸ τὴν εὐχαρίστησιν. Δι᾽ αὐτό, πολλοὶ ἀπὸ ἐκείνους ποὺ βλέπουν, μὲ αὐτὰ τὰ παχύτερα εὐχαριστοῦνται περισσότερον, παρὰ σὺ ἡ ὁποία τὰ φορεῖς. Διότι σὺ καλλωπίζεσαι μὲ φροντίδα, ἐνῷ ἐκεῖνοι χωρὶς αὐτὴν δίνουν τροφὴν εἰς τοὺς ὀφθαλμούς των. Ἄλλη πάλιν ζημία εἶναι ὅτι ταπεινώνεται ἡ ψυχὴ καὶ συκοφαντεῖται ἀπὸ παντοῦ. Διότι ὅσαι εἶναι κοντά, πληγωθεῖσαι ὁπλίζονται ἐναντίον τῶν ἀνδρῶν των καὶ σοῦ ἀνάπτουν φοβεροὺς πολέμους. Μαζὶ μὲ αὐτὰ ζημία εἶναι καὶ τὸ ὅτι δαπανᾷς ὅλον τὸν ἐλεύθερον χρόνον σου καὶ ὅλας τὰς φροντίδας σου πρὸς τὸν σκοπὸν αὐτόν, ὅτι δὲν ἐπιδίδεσαι πάρα πολὺ εἰς τὰ πνευματικὰ κατορθώματα, ὅτι γεμίζεις ἀπὸ ἀλαζονείαν καὶ ἀνοησίαν καὶ ματαιοδοξίαν, ὅτι προσηλώνεσαι εἰς τὴν γῆν καὶ μαδιέσαι, καὶ ἀντὶ νὰ εἶσαι ἀετός, γίνεσαι σκύλος καὶ χοῖρος. Διότι ἔπαψες νὰ βλέπῃς πρὸς τὸν οὐρανὸν καὶ νὰ πετᾷς καὶ ὅπως οἱ χοῖροι κυττάζεις κάτω, περιεργαζομένη μέταλλα καὶ κοιλώματα καὶ κάμνουσα τὴν ψυχήν σου ἄνανδρον καὶ ἀνελευθέραν.

Ἀλλὰ περιφέρεσαι ἐμφανιζομένη εἰς ὅσους εὑρίσκονται εἰς τὴν ἀγοράν; Δι᾽ αὐτὸ ἀκριβῶς δὲν ἔπρεπε νὰ χρυσοφορῇς, διὰ νὰ μὴ γίνεσαι δημόσιον θέαμα καὶ ἀνοίγῃς τὰ στόματα πολλῶν φιλοκατηγόρων. Διότι κανεὶς ἀπὸ ὅσους συναναστρέφεσαι δὲν σὲ θαυμάζει, ἀλλὰ σὲ κοροϊδεύουν ὡς φιλάρεσκον, ὡς ἀλαζόνα, ὡς γυναῖκα αἰσθησιακήν. Καὶ εἰς τὴν ἐκκλησίαν ἐὰν εἰσέλθῃς, θὰ ἐξέλθῃς χωρὶς νὰ λάβῃς τίποτε, ἐκτὸς ἀπὸ ἄπειρα σκώμματα καὶ κακολογίας καὶ κατάρας, ὄχι μόνον ἀπὸ ἐκείνους ποὺ σὲ βλέπουν, ἀλλὰ καὶ ἀπὸ τὸν προφήτην. Διότι ἀμέσως μόλις σὲ ἰδῇ ὁ μεγαλοφωνότατος προφήτης Ἠσαΐας θὰ φωνάξῃ «Τὰ

λέγει Κύριος ἐπὶ τὰς ἀρχούσας θυγατέρας Σιών· ἀνθ' ὧν ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι· ἀνακαλύψει Κύριος τὸν κόσμον αὐτῶν, καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, ἀντὶ δὲ ζώνης σχοινίῳ ζώσῃ».

Ταῦτά σοι ἀντὶ καλλωπισμοῦ. Οὐδὲ γὰρ πρὸς ἐκείνας μόνας ταῦτα εἴρηται, ἀλλὰ πρὸς πᾶσαν γυναῖκα μιμουμένην αὐτάς. Καὶ ὁ Παῦλος δὲ μετ' ἐκείνου κατήγορος ἕστηκε, λέγων Τιμοθέῳ παραγγέλλειν ταῖς γυναιξί, «Μὴ ἐν πλέγμασιν ἢ χρυσίῳ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτάς». Ὥστε πανταχοῦ μὲν βλαβερὸν τὸ χρυσοφορεῖν· μάλιστα δὲ ὅταν εἰς ἐκκλησίαν εἰσίῃς, ὅταν διὰ τῶν πενήτων παρίῃς. Εἰ γὰρ σφόδρα σαυτῆς κατηγορῆσαι ἐσπούδασας, οὐκ ἂν ἄλλο περιέθου σχῆμα, ἀλλ' ἢ τὸ τῆς ὠμότητος τοῦτο καὶ ἀπανθρωπίας προσωπεῖον.

4. Ἐννόησον γοῦν πόσας γαστέρας παρέρχῃ πεινώσας μετὰ τοῦ σχήματος τούτου, πόσα σώματα γεγυμνωμένα μετὰ τῆς φαντασίας ταύτης τῆς σατανικῆς. Πόσῳ βέλτιον διαθρέψαι ψυχὰς πεινώσας, ἢ λοβοὺς ὤτων διατιτρώσκειν, καὶ μυρίων πενήτων τροφὰς ἐξαρτᾶν εἰκῇ καὶ μάτην. Μὴ γὰρ τὸ πλουτεῖν ἐγκώμιον; μὴ γὰρ τὸ χρυσοφορεῖν ἔπαινος; Εἰ καὶ ἐκ δικαίων πόνων ταῦτα περικείμενά σοι ἦν, καὶ οὕτω μεγίστη κατηγορία τὸ γινόμενον· ὅταν δὲ καὶ ἐξ ἀδικίας, ἐννόησον τὴν ὑπερβολήν.

Ἀλλ' ἐπαίνων ἐρᾷς καὶ δόξης; Οὐκοῦν ἀπόδυσαι τὴν καταγέλαστον ταύτην περιβολήν, καὶ τότε σε θαυμάσονται

---

2. Ἠσ. 3, 16, 17 καὶ 24.
3. Α΄ Τιμ. 2, 9.

ἑξῆς λέγει ὁ Κύριος εἰς τὰς θυγατέρας τῆς Σιὼν αἱ ὁποῖαι ἄρχουν· ἐπειδὴ βαδίζουν μὲ τεντωμένον τὸν τράχηλον καὶ μὲ νεύματα τῶν ὀφθαλμῶν, καὶ κατὰ τὸ βάδισμα τῶν ποδιῶν των σύρουν τοὺς χιτῶνας των καὶ συγχρόνως παίζουν μὲ τὰ πόδια των· θὰ ξεσκεπάσῃ ὁ Κύριος τὸν διάκοσμόν των καὶ ἀντὶ τῆς εὐχαρίστου ὀσμῆς θὰ γίνῃ σκόνη, θὰ τὰς ζώσῃ δὲ μὲ σχοινὶ ἀντὶ ζώνης»[2].

Αὐτὰ ἀπειλοῦνται ἐναντίον σου, ἐξ αἰτίας τοῦ καλλωπισμοῦ. Διότι δὲν ἐλέχθησαν μόνον ἐναντίον ἐκείνων αὐτά, ἀλλὰ καὶ πρὸς κάθε γυναῖκαν ἡ ὁποία τὰς μιμεῖται. Καὶ ὁ Παῦλος ὅμως μαζὶ μὲ ἐκεῖνον ἐμφανίζεται κατήγορος λέγων εἰς τὸν Τιμόθεον νὰ συστήσῃ εἰς τὰς γυναῖκας «νὰ στολίζωνται ὄχι μὲ πλέξιμο τῶν μαλλιῶν, ἢ μὲ χρυσᾶ κοσμήματα ἢ μαργαριτάρια ἢ μὲ πολυτελῆ φορέματα»[3]. Ὥστε παντοῦ ἡ πολυτελὴς ἐμφάνισις εἶναι βλαβερά, ἰδιαιτέρως μάλιστα ὅταν εἰσέρχεσαι εἰς τὴν ἐκκλησίαν, ὅταν περνᾷς μέσα ἀπὸ τοὺς πτωχούς. Διότι ἐὰν ἐπιθυμοῦσες νὰ κατηγορήσῃς τὸν ἑαυτόν σου πάρα πολύ, δὲν θὰ ἐχρησιμοποιοῦσες ἄλλην ἐμφάνισιν, παρὰ αὐτὸ τὸ προσωπεῖον τῆς σκληρότητος καὶ τῆς ἀπανθρωπίας.

4. Σκέψου λοιπὸν πόσας πεινασμένας κοιλίας προσπερνᾷς μὲ αὐτὴν τὴν περιβολήν, πόσα γυμνωμένα σώματα μὲ αὐτὴν τὴν σατανικὴν ἐμφάνισιν. Σκέψου πόσον καλύτερον εἶναι νὰ διατρέφῃς πεινασμένας ψυχάς, παρὰ νὰ διατρυπᾷς τὸ κάτω μέρος τῶν αὐτιῶν σου καὶ νὰ κρεμᾷς τὰς τροφὰς μυρίων πτωχῶν ἀλόγιστα καὶ μάταια! Μήπως ὁ πλοῦτος ἀποτελεῖ ἐγκώμιον; Μήπως τὸ νὰ φορῇς χρυσοκέντητα εἶναι ἔπαινος; Ἀκόμη καὶ ἂν προήρχοντο αὐτὰ ποὺ φορεῖς ἀπὸ τιμίους κόπους, καὶ πάλιν θὰ ἦτο πολὺ μεγάλη κατηγορία αὐτὸ ποὺ κάμνεις. Ὅταν μάλιστα προέρχωνται ἀπὸ ἀδικίαν, φαντάσου πόσον περισσότερον.

Ἀλλὰ ἀγαπᾷς τοὺς ἐπαίνους καὶ τὴν δόξαν; Βγάλε λοιπὸν αὐτὴν τὴν γελοίαν ἀμφίεσιν καὶ τότε θὰ σὲ θαυμά-

πάντες, τότε καὶ δόξης καὶ καθαρᾶς ἀπολαύσῃ τῆς ἡδονῆς· ὡς νῦν γε σκωμμάτων γέμεις, ἀθυμίας πολλὰς ὑποθέσεις ἐκ τούτων σαυτῇ κατασκευάζουσα. Ἂν γὰρ ἐκπέσῃ τι τούτων, ἐννόησον ὅσα ἐντεῦθεν τίκτεται τὰ κακά· πόσαι μαστιγοῦνται θεραπαινίδες, πόσοι ἄνδρες ἐνοχλοῦνται, πόσοι ἀπάγονται, πόσοι δεσμωτήριον οἰκοῦσι. Καὶ δικαστήρια ἐντεῦθεν, καὶ εἰσαγωγαί, καὶ μυρίαι πάντοθεν ἀραὶ καὶ κατηγορίαι, τῇ γυναικὶ παρὰ τοῦ ἀνδρός, τῷ ἀνδρὶ παρὰ τῶν φίλων, τῇ ψυχῇ παρ' ἑαυτῆς.

Ἀλλ' οὐκ ἀπολεῖται. Μάλιστα μὲν τοῦτο οὐ ῥάδιον· εἰ δὲ καὶ σωθείη διαπαντός, σωζόμενα πάλιν πολλὴν παρέχει μέριμναν καὶ φροντίδα καὶ ἀηδίαν, καὶ κέρδος οὐδέν. Ποία γὰρ ἐντεῦθεν πρόσοδος τῇ οἰκίᾳ; τί ὄφελος αὐτῇ τῇ περικειμένῃ; Ὄφελος μὲν οὐδέν, ἀκοσμία δὲ πολλή, καὶ κατηγορία πάντοθεν. Πῶς δυνήσῃ τοῦ Χριστοῦ φιλῆσαι τοὺς πόδας καὶ κατασχεῖν, οὕτως ἐσκευασμένη; Τοῦτον ἀποστρέφεται τὸν κόσμον ἐκεῖνος. Διὰ τοῦτο ἐν τῇ τοῦ τέκτονος οἰκίᾳ κατεδέξατο τεχθῆναι, μᾶλλον δὲ οὐδὲ ἐν τῇ οἰκίᾳ ἐκείνῃ, ἀλλ' ἐν καλύβῃ καὶ φάτνῃ.

Πῶς οὖν αὐτὸν δυνήσῃ ἰδεῖν, οὐκ ἔχουσα κάλλος αὐτῷ ποθεινόν, οὐ περικειμένη κόσμον ἐπέραστον αὐτῷ, ἀλλὰ μισητόν; Τὸν γὰρ αὐτῷ προσιόντα οὐ τοιούτοις δεῖ καλλωπίζεσθαι ἱματίοις, ἀλλ' ἀρετῇ περιβεβλῆσθαι. Ἐννόησον τί ποτέ ἐστι τουτὶ τὸ χρυσίον; Οὐδὲν ἕτερον ἢ γῆ καὶ σποδός. Ἔμβαλε ὕδωρ, καὶ γέγονε πηλός. Ἐννόησον καὶ αἰσχύνθητι τὸν πηλὸν δεσπότην ποιουμένη, καὶ πάντα ἀφεῖσα καὶ αὐτῷ παρακαθημένη, καὶ πανταχοῦ αὐτὸν βαστάζουσα καὶ περιφέρουσα, καὶ ὅταν εἰς ἐκκλησίαν εἰσίῃς, ὅτε μάλιστα φεύ-

σουν ὅλοι· τότε καὶ δόξαν θὰ ἀπολαύσῃς καὶ καθαρὰν εὐχαρίστησιν, ἀκριβῶς ὅπως τώρα εἶσαι γεμάτη ἀπὸ σκώμματα, δημιουργοῦσα ἀπὸ αὐτὰ εἰς βάρος σου πολλὰς ἀφορμὰς στενοχωρίας. Διότι ἐὰν κάποιο ἀπὸ αὐτὰ πέσῃ, σκέψου πόσα κακὰ δημιουργοῦνται ἀπὸ αὐτό. Πόσαι ὑπηρέτριαι θὰ μαστιγωθοῦν, πόσοι ἄνδρες θὰ ἐνοχληθοῦν, πόσοι θὰ ὁδηγηθοῦν εἰς τὰ δικαστήρια, πόσοι θὰ κλεισθοῦν εἰς τὴν φυλακήν. Καὶ δικαστήρια ἐξ αἰτίας αὐτοῦ, καὶ προσαγωγαὶ εἰς δίκην καὶ μύριαι ἀπὸ παντοῦ κατάραι καὶ κατηγορίαι, τῆς γυναικὸς ἀπὸ τὸν ἄνδρα, τοῦ ἀνδρὸς ἀπὸ τοὺς φίλους, τῆς ψυχῆς ἀπὸ τὸν ἑαυτόν της.

Ἂς ὑποθέσωμεν ὅμως ὅτι δὲν χάνονται. Ἂν καὶ αὐτὸ δὲν εἶναι καθόλου εὔκολον, ἀλλὰ καὶ ἂν ἀκόμη διασωθοῦν διὰ παντός, καὶ ὅταν διασῴζωνται πάλιν προκαλοῦν πολλὴν μέριμναν καὶ φροντίδα καὶ δυσαρέσκειαν, καὶ κέρδος κανένα. Διότι ποῖον ἔσοδον γίνεται ἀπὸ αὐτὰ εἰς τὴν οἰκίαν; Ποῖον ὄφελος εἰς αὐτὴν ποὺ τὰ φορεῖ; Ὄφελος βέβαια κανένα, ἀλλὰ πολλὴ ἀκαταστασία καὶ κατηγορία ἀπὸ παντοῦ. Πῶς θὰ ἠμπορέσῃς νὰ φιλήσῃς καὶ νὰ κρατήσῃς τὰ πόδια τοῦ Χριστοῦ, ἔτσι ὅπως εἶσαι στολισμένη; Αὐτὸν τὸν στολισμὸν Ἐκεῖνος τὸν ἀποστρέφεται. Δι᾽ αὐτὸ κατεδέχθη νὰ γεννηθῇ εἰς τὴν οἰκίαν τοῦ μαραγκοῦ, ἢ μᾶλλον οὔτε εἰς ἐκείνην τὴν οἰκίαν, ἀλλὰ εἰς καλύβην καὶ φάτνην.

Πῶς λοιπὸν θὰ δυνηθῇς νὰ Τὸν ἰδῇς, χωρὶς νὰ ἔχῃς ὡραιότητα ἡ ὁποία τοῦ εἶναι ποθητή, χωρὶς νὰ φορῇς στολισμὸν ἀξιαγάπητον εἰς Αὐτόν, ἀλλὰ μισητόν; Διότι ἐκεῖνος ποὺ Τὸν πλησιάζει δὲν πρέπει νὰ καλλωπίζεται μὲ τέτοια ἱμάτια, ἀλλὰ νὰ ἐνδύεται μὲ ἀρετήν. Σκέψου τί εἶναι ἐπὶ τέλους αὐτὸ τὸ χρυσάφι. Τίποτε ἄλλο παρὰ χῶμα καὶ στάχτη. Βάλε νερὸ καὶ θὰ γίνῃ πηλός. Σκέψου καὶ δοκίμασε ἐντροπὴν διότι κάνει τὸν πηλὸν κύριον καὶ ἀφήνεις τὰ πάντα καὶ κάθεσαι κοντά του καὶ τὸν φορεῖς παντοῦ καὶ τὸν περιφέρεις καὶ ὅταν ἀκόμη εἰσέρχεσαι εἰς τὴν ἐκ-

γειν αὐτὸν ἐχρῆν. Οὐδὲ γὰρ διὰ τοῦτο ἡ ἐκκλησία ᾠκοδόμηται, ἵνα ἐν ταύτῃ τὸν πλοῦτον ἐπιδείξῃ τοῦτον, ἀλλ' ἵνα τὸν πλοῦτον τὸν πνευματικόν.

Σὺ δὲ ὥσπερ εἰς πομπὴν εἰσιοῦσα, οὕτω πάντοθεν σαυτὴν καλλωπίζεις, τὰς ἐν τῇ σκηνῇ μιμουμένη, οὕτω μετὰ δαψιλείας τὸν καταγέλαστον τοῦτον βαστάζεις φορυτόν. Διά τοι τοῦτο πολλοῖς ἐπεισέρχῃ λύμη, καὶ τῆς ἐκκλησίας διαλυθείσης, ἐν ταῖς οἰκίαις, ἐπὶ τῶν τραπεζῶν, ταῦτα ἄν τις ἀκούσειε διηγουμένων τῶν πλειόνων. Ἀφέντες γὰρ λέγειν, τὸ καὶ τὸ εἶπεν ὁ προφήτης καὶ ὁ ἀπόστολος, τῶν ἱματίων τὴν πολυτέλειαν, τῶν λίθων τὸ μέγεθος, τὴν ἄλλην ἅπασαν ἀσχημοσύνην τῶν ταῦτα περικειμένων διηγοῦνται.

Ταῦτα ὑμᾶς πρὸς ἔλεον ἀργὰς ποιεῖ, καὶ τοὺς συνοικοῦντας ὑμῖν. Οὐ γὰρ ἄν τις ὑμῶν ἕλοιτο ῥᾳδίως διακλάσαι τι τῶν χρυσίων τούτων, καὶ θρέψαι πεινῶντα. Ὅπου γὰρ καὶ αὐτὴ ἕλοιο ἂν ἐν στενοχωρίᾳ εἶναι, ἢ ταῦτα ἰδεῖν διακλώμενα, πῶς ἂν ἕτερον ἐκ τούτων διαθρέψειας; Ὥσπερ γὰρ πρὸς ἔμψυχά τινα διάκεινται αἱ πολλαὶ πρὸς ταῦτα, καὶ οὐδὲν ἧττον ἢ πρὸς παιδία.

Ἄπαγε, φησί. Δείξατέ μοι οὖν τοῦτο, δείξατε διὰ τῶν ἔργων, ὡς νῦν γε τἀναντία ὁρῶ. Τίς γάρ ποτε τῶν σφόδρα ἑαλωκότων ταῦτα καταχωνεύσας ἐξήρπασε θανάτου παιδίου ψυχήν; Καὶ τί λέγω παιδίον; Τίς τὴν ἑαυτοῦ ψυχὴν ἀπολλυμένην ἐντεῦθεν ἐπρίατο; Τοὐναντίον μὲν οὖν οἱ πολλοὶ καὶ καθ' ἑκάστην αὐτὴν διὰ ταῦτα πωλοῦσι τὴν ἡμέραν. Κἂν μὲν σωματικὴ ἀρρωστία γένηται, πάντα ποιοῦσιν· ἂν δὲ τὴν ψυχὴν ἴδωσι διεφθαρμένην, οὐδὲν τοιοῦτον ἐργάζον-

κλησίαν, ὅπου πρὸ παντὸς ἔπρεπε νὰ τὸν ἀποφεύγῃς. Διότι ἡ ἐκκλησία δὲν ἐκτίσθη δι᾽ αὐτό, διὰ νὰ ἐπιδεικνύῃς εἰς αὐτὴν τὸν πλοῦτον αὐτόν, ἀλλὰ τὸν πνευματικὸν πλοῦτον.

Σὺ ὅμως καλλωπίζεις τὸν ἑαυτόν σου ἀπὸ κάθε ἄποψιν μιμουμένη τὰς γυναῖκας τοῦ θεάτρου καὶ φορεῖς μὲ ἀφθονίαν αὐτὰ τὰ καταγέλαστα φρύγανα, ὡσὰν νὰ εἰσέρχεσαι εἰς πομπήν. Ἀκριβῶς δι᾽ αὐτὸ εἰς πολλοὺς προκαλεῖται καταστροφή, καὶ ὅταν τελειώσῃ ἡ ἐκκλησία, εἰς τὰς οἰκίας, εἰς τὰ τραπέζια, θὰ ἀκούσῃ κανεὶς αὐτὰ νὰ διηγοῦνται οἱ περισσότεροι. Διότι ἀντὶ νὰ συζητοῦν ὅτι αὐτὸ καὶ αὐτὸ εἶπεν ὁ προφήτης καὶ ὁ Ἀπόστολος, σχολιάζουν τὴν πολυτέλειαν τῶν ἐνδυμάτων, τὸ μέγεθος τῶν πολυτίμων λίθων καὶ ὅλην τὴν ἄλλην ἀσχημοσύνην ἐκείνων ποὺ φοροῦν αὐτά.

Αὐτὰ καὶ σᾶς κάνουν ἀδρανεῖς πρὸς τὴν ἐλεημοσύνην, καὶ ἐκείνους ποὺ κατοικοῦν μαζί σας. Διότι καμμία ἀπὸ σᾶς δὲν θὰ ἐπροτιμοῦσεν εὔκολα νὰ σπάσῃ κάποιο ἀπὸ τὰ χρυσαφικὰ αὐτὰ καὶ νὰ θρέψῃ ἕνα πεινασμένον. Ὅταν δὲ καὶ ἡ ἰδία θὰ ἐπροτιμοῦσες νὰ εὑρεθῇς εἰς στενοχωρίαν, παρὰ νὰ ἰδῇς αὐτὰ νὰ θραύωνται εἰς δύο, πῶς θὰ ἠμποροῦσες νὰ θρέψῃς ἄλλον μὲ αὐτά; Διότι αἱ περισσότεραι διάκεινται πρὸς αὐτὰ ὡς πρὸς ἔμψυχα καὶ ὄχι κατώτερα ἀπὸ ὅ,τι πρὸς τὰ παιδιά των.

Μακρυὰ ἀπὸ ἐδῶ κάτι τέτοιο, λέγει. Δείξετέ το μου λοιπὸν αὐτό, δείξετέ το μὲ τὰ ἔργα, διότι τώρα τοὐλάχιστον βλέπω τὰ ἀντίθετα. Διότι ποῖός ποτε, ἀπὸ ἐκείνους ποὺ ἔχουν κυριευθῆ πάρα πολὺ ἀπὸ αὐτὸ τὸ πάθος, ἔλυωσεν αὐτὰ διὰ νὰ γλυτώσῃ ἀπὸ τὸν θάνατον τὴν ψυχὴν ἑνὸς παιδιοῦ; Καὶ διατί λέγω παιδιοῦ; Ποῖος ἐξηγόρασε μὲ αὐτὰ τὴν ἰδικήν του ψυχὴν ὅταν ἐχάνετο; Ἀντιθέτως μάλιστα οἱ περισσότεροι καθημερινῶς τὴν πωλοῦν ἐξ αἰτίας αὐτῶν. Καὶ ἐὰν μὲν τοὺς εὕρῃ σωματικὴ ἀσθένεια κάνουν τὰ πάντα. Ὅταν ὅμως βλέπουν τὴν ψυχὴν νὰ διαφθείρε-

ται, ἀλλὰ καὶ τῶν ἐγγόνων καὶ τῆς ἑαυτῶν ψυχῆς ἀμελοῦσιν, ἵνα ταῦτα μένῃ τῷ χρόνῳ ἰούμενα. Καὶ σὺν μὲν μυρίων ταλάντων χρυσία περίκεισαι· τὸ δὲ τοῦ Χριστοῦ μέλος οὐδὲ ἀναγκαίας ἔχει τροφῆς ἀπόλαυσιν. Ἀλλ' ὁ μὲν κοινὸς ἁπάντων Δεσπότης, καὶ τοῦ οὐρανοῦ, καὶ τῶν ἐν τοῖς οὐρανοῖς, καὶ τραπέζης τῆς πνευματικῆς ἅπασιν ὁμοίως μετέδωκε· σὺ δὲ οὐδὲ τῶν ἀπολλυμένων αὐτῷ μεταδίδως, ἵνα μείνῃς συνεχῶς δεδεμένη ταῖς χαλεπαῖς ταύταις ἁλύσεσιν.

Ἐντεῦθεν τὰ μυρία κακά, ἐντεῦθεν αἱ ζηλοτυπίαι, ἐντεῦθεν αἱ πορνεῖαι τῶν ἀνδρῶν, ὅταν αὐτοὺς μὴ φιλοσοφεῖν παρασκευάζητε, ἀλλὰ τούτοις παιδεύητε χαίρειν, οἷς αἱ πορνευόμεναι καλλωπίζονται γυναῖκες. Διὰ τοῦτο καὶ ταχέως ἁλίσκονται. Εἰ γὰρ αὐτὸν ἐπαίδευσας τούτων μὲν ὑπερορᾶν, σωφροσύνῃ δὲ χαίρειν, εὐλαβείᾳ, ταπεινοφροσύνῃ, οὐκ ἂν ῥᾳδίως ἑάλω τοῖς τῆς πορνείας πτεροῖς. Κοσμήσασθαι μὲν γὰρ οὕτω δύναται πόρνη καὶ τούτου πλέον· ἐκείνοις δὲ οὐκέτι. Ἔθισον οὖν αὐτὸν τούτῳ χαίρειν τῷ κόσμῳ, ὃν οὐκ ἔχει παρὰ τῇ πόρνῃ κείμενον ἰδεῖν. Πῶς δὲ αὐτὸν εἰς τὴν συνήθειαν ταύτην ἐμβαλεῖς; Ἂν τοῦτον ἀφέλῃς, καὶ ἐκεῖνον περιθῇς. Οὕτω καὶ ὁ ἀνὴρ ἐν ἀσφαλείᾳ, καὶ σὺ ἐν τιμῇ, καὶ ὁ Θεὸς ὑμῖν ἵλεως, καὶ ἄνθρωποι πάντες θαυμάσονται, καὶ τῶν μελλόντων ἐπιτεύξεσθε ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ται, δὲν κάνουν τίποτε τέτοιο, ἀλλὰ παραμελοῦν καὶ τοὺς ἀπογόνους καὶ τὴν ψυχήν των, μόνον καὶ μόνον διὰ νὰ παραμένουν αὐτὰ διὰ μέσου τοῦ χρόνου. Καὶ σὺ μὲν φορεῖς μυρίων ταλάντων χρυσαφικά, ἐνῷ τὸ μέλος τοῦ Χριστοῦ δὲν ἔχει οὔτε τὴν ἀπόλαυσιν τῆς ἀναγκαίας τροφῆς. Ἀλλ' ὁ μὲν κοινὸς ὅλων Δεσπότης, καὶ τοῦ οὐρανοῦ, καὶ αὐτῶν ποὺ εὑρίσκονται εἰς τοὺς οὐρανούς, προσέφερε καὶ τὴν πνευματικὴν τράπεζαν εἰς ὅλους ἐξ ἴσου· ἐνῷ σὺ δὲν προσφέρεις εἰς Αὐτὸν οὔτε αὐτὰ ποὺ καταστρέφονται, διὰ νὰ μείνῃς δεμένη συνεχῶς μὲ τὰς φοβερὰς αὐτὰς ἀλυσίδας.

Ἀπὸ ἐδῶ προέρχονται τὰ μύρια κακά. Ἀπὸ ἐδῶ προέρχονται αἱ πορνεῖαι τῶν ἀνδρῶν, ὅταν ἀντὶ νὰ τοὺς προετοιμάζετε νὰ ὑπομένουν, τοὺς ἐκπαιδεύετε νὰ χαίρωνται μὲ αὐτά, μὲ τὰ ὁποῖα στολίζονται αἱ γυναῖκες ποὺ πορνεύονται. Δι' αὐτὸ καὶ νικῶνται γρήγορα. Διότι ἐὰν τὸν ἐξεπαίδευες αὐτὰ μὲν νὰ τὰ παραβλέπῃ, νὰ χαίρεται δὲ μὲ τὴν σωφροσύνην, τὴν εὐλάβειαν, τὴν ταπεινοφροσύνην, δὲν θὰ ἐσκλαβώνετο εὔκολα ἀπὸ τὰ πτερὰ τῆς πορνείας. Διότι ἔτσι ἠμπορεῖ νὰ στολισθῇ ἡ πόρνη καὶ ἀκόμη περισσότερον· μὲ ἐκεῖνα ὅμως ὄχι πιά. Συνήθισέ τον λοιπὸν νὰ χαίρεται μὲ αὐτὸν τὸν στολισμόν, τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ τὸν εὕρῃ εἰς τὴν πόρνην. Πῶς δὲ θὰ τὸν ὁδηγήσῃς εἰς αὐτὴν τὴν συνήθειαν; Ἐὰν ἀφαιρέσῃς αὐτὸν τὸν στολισμὸν καὶ φορέσῃς ἐκεῖνον. Ἔτσι καὶ ὁ ἄνδρας θὰ βρίσκεται ἐν ἀσφαλείᾳ καὶ σὺ θὰ ἐκτιμᾶσαι καὶ ὁ Θεὸς θὰ σᾶς λυπηθῇ καὶ ὅλοι οἱ ἄνθρωποι θὰ σᾶς θαυμάζουν καὶ τὰ μελλοντικὰ ἀγαθὰ θὰ ἐπιτύχετε, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ϟ΄.

Ματθ. 28, 11-20

«Πορευομένων δὲ αὐτῶν, ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀνήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες· εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ ἐλθόντες νυκτὸς ἔκλεψαν αὐτόν, ἡμῶν κοιμωμένων. Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτόν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν».

1. Διὰ τούτους τοὺς στρατιώτας ὁ σεισμὸς ἐγένετο ἐκεῖνος, ὥστε αὐτοὺς ἐκπλῆξαι, καὶ παρ᾽ αὐτῶν γενέσθαι τὴν μαρτυρίαν· ὅπερ οὖν καὶ συνέβη. Καὶ γὰρ ἀνύποπτος ἡ ἀπαγγελία οὕτως ἐγένετο παρὰ τῶν φυλάκων προφερομένη. Τῶν γὰρ σημείων τὰ μὲν κοινῇ τῇ οἰκουμένῃ ἐνεδείκνυτο, τὰ δὲ ἰδίᾳ τοῖς ἐκεῖ παροῦσι· κοινῇ μὲν τῇ οἰκουμένῃ τὸ σκότος, ἰδίᾳ δὲ τὸ τοῦ ἀγγέλου, τὸ τοῦ σεισμοῦ.

Ἐπεὶ οὖν ἦλθον καὶ ἀπήγγειλαν, (ἡ γὰρ ἀλήθεια παρὰ τῶν ἐναντίων ἀνακηρυττομένη διαλάμπει)· ἔδωκαν πάλιν ἀργύρια, ἵνα εἴπωσι, φησίν, «Ὅτι οἱ μαθηταὶ αὐτοῦ ἐλθόντες ἔκλεψαν αὐτόν». Πῶς ἔκλεψαν, ὦ πάντων ἀνοητότατοι; Διὰ γὰρ τὸ λαμπρὸν τῆς ἀληθείας καὶ περιφανές, οὐδὲ πλάσαι δύνανται. Καὶ γὰρ σφόδρα ἀπίθανον τὸ λεγόμενον, καὶ οὐδὲ σχῆμα τὸ ψεῦδος εἶχε. Πῶς γὰρ ἔκλεπτον, εἰπέ μοι, οἱ μα-

ΟΜΙΛΙΑ Ϥ΄.

Ματθ. 28, 11-20

«Ἐνῷ δὲ αὐταὶ ἐπήγαιναν, μερικοὶ ἀπὸ τὴν φρουρὰν ἐπῆγαν εἰς τὴν πόλιν καὶ ἀνήγγειλαν εἰς τοὺς ἀρχιερεῖς ὅλα ὅσα εἶχαν γίνει. Καὶ ἀφοῦ συνεκεντρώθησαν μαζὶ μὲ τοὺς πρεσβυτέρους καὶ συνεσκέφθησαν, ἔδωσαν ἀρκετὰ χρήματα εἰς τοὺς στρατιώτας καὶ τοὺς εἶπαν· Νὰ εἰπῆτε ὅτι οἱ μαθηταί του ἦλθαν τὴν νύκτα καὶ τὸν ἔκλεψαν, ἐνῷ ἐμεῖς ἐκοιμώμεθα. Καὶ ἐὰν αὐτὸ τὸ ἀκούσῃ ὁ ἡγεμών, ἐμεῖς θὰ τὸν πείσωμεν καὶ θὰ σᾶς ἀπαλλάξωμεν ἀπὸ κάθε εὐθύνην».

1. Δι' αὐτοὺς τοὺς στρατιώτας ἔγινεν ὁ σεισμὸς ἐκεῖνος, διὰ νὰ τοὺς φοβίσῃ καὶ ἀπὸ αὐτοὺς νὰ προέλθῃ ἡ μαρτυρία· πρᾶγμα τὸ ὁποῖον καὶ συνέβη. Διότι ἔτσι ἡ ἀναγγελία τῆς ἀναστάσεως γενομένη ἀπὸ τοὺς φύλακας δὲν ἐπροκάλεσεν ὑποψίας. Διότι ἀπὸ τὰ θαύματα ἄλλα μὲν ἔγιναν φανερὰ εἰς ὁλόκληρον τὴν οἰκουμένην, ἄλλα δὲ μόνον εἰς ἐκείνους ποὺ ἦσαν παρόντες ἐκεῖ. Εἰς ὅλην μὲν τὴν οἰκουμένην ἔγινε φανερὸν τὸ σκοτάδι ἐνῷ μόνον εἰς ὀλίγους ἰδιαιτέρως ἔγιναν γνωστὰ ἡ ἐμφάνισις τοῦ ἀγγέλου καὶ ὁ σεισμός.

Ὅταν λοιπὸν ἦλθαν καὶ ἀνήγγειλαν (διότι ἡ ἀλήθεια ὅταν διακηρύσσεται ἀπὸ τοὺς ἀντιπάλους διαλάμπει), τοὺς ἔδωσαν πάλιν χρήματα, διὰ νὰ εἰποῦν, λέγει ὁ εὐαγγελιστής, «ὅτι οἱ μαθηταί του ἦλθαν καὶ τὸν ἔκλεψαν». Πῶς τὸν ἔκλεψαν, ὦ ἀνόητοι; Διότι, ἐπειδὴ ἡ ἀλήθεια τῆς ἀναστάσεως εἶναι ἐντυπωσιακὴ καὶ προφανής, οὔτε νὰ τὴν ἐπινοήσουν ἠμποροῦν. Ἄλλωστε ἦτο πολὺ ἀπίθανον αὐτὸ ποὺ ἐλέγετο καὶ δὲν εἶχε οὔτε κάποιαν δικαιολογίαν τὸ ψέμα. Διότι, εἰπέ μου, πῶς θὰ Τὸν ἔκλεπταν οἱ μαθηταί,

θηταί, ἄνθρωποι πτωχοὶ καὶ ἰδιῶται, καὶ οὐδὲ φανῆναι τολμῶντες; Μὴ γὰρ οὐκ ἦν σφραγὶς ἐπικειμένη; μὴ γὰρ οὐ παρεκάθηντο τοσοῦτοι φύλακες, καὶ στρατιῶται καὶ Ἰουδαῖοι; μὴ γὰρ οὐχ ὑπώπτευον τοῦτο αὐτό, καὶ ἐμερίμνων, καὶ ἠγρύπνουν, καὶ ἐφρόντιζον ἐκεῖνοι;

Τίνος δὲ ἕνεκεν καὶ ἔκλεπτον; ἵνα πλάσωσι τὸ τῆς ἀναστάσεως δόγμα; Καὶ πῶς ἂν ἐπῆλθεν αὐτοῖς τοιοῦτόν τι πλάσαι, ἀνθρώποις ἀγαπῶσιν, ὅτι κρυπτόμενοι ζῶσι; πῶς δ' ἂν τὸν λίθον ἀνεῖλον τὸν ἠσφαλισμένον; πῶς δ' ἂν τοὺς τοσούτους διέλαθον; Καίτοι εἰ καὶ θανάτου κατεφρόνουν, οὐκ ἂν ἐπεχείρησαν εἰκῇ καὶ μάτην κατατολμῆσαι τοσούτων ὄντων φυλάκων. Ὅτι δὲ καὶ δειλοὶ ἦσαν, ἐδήλωσε τὰ ἔμπροσθεν γεγενημένα. Ὅτε γοῦν εἶδον αὐτὸν συνειλημμένον, ἅπαντες ἀπεπήδησαν.

Εἰ τοίνυν τότε οὐδὲ στῆναι ἐτόλμησαν ζῶντα ὁρῶντες, πῶς ἀποθανόντος οὐκ ἂν ἐφοβήθησαν τοσούτων στρατιωτῶν πλῆθος; Μὴ γὰρ θύραν ἦν ἀνατρέψαι; μὴ γὰρ ἕνα λαθεῖν; Λίθος ἐπέκειτο μέγας, πολλῶν δεόμενος χειρῶν. Δικαίως ἔλεγον· «Καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης»· καθ' ἑαυτῶν ἀποφαινόμενοι τοῦτο, ὅτι μετὰ τοσαύτην μανίαν δέον μετανοῆσαι, οἱ δὲ καὶ ἐπαγωνίζονται τοῖς προτέροις, καταγέλαστα πλάττοντες πλάσματα, καὶ ζῶντος μὲν τὸ αἷμα ὠνούμενοι, σταυρωθέντος δὲ καὶ ἀναστάντος τὸν περὶ τῆς ἀναστάσεως πάλιν διὰ χρημάτων ὑπορύττοντες λόγον.

Σὺ δέ μοι σκόπει πῶς δι' ὧν ποιοῦσιν ἁλίσκονται πανταχοῦ. Εἰ γὰρ μὴ προσῆλθον Πιλάτῳ, μηδὲ ᾔτησαν τὴν κουστωδίαν, μᾶλλον ἠδύναντο τοιαῦτα ἀναισχυντεῖν· νυνὶ

---

1. Ματθ. 27, 64.

ἄνθρωποι πτωχοὶ καὶ ἁπλοϊκοί, οἱ ὁποῖοι δὲν τολμοῦσαν οὔτε νὰ ἐμφανισθοῦν; Μήπως δὲν εἶχε τοποθετηθῆ σφραγίς; Μήπως δὲν παρεφύλασσαν τόσοι φύλακες καὶ στρατιῶται καὶ Ἰουδαῖοι; Μήπως δὲν ὑπωπτεύοντο κάτι τέτοιο καὶ δὲν ἐμεριμνοῦσαν, καὶ δὲν ἀγρυπνοῦσαν, καὶ δὲν ἐφρόντιζαν ἐκεῖνοι;

Καὶ διατί θὰ Τὸν ἔκλεπταν; Διὰ νὰ ἐπινοήσουν τὴν ἀλήθειαν τῆς ἀναστάσεως; Καὶ πῶς θὰ τοὺς ἤρχετο νὰ ἐπινοήσουν κάτι τέτοιο εἰς βάρος ἀνθρώπων οἱ ὁποῖοι τοὺς ἀγαποῦσαν, ἀφοῦ ἐζοῦσαν κρυπτόμενοι; Πῶς δὲ θὰ ἠμποροῦσαν νὰ σηκώσουν τὸν λίθον ποὺ ἦτο ἀσφαλισμένος; Καὶ πῶς θὰ ἠμποροῦσαν νὰ διαφύγουν τοὺς τόσους φρουρούς; Διότι καὶ ἂν ἀκόμη περιεφρόνουν τὸν θάνατον, δὲν θὰ ἐπιχειροῦσαν νὰ τολμήσουν ἀπερίσκεπτα καὶ μάταια, ἀφοῦ ὑπῆρχαν τόσοι φύλακες. Ὅτι ὅμως ἦσαν καὶ δειλοί, τὸ ἐφανέρωσαν ὅσα ἔγιναν προηγουμένως. Ὅταν Τὸν εἶδαν νὰ συλλαμβάνεται ὅλοι ἀπεσκίρτησαν.

Ἐὰν λοιπὸν τότε δὲν ἐτόλμησαν νὰ σταθοῦν ἐνῷ τὸν ἔβλεπαν ζωντανόν, πῶς ὅταν ἀπέθανε δὲν θὰ ἐφοβοῦντο τὸ πλῆθος τόσων στρατιωτῶν; Μήπως ἦτο εὔκολον νὰ ἀνατρέψουν τὴν θύραν; Ἢ μήπως νὰ διαφύγουν τὴν προσοχὴν ἑνός; Εἰς τὴν θύραν ἦτο τοποθετημένος μεγάλος λίθος, ὁ ὁποῖος ἐχρειάζετο πολλὰ χέρια. Μὲ τὸ δίκαιόν τους ἔλεγαν οἱ Ἰουδαῖοι «καὶ θὰ εἶναι ἡ τελευταία ἀπάτη χειροτέρα ἀπὸ τὴν πρώτην»[1]. Ἐναντίον τους τὸ ἔλεγαν αὐτό, διότι ἐνῷ ἔπρεπεν ὕστερα ἀπὸ τόσην μανίαν νὰ μετανοήσουν, αὐτοὶ ἐξακολουθοῦν νὰ ἀγωνίζωνται περισσότερον ἀπὸ πρίν, ἐπινοοῦντες καταγέλαστα φαντάσματα, καὶ ἐνόσῳ μὲν ἔζη πωλοῦντες τὸ αἷμά Του, μετὰ δὲ τὴν σταύρωσιν καὶ τὴν ἀνάστασίν Του ὑπονομεύοντες μὲ χρήματα τὸ κήρυγμα τῆς ἀναστάσεως.

Σὺ ὅμως κάνε μου τὴν χάριν νὰ προσέξῃς πῶς παντοῦ συλλαμβάνονται ἀπὸ τὰ ἴδια τους τὰ ἔργα. Διότι ἐὰν δὲν προσήρχοντο εἰς τὸν Πιλᾶτον καὶ δὲν ἐζητοῦσαν τὴν φρου-

δὲ οὐκέτι. Καὶ γὰρ ὥσπερ σπουδάζοντες ἀπορράψαι τὰ οἰκεῖα στόματα, οὕτω πάντα ἔπραξαν. Εἰ γὰρ γρηγορῆσαι οὐκ ἴσχυσαν μετ' αὐτοῦ, καὶ ταῦτα ὀνειδιζόμενοι παρ' αὐτοῦ, πῶς ἂν τοῦτο ἐτόλμησαν; Διατί δὲ μὴ πρὸ τούτου ἔκλεψαν, ἀλλ' ὅτε ὑμεῖς ἤλθετε; Εἰ γὰρ ἐβούλοντο τοῦτο ποιῆσαι, μηδέπω φυλαττομένης τῆς θήκης ἐποίησαν ἂν ἐν τῇ πρώτῃ νυκτί, ὅτε καὶ ἀκίνδυνον καὶ ἀσφαλές. Τῷ γὰρ Σαββάτῳ προσελθόντες ᾐτήσαντο παρὰ τοῦ Πιλάτου τὴν κουστωδίαν καὶ ἐφύλαττον· τὴν δὲ πρώτην νύκτα οὐδεὶς τούτων τῷ τάφῳ παρῆν.

2. Τί δὲ βούλεται καὶ τὰ σουδάρια τὰ τῇ σμύρνῃ προσπεπηγότα; ταῦτα γὰρ εἶδεν ὁ Πέτρος κείμενα. Εἰ γὰρ ἐβούλοντο κλέψαι, οὐκ ἂν γυμνὸν ἔκλεψαν τὸ σῶμα· οὐ διὰ τὸ ὑβρίσαι μόνον, ἀλλ' ὥστε μὴ ἐν τῷ ἀποδύειν μέλλειν καὶ βραδύνειν, καὶ παρέχειν τοῖς βουλομένοις διαναστῆναι καὶ κατασχεῖν. Μάλιστα ὅτε σμύρνα ἦν, φάρμακον οὕτω κολλῶδες τῷ σώματι, καὶ τοῖς ἱματίοις προσπεπηγός· ὅθεν οὐκ εὔκολον ἦν ἀποσπάσαι τὰ ἱμάτια τοῦ σώματος, ἀλλὰ πολλοῦ χρόνου οἱ τοῦτο ποιοῦντες ἐδέοντο· ὥστε κἀντεῦθεν ἀπίθανον τὸ τῆς κλοπῆς.

Μὴ γὰρ οὐκ ᾔδεσαν τὸν θυμὸν τὸν Ἰουδαϊκόν, καὶ ὅτι εἰς αὐτοὺς τὴν ὀργὴν ἀφήσουσι; Τί δὲ ὅλως καὶ τὸ κέρδος ἦν αὐτοῖς, εἰ μὴ ἀνέστη; Ταῦτα δὴ πάντα καὶ οὗτοι συνειδότες ὅτι ἔπλασαν, ἔδωκαν ἀργύριον, καί φασιν· εἴπατε ταῦτα ὑμεῖς, καὶ ἡμεῖς πείσομεν τὸν ἡγεμόνα. Δημοσιευθῆναι γὰρ ἐβούλοντο τὴν φωνήν, εἰκῇ πρὸς τὴν ἀλήθειαν πυκτεύοντες, καὶ δι' ὧν αὐτὴν συσκιάζειν ἐπεχείρουν, διὰ τούτων καὶ ἄ-

---

2. Πλατεῖαι λωρίδες λευκῆς ὀθόνης, μὲ τὰς ὁποίας περιετύλισαν τὴν κεφαλὴν τῶν νεκρῶν.

ράν, θὰ ἠμποροῦσαν ὁπωσδήποτε νὰ διαπράξουν αὐτὰς τὰς ἀναισχυντίας. Τώρα ὅμως δὲν ἠμποροῦν πιά. Διότι ἔκαναν τὰ πάντα ἔτσι, ὡσὰν νὰ ἤθελαν νὰ ράψουν τὰ στόματά των. Διότι, ἀφοῦ οἱ μαθηταί Του δὲν ἄντεξαν νὰ ἀγρυπνήσουν μαζί Του, καὶ μάλιστα ἐνῷ ἐπεπλήττοντο ἀπὸ Αὐτόν, πῶς θὰ τὸ ἐτολμοῦσαν αὐτό; Καὶ διατί δὲν Τὸν ἔκλεψαν πρὶν ἀπὸ αὐτό, παρὰ ὅταν ἤλθατε σεῖς; Διότι ἐὰν ἤθελαν νὰ τὸ κάνουν αὐτό, θὰ τὸ ἔκαναν ὅταν δὲν ἐφυλάσσετο ὁ τάφος, κατὰ τὴν διάρκειαν τῆς πρώτης νυκτός, τότε ποὺ ἦταν καὶ ἀκίνδυνον καὶ σίγουρον. Διότι τὸ Σάββατον προσῆλθαν καὶ ἐζήτησαν ἀπὸ τὸν Πιλᾶτον τὴν φρουρὰν καὶ τὸν ἐφύλασσαν. Ἐνῷ τὴν πρώτην νύκτα κανεὶς ἀπὸ αὐτοὺς δὲν ἦτο παρὼν εἰς τὸν τάφον.

2. Τί θέλουν δὲ καὶ τὰ σουδάρια[2], τὰ ὁποῖα ἦσαν κολλημένα μὲ τὰ ἀρώματα; Διότι αὐτὰ τὰ εἶδεν ὁ Πέτρος νὰ βρίσκωνται μέσα εἰς τὸν τάφον. Ἐὰν ἤθελαν νὰ τὸ κλέψουν, δὲν θὰ ἔκλεβαν τὸ σῶμα Του γυμνόν· ὄχι μόνον διὰ νὰ μὴ τὸ ἀτιμάσουν, ἀλλὰ διὰ νὰ μὴ καθυστερήσουν καθὼς θὰ τὸν ἐξέντυναν καὶ δώσουν καιρὸν εἰς ἐκείνους ποὺ ἤθελαν νὰ σηκωθοῦν καὶ νὰ τοὺς συλλάβουν. Καὶ μάλιστα τὴν στιγμὴν ποὺ ἐπρόκειτο περὶ σμύρνας, οὐσίας ἡ ὁποία κολλᾷ δυνατὰ εἰς τὸ σῶμα καὶ δένεται μὲ τὰ ἐνδύματα. Ὡς ἐκ τούτου δὲν ἦτο εὔκολον νὰ ἀποσπάσουν τὰ ἐνδύματα ἀπὸ τὸ σῶμα, ἀλλὰ ἐχρειάζοντο πολὺν χρόνον ἐκεῖνοι ποὺ θὰ ἔκαναν αὐτό. Ὥστε καὶ ἀπὸ τὴν ἄποψιν αὐτὴν εἶναι ἀπίθανα τὰ περὶ τῆς κλοπῆς.

Μήπως δὲ δὲν ἐγνώριζαν τὸν θυμὸν τῶν Ἰουδαίων, καὶ ὅτι εἰς αὐτοὺς θὰ ξεσπάσῃ ἡ ὀργή τους; Ποῖον δὲ θὰ ἦτο τελικὰ δι' αὐτοὺς τὸ κέρδος ἐὰν δὲν ἀνέστη; Ὅλα αὐτὰ λοιπὸν γνωρίζοντες καὶ αὐτοὶ οἱ ὁποῖοι τὰ ἐπενόησαν, ἔδωσαν χρήματα καὶ λέγουν· εἴπετε αὐτὰ σεῖς καὶ ἐμεῖς θὰ πείσωμεν τὸν ἡγεμόνα. Διότι ἤθελαν νὰ πάρῃ δημοσιότητα ἡ εἴδησις, μάταια ἀγωνιζόμενοι ἐναντίον τῆς ἀληθείας, καὶ μὲ ὅσα ἐπεχείρουν νὰ τὴν ἐπισκιάσουν, μὲ αὐτὰ ἄθελά

κοντες παρεσκεύαζον ἐκλάμπειν αὐτήν. Καὶ γὰρ καὶ τοῦτο τὴν ἀνάστασιν κυροῖ, τὸ αὐτοὺς ταῦτα εἰπεῖν, ὅτι οἱ μαθηταὶ ἔκλεψαν. Τοῦτο γὰρ ὁμολογούντων ἐστίν, ὅτι οὐκ ἦν ἐκεῖ τὸ σῶμα.

Ὅταν οὖν αὐτοὶ μὲν ὁμολογῶσι μὴ εἶναι τὸ σῶμα ἐκεῖ, τὴν δὲ κλοπὴν δεικνύῃ ψευδῆ καὶ ἀπίθανον ἡ προσεδρεία αὐτῶν, καὶ τὰ σήμαντρα, καὶ ἡ τῶν μαθητῶν δειλία· ἀναμφισβήτητος κἀντεῦθεν ἡ τῆς ἀναστάσεως ἀπόδειξις φαίνεται. Ἀλλ' ὅμως οἱ ἀναίσχυντοι καὶ πάντα τολμῶντες, τοσούτων ὄντων τῶν ἐπιστομιζόντων αὐτούς, «Εἴπατε», φησί, «καὶ ἡμεῖς πείσομεν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν». Ὁρᾷς πάντας διεφθαρμένους; τὸν Πιλᾶτον; αὐτὸς γὰρ ἐπείσθη· τοὺς στρατιώτας; τὸν δῆμον τὸν Ἰουδαϊκόν; Ἀλλὰ μὴ θαυμάσῃς εἰ χρήματα στρατιωτῶν περιεγένετο. Εἰ γὰρ παρὰ τῷ μαθητῇ τοσαύτην ἐπεδείξατο τὴν ἰσχύν, πολλῷ μᾶλλον παρὰ τούτοις.

«Καὶ διεφημίσθη ὁ λόγος οὗτος», φησίν, «ἕως τῆς σήμερον ἡμέρας». Εἶδες πάλιν τῶν μαθητῶν τὸ φιλάληθες; πῶς οὐδὲ τοῦτο αἰσχύνονται λέγοντες, ὅτι τοιοῦτος ἐκράτησε λόγος κατ' αὐτῶν;

«Οἱ δὲ ἕνδεκα μαθηταὶ ἀπῆλθον εἰς Γαλιλαίαν καὶ οἱ μὲν προσεκύνησαν, οἱ δὲ ἰδόντες αὐτὸν ἐδίστασαν». Αὕτη μοι δοκεῖ ἐσχάτη ὄψις εἶναι ἐν τῇ Γαλιλαίᾳ, ὅτε αὐτοὺς ἐξέπεμπε βαπτίσοντας. Εἰ δὲ ἐδίστασάν τινες, κἀντεῦθεν πάλιν θαύμασον αὐτῶν τὴν ἀλήθειαν, πῶς οὐδὲ τὰ μέχρις ἐσχάτης ἡμέρας ἐλαττώματα αὐτῶν ἀποκρύπτονται. Ἀλλ' ὅμως καὶ οὗτοι διὰ τῆς ὄψεως ἐβεβαιώθησαν.

Τί οὖν φησιν ἰδὼν αὐτούς; «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς». Πάλιν ἀνθρωπινώτερον αὐτοῖς δια-

τους τὴν ἔκαναν νὰ διαλάμπῃ. Διότι καὶ αὐτὸ ἐπιβεβαιώνει τὴν ἀνάστασιν, τὸ ὅτι ἐκεῖνοι εἶπαν αὐτά, ὅτι δηλαδὴ Τὸν ἔκλεψαν οἱ μαθηταί. Διότι αὐτὸ ἐξάγεται ἀπὸ τὴν ὁμολογίαν των, ὅτι τὸ σῶμα δὲν εὑρίσκετο ἐκεῖ.

Ὅταν λοιπὸν αὐτοὶ μὲν ὁμολογοῦν ὅτι δὲν ἦτο τὸ σῶμα ἐκεῖ, ἡ παρουσία δὲ αὐτῶν καὶ αἱ σφραγίδες καὶ ἡ δειλία τῶν μαθητῶν, δείχνουν ὅτι ἡ κλοπὴ εἶναι ψευδὴς καὶ ἀπίθανος, γίνεται ἀναμφισβήτητος μὲ αὐτὰ ἡ ἀπόδειξις τῆς ἀναστάσεως. Ἀλλ' ὅμως οἱ ἀδιάντροποι ἐπιχειροῦντες τὰ πάντα, ἂν καὶ τόσα ἦσαν ποὺ τοὺς ἀπεστόμωναν, «Εἰπέτε τα», λέγουν, «καὶ ἐμεῖς θὰ πείσωμεν τὸν ἡγεμόνα καὶ θὰ σᾶς ἀπαλλάξωμεν ἀπὸ τὴν εὐθύνην». Βλέπεις ὅτι ὅλοι εἶναι διεφθαρμένοι; Ὁ Πιλᾶτος ποὺ ἐπείσθη, οἱ στρατιῶται, ὁ ἰουδαϊκὸς ὄχλος; Ἀλλὰ μὴ σοῦ φανῇ παράξενον ὅτι τὰ χρήματα ὑπερίσχυσαν τῶν στρατιωτῶν. Διότι, ἐφ' ὅσον εἰς τὸν μαθητὴν ἔδειξαν τόσην δύναμιν, πολὺ περισσότερον εἰς αὐτούς.

«Καὶ διεδόθη ἡ φήμη αὐτή», λέγει, «μέχρι τὴν σημερινὴν ἡμέραν». Βλέπεις πάλιν τὴν φιλαλήθειαν τῶν μαθητῶν, ποὺ δὲν ἐντρέπονται οὔτε τοῦτο νὰ εἰποῦν, ὅτι ἐπεκράτησε τέτοια φήμη εἰς βάρος τους;

«Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπῆγαν εἰς τὴν Γαλιλαίαν· καὶ ἄλλοι μὲν Τὸν ἐπροσκύνησαν, ἐνῷ ἄλλοι ὅταν Τὸν εἶδαν ἐδίστασαν». Αὐτὴ ἡ ἐμφάνισις εἰς τὴν Γαλιλαίαν νομίζω πῶς εἶναι ἡ τελευταία, ὅταν τοὺς ἔστειλε νὰ βαπτίζουν. Ἐὰν δὲ μερικοὶ ἐδίστασαν, θαύμασε καὶ ἀπὸ αὐτὸ πάλιν τὴν ἀλήθειαν αὐτῶν, ὅτι δὲν ἀποκρύπτουν οὔτε τὰ μέχρι τῆς τελευταίας ἡμέρας ἐλαττώματά των. Ἀλλ' ὅμως καὶ αὐτοὶ μὲ τὴν ἐμφάνισιν ἐβεβαιώθησαν περὶ τῆς ἀναστάσεως.

Τί λέγει λοιπὸν ὅταν τοὺς εἶδε; «Μοῦ ἐδόθη πλήρης ἐξουσία εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν». Πάλιν ὡσὰν ἄνθρωπος ὁμιλεῖ περισσότερον πρὸς αὐτούς, διότι δὲν εἶχαν ἀκό-

λέγεται· οὐδέπω γὰρ ἦσαν τὸ πνεῦμα εἰληφότες τὸ δυνάμενον ὑψηλοὺς αὐτοὺς ποιῆσαι.

«Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν»· τὸ μὲν περὶ δογμάτων, τὸ δὲ περὶ ἐντολῶν παραγγέλλων. Καὶ Ἰουδαίων μὲν οὐδὲν μέμνηται, οὐδὲ εἰς μέσον φέρει τὰ γεγενημένα, οὐδὲ ὀνειδίζει Πέτρῳ τὴν ἄρνησιν, οὐδὲ τῶν ἄλλων οὐδενὶ τὴν φυγήν· κελεύει δὲ εἰς τὴν οἰκουμένην ἐκχυθῆναι πᾶσαν, σύντομον διδασκαλίαν ἐγχειρίσας, τὴν διὰ τοῦ βαπτίσματος.

Εἶτα ἐπειδὴ μεγάλα αὐτοῖς ἐπέταξεν, ἐπαίρων αὐτῶν τὰ φρονήματα, φησίν· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος». Εἶδες αὐθεντίαν πάλιν; εἶδες πῶς καὶ ἐκεῖνα συγκαταβάσεως ἕνεκεν εἴρηται; Οὐ μετ' ἐκείνων δὲ μόνον εἶπεν ἔσεσθαι, ἀλλὰ καὶ μετὰ πάντων τῶν μετ' ἐκείνους πιστευόντων. Οὐ γὰρ δὴ ἕως τῆς συντελείας τοῦ αἰῶνος οἱ ἀπόστολοι μένειν ἔμελλον· ἀλλ' ὡς ἑνὶ σώματι διαλέγεται τοῖς πιστοῖς.

Μὴ γάρ μοι τὴν δυσκολίαν, φησίν, εἴπητε τῶν πραγμάτων· ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν, ὁ πάντα ποιῶν εὔκολα. Τοῦτο καὶ τοῖς προφήταις ἔλεγεν ἐν τῇ Παλαιᾷ συνεχῶς, καὶ τῷ Ἰερεμίᾳ νεότητα προβαλλομένῳ καὶ τῷ Μωϋσῇ καὶ τῷ Ἰεζεκιὴλ ἀναδυομένοις· «Ἐγὼ μεθ' ὑμῶν εἰμι»· τοῦτο καὶ ἐνταῦθα τούτοις. Σκόπει δέ μοι κἀνταῦθα τὴν τούτων διαφοράν. Ἐκεῖνοι μὲν γὰρ εἰς ἓν ἔθνος ἀποστελλόμενοι, πολλάκις παρῃτοῦντο· οὗτοι δὲ οὐδὲν τοιοῦτον ἐφθέγξαντο, εἰς τὴν οἰκουμένην πεμπόμενοι. Ἀναμιμνήσκει δὲ αὐτοὺς καὶ τῆς συντελείας, ἵνα μᾶλλον αὐτοὺς ἐφελκύσηται, καὶ μὴ τὰ πα-

μη λάβει τὸ Πνεῦμα τὸ ὁποῖον ἠμποροῦσε νὰ τοὺς κάνῃ ἀνωτέρους.

«Πηγαίνετε καὶ διδάξετε ὅλα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος καὶ διδάσκοντες αὐτοὺς νὰ τηροῦν ὅλα ὅσα σᾶς παρήγγειλα». Ἀφ' ἑνὸς μὲν παραγγέλλει διὰ τὰς ἀληθείας. ἀφ' ἑτέρου δὲ διὰ τὰς ἐντολάς. Ἀπὸ τὰ ἔργα τῶν Ἰουδαίων δὲν ὑπενθυμίζει τίποτε, οὔτε ἀναφέρει ὅσα ἔγιναν, οὔτε κατηγορεῖ τοῦ Πέτρου τὴν ἄρνησιν, οὔτε κανενὸς ἄλλου τὴν φυγήν. Παραγγέλλει δὲ νὰ διαδοθῇ εἰς ὁλόκληρον τὴν οἰκουμένην, ἐμπιστευθεὶς σύντομον διδασκαλίαν, ἐκείνην ἡ ὁποία ἐπισφραγίζεται μὲ τὸ βάπτισμα.

Ἔπειτα, ἐπειδὴ τοὺς ἔδωσε σοβαρὰς ἐντολάς, διὰ νὰ τονώσῃ τὸ φρόνημά των λέγει· «Νά, ἐγὼ θὰ εἶμαι μαζί σας, ὅλας τὰς ἡμέρας, μέχρι τὴν συντέλειαν τοῦ κόσμου». Βλέπεις πάλιν διακριτικότητα ἐξουσίας; Βλέπεις ὅτι καὶ τὰ προηγούμενα εἶχαν λεχθῇ ἀπὸ συγκατάβασιν; Δὲν εἶπε δὲ ὅτι θὰ εἶναι μόνον μαζὶ μὲ ἐκείνους, ἀλλὰ καὶ μαζὶ μὲ ὅλους οἱ ὁποῖοι θὰ πιστεύσουν μετὰ ἀπὸ ἐκείνους. Διότι δὲν ἐπρόκειτο βέβαια νὰ παραμείνουν οἱ ἀπόστολοι μέχρι τῆς συντελείας τοῦ κόσμου.

Μὴ μοῦ προβάλετε, λέγει, τὴν δυσκολίαν τῶν πραγμάτων· διότι εἶμαι μαζί σας ἐγώ, ὁ ὁποῖος κάνω τὰ πάντα εὔκολα. Αὐτὸ ἔλεγε διαρκῶς καὶ εἰς τοὺς προφήτας εἰς τὴν Παλαιὰν Διαθήκην, καὶ εἰς τὸν Ἰερεμίαν, ὁ ὁποῖος προέβαλλεν ὡς δικαιολογίαν τὸ νεαρὸν τῆς ἡλικίας του, καὶ εἰς τὸν Μωϋσῆν καὶ τὸν Ἰεζεκιήλ, οἱ ὁποῖοι ἠρνοῦντο· «Ἐγὼ εἶμαι μαζί σας». Αὐτὸ λέγει καὶ εἰς αὐτοὺς ἐδῶ. Κάνε μου δὲ τὴν χάριν νὰ προσέξῃς καὶ ἐδῶ τὴν διαφορὰν αὐτῶν. Διότι ἐκεῖνοι μὲν ἀποστελλόμενοι εἰς ἕνα ἔθνος πολλὲς φορὲς παρῃτοῦντο. Ἐνῷ αὐτοί, ἂν καὶ ἀπεστέλλοντο εἰς τὴν οἰκουμένην ὁλόκληρον, δὲν εἶπαν τίποτε τέτοιο. Τοὺς ὑπενθυμίζει δὲ καὶ τὴν συντέλειαν τοῦ κόσμου, διὰ νὰ τοὺς ἐνθαρρύνῃ περισσότερον, καὶ νὰ μὴ βλέπουν μόνον τὰ πα-

ρόντα ὁρῶσι μόνον δεινά, ἀλλὰ καὶ τὰ μέλλοντα ἀγαθὰ τὰ ἀπέραντα. Τὰ μὲν γὰρ λυπηρά, φησίν, ἅπερ ὑποστήσεσθε, τῷ παρόντι βίω συγκαταλύεται, ὅπου γε καὶ αὐτὸς ὁ αἰὼν οὗτος εἰς συντέλειαν ἥξει· τὰ δὲ χρηστά, ὧν ἀπολαύσεσθε, ἀθάνατα μένει, καθάπερ πολλάκις ἔμπροσθεν εἶπον.

Οὕτως ἀλείψας καὶ ἐγείρας αὐτῶν τὰ φρονήματα καὶ τῇ μνήμῃ τῆς ἡμέρας ἐκείνης, ἐξέπεμψεν. Ἡ γὰρ ἡμέρα ἐκείνη τοῖς ἐν κατορθώμασι ζῶσι ποθεινή, ὥσπερ οὖν τοῖς ἐν τοῖς ἁμαρτήμασι φοβερά, καθάπερ τοῖς καταδίκοις. Ἀλλὰ μὴ φοβώμεθα μόνον καὶ φρίττωμεν, ἀλλὰ καὶ μεταβαλλώμεθα ἕως ἐστὶ καιρός, καὶ ἀνενέγκωμεν ἐκ τῆς πονηρίας· δυνάμεθα γάρ, ἂν ἐθέλωμεν. Εἰ γὰρ πρὸ τῆς χάριτος πολλοὶ τοῦτο ἐποίησαν, πολλῷ μᾶλλον μετὰ τὴν χάριν.

3. Τί γὰρ φορτικὸν ἐπετάγημεν; ὄρη διατεμεῖν; ἢ πτῆναι πρὸς τὸν ἀέρα; ἢ περαιώσασθαι τὸ Τυρρηνικὸν πέλαγος; Οὐδαμῶς· ἀλλ' οὕτως εὔκολον πολιτείαν, ὡς μηδὲ ὀργάνων δεῖσθαι, ἀλλὰ ψυχῆς καὶ διαθέσεως μόνης. Ποῖα γὰρ ὄργανα εἶχον οἱ ἀπόστολοι οὗτοι, τοσαῦτα κατορθώσαντες; Οὐχὶ μονοχίτωνες καὶ ἀνυπόδετοι περιήεσαν, καὶ πάντων περιεγένοντο; Τί γὰρ δύσκολον τῶν ἐπιταγμάτων; Μηδένα ἔχε ἐχθρόν· μηδένα μίσει· μηδένα λέγε κακῶς. Τὰ ἐναντία μὲν οὖν τούτων τὰ δυσκολώτερα.

Ἀλλ' εἶπε, φησί, ῥῖψον τὰ χρήματα. Τοῦτο οὖν ἐστι τὸ φορτικόν; Μάλιστα μὲν οὐκ ἐκέλευσεν, ἀλλὰ συνεβούλευσε. Πλὴν εἰ καὶ ἐπίταγμα ἦν, τί τὸ βαρύ, μὴ περιφέρειν φορτία καὶ φροντίδας ἀκαίρους; Ἀλλ' ὢ τῆς φιλαργυρίας. Πάντα χρήματα γέγονε· διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε. Κἂν μακαρίσῃ τίς τινα, τούτων μέμνηται· κἂν ταλανίσῃ, ἐντεῦθεν

ρόντα δεινά, ἀλλὰ καὶ τὰ μελλοντικὰ καὶ ἀπέραντα ἀγαθά. Διότι αἱ μὲν θλίψεις, λέγει, τὰς ὁποίας θὰ ὑποστῆτε, θὰ καταργηθοῦν μαζὶ μὲ τὴν παροῦσαν ζωήν, ὅταν θὰ φθάσῃ εἰς τὸ τέλος καὶ αὐτὸς ὁ κόσμος. Τὰ ἀγαθὰ δὲ τὰ ὁποῖα θὰ ἀπολαύσετε, εἶναι ἀθάνατα, ὅπως σᾶς εἶπα πολλὲς φορὲς εἰς τὸ παρελθόν.

Ἀφοῦ τοὺς ἔχρισε μὲ τὸν τρόπον αὐτὸν καὶ τοὺς ἐτόνωσε τὰ φρονήματα καὶ μὲ τὴν ὑπόμνησιν τῆς ἡμέρας ἐκείνης, τοὺς ἐξαπέστειλε. Διότι ἡ ἡμέρα ἐκείνη εἶναι περιπόθητος εἰς ἐκείνους οἱ ὁποῖοι ζοῦν εἰς τὴν ἀρετήν, ὅπως, ἀντιθέτως, εἶναι φοβερὰ εἰς ἐκείνους οἱ ὁποῖοι ζοῦν εἰς τὴν ἁμαρτίαν, ὅπως καὶ εἰς τοὺς καταδίκους. Δὲν πρέπει ὅμως μόνον νὰ φοβούμεθα καὶ νὰ φρίττωμεν, ἀλλὰ καὶ νὰ διορθωθοῦμεν ὅσον εἶναι καιρὸς καὶ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν πονηρίαν· διότι ἠμποροῦμεν, ἐὰν θέλωμεν. Διότι ἐὰν αὐτὸ τὸ ἔκαναν πολλοὶ πρὶν ἔλθῃ ἡ χάρις, πολὺ περισσότερον εἶναι τοῦτο δυνατὸν μετὰ τὴν ἔλευσιν τῆς χάριτος.

3. Διότι τί τὸ βαρὺ μᾶς εἶπε νὰ κάνωμεν; Νὰ διασχίσωμεν βουνά; Νὰ πετάξωμεν εἰς τὸν ἀέρα; Ἢ νὰ διαβῶμεν τὸ Τυρρηνικὸν πέλαγος; Ὄχι, ἀλλ' ἀντιθέτως τόσον εὔκολον ζωήν, ὥστε νὰ μὴ χρειάζεται οὔτε ὄργανα, παρὰ μόνον ψυχὴν καὶ διάθεσιν. Διότι ποῖα ὄργανα εἶχαν αὐτοὶ οἱ ἀπόστολοι, ποὺ κατώρθωσαν τόσα πράγματα; Δὲν περιῆλθαν μὲ ἕνα χιτῶνα καὶ ἀνυπόδητοι τὸν κόσμον καὶ ὑπερίσχυσαν ὅλων; Ποία ἄλλωστε ἀπὸ τὰς ἐντολὰς εἶναι δύσκολος; Νὰ μὴ ἔχῃς κανένα ἐχθρόν· νὰ μὴ κακολογῇς κανένα. Δυσκολώτερα εἶναι τὰ ἀντίθετα αὐτῶν.

Εἶπεν ὅμως, λέγει, πέταξε τὰ χρήματα. Αὐτὸ λοιπὸν εἶναι τὸ βαρύ; Διὰ τὴν ἀκρίβειαν μάλιστα δὲν διέταξεν, ἀλλὰ συνεβούλευσεν. Ἀλλὰ καὶ ἐπιταγὴ νὰ ἦτο, ποῦ εἶναι τὸ βαρύ, ὅταν λέγῃ νὰ μὴ περιφέρωμεν φορτία καὶ ἐνοχλητικὰς φροντίδας; Ἀλλὰ πόση εἶναι ἡ φιλαργυρία! Ὅλα ἔγιναν χρήματα· δι' αὐτὸ καὶ ὅλα ἔγιναν ἄνω - κάτω. Καὶ ὅταν μακαρίζῃ κανεὶς κάποιον αὐτὰ θυμᾶται· καὶ ὅταν τὸν οἰκτίρῃ

ὁ ταλανισμός. Καὶ πάντες διὰ ταῦτα οἱ λόγοι γίνονται, πῶς ὁ δεῖνα πλουτεῖ, πῶς ὁ δεῖνα πένεται. Κἂν στρατείαν, κἂν γάμον, κἂν τέχνην, κἂν ὁτιοῦν μεταχειρίζῃ τις, οὐ πρότερον ἅπτεται τοῦ προκειμένου, ἕως ἂν ταῦτα ἴδοι ἰόντα ῥαγδαίως αὐτῷ.

Εἶτα οὐ συνελθόντες βουλευσόμεθα, πῶς τὸ νόσημα τοῦτο ἀπελάσομεν; οὐκ αἰσχυνθησόμεθα τῶν πατέρων τὰ κατορθώματα; τῶν τρισχιλίων, τῶν πεντακισχιλίων, οἳ κοινὰ πάντα εἶχον; Τί τὸ κέρδος τῆς παρούσης ζωῆς, ὅταν εἰς τὴν μέλλουσαν ἐμπορίαν αὐτῇ μὴ χρησώμεθα; Μέχρι πότε οὐ δουλοῦσθε τὸν δουλωσάμενον ὑμᾶς μαμωνᾶν; μέχρι πότε δοῦλοι χρημάτων; μέχρι τίνος οὐκ ἐρᾶτε ἐλευθερίας, καὶ διαρρήγνυτε τὰς ὠνὰς τῆς φιλοχρηματίας;

Ἀλλὰ ἂν μὲν ἀνθρώπων γένησθε δοῦλοι, πάντα ποιεῖτε, εἴ τις ἐλευθερίαν ὑπόσχοιτο· φιλαργυρίας δὲ ὄντες αἰχμάλωτοι, οὐδὲ ἐννοεῖτε πῶς τῆς πικρᾶς ταύτης ἀπαλλαγῆτε δουλείας. Καίτοι τὸ μὲν οὐδὲν δεινόν· τὸ δὲ τυραννὶς ἡ πικροτάτη. Ἐννοήσατε ἡλίκην τιμὴν ὑπὲρ ἡμῶν κατέθηκεν ὁ Χριστός. Τὸ αἷμα τὸ ἑαυτοῦ ἐξέχεεν, ἑαυτὸν ἐξέδωκεν. Ὑμεῖς δὲ καὶ μετὰ ταῦτα πάντα ἀναπεπτώκατε, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ εὐφραίνεσθε τῇ δουλείᾳ, ἐντρυφᾶτε τῇ ἀτιμίᾳ, καὶ ἐπέραστον γέγονε τὸ φευκτόν.

Ἀλλ' ἐπειδὴ οὐκ ἀποδύρεσθαι χρὴ μόνον καὶ ἐγκαλεῖν, ἀλλὰ καὶ διορθοῦν, ἴδωμεν πόθεν ἐπέραστον ἡμῖν γέγονε τουτὶ τὸ πάθος καὶ τὸ κακόν. Πόθεν οὖν, πόθεν ἐπέραστον τουτὶ γέγονεν; Ὅτι ἐν δόξῃ, φησί, καὶ ἀσφαλείᾳ ποιεῖ. Ποίᾳ ἀσφαλείᾳ; εἰπέ μοι. Ἐν τῷ θαρρεῖν ὑπὲρ τοῦ μὴ πεινῆν, μὴ ῥι-

ἀπὸ αὐτὰ προέρχεται ὁ ταλανισμός. Καὶ ὅλαι αἱ συζητήσεις γίνονται διὰ τὰ χρήματα. Καὶ ὅταν κανεὶς ἐπιχειρῇ ἐκστρατείαν, ἢ γάμον, ἢ τέχνην, ἢ ὅ,τιδήποτε ἄλλο, δὲν ἀρχίζει τὸ ἔργον μέχρις ὅτου ἰδῇ αὐτὰ νὰ ἔρχωνται εἰς αὐτὸν ἄφθονα.

Ἔπειτα δὲν θὰ συγκεντρωθοῦμεν νὰ σκεφθοῦμεν πῶς θὰ ἀπομακρύνωμεν τὴν ἀσθένειαν αὐτήν; Δὲν θὰ ἐντραπῶμεν τὰ κατορθώματα τῶν πατέρων; Τῶν τριῶν χιλιάδων, τῶν πέντε χιλιάδων, οἱ ὁποῖοι τὰ εἶχαν ὅλα κοινά; Ποῖον εἶναι τὸ κέρδος τῆς παρούσης ζωῆς, ὅταν δὲν τὴν χρησιμοποιήσωμεν εἰς τὴν μελλοντικήν μας ἐπιδίωξιν; Μέχρι πότε θὰ ἀφήνετε ἀδούλωτον τὸν μαμωνᾶν, ὁ ὁποῖος σᾶς ἔχει ὑποδουλώσει; Μέχρι πότε θὰ εἶσθε δοῦλοι τοῦ χρήματος; Μέχρι πότε δὲν θὰ ἐπιθυμῆτε τὴν ἐλευθερίαν καὶ δὲν θὰ διασπάσετε τὰ ὀψώνια τῆς φιλοχρηματίας;

Ἀλλά, ὅταν μὲν γίνεσθε δοῦλοι ἀνθρώπων, κάνετε τὰ πάντα, ἐὰν κανεὶς σᾶς ὑποσχεθῇ ἐλευθερίαν· τώρα ὅμως ποὺ εἶσθε αἰχμάλωτοι τῆς φιλαργυρίας, οὔτε σκέπτεσθε πῶς θὰ ἀπαλλαγῆτε ἀπὸ αὐτὴν τὴν πικρὰν δουλείαν. Μολονότι τὸ πρῶτον δὲν εἶναι καθόλου δεινόν, ἐνῷ τὸ δεύτερον εἶναι βαρυτάτη τυραννία. Σκεφθῆτε πόσον μεγάλο τίμημα πρὸς χάριν μας κατέβαλεν ὁ Χριστός. Ἔχυσε τὸ αἷμά Του, παρέδωσε τὸν ἑαυτόν Του. Σεῖς ὅμως καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἐπέσατε καὶ πάλιν, καὶ τὸ ἀκόμη χειρότερον εἶναι ὅτι καὶ εὐχαριστεῖσθε μὲ τὴν ὑποδούλωσιν καὶ εὑρίσκετε τέρψιν εἰς τὴν ἀτιμίαν καὶ σᾶς ἔγινεν ἀξιαγάπητον αὐτὸ ποὺ ἔπρεπε νὰ ἀποφύγετε.

Ἀλλ' ἐπειδὴ δὲν ἀρκεῖ μόνον νὰ θρηνολογοῦμεν καὶ νὰ κατηγοροῦμεν, ἀλλὰ καὶ νὰ διορθώνωμεν, ἂς ἴδωμεν διατί ἔγινεν ἀξιαγάπητον αὐτὸ ἐδῶ τὸ πάθος καὶ τὸ κακόν. Διατί λοιπόν, διατί ἔγινεν ἀξιαγάπητον αὐτὸ ἐδῶ; Διότι, λέγει μᾶς κάνει δοξασμένους καὶ μᾶς ἐξασφαλίζει. Εἰπέ μου, μὲ ποίαν ἀσφάλειαν; Μὲ τὸ νὰ μᾶς δημιουργῇ τὴν πεποίθησιν ὅτι δὲν θὰ πεινάσωμεν, δὲν θὰ τρέμωμεν ἀπὸ τὸ ψύχος, δὲν θὰ ὑποστοῦμεν βλάβην, δὲν θὰ περιφρονού-

γοῦν, μὴ βλάπτεσθαι, μὴ καταφρονεῖσθαι. Οὐκοῦν ἐὰν ἐπαγγελώμεθά σοι τὴν ἀσφάλειαν ταύτην, ἀποστήσῃ τοῦ πλουτεῖν; Εἰ γὰρ διὰ τοῦτο ὁ πλοῦτος ἐπέραστος, ἂν ἐξῇ χωρὶς τούτου ἔχειν ἀσφάλειαν, τίς χρεία σοι τούτου λοιπόν;

Καὶ πῶς δυνατὸν μὴ πλουτοῦντα, φησί, τούτων ἐπιτυχεῖν; Πῶς μὲν οὖν δυνατὸν (ἐγὼ γὰρ τοὐναντίον ἐρῶ) πλουτοῦντα; Καὶ γὰρ κολακεύειν ἀνάγκη πολλούς, καὶ ἄρχοντας καὶ ἀρχομένους, καὶ δεῖσθαι μυρίων, καὶ δουλεύειν ἀγεννῶς, καὶ δεδοικέναι καὶ τρέμειν, καὶ ὑποπτεύειν τοὺς τῶν βασκάνων ὀφθαλμούς, καὶ φοβεῖσθαι συκοφαντῶν στόματα, καὶ ἑτέρων φιλαργύρων ἐπιθυμίας.

Ἀλλ' οὐχ ἡ πενία τοιοῦτον, ἀλλὰ τοὐναντίον ἅπαν. Χωρίον ἄσυλόν ἐστι καὶ ἀσφαλές, λιμὴν εὔδιος, παλαίστρα καὶ γυμνάσιον φιλοσοφίας, ἀγγελικοῦ βίου μίμημα. Ἀκούσατε, ὅσοι πένεσθε, τούτων, μᾶλλον δὲ καὶ ὅσοι πλουτεῖν ἐπιθυμεῖτε. Οὐ τὸ πένεσθαι δεινόν, ἀλλὰ τὸ μὴ βούλεσθαι πένεσθαι. Μηδὲν δεινὸν νόμιζε εἶναι πενίαν, καὶ οὐκ ἔσται σοι δεινόν. Οὐδὲ γὰρ ἐν τῇ φύσει τοῦ πράγματος, ἀλλ' ἐν τῇ κρίσει τῶν μαλακοψύχων ἀνδρῶν τοῦτό ἐστι τὸ δέος. Μᾶλλον δὲ καὶ αἰσχύνομαι, εἰ τοσοῦτον ὑπὲρ πενίας ἔχοιμι λέγειν, ὅτι οὐδέν ἐστι δεινόν· ἐὰν γὰρ φιλοσοφῇς, καὶ μυρίων ἀγαθῶν ἔσται σοι πηγή. Καὶ εἴ τίς σοι ἀρχήν, καὶ πολιτικὰς δυνάμεις, καὶ πλοῦτον, καὶ τρυφὴν προετίθει, εἶτα τὴν πενίαν ἀντιτιθείς, αἵρεσιν ἐδίδου λαβεῖν ὅπερ ἤθελες, ταύτην ἂν εὐθέως ἥρπασας, εἴγε αὐτῆς ἔγνως τὸ κάλλος.

4. Καὶ οἶδα μὲν ὅτι πολλοὶ γελῶσι τούτων λεγομένων· ἀλλ' ἡμεῖς οὐ θορυβούμεθα· ἀλλὰ καὶ ὑμᾶς ἀξιοῦμεν ἀνασχέσθαι, καὶ ταχέως ἡμῖν ψηφιεῖσθε. Ἐμοὶ γὰρ ἡ πενία κόρη

μεθα. Ἑπομένως, ἐὰν σοῦ ὑποσχεθῶμεν τὴν ἐξασφάλισιν αὐτήν, θὰ παύσῃς νὰ πλουτίζῃς; Διότι ἐὰν ὁ πλοῦτος γίνεται ἀξιαγάπητος δι' αὐτό, ἐὰν εἶναι δυνατὸν χωρὶς αὐτὸν νὰ ἔχῃς ἀσφάλειαν, ποία ἡ ἀνάγκη αὐτοῦ;

Καὶ πῶς εἶναι δυνατόν, λέγει, χωρὶς νὰ πλουτίσῃς νὰ τὰ ἐπιτύχῃς αὐτά; Πῶς ὅμως εἶναι δυνατὸν (διότι ἐγὼ θὰ σοῦ εἰπῶ τὸ ἀντίθετον) νὰ πλουτίσῃς; Διότι διὰ νὰ πλουτίσῃς εἶναι ἀνάγκη καὶ νὰ κολακεύῃς πολλούς, ἄρχοντας καὶ ἀρχομένους, καὶ νὰ παρακαλῇς μυρίους, καὶ νὰ ὑπηρετῇς ταπεινά, καὶ νὰ φοβῆσαι καὶ νὰ τρέμῃς καὶ νὰ ὑποψιάζεσαι τὰ μάτια τῶν φθονερῶν, καὶ νὰ φοβῆσαι τὰ στόματα τῶν συκοφαντῶν καὶ τὰς ἐπιθυμίας τῶν ἄλλων φιλαργύρων.

Ἡ πενία ὅμως δὲν εἶναι τέτοια, ἀλλ' ἐντελῶς ἀντίθετος. Εἶναι τόπος ἀσύλητος καὶ ἀσφαλής, λιμὴν γαλήνιος, παλαίστρα καὶ γυμναστήριον καρτερίας, ὁμοίωμα ἀγγελικοῦ βίου. Ἀκούσατέ τα αὐτὰ ὅσοι εἶσθε πτωχοί, ἢ μᾶλλον καὶ ὅσοι ἐπιθυμεῖτε νὰ πλουτίσετε. Δὲν εἶναι κακὸν νὰ εἶσθε πτωχοί, ἀλλὰ τὸ νὰ μὴ θέλετε νὰ εἶσθε πτωχοί. Μὴ πιστεύῃς ὅτι ἡ πτωχία εἶναι κακὸν καὶ δὲν θὰ σοῦ εἶναι κακόν. Ἄλλωστε ὁ φόβος αὐτὸς δὲν εὑρίσκεται εἰς τὴν φύσιν τῆς πτωχείας, ἀλλὰ εἰς τὴν ἰδέαν τῶν ἀνθρώπων ποὺ ἔχουν ἀσθενικὴν ψυχήν. Μᾶλλον ἐντρέπομαι ποὺ πρέπει νὰ εἰπῶ τόσα διὰ τὴν πενίαν, διότι δὲν εἶναι καθόλου κακόν. Διότι ἐὰν εἶσαι ὑπομονητικός, θὰ σοῦ γίνεται καὶ πηγὴ μυρίων ἀγαθῶν. Ἐὰν δὲ κάποιος σοῦ παρέθετε ἀπὸ τὸ ἕνα μέρος ἐξουσίαν, πολιτικὴν δύναμιν καὶ πλοῦτον καὶ ἀπολαύσεις, καὶ ἀπὸ τὸ ἄλλο μέρος τὴν πτωχείαν, καὶ σοῦ ἔδινε τὸ δικαίωμα νὰ πάρῃς ἐκεῖνο τὸ ὁποῖον ἤθελες, θὰ ἥρπαζες ἀμέσως αὐτήν, ἐὰν βεβαίως ἐγνώριζες τὸ κάλλος της.

4. Καὶ γνωρίζω μὲν ὅτι πολλοὶ γελοῦν καθὼς λέγονται αὐτά· ἀλλὰ ἐμεῖς δὲν θορυβούμεθα· ἀλλὰ καὶ σεῖς ἀπαιτοῦμεν νὰ δείξετε ὑπομονὴν καὶ θὰ συμφωνήσετε μαζί μας γρήγορα. Διότι ἐμένα μοῦ φαίνεται ὅτι ἡ πτωχεία ὁμοιάζει μὲ

τινὶ κοσμίῳ καὶ καλῇ καὶ εὐειδεῖ προσεοικέναι δοκεῖ· ἡ δὲ φιλαργυρίᾳ θηριομόρφῳ γυναικί, Σκύλλῃ τινὶ καὶ Ὕδρᾳ, καὶ ἑτέροις τισὶ τοιούτοις τέρασι παρὰ μυθοποιῶν πλαττομένοις. Μὴ γάρ μοι τοὺς κατηγοροῦντας τῆς πενίας ἐνέγκῃς εἰς μέσον, ἀλλὰ τοὺς δι' αὐτῆς λάμψαντας. Μετὰ ταύτης Ἠλίας τραφείς, ἡρπάγη τὴν μακαρίαν ἐκείνην ἁρπαγήν· μετὰ ταύτης Ἐλισσαῖος ἔλαμψε· μετὰ ταύτης Ἰωάννης, μετὰ ταύτης οἱ ἀπόστολοι πάντες· μετὰ δὲ ἐκείνης, ὁ Ἀχαάβ, ἡ Ἰεζάβελ, ὁ Γιεζῆ, ὁ Ἰούδας, ὁ Νέρων, ὁ Καϊάφας κατεκρίθησαν.

Ἀλλ' εἰ δοκεῖ, μὴ τοὺς ἐν πενίᾳ λάμψαντας μόνον ἴδωμεν, ἀλλὰ καὶ αὐτὸ τῆς κόρης ταύτης τὸ κάλλος ἐπισκεψώμεθα. Καὶ γὰρ ὁ ὀφθαλμός ἐστιν αὐτῇ καθαρὸς καὶ διειδής, οὐδὲν ἔχων θολερόν, καθάπερ ὁ τῆς φιλαργυρίας, νῦν μὲν θυμοῦ γέμων, νῦν δὲ ἡδονῆς ἐμπεπλησμένος, νῦν δὲ ἀπὸ ἀκρασίας τεταραγμένος. Ἀλλ' οὐχ ὁ τῆς πενίας τοιοῦτος, ἀλλ' ἥμερος, γαληνός, ἡδὺ πρὸς πάντας βλέπων, μειλίχιος, προσηνής, οὐδένα μισῶν, οὐδένα ἀποστρεφόμενος. Ὅπου γὰρ χρήματα, ἐκεῖ ἔχθρας ὑπόθεσις, καὶ μυρίων πολέμων.

Στόμα πάλιν ἐκείνῃ μὲν ὕβρεων γέμει, τύφου τινός, ἀλαζονείας πολλῆς, ἀρᾶς, δόλου· ταύτῃ δὲ καὶ στόμα καὶ γλῶσσα ὑγιής, εὐχαριστίας γέμουσα διηνεκοῦς, εὐλογίας, προσηνῶν ῥημάτων, φιλοστόργων, θεραπευτικῶν, ἐπαίνων, ἐγκωμίων. Εἰ δὲ καὶ τὴν ἀναλογίαν ἐθέλοις αὐτῆς ἰδεῖν τῶν μελῶν, εὐμήκης τέ ἐστι καὶ ὑψηλοτέρα πολὺ τῆς εὐπορίας. Εἰ δὲ φεύγουσιν αὐτὴν πολλοί, μὴ θαυμάσῃς· καὶ γὰρ καὶ τὴν ἄλλην ἀρετὴν οἱ ἀνόητοι.

Ἀλλ' ὑβρίζεται, φησίν, ὁ πένης παρὰ τοῦ πλουτοῦντος. Πάλιν μοι τῆς πενίας τὸ ἐγκώμιον λέγεις. Τίς γάρ, εἰπέ μοι,

---

3. Θαλάσσιον τέρας τῆς ἑλληνικῆς μυθολογίας.
4. Δράκων μὲ ἐννέα, κατὰ τὴν ἐπικρατεστέραν παράδοσιν, κεφαλάς, ὁ ὁποῖος ἐνεφώλευεν εἰς τὰ ἕλη τῆς Λέρνης ΝΑ τοῦ Ἄργους.

κόρην κοσμίαν καὶ ὡραίαν καὶ εὐειδῆ· ἡ δὲ φιλαργυρία μὲ γυναῖκα θηριόμορφον, μὲ κάποιαν Σκύλλαν[3] καὶ Ὕδραν[4] καὶ μὲ μερικὰ ἄλλα παρόμοια τέρατα, ποὺ ἔχουν ἐπινοήσει οἱ μυθοπλάσται. Μὴ μοῦ ἀναφέρῃς δὲ ἐκείνους ποὺ κατηγοροῦν τὴν πτωχείαν, ἀλλὰ ἐκείνους οἱ ὁποῖοι διέπρεψαν μὲ αὐτήν. Μὲ αὐτὴν ἀφοῦ ἐτράφη ὁ Ἠλίας ὑπέστη τὴν εὐτυχισμένην ἐκείνην ἁρπαγήν. Μὲ αὐτὴν ἔλαμψεν ὁ Ἐλισσαῖος· μὲ αὐτὴν ὁ Ἰωάννης· μὲ αὐτὴν ὅλοι οἱ ἀπόστολοι. Μὲ ἐκείνην δὲ κατεκρίθησαν ὁ Ἀχαάβ, ἡ Ἰεζάβελ, ὁ Γιεζῆ, ὁ Ἰούδας, ὁ Νέρων, ὁ Καϊάφας.

Ἐὰν ὅμως θέλῃς, ἂς μὴ μείνωμεν εἰς ἐκείνους μόνον ποὺ διέλαμψαν μὲ τὴν πενίαν, ἀλλὰ ἂς ἐξετάσωμεν καὶ τὸ κάλλος τῆς κόρης αὐτῆς. Διότι πράγματι καὶ ὀφθαλμοὺς ἔχει καθαροὺς καὶ διαυγεῖς, χωρὶς τίποτε τὸ θολόν, ὅπως ἀντιθέτως οἱ ὀφθαλμοὶ τῆς φιλαργυρίας ἄλλοτε μὲν εἶναι γεμᾶτοι θυμόν, ἄλλοτε δὲ πλήρεις ἡδονῆς καὶ ἄλλοτε ταραγμένοι ἀπὸ τὴν ἀκράτειαν. Ἐνῷ τῆς πτωχείας οἱ ὀφθαλμοὶ δὲν εἶναι τέτοιοι, ἀλλ' εἶναι ἥμεροι κοὶ γαλήνιοι, βλέπουν πρὸς ὅλους μὲ γλυκύτητα, εἶναι μειλίχιοι καὶ καταδεκτικοί, δὲν μισοῦν κανένα καὶ δὲν ἀποστρέφονται κανένα. Διότι ὅπου ὑπάρχουν χρήματα, ἐκεῖ ὑπάρχει αἰτία ἔχθρας καὶ ἀπείρων πολέμων.

Τὸ στόμα πάλιν ἐκείνης μὲν εἶναι γεμᾶτον ἀπὸ ὕβρεις, ἀπὸ κάποιαν ἔπαρσιν, ἀπὸ πολλὴν ἀλαζονείαν, ἀπὸ κατάραν καὶ δόλον. Ἐνῷ εἰς αὐτὴν καὶ τὸ στόμα καὶ ἡ γλῶσσα εἶναι ὑγιὴς καὶ γεμάτη ἀπὸ διαρκῆ εὐχαριστίαν καὶ εὐλογίαν, ἀπὸ λόγια καταδεκτικά, στοργικὰ καὶ ἐξυπηρετικά, ἀπὸ ἐπαίνους καὶ ἐγκώμια. Ἐὰν δὲ θέλῃς νὰ ἰδῇς καὶ τὴν ἀναλογίαν τῶν μελῶν της, εἶναι ἀξιόλογος καὶ πολὺ πιὸ ὑψηλὴ ἀπὸ τὴν εὐπορίαν. Ἐὰν δὲ τὴν ἀποφεύγουν οἱ περισσότεροι, μὴ ἀπορῇς, διότι καὶ τὰς ἄλλας ἀρετὰς τὰς ἀποφεύγουν οἱ ἀνόητοι.

Ἀλλὰ ὁ πτωχός, λέγει, περιφρονεῖται ἀπὸ τὸν πλούσιον. Πάλιν μοῦ ἀναφέρεις τὸ ἐγκώμιον τῆς πτωχείας. Διότι

μακάριος, ὁ ὑβρίζων, ἢ ὁ ὑβριζόμενος; Δῆλον ὡς ὁ ὑβριζόμενος. Οὐκοῦν ἐκείνη μὲν ὑβρίζειν κελεύει ἡ φιλαργυρία· αὕτη δὲ φέρειν παραινεῖ ἡ πενία. Ἀλλὰ πεινᾷ ὁ πένης, φησί. Καὶ Παῦλος ἐπείνα, καὶ ἐν λιμῷ ἦν. Ἀλλ' οὐκ ἔχει ἀνάπαυσιν. Οὐδὲ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλῖναι.

Εἶδες οἷ προέβη τῆς πενίας τὰ ἐγκώμια καὶ ποῦ σε ἵστησι, πρὸς ποίους ἄνδρας ἀνάγει, καὶ πῶς τοῦ δεσπότου ποιεῖ μιμητήν; Εἰ καλὸν τὸ χρυσίον ἔχειν ἦν, τοῦτο ἂν ἔδωκε τοῖς μαθηταῖς ὁ Χριστός, ὁ τὰ ἀπόρρητα ἐκεῖνα δοὺς ἀγαθά. Νυνὶ δὲ οὐ μόνον οὐκ ἔδωκεν, ἀλλὰ καὶ ἔχειν ἀπηγόρευσε. Διὸ καὶ ὁ Πέτρος οὐ μόνον καταδύεται πενίᾳ, ἀλλὰ καὶ σεμνύνεται λέγων· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι», φησί. Τίς οὐκ ἂν ἠθέλησεν ὑμῶν ῥῆξαι ταύτην τὴν φωνήν; Καὶ σφόδρα μὲν οὖν ἅπαντες, ἴσως εἴποι τις ἄν.

Οὐκοῦν ῥῖψον τὸ ἀργύριον, ῥῖψον τὸ χρυσίον. Καὶ ἐὰν ῥίψω, φησί, λήψομαι τὴν δύναμιν Πέτρου; Τί γὰρ Πέτρον μακάριον ἐποίησεν, εἰπέ μοι; ἆρα τὸ χωλὸν ἐγεῖραι; Οὐδαμῶς· ἀλλὰ τὸ μὴ ταῦτα ἔχειν, τοῦτο αὐτῷ τὸν οὐρανὸν προεξένησε. Τῶν μὲν γὰρ ταῦτα ἐργασαμένων πολλοὶ εἰς γέενναν ἐνέπεσον· οἱ δὲ ἐκεῖνα ποιήσαντες βασιλείας ἐπέτυχον. Καὶ τοῦτο καὶ ἐξ αὐτοῦ τοῦ Πέτρου μάνθανε. Δύο γὰρ ἦν ἃ εἴρηκεν· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι»· καί, Ἐν «τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει». Ποῖον οὖν αὐτὸν ἐποίησε λαμπρὸν καὶ μακάριον, τὸ ἐγεῖραι τὸν χωλὸν ἢ τὸ ῥῖψαι τὰ χρήματα; Καὶ ταῦτα παρ' αὐτοῦ τοῦ ἀγωνοθέτου παιδεύου.

Τί οὖν αὐτός φησι τῷ πλουσίῳ ζητοῦντι τὴν αἰώνιον ζωήν; Οὐκ εἶπεν, ἔγειρον χωλούς· ἀλλά, «Πώλησόν σου τὰ ὑ-

---

5. Πράξ. 3,6.

εἰπέ μου, ποῖος εἶναι εὐτυχής: Ἐκεῖνος ποὺ περιφρονεῖ ἢ ἐκεῖνος ποὺ περιφρονεῖται; Εἶναι φανερὸν ὅτι ἐκεῖνος ποὺ περιφρονεῖται. Λοιπὸν ἐκείνη μὲν ἡ φιλαργυρία διατάσσει νὰ περιφρονῇ, ἐνῷ αὐτὴ προτρέπει νὰ ὑπομένωμεν. Ἀλλὰ ὁ πτωχός, λέγει, πεινᾷ. Καὶ ὁ Παῦλος ἐπεινοῦσε καὶ εὑρίσκετο εἰς λιμόν. Ἀλλὰ δὲν εἶχεν ἀνάπαυσιν. Οὔτε ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν εἶχε ποῦ νὰ γείρῃ τὴν κεφαλήν του.

Εἶδες εἰς ποῖον σημεῖον ἔφθασαν τὰ ἐγκώμια τῆς πτωχείας καὶ ποῦ σὲ τοποθετοῦν; κοντὰ εἰς ποίους ἄνδρας σὲ ἀναβιβάζουν καὶ σὲ κάνουν μιμητὴν τοῦ Δεσπότου; Ἐὰν ἦτο καλὴ ἡ κτῆσις χρυσοῦ, θὰ τὸν ἔδινεν εἰς τοὺς μαθητάς Του ὁ Χριστός, ὁ ὁποῖος τοὺς ἔδωσεν ἐκεῖνα τὰ ἄρρητα ἀγαθά. Ἐνῷ τώρα, ὄχι μόνον δὲν τοὺς ἔδωσεν, ἀλλὰ καὶ τοὺς ἀπηγόρευσε νὰ ἔχουν. Δι' αὐτὸ καὶ ὁ Πέτρος ὄχι μόνον βυθίζεται εἰς τὴν πενίαν, ἀλλὰ καὶ ὑπερηφανεύεται λέγων· «Ἀργύριον καὶ χρυσάφι δὲν ἔχω· ἐκεῖνο δὲ ποὺ ἔχω, αὐτὸ σοῦ δίνω»[5]. Ποῖος ἀπὸ σᾶς δὲν θὰ ἤθελε νὰ ὁμιλήσῃ μὲ αὐτὰς τὰς λέξεις; Ἀσφαλῶς ὅλοι καὶ πάρα πολὺ μάλιστα, θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς.

Λοιπὸν ρίψε τὸ ἀργύριον, ρίψε τὸ χρυσάφι. Καὶ ἐὰν τὰ ρίψω, λέγει, θὰ ἀποκτήσω τὴν δύναμιν τοῦ Πέτρου; Εἰπέ μου, ὅμως, τί ἔκανε τὸν Πέτρον εὐτυχῆ; Ἆρά γε ἐπειδὴ ἐθεράπευσε τὸν χωλόν; Ὄχι· ἀλλὰ τὸ ὅτι δὲν εἶχεν αὐτά, αὐτὸ τοῦ ἐξησφάλισε τὸν οὐρανόν. Διότι ἄλλοι μὲν ἀπὸ ἐκείνους ποὺ ἔκαναν αὐτὰ ἔπεσαν εἰς τὴν γέενναν τοῦ πυρός, ἄλλοι δὲ ἀπὸ αὐτοὺς ποὺ ἔκαναν αὐτά, ἐπέτυχαν τὴν βασιλείαν. Αὐτὸ δὲ μάθε το καὶ ἀπὸ αὐτὸν τὸν Πέτρον. Διότι δύο ἦσαν ἐκεῖνα ποὺ εἶπεν· «ἀργύριον καὶ χρυσάφι δὲν ἔχω», καὶ «εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σήκω καὶ περπάτησε». Ποῖον λοιπὸν τὸν ἔκαμεν ἔνδοξον καὶ μακάριον; Ἡ θεραπεία τοῦ χωλοῦ, ἢ ἡ ἀπόρριψις τῶν χρημάτων; Καὶ αὐτὰ διδάξου ἀπὸ τὸν ἴδιον τὸν ἀγωνοθέτην.

Τί λέγει λοιπὸν Αὐτὸς εἰς τὸν πλούσιον ὁ ὁποῖος ἐζήτει τὴν αἰώνιον ζωήν; Δὲν εἶπεν 'θεράπευε χωλούς', ἀλλὰ

πάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς». Καὶ ὁ Πέτρος δὲ πάλιν οὐκ εἶπεν, ἰδοὺ ἐν τῷ ὀνόματί σου ἐκβάλλομεν δαίμονας· καίτοι ἦν ἐκβάλλων· ἀλλ', «Ἰδοὺ ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἔσται ἡμῖν;». Καὶ ὁ Χριστὸς πάλιν πρὸς τοῦτον ἀποκρινόμενος, οὐκ εἶπεν, ἐάν τις χωλὸν ἐγείρῃ· ἀλλ', «Ὅστις ἀφῆκεν οἰκίας καὶ ἀγρούς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει».

Καὶ ἡμεῖς οὖν τοῦτον ζηλώσωμεν, ἵνα μὴ καταισχυνθῶμεν, ἀλλὰ ἵνα μετὰ παρρησίας παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ, ἵνα αὐτὸν ἐπισπασώμεθα εἶναι μεθ' ἡμῶν, ὡς καὶ μετὰ τῶν μαθητῶν ἦν. Ἔσται γὰρ μεθ' ἡμῶν, καθάπερ καὶ μετ' ἐκείνων ἦν, ἐὰν θέλωμεν ἐκείνους μιμήσασθαι, καὶ ζηλωταὶ γενέσθαι τοῦ βίου καὶ τῆς πολιτείας αὐτῶν. Ἀπὸ τούτων γὰρ καὶ ὁ Θεὸς στεφανοῖ καὶ ἀνακηρύττει, οὐκ ἀπαιτῶν σε νεκρὸν ἐγεῖραι, οὐδὲ χωλὸν διορθῶσαι. Οὐ γὰρ ταῦτα ποιεῖ κατὰ Πέτρου γενέσθαι, ἀλλὰ τὸ ῥῖψαι τὰ ὄντα· τοῦτο γὰρ τοῦ ἀποστόλου τὸ κατόρθωμα.

Ἀλλ' οὐ δύνασαι ῥῖψαι; Μάλιστα μὲν δυνατόν· πλὴν οὐκ ἀναγκάζω, εἰ μὴ βούλει, οὐδὲ βιάζομαι· ἀλλ' ἐκεῖνο παρακαλῶ, κἂν κατὰ μέρος ἀναλίσκειν τοῖς δεομένοις, καὶ μηδὲν πλέον τῆς χρείας ἐπιζητεῖν. Οὕτω γὰρ καὶ ἐνταῦθα ἀπράγμονα βιωσόμεθα βίον καὶ ἀσφαλῆ, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαύσομεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Λουκ. 18, 22 καὶ Μάρκ. 10, 21.
7. Ματθ. 19, 27.
8. Αὐτόθι 29.

«Πώλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε τα εἰς τοὺς πτωχοὺς καὶ ἀκολούθησέ με· καὶ θὰ ἔχῃς θησαυρὸν εἰς τοὺς οὐρανούς»[6]. Ἀλλὰ καὶ ὁ Πέτρος ἐπίσης δὲν εἶπε 'νά, εἰς τὸ ὄνομά Σου ἐκβάλλομεν δαίμονας', ἂν καὶ ἐξέβαλλεν, ἀλλὰ «Νά, τὰ ἀφήσαμεν ὅλα καὶ σὲ ἀκολουθήσαμεν· τί θὰ κερδήσωμεν;»[7]. Καὶ ὁ Χριστὸς πάλιν ἀπαντῶν πρὸς αὐτόν, δὲν εἶπεν 'ἐὰν κανεὶς σηκώσῃ χωλόν', ἀλλὰ «Ὅποιος ἄφησε σπίτια καὶ ἀγρούς, θὰ τὰ πάρῃ ἑκατονταπλάσια εἰς τὸν κόσμον αὐτὸν καὶ θὰ κληρονομήσῃ τὴν αἰώνιον ζωήν»[8].

Καὶ ἐμεῖς λοιπὸν ἂς μιμηθοῦμεν Αὐτόν, διὰ νὰ μὴ ἐντροπιασθῶμεν, ἀλλὰ νὰ ἐμφανισθῶμεν μὲ θάρρος εἰς τὸ βῆμα τοῦ Χριστοῦ, διὰ νὰ Τὸν ἑλκύσωμεν νὰ εὑρίσκεται μαζί μας, ὅπως ἦτο καὶ μαζὶ μὲ τοὺς μαθητάς. Διότι θὰ εἶναι καὶ μαζί μας, ὅπως ἦτο καὶ μὲ ἐκείνους, ἐὰν θελήσωμεν νὰ μιμηθῶμεν ἐκείνους καὶ νὰ γίνωμεν θαυμασταὶ τοῦ βίου καὶ τῆς πολιτείας των. Διότι ἀπὸ αὐτὰ καὶ ὁ Θεὸς στεφανώνει καὶ ἀνακηρύσσει τοὺς νικητάς, χωρὶς νὰ ἀπαιτεῖ νὰ ἀναστήσῃς νεκρόν, ἢ νὰ θεραπεύσῃς χωλόν. Διότι δὲν συντελοῦν αὐτὰ νὰ γίνωμεν ὅπως ὁ Πέτρος, ἀλλὰ ἡ ἀπόρριψις τῶν ὑπαρχόντων· διότι αὐτὸ ἦτο τὸ κατόρθωμα τοῦ ἀποστόλου.

Ἀλλὰ δὲν ἠμπορεῖς νὰ τὰ ἀπορρίψῃς; Εἶναι πάρα πολὺ εὔκολον, ἀλλὰ δὲν σὲ ἀναγκάζω, ἐὰν δὲν θέλῃς, οὔτε σὲ βιάζω· ἀλλὰ σὲ παρακαλῶ μόνον τοῦτο, νὰ ἐξοδεύῃς ἕνα μέρος ἀπὸ ἐκεῖνα ποὺ χρειάζονται καὶ νὰ μὴ ἐπιζητῇς τίποτε περισσότερον ἀπὸ ὅσα εἶναι ἀνάγκη. Ἔτσι καὶ ἐδῶ θὰ ζήσωμεν ζωὴν ἥσυχον καὶ ἀσφαλῆ, καὶ τὴν αἰώνιον ζωὴν θὰ ἀπολαύσωμεν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἐμεῖς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις, μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα καὶ τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ

ΕΙΣΑΓΩΓΗ

Ἡ χειρόγραφος παράδοσις διετήρησεν 88 ὁμιλίας τοῦ Ἰωάννου Χρυσοστόμου εἰς τὸ εὐαγγέλιον τοῦ Ἰωάννου, αἱ ὁποῖαι καλύπτουν ὅλην τὴν ἔκτασιν αὐτοῦ ἀπὸ τῆς ἀρχῆς μέχρι τοῦ τέλους, πλὴν τῶν διηγήσεων περὶ τοῦ ἐπεισοδίου τῆς μοιχαλίδος (7, 53 - 8, 11), ἡ ὁποία τότε δὲν συμπεριελαμβάνετο εἰς αὐτό.

Δὲν εἶναι βέβαιον ποία εἶναι ἡ χρονικὴ σχέσις τῶν ὁμιλιῶν αὐτῶν μὲ τὰς εἰς τὸ εὐαγγέλιον τοῦ Ματθαίου, ἀλλὰ θὰ ἠδυνάμεθα νὰ εἴπωμεν ὅτι προηγήθησαν καὶ ὅτι ἐξεφωνήθησαν ἀμέσως μετὰ τὰς ὁμιλίας περὶ ἀκαταλήπτου, μὲ τὰς ὁποίας ἔχουν κοινὴν τὴν τάσιν. Ἐν τοιαύτῃ περιπτώσει δυνατὸν νὰ ἐξεφωνήθησαν κατὰ τὰ ἔτη 387—389, ἂν καὶ ὑφίσταται τὸ ἐνδεχόμενον νὰ ἐξεφωνήθησαν καὶ ἔπειτα ἀπὸ ἐκείνας, πάντως πρὸ τοῦ 394. Συμφώνως μὲ ἐσωτερικὴν μαρτυρίαν (25, 1) ὁ Χρυσόστομος ὡμίλει τότε δύο φορὰς τὴν ἑβδομάδα, ἀλλὰ δὲν εἶναι δυνατὸν τοῦτο νὰ συνέβαινε πάντοτε, καὶ διὰ τοῦτο ὑπολογίζομεν ὅτι αὗται ἐκάλυψαν δύο ἢ καὶ τρία ἔτη. Ἡ ἐκφώνησίς των ἐγίνετο τὸ πρωΐ, «ὑπὸ τὴν ἕω» (18, 2. 31, 5), διὰ νὰ δίδεται ἡ εὐκαιρία εἰς τοὺς ἀκροατὰς νὰ μεταβαίνουν ἐγκαίρως εἰς τὰς ἐργασίας των. Εἶναι ἄλλωστε συντομώτεραι εἰς τὴν ἔκτασιν ἀπὸ τὰς ὁμιλίας εἰς τὸν Ματθαῖον καὶ συνήθως καταλαμβάνουν χρόνον ἑνὸς τετάρτου τῆς ὥρας μόνον.

Ἡ πρώτη ὁμιλία εἶναι εἰσαγωγικὴ καὶ ζητεῖ ἀπὸ τοὺς ἀκροατὰς προετοιμασίαν τοῦ λογισμοῦ κατάλληλον, ἠθικὴν καὶ πνευματικήν, διὰ νὰ παρακολουθοῦν τὴν ἑρμηνείαν ἀξίως. Οἱ πολλοὶ τρέχουν εἰς τὰ στάδια διὰ νὰ ἴδουν διασήμους ἀθλητὰς νὰ ἀνταγωνίζωνται μεταξύ των, οἱ ὀλίγοι σπεύδουν εἰς τὸν ρητορικὸν ἀγῶνα, διὰ νὰ θαυμάσουν τὴν τέχνην τοῦ λόγου. Τί ταιριάζει νὰ πράττουν ἀπέναντι εἰς τὸν πνευματικὸν ἀθλητήν,

τὸν Ἰωάννην, ὁ ὁποῖος βροντᾷ εἰς ὅλην τὴν οἰκουμένην τὸν λόγον περὶ τοῦ Χριστοῦ;

Μὲ ἁπλότητα καὶ σαφήνειαν, ἀλλ' ἐπίσης μὲ ἐμβρίθειαν καὶ δύναμιν, διεισδύει εἰς τὸ πνεῦμα τοῦ Ἰωάννου, ἀναλύει τὸν λόγον του καὶ τὸν καθιστᾷ προσιτὸν εἰς ὅλους. Ἀλλ' ὅμως παρουσιάζει τὰ νοήματα βαθμιαίως, λίγα λίγα, διὰ νὰ μὴ βαρυστομαχιάσουν οἱ ἀκροαταὶ μὲ τὸ πλούσιον συμπόσιον· «Κατὰ μέρος ὑμᾶς τοῖς ἀπὸ τῶν Γραφῶν ἑστιῶμεν νοήμασι καὶ οὐκ ἀθρόον πάντα ἐκχέομεν, ἵνα ῥάδιον τῶν ἀεὶ καταβαλλομένων ὑμῖν ἡ φυλακὴ γίνεται» (7, 1).

Διὰ τοῦτο, κατὰ τὴν τακτικὴν παιδαγωγικὴν συνήθειαν τοῦ Χρυσοστόμου, ἡ ἔκθεσις τῶν θεμάτων τῆς πίστεως, κατὰ τὴν γραμμὴν τοῦ Ἰωάννου, ἐναλλάσσεται μὲ τὴν ἐξέτασιν θεμάτων ἀναφερομένων εἰς τοὺς κανόνας τοῦ βίου καὶ τὸ ἦθος. Ἀλλ' ὁπωσδήποτε ἡ διδακτικὴ τάσις τοῦ Χρυσοστόμου εἶναι ἐδῶ ὀλιγώτερον ἔντονος, διὰ νὰ παραχωρήσῃ τὴν θέσιν της εἰς δογματικὰς διατυπώσεις καὶ τὴν προβολὴν ἀντιρρήσεων εἰς τὰς ἀπόψεις τῶν Ἀνομοίων, τῶν ἀρνουμένων τὴν θεότητα τοῦ Λόγου.

Σκοπὸς τῆς τοιαύτης ἑρμηνείας τοῦ εὐαγγελίου εἶναι νὰ δειχθῇ ὁ τρόπος κατὰ τὸν ὁποῖον οἱ ἄνθρωποι δύνανται νὰ καταστοῦν ἰσάγγελοι (2, 14). Τὰ πλήθη παρηκολούθουν μὲ ζῆλον τὰς ὁμιλίας καὶ ὁ Χρυσόστομος παρουσιάζεται εὐχαριστημένος διὰ τὸν ζῆλον των.

ΟΜΙΛΙΑ Α΄.

1. Οἱ τῶν ἀγώνων τῶν ἔξωθεν θεαταί, ὅταν τινὰ γενναῖον ἀθλητὴν καὶ στεφανίτην ποθὲν ἥκοντα μάθωσι, συντρέχουσιν ἅπαντες, ὥστε ἰδεῖν αὐτοῦ τὰ παλαίσματα, καὶ τὴν τέχνην καὶ τὴν ἰσχὺν ἅπασαν· καὶ ἴδοις ἂν ὁλόκληρον θέατρον μυριάδων πολλῶν, πάντας ἐκεῖ καὶ τοὺς τοῦ σώματος καὶ τοὺς τῆς διανοίας συντείνοντας ὀφθαλμούς, ὥστε μηδὲν αὐτοὺς τῶν γινομένων παραδραμεῖν.

Καὶ μουσικὸς δὲ εἴ τις θαυμαστὸς ἐπιδημήσειε, πάλιν ὁμοίως οἱ αὐτοὶ δὴ οὗτοι πληροῦσι τὸ θέατρον, καί, πάντα ἀφέντες τὰ ἐν χερσίν, ἀναγκαῖα πολλάκις ὄντα καὶ κατεπείγοντα, ἀναβάντες κάθηνται, μετὰ πολλῆς τῆς σπουδῆς τῶν ᾠδῶν καὶ τῶν κρουσμάτων ἀκούοντες, καὶ τὴν ἀμφοτέρων βασανίζοντες συμφωνίαν.

Καὶ ταῦτα μὲν οἱ πολλοί. Οἱ δὲ ῥητορικῶν ἔμπειροι λόγων, καὶ αὐτοὶ πάλιν ἐπὶ τῶν σοφιστῶν τὸ αὐτὸ τοῦτο πράττουσιν· ἔστι γὰρ καὶ τούτοις θέατρα, καὶ ἀκροαταί, καὶ κρότοι, καὶ ψόφος, καὶ βάσανος τῶν λεγομένων ἐσχάτη. Εἰ δὲ ῥητορικῶν αὐλητικῶν τε καὶ ἀθλητικῶν ἀνδρῶν, τῶν μὲν θεαταί, τῶν δὲ ὁμοῦ θεωρηταὶ καὶ ἀκροαταὶ μετὰ τοσαύτης κάθηνται τῆς προθυμίας, πόσην ἡμῖν καὶ σπουδὴν καὶ προθυμίαν ἂν εἴητε δίκαιοι παρασχεῖν, οὐκ αὐλητικοῦ τινος, οὐδὲ σοφιστικοῦ νῦν εἰς ἀγῶνα καθιέντος, ἀλλ᾽ ἀνδρὸς ἀπὸ τῶν οὐρανῶν φθεγγομένου, καὶ βροντῆς λαμπροτέραν ἀφιέντος φωνήν; πᾶσαν γὰρ τὴν οἰκουμένην ἐπέσχε, καὶ κατέ-

ΟΜΙΛΙΑ Α΄.

1. Οἱ θεαταὶ τῶν κοσμικῶν ἀγώνων, ὅταν μάθουν ὅτι ἔρχεται κάποιος γενναῖος ἀθλητὴς καὶ στεφανωμένος, τρέχουν ὅλοι μαζὶ διὰ νὰ ἰδοῦν τὰ κατορθώματα καὶ ὅλην τὴν τέχνην καὶ τὴν δύναμίν του. Καὶ θὰ ἠμποροῦσες νὰ ἰδῇς ὁλόκληρον θέατρον ἀπὸ πολλὰς μυριάδας, ὅλους νὰ ἔχουν προσηλωμένους καὶ τοὺς σωματικοὺς ἀλλὰ καὶ τοὺς πνευματικοὺς ὀφθαλμούς των ἐκεῖ, διὰ νὰ μὴ τοὺς διαφύγῃ τίποτε ἀπὸ ὅσα γίνονται.

Ἀλλὰ καὶ κάποιος μουσικὸς φημισμένος ἐὰν ἔλθῃ, καθ' ὅμοιον πάλιν τρόπον αὐτοὶ οἱ ἴδιοι γεμίζουν τὸ θέατρον καὶ ἀφοῦ ἐγκαταλείψουν ὅλα τὰ ἔργα των, ποὺ πολλὲς φορὲς εἶναι κατεπείγοντα καὶ ἀναγκαῖα, ἀνεβαίνουν καὶ κάθονται μὲ πολλὴν προθυμίαν διὰ νὰ ἀκούσουν τὰ ᾄσματα καὶ τοὺς μουσικοὺς τόνους, καὶ νὰ παρακολουθήσουν τὴν συμφωνίαν καὶ τῶν δύο.

Καὶ αὐτὰ μὲν κάμνουν οἱ πολλοί. Ἀλλὰ καὶ ὅσοι ἔχουν πεῖραν ἀπὸ ρητορικοὺς λόγους, καὶ αὐτοὶ πάλιν τὸ ἴδιον κάμνουν διὰ τοὺς σοφιστάς. Διότι ἔχουν καὶ αὐτοὶ θέατρα καὶ ἀκροατὰς καὶ κρότους καὶ θορύβους καὶ λεπτομερῆ ἐξέτασιν τῶν ὅσων λέγονται. Ἐὰν ὅμως τῶν ρητόρων καὶ τῶν τραγουδιστῶν καὶ τῶν ἀθλητῶν οἱ θεαταί, ἢ οἱ θεαταὶ καὶ ἀκροαταὶ μαζί, παρακολουθοῦν μὲ τόσην προθυμίαν, πόσην βιασύνην καὶ προθυμίαν θὰ ἔπρεπε νὰ δείξετε σεῖς δεδομένου ὅτι δὲν πρόκειται περὶ κανενὸς τραγουδιστοῦ ἢ σοφιστοῦ τώρα, ὁ ὁποῖος κάμνει ἐπίδειξιν, ἀλλὰ περὶ ἀνδρὸς ὁ ὁποῖος ὁμιλεῖ ἀπὸ τοὺς οὐρανοὺς καὶ βγάζει φωνὴν πιὸ εὔκρινῆ καὶ ἀπὸ βροντήν; Διότι ἐκάλυψεν ὁλόκληρον τὴν οἰκουμένην καὶ τὴν κατέκτησε καὶ τὴν ἐγέμισε μὲ τὴν βοήν,

λαβε, καὶ ἐνέπλησε τῇ βοῇ, οὐ τῷ μέγα ἀνακραγεῖν, ἀλλὰ τῷ μετὰ τῆς θείας χάριτος κινῆσαι τὴν γλῶτταν.

Καὶ τὸ δὴ θαυμαστόν, ὅτι, οὕτω μεγάλη οὖσα ἡ βοή, οὐκ ἔστι τραχεῖά τις, οὐδὲ ἀηδής, ἀλλὰ πάσης μουσικῆς ἁρμονίας ἡδίων καὶ ποθεινοτέρα, καὶ θέλξαι ἐπισταμένη πλέον, καὶ πρὸς τούτοις ἅπασιν ἁγιωτάτη καὶ φρικωδεστάτη, καὶ τοσούτων γέμουσα ἀπορρήτων, καὶ τοσαῦτα κομίζουσα ἀγαθά, ἃ τοὺς μετὰ ἀκριβείας καὶ προθυμίας λαβόντας καὶ διαφυλάττοντας οὐκ ἔνι λοιπὸν ἀνθρώπους εἶναι, οὐδὲ ἐπὶ τῆς γῆς μένειν, ἀλλ' ἀνωτέρω πάντων ἑστάναι τῶν βιωτικῶν, καί, πρὸς τὴν ἀγγελικὴν μεθαρμοσαμένους λῆξιν, καθάπερ τὸν οὐρανόν, οὕτω τὴν γῆν οἰκεῖν.

Ὁ γὰρ τῆς βροντῆς υἱός, ὁ ἀγαπητὸς τοῦ Χριστοῦ, ὁ στύλος τῶν κατὰ τὴν οἰκουμένην Ἐκκλησιῶν, ὁ τὰς κλεῖς ἔχων τοῦ οὐρανοῦ, ὁ τὸ ποτήριον τοῦ Χριστοῦ πιών, καὶ τὸ βάπτισμα βαπτισθείς, ὁ κατακλιθεὶς ἐπὶ τὸ στῆθος τὸ Δεσποτικὸν μετὰ παρρησίας πολλῆς, οὗτος ἡμῖν εἰσέρχεται νῦν, οὐ δρᾶμα ὑποκρινόμενος, οὐδὲ προσωπείῳ κρύπτων τὴν κεφαλὴν (οὐ γὰρ τοιαῦτα ἐρεῖ), οὐδὲ ἐπ' ὀκρίβαντος ἀναβαίνων, οὐδὲ ὀρχήστραν τῷ ποδὶ κατακρούων, οὐδὲ ἐσθῆτι κεκοσμημένος χρυσῇ, ἀλλ' εἰσέρχεται στολὴν ἔχων, ἀμήχανον ἔχουσαν κάλλος· τὸν γὰρ Χριστὸν ἐνδεδυμένος ἡμῖν φανεῖται, τοὺς πόδας ὑποδεδεμένος τοὺς ὡραίους ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, τὴν ζώνην οὐ περὶ τὸ στῆθος ἔχων, ἀλλὰ περὶ τὴν ὀσφύν, οὐκ ἀπὸ δέρματος φοινι-

1. Μάρκ. 3, 17.
2. Ἰω. 20, 2.
3. Γαλ. 2, 9.
4. Μάρκ. 10, 38-39.
5. Ἰω. 13, 25.

ὄχι ἐπειδὴ κραυγάζει δυνατά, ἀλλὰ ἐπειδὴ κινεῖ τὴν γλῶσσαν μὲ τὴν θείαν χάριν.

Καὶ τὸ ἀκόμη ἀξιοθαύμαστον εἶναι ὅτι, ἐνῷ ἡ βοὴ εἶναι τόσον μεγάλη, δὲν εἶναι καμμία ἀγρία καὶ ἀηδιαστική, ἀλλὰ εἶναι πιὸ γλυκεῖα καὶ ποθητὴ ἀπὸ κάθε μουσικὴν ἁρμονίαν καὶ γνωρίζει νὰ θέλγῃ περισσότερον. Καὶ μαζὶ μὲ ὅλα αὐτὰ εἶναι ἁγιωτάτη καὶ προκαλεῖ ἰσχυρὸν αἴσθημα δέους, καὶ εἶναι γεμάτη μὲ τόσον πολλὰ μυστήρια καὶ φέρει τόσον πολλὰ ἀγαθά, τὰ ὁποῖα ὅσοι τὰ δέχονται μὲ προθυμίαν καὶ τὰ διαφυλάσσουν μὲ προσοχήν, δὲν ἠμπορεῖ νὰ εἶναι πλέον ἄνθρωποι, οὔτε νὰ παραμένουν ἐπὶ τῆς γῆς, ἀλλὰ αἴρονται ὑπεράνω ὅλων τῶν βιωτικῶν πραγμάτων καὶ ἀφοῦ μεταβληθοῦν εἰς ἀγγέλους, κατοικοῦν εἰς τὴν γῆν, ὅπως καὶ εἰς τὸν οὐρανόν.

Διότι τώρα ἐμφανίζεται πρὸς χάριν μας «ὁ υἱὸς τῆς βροντῆς»[1], ὁ ἠγαπημένος μαθητὴς τοῦ Χριστοῦ[2], ὁ στύλος τῶν ἐκκλησιῶν ὅλης τῆς οἰκουμένης[3], αὐτὸς ποὺ κρατεῖ τὰ κλειδιὰ τοῦ οὐρανοῦ, αὐτὸς ποὺ ἔπιε τὸ ποτήριον τοῦ Χριστοῦ καὶ ἐβαπτίσθη τὸ βάπτισμά Του[4], αὐτὸς ποὺ μὲ πολὺ θάρρος ἔπεσεν εἰς τὸ στῆθος τοῦ Δεσπότου[5], χωρὶς νὰ παίζῃ δρᾶμα, οὔτε νὰ κρύπτῃ τὴν κεφαλήν του μὲ προσωπεῖον (διότι δὲν θὰ εἰπῇ τέτοια πράγματα), οὔτε νὰ ἀνεβαίνῃ ἐπάνω εἰς ὀκρίβαντα[6], οὔτε νὰ κτυπᾷ μὲ τὸ πόδι του τὴν ὀρχήστραν, οὔτε στολισμένος μὲ χρυσὸν ἔνδυμα, ἀλλὰ ἐμφανίζεται φορώντας στολὴν ποὺ ἔχει ἀπερίγραπτον ὡραιότητα. Διότι θὰ ἐμφανισθῇ εἰς ἐμᾶς ἐνδεδυμένος τὸν Χριστόν[7], θὰ ἔχῃ ὑποδήματα εἰς τὰ πόδια του τὰ ὡραῖα, ἕτοιμος διὰ τὸ Εὐαγγέλιον τῆς εἰρήνης[8], δὲν θὰ ἔχῃ τὴν ζώνην γύρω ἀπὸ τὸ στῆθος, ἀλλὰ γύρω ἀπὸ τὴν μέσην[9] καὶ θὰ εἶναι ὄχι ἀπὸ δέρμα τῆς Φοινίκης οὔτε μὲ ἐπένδυσιν

---

6. Τὸ λογεῖον τοῦ ἀρχαίου θεάτρου.
7. Γαλ. 3, 27.
8. Ρωμ. 10,15.
9. Λουκᾶ 12, 35.

κοῦ, οὐδὲ ἄνωθεν ἠλειμμένην χρυσῷ, ἀλλ᾽ ἀπὸ τῆς ἀληθείας ἐξυφασμένην καὶ συγκειμένην αὐτῆς.

Οὗτος ἡμῖν φανεῖται νῦν, οὐχ ὑπόκρισιν ἔχων· οὐδὲ γὰρ ὑπόκρισις παρ᾽ αὐτῷ, οὐδὲ πλάσμα καὶ μῦθος, ἀλλὰ γυμνῇ τῇ κεφαλῇ γυμνὴν ἀπαγγέλλει τὴν ἀλήθειαν, οὐχ ἕτερος μὲν ὤν, ἕτερα δὲ περὶ αὐτοῦ τοὺς ἀκούοντας πείθων τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ· οὐκ ὀργάνων πρὸς τὴν ἀπαγγελίαν δεόμενος, οἷον κιθάρας, ἢ λύρας, ἤ τινος τῶν τοιούτων ἑτέρου, ἀλλὰ πάντα τῇ γλώττῃ ἐργάζεται, παντὸς μὲν κιθαριστοῦ, πάσης δὲ μουσικῆς ἡδίω καὶ χρησιμωτέραν φωνὴν ἀφιείς.

Ἔστι δὲ αὐτῷ προσκήνιον μὲν ὁ οὐρανὸς ἅπας, θέατρον δὲ ἡ οἰκουμένη, θεαταὶ δὲ καὶ ἀκροαταὶ πάντες ἄγγελοι, καὶ ἀνθρώπων ὅσοιπερ ἄγγελοι τυγχάνουσιν ὄντες, ἢ καὶ γενέσθαι ἐπιθυμοῦσιν· οὗτοι γὰρ μόνοι ταύτης ἀκριβῶς ἐπακοῦσαι δύναιντ᾽ ἂν τῆς ἁρμονίας, καὶ ἐπὶ τῶν ἔργων αὐτὴν ἐπιδείξασθαι, καὶ ἀκροατὰς εἶναι, οἵους εἶναι χρή. Ὡς οἵ γε ἄλλοι πάντες, καθάπερ τὰ παιδία τὰ μικρά, ἀκούουσι μέν, οὐκ ἴσασι δέ, ἅπερ ἀκούουσιν, ἀλλὰ περὶ πλακοῦντας ἐπτόηνται καὶ ἀθύρματα παιδικά, οὕτω δὴ καὶ οὗτοι, γελῶντες, τρυφῶντες, καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ τῇ γαστρὶ ζῶντες, ἀκούουσι μὲν ἔσθ᾽ ὅτε τῶν εἰρημένων, μέγα δὲ οὐδὲν οὐδὲ ὑψηλὸν ἐπὶ τῶν ἔργων ἐνδείκνυνται τῷ καθάπαξ τῇ πλινθείᾳ καὶ τῷ πηλῷ προσηλοῦν ἑαυτούς.

Τούτῳ τῷ Ἀποστόλῳ αἱ ἄνωθεν δυνάμεις παρεστήκασιν, ἐκπληττόμεναι τὸ κάλλος αὐτοῦ τῆς ψυχῆς, καὶ τὴν σύνεσιν, καὶ τὴν ὥραν τῆς ἀρετῆς, δι᾽ ἧς καὶ αὐτὸν ἐπεσπάσατο τὸν Χριστόν, καὶ τὴν πνευματικὴν εἴληφε χάριν· καθάπερ γάρ τινα λύραν εὐάρμοστον καὶ λιθοκόλλητον, χρυ-

χρυσοῦ, ἀλλὰ θὰ εἶναι ὑφασμένη καὶ κατασκευασμένη μὲ τὴν ἀλήθειαν.

Θὰ ἐμφανισθῇ αὐτὸς εἰς ἐμᾶς τώρα, χωρὶς ἠθοποιΐαν, διότι δὲν ὑπάρχει εἰς αὐτὸν ὑποκρισία, οὔτε φαντασία, οὔτε μῦθος, ἀλλὰ μὲ ξεσκεπασμένην τὴν κεφαλήν του θὰ μᾶς ἀπαγγείλῃ τὴν ἀλήθειαν γυμνήν. Ὄχι ἄλλο νὰ εἶναι, καὶ νὰ προσπαθῇ νὰ πείσῃ ὅσους τὸν ἀκούουν μετὰ τὴν ἐμφάνισιν, μὲ τὸ βλέμμα καὶ μὲ τὴν φωνήν, ὅτι εἶναι ἄλλο, οὔτε νὰ χρειάζεται μουσικὰ ὄργανα διὰ τὴν ἀπαγγελίαν, ὅπως κιθάραν ἢ λύραν ἢ κάτι ἄλλο ἀπὸ αὐτά, ἀλλὰ κάμνει τὰ πάντα μὲ τὴν γλῶσσαν, βγάζοντας φωνὴν ποὺ εἶναι γλυκυτέρα ἀπὸ κάθε κιθαρῳδὸν καὶ μουσικὴν καὶ χρησιμωτέρα.

Ἔχει δὲ προσκήνιον μὲν ὁλόκληρον τὸν οὐρανόν, θέατρον δὲ τὴν οἰκουμένην, θεατὰς δὲ καὶ ἀκροατὰς ὅλους τοὺς ἀγγέλους καὶ ὅσους ἀπὸ τοὺς ἀνθρώπους συμβαίνει νὰ εἶναι ἄγγελοι ἢ ἐπιθυμοῦν νὰ γίνουν. Διότι μόνον αὐτοὶ θὰ ἠμποροῦσαν νὰ ἀκούσουν εὐκρινῶς καὶ μὲ προσοχὴν αὐτὴν τὴν ἁρμονίαν καὶ νὰ τὴν παρουσιάσουν εἰς τὰ ἔργα των καὶ νὰ εἶναι ἀκροαταὶ τέτοιοι ποὺ πρέπει. Ἐνῷ οἱ ἄλλοι ὅλοι, ὡσὰν τὰ μικρὰ παιδιά, ἀκούουν μέν, ἀλλὰ δὲν καταλαβαίνουν αὐτὰ τὰ ὁποῖα ἀκούουν, καὶ συγκινοῦνται ἀπὸ τὰ γλυκίσματα καὶ τὰ παιδικὰ παιγνίδια, ἔτσι καὶ αὐτοὶ ζῶντες μὲ γέλοια καὶ ἀπολαύσεις καὶ πλοῦτον καὶ ἐξουσίαν καὶ χάριν τῆς κοιλίας των, ἀκούουν μὲν κάποτε κάποτε αὐτὰ ποὺ λέγομεν, ἀλλὰ δὲν παρουσιάζουν τίποτε τὸ σπουδαῖον καὶ ὑψηλὸν εἰς τὰ ἔργα των, ἔχοντες προσηλώσει ἅπαξ διὰ παντὸς τοὺς ἑαυτούς των εἰς τὴν λάσπην καὶ τὴν κατασκευὴν πλίνθων.

Εἰς αὐτὸν τὸν ἀπόστολον παρευρίσκονται αἱ οὐράνιαι δυνάμεις θαυμάζουσαι τὸ κάλλος τῆς ψυχῆς καὶ τὴν σύνεσίν του καὶ τὸ ὕψος τῆς ἀρετῆς, μὲ τὴν ὁποίαν προσείλκυσε καὶ αὐτὸν τὸν Χριστὸν καὶ ἔλαβε τὸ πνευματικὸν χάρισμα. Διότι ἀφοῦ ἔκανε τὴν ψυχήν του ὡσὰν κάποιαν λύ-

σοῦς ἔχουσαν φθόγγους, οὕτω τὴν αὐτοῦ παρασκευάσας ψυχήν, ἔδωκε δι᾽ αὐτῆς μέγα τι καὶ ὑψηλὸν ἐνηχῆσαι τῷ Πνεύματι.

2. Ὡς οὖν οὐκέτι τοῦ ἁλιέως, οὐδὲ τοῦ υἱοῦ Ζεβεδαίου, ἀλλὰ τοῦ τὰ βάθη τοῦ Θεοῦ εἰδότος, τοῦ Πνεύματος λέγω, ταύτην ἀνακρουομένου τὴν λύραν, οὕτως ἀκούωμεν· οὐδὲν γὰρ ἀνθρώπινον ἡμῖν ἐρεῖ, ἀλλ᾽ ἀπὸ τῶν ἀβύσσων τῶν πνευματικῶν, ἅπερ ἂν εἴπῃ, ἀπὸ τῶν ἀπορρήτων ἐκείνων, ἃ μηδὲ ἄγγελοι πρὶν ἢ γενέσθαι ᾔδεισαν· μεθ᾽ ἡμῶν γὰρ δὴ καὶ οὗτοι διὰ τῆς Ἰωάννου φωνῆς, καὶ δι᾽ ἡμῶν ἔμαθον, ἅπερ ἔγνωμεν. Καὶ τοῦτο ἐδήλωσεν Ἀπόστολος ἕτερος, εἰπών· «Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ».

Εἰ τοίνυν καὶ ἀρχαί, καὶ ἐξουσίαι, καὶ τὰ Χερουβίμ, καὶ τὰ Σεραφὶμ διὰ τῆς Ἐκκλησίας ἔμαθον ταῦτα, εὔδηλον ὅτι καὶ αὗται μετὰ πολλῆς τῆς σφοδρότητος, περὶ ταύτην ἐσπούδασαν τὴν ἀκρόασιν· καὶ γὰρ καὶ τούτῳ τετιμήμεθα οὐ μικρῶς, τῷ μεθ᾽ ἡμῶν τοὺς ἀγγέλους μαθεῖν ἅπερ ἠγνόουν· τὸ δὲ καὶ δι᾽ ἡμῶν οὔπω τέως φημί.

Πολλὴν οὖν παρέχωμεν καὶ ἡμεῖς τὴν σιγὴν μετὰ τῆς εὐκοσμίας μὴ σήμερον μόνον, μηδὲ κατὰ τὴν ἡμέραν, ἐν ᾗ ἀκούομεν, ἀλλὰ διὰ παντὸς τοῦ βίου· ἐπειδὴ καὶ διὰ παντὸς ἀκούειν αὐτοῦ καλόν· εἰ γὰρ τὰ ἐν βασιλείοις γινόμενα ποθοῦμεν εἰδέναι, (οἷον, τί εἶπε, τί πεποίηκε, τί βουλεύεται περὶ τῶν ἀρχομένων ὁ βασιλεύων, καίτοι γε πολλάκις οὐδὲν πρὸς ἡμᾶς ὄντα), πολλῷ μᾶλλον ἅπερ ὁ Θεὸς εἶπε ποθεινὸν ἀκοῦσαι, καὶ μάλιστα, ὅταν ἡμῖν ἅπαντα διαφέρῃ. Ταῦτα δὲ ἅπαντα μετὰ ἀκριβείας ἡμῖν οὗτος ἐρεῖ, φίλος αὐτοῦ τοῦ βασιλεύοντος ὤν, μᾶλλον δὲ καὶ αὐτὸν ἔχων ἐν ἑαυτῷ λα-

---

10. Ἐφ. 3, 10.

ραν ἁρμονικὴν καὶ στολισμένην μὲ πολυτίμους λίθους ποὺ παράγει χρυσοῦς φθόγγους, τὴν παρεχώρησεν εἰς τὸ Πνεῦμα διὰ νὰ ἀντηχήσῃ μὲ αὐτὴν κάτι τὸ σπουδαῖον καὶ ὑψηλόν.

2. Ἂς τὸν ἀκούσωμεν λοιπόν, ὄχι ὡσὰν ἁλιέα πλέον, οὔτε ὡς υἱὸν τοῦ Ζεβεδαίου, ἀλλὰ ὡς γνωρίζοντα τὰ βάθη τοῦ Θεοῦ, δηλαδὴ τοῦ Πνεύματος, ὁ ὁποῖος ἀνακρούει αὐτὴν τὴν λύραν. Διότι δὲν θὰ μᾶς εἰπῇ τίποτε τὸ ἀνθρώπινον, ἀλλὰ αὐτὰ τὰ ὁποῖα θὰ μᾶς εἰπῇ θὰ προέρχωνται ἀπὸ τὰς πνευματικὰς ἀβύσσους, ἀπὸ ἐκεῖνα τὰ μυστήρια τὰ ὁποῖα οὔτε οἱ ἄγγελοι τὰ ἐγνώριζαν πρὶν γίνουν. Διότι μαζὶ μὲ ἐμᾶς καὶ αὐτοὶ μὲ τὴν φωνὴν τοῦ Ἰωάννου, καὶ διὰ μέσου ἡμῶν ἔμαθαν αὐτὰ τὰ ὁποῖα ἐγνωρίσαμεν. Αὐτὸ τὸ δηλώνει ἄλλος ἀπόστολος λέγων· «Διὰ νὰ γίνῃ γνωστὴ τώρα εἰς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας διὰ τῆς Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ»[10].

Ἐφ' ὅσον λοιπὸν καὶ αἱ Ἀρχαὶ καὶ αἱ Ἐξουσίαι καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ τὰ ἔμαθαν αὐτὰ μέσῳ τῆς Ἐκκλησίας, εἶναι ὁλοφάνερον ὅτι καὶ αὐταὶ μὲ πολλὴν ὄρεξιν ἔσπευσαν εἰς αὐτὴν τὴν ἀκρόασιν. Δὲν εἶναι δὲ μικρὰ ἡ τιμὴ ποὺ μᾶς ἔγινε, τὸ νὰ μάθουν οἱ ἄγγελοι μαζὶ μὲ ἐμᾶς αὐτὰ τὰ ὁποῖα ἀγνοοῦσαν. Τὸ ὅτι δὲ τὰ ἔμαθαν καὶ μέσῳ ἡμῶν, δὲν τὸ ἀναφέρω πρὸς τὸ παρόν.

Ἂς κάνωμεν λοιπὸν καὶ ἐμεῖς πολλὴν ἡσυχίαν μαζὶ μὲ τὴν κοσμιότητα, ὄχι μόνον σήμερα, οὔτε μόνον τὴν ἡμέραν κατὰ τὴν ὁποίαν τὸν ἀκούομεν, ἀλλὰ εἰς ὁλόκληρον τὴν ζωήν μας, διότι εἶναι καλὸν νὰ τὸν ἀκούωμεν πάντοτε. Διότι ἐὰν ποθοῦμεν νὰ γνωρίζωμεν ὅσα γίνονται εἰς τὰ ἀνάκτορα, ἤτοι· τί εἶπε, τί ἔκανε καὶ τί σκέπτεται διὰ τοὺς ὑπηκόους του ὁ βασιλεύς, ἂν καὶ πολλὲς φορὲς δὲν μᾶς ἐνδιαφέρουν, πολὺ περισσότερον εἶναι ποθητὸν νὰ ἀκούσωμεν ἐκεῖνα τὰ ὁποῖα εἶπεν ὁ Θεός, ὅταν μάλιστα μᾶς ἐνδιαφέρουν ὅλα. Αὐτὰ δὲ ὅλα θὰ μᾶς τὰ εἰπῇ μὲ ἀκρίβειαν αὐτός, ὁ ὁποῖος εἶναι φίλος τοῦ ἰδίου τοῦ βασιλέως, ἢ μᾶλ-

λοῦντα, καὶ παρ᾽ αὐτοῦ πάντα ἀκούων, ἃ παρὰ τοῦ Πατρὸς ἐκεῖνος· «Ὑμᾶς» γὰρ «εἴρηκα φίλους», φησίν, «ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν».

Ὥσπερ οὖν, εἴ τινα ἄνωθεν ἐκ τῆς κορυφῆς τοῦ οὐρανοῦ διακύψαντα ἀθρόον εἴδομεν, καὶ ἐπαγγελλόμενον τὰ ἐκεῖ μετὰ ἀκριβείας ἐρεῖν, πάντες ἂν ἐπεδράμομεν, οὕτω καὶ νῦν διατεθῶμεν· ἐκεῖθεν γὰρ ἡμῖν ὁ ἀνὴρ οὗτος διαλέγεται· οὐ γάρ ἐστιν ἐκ τοῦ κόσμου τούτου, καθώς φησι καὶ αὐτὸς ὁ Χριστός· «Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου», καὶ τὸν Παράκλητον ἔχει φθεγγόμενον ἐν ἑαυτῷ, τὸν πανταχοῦ παρόντα, τὸν οὕτως ἀκριβῶς εἰδότα τὰ τοῦ Θεοῦ, ὡς τὰ ἑαυτῆς οἶδεν ἡ τῶν ἀνθρώπων ψυχή, τὸ Πνεῦμα τῆς ἁγιωσύνης, τὸ Πνεῦμα τὸ εὐθές, τὸ ἡγεμονικόν, τὸν χειραγωγοῦν εἰς τοὺς οὐρανούς, τὸ ποιοῦν ὀφθαλμοὺς ἑτέρους, τὸ παρασκευάζον τὰ μέλλοντα ὡς τὰ παρόντα ὁρᾶν, τὸ καὶ μετὰ σαρκὸς τὰ ἐν τοῖς οὐρανοῖς κατοπτεύειν παρέχον.

Πολλὴν τοίνυν παρέχωμεν τὴν ἡσυχίαν διὰ παντὸς αὐτῷ τοῦ βίου· μηδεὶς νωθής, μηδεὶς ὑπνηλός, μηδεὶς ῥυπώδης ἐνταῦθα εἰσιὼν μενέτω, ἀλλὰ μεταστήσωμεν ἑαυτοὺς πρὸς τὸν οὐρανόν· ἐκεῖ γὰρ ταῦτα φθέγγεται τοῖς ἐκεῖ πολιτευομένοις. Κἂν μείνωμεν ἐπὶ τῆς γῆς, οὐδὲν κερδανοῦμεν ἐντεῦθεν μέγα· οὐδὲν γὰρ πρὸς τοὺς οὐ βουλομένους ἀπαλλαγῆναι τοῦ χοιρώδους βίου τοῦ Ἰωάννου, ὥσπερ οὖν οὐδὲ πρὸς ἐκεῖνον τὰ ἐνταῦθα. Ἡ μὲν οὖν βροντὴ καταπλήττει τὰς ἡμετέρας ψυχάς, ἄσημον ἔχουσα τὴν ἠχήν, ἡ δὲ τούτου φωνὴ θορυβεῖ μὲν οὐδένα τῶν πιστῶν, ἀλλὰ καὶ ἀνίησι θορύβου καὶ ταραχῆς. καταπλήττει δὲ δαίμονας μόνους καὶ τοὺς ἐκείνοις δουλεύοντας.

---

11. Ἰω. 15, 15.
12. Αὐτόθι 19.

λον τὸν ἔχει μέσα του ὁμιλοῦντα, καὶ ἀκούει ἀπὸ Ἐκεῖνον ὅλα, ὅσα Ἐκεῖνος ἤκουσεν ἀπὸ τὸν Πατέρα· «Σᾶς ὠνόμασα φίλους», λέγει, «διότι ὅλα ὅσα ἤκουσα ἀπὸ τὸν Πατέρα μου σᾶς τὰ ἐγνώρισα»[11].

Ὅπως λοιπὸν θὰ ἐτρέχαμεν ὅλοι, ἐὰν ἐβλέπαμεν κάποιον νὰ ἐμφανίζεται ξαφνικὰ ἐπάνω ἀπὸ τὴν κορυφὴν τοῦ οὐρανοῦ καὶ νὰ μᾶς ὑπόσχεται ὅτι θὰ μᾶς εἰπῇ ὅσα ὑπάρχουν ἐκεῖ μὲ ἀκρίβειαν, ἔτσι ἂς συμπεριφερθῶμεν καὶ τώρα. Διότι ἀπὸ ἐκεῖ μᾶς ὁμιλεῖ ὁ ἄνδρας αὐτός. Διότι δὲν εἶναι ἀπὸ τὸν κόσμον αὐτόν, ὅπως λέγει ὁ ἴδιος ὁ Χριστός· «Σεῖς δὲν εἶσθε ἀπὸ τὸν κόσμον αὐτόν»[12]. Καὶ ἔχει μέσα του ὁμιλοῦντα τὸν Παράκλητον, ὁ ὁποῖος εἶναι πανταχοῦ παρὼν καὶ γνωρίζει τόσον ἐπακριβῶς τὰ τοῦ Θεοῦ, ὅπως ἡ ψυχὴ τῶν ἀνθρώπων γνωρίζει τὸν ἑαυτόν της, τὸ Πνεῦμα τῆς ἁγιότητος, τὸ Πνεῦμα τὸ εὐθές, τὸ ἡγεμονικόν, αὐτὸ ποὺ μᾶς ὁδηγεῖ εἰς τοὺς οὐρανούς, ποὺ μᾶς δίνει ἄλλους ὀφθαλμοὺς καὶ μᾶς κάνει νὰ βλέπωμεν τὰ μέλλοντα ὡσὰν παρόντα, αὐτὸ ποὺ μᾶς δίνει τὴν δυνατότητα νὰ ἐξερευνήσωμεν ὅσα ὑπάρχουν εἰς τοὺς οὐρανοὺς ἐνῷ ἀκόμα φέρομεν σάρκα.

Ἂς κάνωμεν λοιπὸν χάριν αὐτοῦ πολλὴν ἡσυχίαν εἰς ὅλην μας τὴν ζωήν. Ἂς μὴ μπαίνῃ καὶ παραμένῃ ἐδῶ κανεὶς νωθρός, ὑπναλέος καὶ ρυπαρός, ἀλλ' ἂς μεταθέσωμεν τοὺς ἑαυτούς μας πρὸς τὸν οὐρανόν, διότι ἐκεῖ ὁμιλεῖ πρὸς ὅσους ζοῦν ἐκεῖ. Ἂν ἀντιθέτως μείνωμεν εἰς τὴν γῆν δὲν θὰ κερδήσωμεν τίποτε τὸ σπουδαῖον ἀπὸ ἐδῶ. Διότι τὰ λόγια τοῦ Ἰωάννου δὲν σημαίνουν τίποτε δι' ἐκείνους οἱ ὁποῖοι δὲν θέλουν νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν χαμερπῆ ζωήν, ὅπως οὔτε δι' ἐκεῖνον ὅσα ὑπάρχουν ἐδῶ. Ἡ μὲν λοιπὸν βροντὴ προκαλεῖ φόβον εἰς τὰς ψυχάς μας μὲ τὸν ἀσήμαντον κρότον της, ἡ δὲ φωνὴ αὐτοῦ ὄχι μόνον δὲν φοβίζει κανέναν, ἀλλὰ καὶ ἁπαλύνει τὸν φόβον καὶ τὴν ταραχήν, τρομοκρατεῖ δὲ μόνον τοὺς δαίμονας καὶ ὅσους ὑπηρετοῦν εἰς ἐκείνους.

Ἵν᾿ οὖν ἴδωμεν ὅπως αὐτοὺς καταπλήττῃ, πολλὴν παρέχωμεν τὴν σιγὴν καὶ τὴν ἔξωθεν καὶ τὴν κατὰ διάνοιαν· καὶ ταύτην μάλιστα· τί γὰρ ὄφελος τοῦ στόματος ἠρεμοῦντος, ὅταν ἡ ψυχὴ θορυβῆται, καὶ πολλὴν ἔχῃ τὴν ζάλην; Ἐκείνην ἐγὼ ζητῶ τὴν ἡσυχίαν, τὴν ἀπὸ διανοίας, τὴν ἀπὸ ψυχῆς· ἐπειδὴ καὶ τῆς ἀκοῆς ἐκείνης δέομαι. Μηδεμία τοίνυν ἐνοχλείτω χρημάτων ἐπιθυμία, μηδὲ δόξης ἔρως, μὴ θυμοῦ τυραννίς, μὴ τῶν ἄλλων παθῶν ὁ λοιπὸς ὄχλος· οὐ γάρ ἐστι μὴ καθαρθεῖσαν τὴν ἀκοὴν ἰδεῖν τῶν λεγομένων τὸ ὕψος, ὡς ἰδεῖν χρή, οὐδὲ γνῶναι ὡς δεῖ τῶν μυστηρίων τούτων τὸ φρικτὸν καὶ ἀπόρρητον, καὶ τὴν ἄλλην ἅπασαν ἀρετήν, τὴν ἐν τοῖς θείοις τούτοις χρησμοῖς· εἰ γὰρ μέλος αὐλητικὸν καὶ κιθαρῳδίαν οὐκ ἄν τις μάθοι καλῶς, μὴ πάντῃ συντείνας τὸν νοῦν, πῶς μυστικῶν φωνῶν καθήμενος ἀκροατὴς ἐπακοῦσαι δυνήσεται ῥαθυμούσῃ ψυχῇ;

3. Διὰ τοῦτο καὶ Χριστὸς παρῄνει, λέγων· «Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων». Μαργαρίτας δὲ ταῦτα τὰ ῥήματα ἐκάλεσε, καίτοι πολλῷ τιμιώτερα τούτων ὄντα, ἐπειδὴ ταύτης τῆς ὕλης οὐκ ἔστιν ἡμῖν ἑτέρα τιμιωτέρα. Διὰ τοῦτο καὶ τὴν ἡδονὴν αὐτῶν μέλιτι πολλάκις παραβάλλειν εἴωθεν, οὐκ ἐπειδὴ τοσοῦτον αὐτῆς τὸ μέτρον μόνον, ἀλλ᾿ ὅτι τούτου οὐδέν ἐστιν ἕτερον ἥδιον παρ᾿ ἡμῖν. Ἐπεί, ὅτι γε καὶ λίθων φύσιν τιμίων καὶ παντὸς μέλιτος ἡδονὴν κατὰ πολλὴν νικᾷ τὴν ὑπερβολήν, ἄκουσον τοῦ Προφήτου λέγοντος περὶ αὐτῶν, καὶ τὴν ὑπερβολὴν ταύτην δεικνύντος· «Ἐπιθυμητὰ» γάρ, φησίν, «ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύ, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον», ἀλλὰ τοῖς ὑγιαίνουσι· διὸ ἐπήγαγε· «Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά».

---

13. Ματθ. 7, 6.
14. Ψαλμ. 18, 11.
15. Αὐτόθι 12.

Διὰ νὰ ἴδωμεν λοιπὸν πῶς τοὺς τρομοκρατεῖ, ἂς κάνωμεν πολλὴν ἡσυχίαν καὶ ἐξωτερικῶς ἀλλὰ καὶ κατὰ διάνοιαν. Κατ' ἐξοχὴν μάλιστα αὐτήν. Διότι ποῖον θὰ εἶναι τὸ ὄφελος νὰ σιωπᾷ τὸ στόμα, ὅταν ἡ ψυχὴ θορυβῆται καὶ ἔχῃ πολλοὺς περισπασμούς; Ἐκείνην τὴν ἡσυχίαν ζητῶ ἐγώ, τὴν ἡσυχίαν τῆς διανοίας, τῆς ψυχῆς, διότι ἐκείνη θέλω νὰ ἀκούσῃ. Ἂς μὴ τὴν ἐνοχλῇ λοιπὸν καμμία ἐπιθυμία χρημάτων, οὔτε ἔρως δόξης, οὔτε καταδυνάστευσις θυμοῦ, οὔτε τὸ πλῆθος ὅλων τῶν ἄλλων παθῶν. Διότι δὲν εἶναι δυνατόν, ἐὰν ἡ ἀκοὴ δὲν καθαρισθῇ, νὰ ἰδῇ τὸ ὕψος αὐτῶν ποὺ λέγονται, ὅπως πρέπει, οὔτε νὰ γνωρίσῃ ὅπως πρέπει τὸ δέος καὶ τὸ μυστήριον καὶ ὅλην τὴν ἄλλην ἀρετὴν ποὺ ὑπάρχει εἰς αὐτοὺς τοὺς χρησμούς. Διότι, ἐὰν δὲν εἶναι δυνατὸν νὰ μάθῃ κανεὶς καλῶς τὸ μέλος τοῦ αὐλοῦ καὶ τὴν τέχνην τῆς κιθάρας, ἂν δὲν ἐντείνῃ ἐντελῶς τὸν νοῦν του, πῶς θὰ ἠμπορέσῃ ὡς ἀκροατὴς νὰ ἀκούσῃ μὲ εὐκρίνειαν τὶς μυστικὰς φωνὰς μὲ ψυχὴν ἡ ὁποία ραθυμεῖ;

3. Δι' αὐτὸ καὶ ὁ Χριστὸς προέτρεπε λέγων· «Μὴ δίνετε τὰ ἅγια εἰς τὰ σκυλιὰ οὔτε νὰ ρίχνετε τὰ μαργαριτάρια ἐμπρὸς εἰς τοὺς χοίρους»[13]. Μαργαρίτας ἀποκαλεῖ αὐτὰ τὰ λόγια, ἂν καὶ εἶναι πολὺ μεγαλυτέρας ἀξίας ἀπὸ αὐτούς, ἐπειδὴ δὲν ὑπάρχει δι' ἡμᾶς ἄλλη ὕλη μεγαλυτέρας ἀξίας ἀπὸ αὐτήν. Δι' αὐτὸ καὶ τὴν ἡδονὴν αὐτῶν πολλὲς φορὲς συνηθίζει νὰ τὴν παραλληλίζῃ πρὸς τὸ μέλι, ὄχι διότι τόση μόνον εἶναι ἡ γλυκύτης αὐτῆς, ἀλλ' ἐπειδὴ δὲν ὑπάρχει εἰς ἡμᾶς τίποτε ἄλλο γλυκύτερον ἀπὸ αὐτό. Ὅτι δὲ κατὰ πολὺ ὑπερβαίνουν καὶ τὴν φύσιν τῶν πολυτίμων λίθων καὶ τὴν γλυκύτητα κάθε μέλιτος, ἄκουσε τὸν προφήτην ὁ ὁποῖος ὁμιλεῖ περὶ αὐτῶν καὶ παρουσιάζει τὴν ὑπεροχήν των· «Διότι εἶναι πολὺ ἐπιθυμητά», λέγει, «περισσότερον ἀπὸ τὸ χρυσάφι καὶ τοὺς πολυτίμους λίθους, καὶ γλυκύτερα ἀπὸ τὸ μέλι καὶ τὴν κηρήθραν[14], ἐννοεῖται βέβαια, διὰ τοὺς ὑγιαίνοντας, δι' αὐτὸ καὶ προσθέτει· «Διότι ὁ δοῦλος σου τὰ φυλάσσει»[15].

Καὶ ἀλλαχοῦ πάλιν, εἰπὼν αὐτὰ γλυκέα, προσέθηκε· «Τῷ λάρυγγί μου»· «ὡς γλυκέα» γάρ, φησί, «τῷ λάρυγγί μου τὰ λόγιά σου». Καὶ τὴν ὑπερβολὴν πάλιν, διατηρεῖ λέγων· «Ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου», ἐπειδὴ σφόδρα ὑγίαινε.

Μὴ τοίνυν μηδὲ ἡμεῖς νοσοῦντες προσερχώμεθα τούτοις, ἀλλά, θεραπεύσαντες τὴν ψυχήν, οὕτω δεχώμεθα τὴν ἑστίασιν· διὰ γὰρ τοῦτο, τοσαῦτα προειπών, οὐδέπω καθῆκα εἰς τὰς ῥήσεις ταύτας, ἵνα ἕκαστος, πάντα ἀποθέμενος ἀρρωστίας τρόπον, ὥσπερ εἰς αὐτὸν εἰσιὼν τὸν οὐρανόν, οὕτως εἰσίῃ καθαρὸς καὶ θυμοῦ, καὶ φροντίδος, καὶ ἀγωνίας βιωτικῆς, καὶ τῶν ἄλλων ἀπηλλαγμένος παθῶν· οὐ γὰρ ἔστιν ἑτέρως κερδᾶναί τι μέγα ἐντεῦθεν, μὴ πρότερον οὕτως ἀνακαθάραντα τὴν ψυχήν.

Καὶ μή μοι λεγέτω τις ὅτι βραχὺς ὁ καιρός, ὁ μεταξὺ τῆς συνάξεως τῆς μελλούσης· ἔξεστι γὰρ οὐχὶ ἐν πέντε μόνον ἡμέραις, ἀλλὰ καὶ ἐν μιᾷ ῥοπῇ μεταθέσθαι τὸν βίον ἅπαντα· τί γάρ, εἰπέ μοι, λῃστοῦ καὶ ἀνδροφόνου χεῖρον; οὐχὶ τὸ ἔσχατον τοῦτο τῆς κακίας εἶδός ἐστιν; Ἀλλ' ὅμως εἰς τὸ ἄκρον τῆς ἀρετῆς εὐθέως ἔφθασε, καὶ εἰς αὐτὸν ἐχώρησε τὸν παράδεισον, οὐχ ἡμερῶν δεηθείς, οὐχ ἡμίσους ἡμέρας, ἀλλὰ βραχείας ῥοπῆς· ὥστε ἔξεστιν ἄφνω μεταθέσθαι, καὶ γενέσθαι χρύσεον ἀντὶ πηλίνου. Ἐπειδὴ γὰρ οὐ φύσει τὰ τῆς ἀρετῆς καὶ τῆς κακίας ἐστίν, εὔκολος ἡ μετάθεσις, πάσης ἀνάγκης ἀπηλλαγμένη. «Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου», φησί, «τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε».

Ὁρᾷς ὅτι βουλήσεως δεῖ μόνης; βουλήσεως, οὐ τῆς κοινῆς μόνον ταύτης, τῆς τῶν πολλῶν, ἀλλὰ τῆς ἐσπουδα-

---

16. Ψαλμ. 118, 103.
17. Αὐτόθι.
18. Ἡσ. 1, 19.

Καὶ ἀλλοῦ πάλιν χαρακτηρίσας τὰ λόγια τοῦ Θεοῦ γλυκά, προσθέτει 'εἰς τὸν λάρυγγά μου'. Διότι λέγει· «Πόσον γλυκὰ εἰς τὸν λάρυγγά μου εἶναι τὰ λόγια σου»[16]. Καὶ πάλιν ἐπαναλαμβάνει τὴν ὑπεροχήν των λέγων· «Περισσότερον ἀπὸ μέλι καὶ κηρήθραν εἰς τὸ στόμα μου»[17], ἐπειδὴ ἦτο ὑγιής.

Ἂς μὴ προσερχώμεθα λοιπὸν καὶ ἡμεῖς εἰς αὐτὰ νοσοῦντες, ἀλλὰ νὰ δεχώμεθα τὴν πνευματικὴν εὐωχίαν, ἀφοῦ θεραπεύσωμεν τὴν ψυχήν. Δι' αὐτὸ ἄλλωστε, ἀφοῦ εἶπα προηγουμένως τόσα πολλά, δὲν ἀνεφέρθην εἰς τὰς ρήσεις αὐτάς, ὥστε ὁ καθένας ἀφοῦ ἀποβάλῃ τὰ πάντα, ὅπως τὴν ἀσθένειαν, νὰ εἰσέρχεται, ὡσὰν νὰ μπαίνῃ εἰς τὸν ἴδιον τὸν οὐρανόν, καθαρὸς ἀπὸ θυμὸν καὶ φροντίδα καὶ ἀγωνίαν διὰ τὴν ζωὴν καὶ ἀπηλλαγμένος ἀπὸ τὰ ἄλλα πάθη. Διότι δὲν εἶναι δυνατὸν νὰ κερδίσετε κάτι τὸ σπουδαῖον ἀπὸ ἐδῶ μὲ ἄλλον τρόπον, ἐὰν δὲν καθαρίσετε προηγουμένως τὴν ψυχὴν κατ' αὐτὸν τὸν τρόπον.

Καὶ ἂς μὴ μοῦ εἰπῇ κανεὶς ὅτι ὁ χρόνος μέχρι τὴν ἑπομένην συγκέντρωσιν εἶναι σύντομος. Διότι εἶναι δυνατὸν ὄχι ἐντὸς πέντε ἡμερῶν μόνον, ἀλλὰ καὶ ἐντὸς μιᾶς στιγμῆς νὰ ἀλλάξετε ὁλόκληρον τὴν ζωήν σας. Διότι εἰπέ μου, τί ἦτο χειρότερον ἀπὸ τὸν ληστὴν καὶ ἀνθρωποκτόνον; Αὐτὸ δὲν εἶναι ἡ ἐσχάτη μορφὴ τῆς κακίας; Καὶ ὅμως ἔφθασεν εἰς τὸ ὑψηλότερον σημεῖον τῆς ἀρετῆς ἀμέσως καὶ εἰσῆλθε καὶ εἰς τὸν παράδεισον, χωρὶς νὰ χρειασθῇ ἡμέρας, οὔτε ἡμισείας ἡμέρας, ἀλλὰ μίαν βραχυτάτην στιγμήν. Ὥστε λοιπὸν εἶναι δυνατὸν νὰ ἀλλάξετε ξαφνικὰ καὶ ἀπὸ πήλινοι νὰ γίνεται χρυσοῖ. Διότι ἐπειδὴ τὰ ζητήματα τῆς ἀρετῆς καὶ τῆς κακίας δὲν ἀνάγονται εἰς τὴν φύσιν τοῦ ἀνθρώπου, εἶναι εὔκολος ἡ μεταβολὴ καὶ ἀπηλλαγμένη ἀπὸ κάθε ἀνάγκην. «Ἐὰν θέλετε καὶ μὲ ἀκούσετε», λέγει, «θὰ φάγετε τὰ ἀγαθὰ τῆς γῆς»[18].

Βλέπεις ὅτι μόνον θέλησις χρειάζεται; Θέλησις ὅμως ὄχι ἡ συνηθισμένη, αὐτὴν ποὺ ἔχουν οἱ πολλοί, ἀλλὰ θέ-

σμένης. Ἐπεί ἅπαντας οἶδα εἰς τὸν οὐρανὸν θέλοντας ἀναπτῆναι νῦν, ἀλλὰ διὰ τῶν ἔργων δεῖ τὴν θέλησιν ἐπιδείξασθαι· καὶ γὰρ ὁ ἔμπορος θέλει πλουτεῖν, ἀλλ' οὐ μέχρι τῆς διανοίας τὸ θέλειν ἵστησιν, ἀλλὰ καὶ πλοῖον κατασκευάζεται, καὶ συνάγει ναύτας, καὶ παρακαλεῖ κυβερνήτην, καὶ τοῖς ἄλλοις ἅπασι κατασκευάζει τὸ πλοῖον, καὶ χρυσίον δανείζεται, καὶ περᾷ πέλαγος, καὶ εἰς ξένην ἄπεισι γῆν, καὶ κινδύνους ὑπομένει πολλούς, καὶ τὰ ἄλλα πάντα, ἅπερ ἴσασιν οἱ τὴν θάλατταν πλέοντες.

Οὕτω καὶ ἡμᾶς δεῖ τὴν βούλησιν ἐπιδείξασθαι· πλέομεν γὰρ καὶ ἡμεῖς πλοῦν, οὐ τὸν ἀπὸ γῆς εἰς γῆν, ἀλλὰ τὸν ἀπὸ γῆς εἰς οὐρανόν. Κατασκευάσωμεν οὖν τὸν λογισμὸν τὸν ἡμέτερον πρὸς κυβέρνησιν ἐπιτήδειον, τὴν ἄνω φέρουσαν, καὶ ναύτας αὐτῷ πειθηνίους, καὶ πλοῖον στερεόν, ὥστε μήτε περιστάσει καὶ ἀθυμίᾳ βαπτίζεσθαι βιωτικῇ, μήτε ἀλαζονείας ἐπαίρεσθαι πνεύματι, ἀλλ' εὔζωνον εἶναι καὶ κοῦφον. Ἂν οὕτω μὲν τὸ πλοῖον, οὕτω δὲ τὸν κυβερνήτην καὶ τοὺς ναύτας παρασκευάσωμεν, ἐξ οὐρίων πλευσόμεθα, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν ἀληθῆ κυβερνήτην, ἐπισπασόμεθα πρὸς ἑαυτούς, ὃς οὐκ ἀφήσει βαπτισθῆναι τὸ σκάφος ἡμῖν, ἀλλά, κἂν μυρίοι πνεύσωσιν ἄνεμοι, καὶ τοῖς ἀνέμοις ἐπιτιμήσει καὶ τῇ θαλάττῃ, καὶ ἀντὶ σάλου πολλὴν ἐργάσεται τὴν γαλήνην.

4. Κατασκευάσαντες τοίνυν ἑαυτοὺς οὕτως, τῇ ἐπιούσῃ παραγένεσθε τῇ ἐκκλησίᾳ, εἴ γε περισπούδαστον ὑμῖν τι τῶν χρησίμων ἀκοῦσαι καὶ ἐναποθέσθαι τὰ λεγόμενα τῇ ψυχῇ. Μηδεὶς ὁδὸς ἔστω, μηδεὶς πέτρα, μηδεὶς ἀκανθῶν πεπληρωμένος. Ποιήσωμεν ἑαυτοὺς νεώματα· οὕτω γὰρ καὶ ἡμεῖς μετὰ προθυμίας τὰ σπέρματα καταβαλοῦμεν, ἐὰν ἴδωμεν τὴν

---

19. Ματθ. 13, 4-8.

λησις μὲ προσπάθειαν. Διότι γνωρίζω ὅτι ὅλοι τώρα θέλουν νὰ πετάξουν εἰς τὸν οὐρανόν, ἀλλὰ πρέπει νὰ δείξουν τὴν θέλησίν των μὲ τὰ ἔργα τους. Διότι καὶ ὁ ἔμπορος θέλει νὰ πλουτίσῃ, ἀλλὰ δὲν περιορίζει τὴν θέλησίν του μόνον εἰς τὸν νοῦν του, ἀλλὰ καὶ πλοῖον κατασκευάζει καὶ ναύτας συγκεντρώνει καὶ κυβερνήτην προσκαλεῖ, καὶ μὲ ὅλα τὰ ἄλλα χρειώδη ἐφοδιάζει τὸ πλοῖον καὶ χρυσάφι δανείζεται καὶ διασχίζει τὸ πέλαγος καὶ ἀποδημεῖ εἰς ξένην χώραν καὶ κινδύνους ὑπομένει πολλοὺς καὶ ὅλα τὰ ἄλλα ποὺ γνωρίζουν ὅσοι διαπλέουν τὴν θάλασσαν.

Ἔτσι καὶ ἐμεῖς πρέπει νὰ δείξωμεν τὴν θέλησίν μας. Διότι καὶ ἐμεῖς πραγματοποιοῦμεν θαλάσσιον ταξίδι, ὄχι ἀπὸ μίαν χώραν εἰς ἄλλην, ἀλλὰ ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν. Ἂς ἀσκήσωμεν λοιπὸν τὸν λογισμόν μας εἰς τὴν κατάλληλον διακυβέρνησιν, ἡ ὁποία μᾶς ὁδηγεῖ πρὸς τὰ ἄνω, ἂς τὸν ἐφοδιάσωμεν μὲ ναύτας πειθαρχικοὺς καὶ μὲ πλοῖον στερεόν, ὥστε οὔτε ἀπὸ κάποιαν δύσκολον περίστασιν καὶ λιποψυχίαν βιωτικὴν νὰ βυθισθῇ, οὔτε νὰ παρασυρθῇ ἀπὸ τὸν ἄνεμον τῆς ἀλαζονείας, ἀλλὰ νὰ εἶναι σταθερὸν καὶ εὐκίνητον. Ἐὰν ἔτσι προπαρασκευάσωμεν τὸ πλοῖον, τὸν κυβερνήτην καὶ τοὺς ναύτας, θὰ πλεύσωμεν μὲ ἐπιτυχίαν καὶ θὰ ἀποκτήσωμεν τὸν ἀληθινὸν Υἱὸν τοῦ Θεοῦ κυβερνήτην διὰ τοὺς ἑαυτούς μας, ὁ ὁποῖος δὲν θὰ ἐπιτρέψῃ τὸ σκάφος πρὸς χάριν μας νὰ βυθισθῇ, ἀλλὰ καὶ ἂν μύριοι ἄνεμοι πνεύσουν καὶ τοὺς ἀνέμους θὰ ἐπιτημήσῃ καὶ τὴν θάλασσαν καὶ ἀντὶ τρικυμίας θὰ φέρῃ τὴν γαλήνην.

4. Ἀφοῦ λοιπὸν καταρτίσετε τοὺς ἑαυτούς σας ἔτσι, τὴν ἑπομένην ἐλᾶτε εἰς τὴν Ἐκκλησίαν, διὰ νὰ ἀκούσετε κάτι τὸ πολὺ σπουδαῖον ἀπὸ τὰ χρήσιμα διὰ ἐσᾶς καὶ νὰ ἐναποθέσετε ὅσα λέγονται εἰς τὴν ψυχήν σας. Κανεὶς ἂς μὴν εἶναι δρόμος, κανεὶς πέτρα, κανεὶς γεμᾶτος ἀπὸ ἀγκάθια[19]. Ἂς κάνωμεν τοὺς ἑαυτούς μας γῆν προσφάτως καλλιεργημένην, διότι ἔτσι καὶ ἐμεῖς μὲ προθυμίαν θὰ σπείρωμεν τοὺς σπό-

γῆν καθαράν· ἐὰν δὲ λιθώδη καὶ τραχεῖαν, σύγγνωτε μὴ βουλομένοις εἰκῇ πονεῖσθαι· εἰ γάρ, τὸ σπείρειν ἀφέντες, ἀρξόμεθα τὰς ἀκάνθας ἐκκόπτειν, πάλιν ἐσχάτης ἀνοίας σπέρματα καταβαλεῖν εἰς ἀνέργαστον γῆν.

Τὸν ταύτης ἀπολαύοντα τῆς ἀκροάσεως οὐ δεῖ τῆς δαιμονικῆς μετέχειν τραπέζης· τίς γὰρ κοινωνία δικαιοσύνῃ καὶ ἀνομίᾳ; Ἕστηκας ἀκούων Ἰωάννου, καὶ δι' ἐκείνου τὰ τοῦ Πνεύματος μανθάνων, καὶ μετὰ ταῦτα ἀπέρχῃ πορνῶν ἀκουσόμενος γυναικῶν, αἰσχρὰ φθεγγομένων, αἰσχρότερα ὑποκρινομένων, καὶ μαλακῶν ῥαπιζομένων τε καὶ ῥαπιζόντων ἀλλήλους; Πῶς δυνήσῃ καλῶς καθαρθῆναι, ἐγκαλινδούμενος βορβόρῳ τοσούτῳ;

Τί γὰρ δεῖ κατὰ μέρος πᾶσαν καταλέγειν τὴν ἀσχημοσύνην τὴν αὐτόθι; Πάντα γὰρ ἐκεῖ γέλως, πάντα αἰσχύνη, πάντα ὄνειδος καὶ λοιδορίαι καὶ σκώμματα, πάντα ἔκλυσις, πάντα λύμη. Ἰδοὺ προλέγω καὶ παραγγέλλω πᾶσιν ὑμῖν· μηδεὶς τῶν ταύτης ἀπολαυόντων τῆς τραπέζης, φθειρέτω τὴν ἑαυτοῦ ψυχὴν τοῖς δηλητηρίοις ἐκείνοις θεάμασι. Πομπὴ πάντα ἐστὶ τὰ ἐκεῖ λεγόμενα καὶ πραττόμενα σατανική. Ἴστε, δὲ οἱ μεμυημένοι ποίας ἡμῖν ἔθεσθε συνθήκας, (μᾶλλον δὲ ποίας ἔθεσθε τῷ Χριστῷ, ὅτε ὑμᾶς αὐτὸς ἐμυσταγώγει), τί πρὸς αὐτὸν εἴπατε, τί περὶ τῆς πομπῆς τῆς σατανικῆς αὐτῷ διελέχθητε, πῶς μετὰ τοῦ Σατανᾶ καὶ τῶν ἀγγέλων αὐτοῦ, καὶ ταύτῃ τότε ἀπετάττεσθε, καὶ ὑπισχνεῖσθε μηδὲ παρακύψειν ἐκεῖ; Δέος οὖν οὐ μικρόν, μή, περὶ τὰς τοιαύτας ὑποσχέσεις ἀγνώμων τις γενόμενος, ἀνάξιον ἑαυτὸν καταστήσῃ τῶν μυστηρίων τούτων.

Οὐχ ὁρᾷς πῶς ἐν ταῖς βασιλικαῖς αὐλαῖς οὐχ οἱ προσκεκρουκότες, ἀλλ' οἱ τετιμημένοι καλοῦνται μεθέξοντες τῆς

ρους, ὅταν ἴδωμεν τὴν γῆν καθαράν. Ἐνῷ ἐὰν τὴν ἴδωμεν πετρώδη καὶ σκληράν, συγχωρήσετέ μας ἂν δὲν θέλωμεν νὰ κοπιάσωμεν ματαίως. Διότι ἐὰν ἀφήσωμεν τὴν σπορὰν καὶ ἀρχίσωμεν νὰ ξερριζώνωμεν τὰ ἀγκάθια, πάλιν θὰ εἶναι μεγάλη μωρία νὰ σπείρωμεν εἰς ἀκαλλιέργητον γῆν.

Ἐκεῖνος ποὺ ἀπολαμβάνει αὐτὴν τὴν ἀκρόασιν, δὲν πρέπει νὰ συμμετέχῃ εἰς τὴν δαιμονικὴν τράπεζαν. Διότι ποία σχέσις ὑπάρχει μεταξὺ δικαιοσύνης καὶ παρανομίας; Στέκεσαι καὶ ἀκούεις τὸν Ἰωάννην καὶ μέσῳ ἐκείνου μαθαίνεις τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος καὶ μετὰ ἀπὸ αὐτὰ πηγαίνεις νὰ ἀκούσῃς πόρνας γυναῖκας, αἱ ὁποῖαι ὁμιλοῦν αἰσχρὰ καὶ ὑποκρίνονται αἰσχρότερα, καὶ κιναίδους νὰ ραπίζωνται καὶ νὰ ραπίζουν ὁ ἕνας τὸν ἄλλον; Πῶς θὰ δυνηθῇς νὰ καθαρισθῇς καλά, ὅταν κυλίεσαι μέσα εἰς τόσον βόρβορον;

Διατί νὰ ἀναφέρω καταλεπτῶς ὅλας τὰς ἀσχημοσύνας ποὺ γίνονται ἐκεῖ; Ἐκεῖ ὅλα εἶναι γελοῖα, ὅλα εἶναι καταισχύνη, ὅλα εἶναι προσβολὴ καὶ ὕβρεις καὶ ἀστεϊσμοί, ὅλα εἶναι ἔκλυσις, ὅλα εἶναι καταστροφή. Σᾶς προειδοποιῶ καὶ σᾶς παραγγέλλω ὅλους· κανεὶς ἀπὸ ὅσους ἀπήλαυσεν αὐτὴν τὴν τράπεζαν νὰ μὴ διαφθείρῃ τὴν ψυχήν του μὲ τὰ δηλητηριώδη ἐκεῖνα θεάματα. Ὅλα ὅσα λέγονται καὶ γίνονται ἐκεῖ εἶναι σατανικὴ διαπόμπευσις. Γνωρίζετε δὲ οἱ βαπτισμένοι ποίαν συμφωνίαν συνήψατε μὲ ἐμᾶς, ἢ μᾶλλον μὲ τὸν Χριστόν, ὅταν σᾶς εἰσήγαγεν εἰς τὰ μυστήρια. Τί εἴπατε πρὸς αὐτόν; Τί ὡμιλήσατε πρὸς αὐτὸν διὰ τὴν σατανικὴν διαπόμπευσιν, ὅτι καὶ τότε τὴν ἀποτάσσεσθε μαζὶ μὲ τὸν σατανᾶν καὶ τοὺς ἀγγέλους του, καὶ ὑπόσχεσθε ὅτι οὔτε θὰ σκύψετε καὶ θὰ ἰδῆτε πρὸς τὰ ἐκεῖ; Ὑπάρχει λοιπὸν φόβος μεγάλος μήπως κανεὶς γίνῃ ἀσυνεπὴς πρὸς αὐτὰς τὰς ὑποσχέσεις καὶ κάνῃ τὸν ἑαυτόν του ἀνάξιον αὐτῶν τῶν μυστηρίων.

Δὲν βλέπεις ὅτι εἰς τὰς βασιλικὰς αὐλὰς δὲν καλοῦνται νὰ συμμετάσχουν εἰς τὴν εὔνοιαν ἐκείνην καὶ κατατάσ-

γνώμης ἐκείνης, καὶ εἰς τοὺς φίλους τάττονται τοὺς βασιλικούς; Πρεσβευτὴς ἡμῖν ἦλθεν ἐξ οὐρανοῦ, παρ' αὐτοῦ πεμφθεὶς τοῦ Θεοῦ, περί τινων ἀναγκαίων διαλεξόμενος· εἶτα ὑμεῖς, ἀφέντες ἀκοῦσαι τί βούλεται καὶ τί διαπρεσβεύεται πρὸς ἡμᾶς, κάθησθε μίμων ἀκούοντες. Καὶ πόσων οὐκ ἄξια ταῦτα κεραυνῶν, πόσων σκηπτῶν; Ὥσπερ γὰρ τραπέζης οὐ χρὴ μετέχειν δαιμονίων, οὕτως οὐδὲ ἀκροάσεως δαιμονίων, οὐδὲ μετὰ ρυπαρᾶς τῆς ἐσθῆτος εἰς τὴν λαμπρὰν τράπεζαν παραγενέσθαι, τὴν τοσούτων γέμουσαν ἀγαθῶν, ἣν αὐτὸς παρεσκεύασεν ὁ Θεός.

Τοσαύτη γὰρ αὐτῆς ἡ δύναμις, ὡς καὶ πρὸς τὸν οὐρανὸν αὐτὸν ἀθρόον ἡμᾶς ἐπᾶραι, μόνον ἐὰν σώφρονι διανοίᾳ προσέχωμεν. Οὐ γάρ ἐστι τὸν συνεχῶς τοῖς θείοις ἐπᾳδόμενον λόγοις ἐπὶ τῆς παρούσης μεῖναι ταπεινότητος, ἀλλὰ ἀνάγκη πτερωθῆναι εὐθέως, καὶ πρὸς αὐτὸν ἀναπτῆναι τὸν ἄνω χῶρον, καὶ τοῖς ἀπείροις ἐντυχεῖν τῶν ἀγαθῶν θησαυροῖς, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σονται μεταξὺ τῶν βασιλικῶν φίλων, ὄχι οἱ ἀντιτιθέμενοι ἀλλὰ ὅσοι ἐκδηλώνουν σεβασμόν; Ἦλθε προσβευτὴς ἀπὸ τὸν οὐρανὸν πρὸς χάριν μας, ἀπεσταλμένος ἀπὸ τὸν ἴδιον τὸν Θεόν, διὰ νὰ μᾶς ὁμιλήσῃ δι' ὡρισμένα ἀπαραίτητα θέματα καὶ σεῖς ἀντὶ νὰ τὸν ἀκούσετε τί θέλει καὶ τί διαπραγματεύσεις κάμνει πρὸς ἐμᾶς, κάθεσθε καὶ ἀκούετε μίμους. Πόσων κεραυνῶν δὲν εἶναι ἄξια αὐτὰ καὶ πόσων καταιγίδων; Διότι, ὅπως δὲν πρέπει νὰ συμμετέχετε εἰς τὴν τράπεζαν τῶν δαιμονίων, ἔτσι δὲν πρέπει οὔτε νὰ ἀκούετε τὰ δαιμόνια, οὔτε μὲ λερωμένον ἔνδυμα νὰ πηγαίνετε εἰς τὴν λαμπρὰν τράπεζαν ἡ ὁποία εἶναι γεμάτη μὲ τόσα ἀγαθά, τὴν ὁποίαν ἑτοίμασεν ὁ ἴδιος ὁ Θεός.

Διότι τόση εἶναι ἡ δύναμίς της, ὥστε καὶ εἰς τὸν οὐρανὸν τὸν ἴδιον νὰ μᾶς ἀφαρπάσῃ διὰ μιᾶς, ἀρκεῖ νὰ προσέχωμεν μὲ ἐγκρατῆ διάνοιαν. Διότι δὲν εἶναι δυνατὸν αὐτὸς ποὺ ἀκούει συνεχῶς τοὺς θείους λόγους νὰ παραμείνῃ εἰς τὴν τωρινὴν ταπεινότητα, ἀλλὰ πρέπει ἀμέσως νὰ ἀποκτήσῃ πτερὰ καὶ νὰ πετάξῃ πρὸς τὸν ἄνω χῶρον καὶ νὰ συναντήσῃ τοὺς ἀπείρους θησαυροὺς τῶν ἀγαθῶν, τοὺς ὁποίους εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ πανάγιον Πνεῦμα καὶ τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Β΄.

'Ιω. 1, 1

«Ἐν ἀρχῇ ἦν ὁ Λόγος».

1. Εἰ μὲν Ἰωάννης ἡμῖν ἔμελλε διαλέξεσθαι, καὶ τὰ αὐτοῦ πρὸς ἡμᾶς ἐρεῖν, ἀναγκαῖον ἦν καὶ γένος αὐτοῦ καὶ πατρίδα εἰπεῖν καὶ ἀνατροφήν. Ἐπειδὴ δὲ οὐχ οὗτος, ἀλλ' ὁ Θεὸς δι' αὐτοῦ πρὸς τὴν τῶν ἀνθρώπων φθέγγεται φύσιν, περιττὸν εἶναί μοι δοκεῖ καὶ παρέλκον ταῦτα ἀναζητεῖν· μᾶλλον δὲ οὐδὲ οὕτω περιττόν, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον· ὅταν γὰρ μάθῃς τίς ἦν, καὶ πόθεν, καὶ τίνων, καὶ ποταπός, εἶτα ἀκούσῃς αὐτοῦ τῆς φωνῆς καὶ τῆς φιλοσοφίας ἁπάσης, τότε εἴσῃ καλῶς, ὅτι οὐκ ἐκείνου ταῦτα ἦν, ἀλλὰ τῆς θείας δυνάμεως, τῆς κινούσης αὐτοῦ τὴν ψυχήν.

Ποίας οὖν ἦν πατρίδος; Πατρίδος μὲν οὐδεμιᾶς, κώμης δὲ εὐτελοῦς καὶ χώρας φαυλοτέρας, καὶ οὐδὲν φερούσης ἀγαθόν· τὴν γὰρ Γαλιλαίαν διαβάλλουσι μὲν οἱ γραμματεῖς, λέγοντες· «Ἐρώτησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται προφήτης». Διαβάλλει δὲ καὶ ὁ ἀληθῶς Ἰσραηλίτης, λέγων· «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;». Καὶ ταύτης ὢν τῆς γῆς, οὐδὲ ἐπισήμου χωρίου τινὸς ἦν. Ἀλλ' οὐδὲ ἐκ προσηγορίας γνωρίμου οὗτος ἐκεῖθεν ἦν, πατρὸς δὲ ἁλιέως πένητος· οὕτω πένητος, ὡς καὶ τοὺς παῖδας ἐπὶ τὴν αὐτὴν ἐργασίαν ἀγαγεῖν. Ἴστε δὲ ἅπαντες, ὅτι οὐδεὶς χειροτέχνης αἱρήσεται τὸν υἱὸν ποιῆσαι τῆς τέχνης τῆς ἑαυτοῦ κληρονόμον, πλὴν εἰ μὴ σφόδρα καταναγκάζοι πενία· καὶ μάλιστα, ὅταν εὐτελὴς ἡ τέχνη ᾖ. Ἁλιέων δὲ οὐδὲν πενέστερον, οὐδὲ εὐτελέστερον, ἀλλ' οὐδὲ ἀμαθέστερόν τι γένοιτ'

---

1. 'Ιω. 7, 52.
2. 'Ιω. 1, 46.

ΟΜΙΛΙΑ Β΄.

'Ιω. 1, 1

«Είς τὴν ἀρχὴν ὑπῆρχεν ὁ Λόγος»

1. 'Εὰν μὲν ἐπρόκειτο νὰ μᾶς ὁμιλήσῃ ὁ 'Ιωάννης καὶ νὰ μᾶς εἰπῇ τὰ ἰδικά του, ἦτο ἀπαραίτητον νὰ ἀναφέρῃ καὶ τὸ γένος του καὶ τὴν πατρίδα του καὶ τὴν ἀνατροφήν του. 'Επειδὴ ὅμως δὲν ὁμιλεῖ αὐτὸς ἀλλὰ ὁ Θεὸς δι' αὐτοῦ πρὸς τὸ ἀνθρώπινον γένος, μοῦ φαίνεται ὅτι εἶναι περιττὸν καὶ παρέλκει νὰ τὰ ἐρευνῶμεν αὐτά· ἢ μᾶλλον καὶ τώρα ὄχι μόνον δὲν εἶναι περιττόν, ἀλλὰ καὶ πολὺ ἀναγκαῖον. Διότι, ὅταν πληροφορηθῇς ποῖος ἦτο καὶ ἀπὸ ποῦ κατήγετο καὶ ἀπὸ ποίους γονεῖς καὶ ποίας προελεύσεως, καὶ ἀκούῃς ἔπειτα τὴν φωνήν του καὶ τὴν φιλοσοφίαν του ὁλόκληρον, τότε θὰ γνωρίσῃς καλῶς ὅτι αὐτὰ δὲν ἦσαν ἰδικά του ἀλλὰ τῆς θείας δυνάμεως ἡ ὁποία ἐκινοῦσε τὴν ψυχήν του.

'Απὸ ποίαν λοιπὸν πατρίδα κατήγετο; 'Απὸ καμμίαν πατρίδα μὲν σημαντικήν, ἀλλὰ ἀπὸ ἀσήμαντον χωρίον καὶ ἀπὸ χώραν ἀκόμη πιὸ ἀναξίαν λόγου, ἡ ὁποία δὲν εἶχε νὰ ἐπιδείξῃ τίποτε τὸ ἀγαθόν. Διότι τὴν Γαλιλαίαν τὴν κατηγοροῦν καὶ οἱ Γραμματεῖς λέγοντες· «'Ερώτησε καὶ θὰ ἰδῇς, ὅτι ἀπὸ τὴν Γαλιλαίαν δὲν προῆλθε προφήτης»[1], τὴν κατηγορεῖ δὲ καὶ ὁ ἀληθινὸς 'Ισραηλίτης λέγων· «'Απὸ τὴν Ναζαρὲτ εἶναι δυνατὸν νὰ προέλθῃ κανένα καλόν;»[2]. Καὶ καταγόμενος ἀπὸ αὐτὴν τὴν περιοχήν, δὲν προήρχετο ἀπὸ κανένα ἀξιόλογον χωρίον. 'Αλλὰ καὶ ἐκεῖ δὲν ἀνῆκεν εἰς κανένα ἀπὸ τὰ γνωστὰ ὀνόματα, ὁ δὲ πατέρας του ἦτο πτωχὸς ἁλιεύς. Τόσον πτωχὸς μάλιστα, ὥστε νὰ ὁδηγήσῃ καὶ τὰ παιδιά του εἰς αὐτὴν τὴν ἐργασίαν. Γνωρίζετε δὲ ὅλοι ὅτι κανεὶς χειρῶναξ δὲν προτιμᾷ νὰ κάνῃ τὸν υἱόν του κληρονόμον τοῦ ἐπαγγέλματός του, ἐκτὸς ἐὰν τὸν ἀναγκάζῃ πολὺ ἡ πτώχεια. Δὲν θὰ ἠμποροῦσε δὲ τίποτε νὰ γίνῃ πιὸ

ἄν· πλὴν ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους εἰσίν. Ὁ δὲ Ἀπόστολος ἡμῖν οὗτος κἀνταῦθα τὴν ἐλάσσω τάξιν ἐπεῖχεν· οὐ γὰρ ἀπὸ τῆς θαλάσσης ἐθήρευεν, ἀλλ' ἐν μικρᾷ τινι λίμνῃ διέτριβε, καὶ περὶ ταύτην αὐτὸν στρεφόμενον μετὰ τοῦ πατρὸς καὶ Ἰακώβου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ διερρωγότα ῥάπτοντας δίκτυα, (ὃ καὶ αὐτὸ τῆς ἐσχάτης πενίας ἦν), ἔστι μὲν καὶ ἐκ τούτων μαθεῖν, ὅτι οὐδ' ὁτιοῦν αὐτῷ μετῆν. Ἄλλως δὲ καὶ ὁ Λουκᾶς μαρτυρεῖ, γράφων, ὅτι οὐ μόνον ἰδιώτης, ἀλλὰ καὶ ἀγράμματος ἦν. Εἰκότως· ὁ γὰρ οὕτω πένης, καὶ μήτε εἰς ἀγορὰς ἐμβάλλων, μήτε ἀξιοπίστοις ἐντυγχάνων ἀνδράσιν, ἀλλὰ τῇ ἁλιείᾳ προσηλωμένος, εἴ ποτε δέ τινι καὶ συνεγένετο, καπήλοις ἰχθύων καὶ μαγείροις ὁμιλῶν, τί τῶν θηρίων καὶ ἀλόγων ἔμελλεν ἄμεινον διακεῖσθαι; πῶς δὲ οὐχὶ αὐτῶν μιμεῖσθαι τῶν ἰχθύων τὴν ἀφωνίαν;

Οὗτος δὴ οὖν ὁ ἁλιεύς, ὁ περὶ λίμνας στρεφόμενος καὶ δίκτυα καὶ ἰχθῦς, ὁ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, ὁ πατρὸς ἁλιέως πένητος, καὶ πένητος πενίαν τὴν ἐσχάτην, ὁ ἰδιώτης ἰδιωτείαν καὶ ταύτην τὴν ἐσχάτην, ὁ γράμματα μήτε πρότερον μαθών, μήτε ὕστερον μετὰ τὸ συγγενέσθαι τῷ Χριστῷ, ἴδωμεν τί φθέγγεται, καὶ περὶ τίνων ἡμῖν διαλέγεται. Ἆρα περὶ τῶν ἐν ἀγροῖς; περὶ τῶν ἐν ποταμοῖς; περὶ συμβολαίων ἰχθύων; ταῦτα γὰρ ἴσως παρὰ ἁλιέως ἀκούσεσθαι προσδοκᾷ τις. Ἀλλὰ μὴ δείσητε· τούτων μὲν γὰρ οὐδὲν ἀκουσόμεθα, τὰ δὲ ἐν τοῖς οὐρανοῖς, καὶ ἃ μηδεὶς μηδέπω ἔμαθε πρὸ τούτου· οὕτω γὰρ ἡμῖν ὑψηλὰ δόγματα, καὶ πολιτείαν ἀρίστην, καὶ φιλοσοφίαν ἥκει κομίζων, ὡς εἰκὸς τὸν ἀπ' αὐτῶν

πτωχὸν καὶ πιὸ εὐτελὲς καὶ πιὸ ἀμαθὲς ἀπὸ τοὺς ἁλιεῖς. Ἀλλὰ καὶ μεταξὺ αὐτῶν ἄλλοι εἶναι ἀνώτεροι καὶ ἄλλοι κατώτεροι. Ὁ ἀπόστολός μας αὐτὸς καὶ ἐδῶ ἀνῆκεν εἰς τὴν κατωτέραν τάξιν. Διότι δὲν ἐψάρευεν εἰς τὴν θάλασσαν, ἀλλὰ ἐπερνοῦσε τὸν καιρόν του εἰς μίαν μικρὰν λίμνην καὶ καθὼς περιεφέρετο γύρω ἀπὸ αὐτὴν μαζὶ μὲ τὸν πατέρα του καὶ τὸν ἀδελφόν του Ἰάκωβον ράπτοντας σχισμένα δίκτυα (δεῖγμα καὶ αὐτὸ τῆς ἐσχάτης πενίας του) τὸν ἐκάλεσεν ὁ Χριστός.

Ὅτι δὲ δὲν εἶχε τίποτε ποὺ νὰ ὀφείλεται εἰς τὴν ἔξωθεν παιδείαν, τὸ ἀντιλαμβανόμεθα καὶ ἀπὸ αὐτά, ἀλλὰ τὸ μαρτυρεῖ καὶ ὁ Λουκᾶς ὅταν γράφῃ ὅτι ὄχι μόνον ἦτο ἁπλοϊκὸς ἀλλὰ καὶ ἀγράμματος. Ὀρθῶς· διότι αὐτὸς ὁ τόσον πτωχός, ὁ ὁποῖος οὔτε εἰς τὰς ἀγορὰς ἐσύχναζεν, οὔτε συνανεστρέφετο μὲ ἀνθρώπους ποὺ νὰ ἐμπνέουν ἐμπιστοσύνην, ἀλλὰ ἦτο προσηλωμένος εἰς τὴν ἁλιείαν, ἐὰν δὲ καμμίαν φορὰν ἤρχετο εἰς ἐπαφὴν μὲ κάποιον, ὁμιλῶν μὲ ἰχθυοπώλας καὶ μαγείρους, κατὰ τί θὰ ἐγίνετο καλύτερος ἀπὸ τὰ ἄλογα ζῶα; Δὲν θὰ ἐμιμεῖτο τὴν ἀφωνίαν τῶν ἰχθύων;

Αὐτὸς λοιπὸν ὁ ἁλιεύς, ὁ ὁποῖος περιεφέρετο γύρω ἀπὸ λίμνας καὶ δίκτυα καὶ ἰχθῦς, κατήγετο ἀπὸ τὴν Βηθσαϊδὰ τῆς Γαλιλαίας, εἶχε πατέρα ἁλιέα πτωχόν, καὶ πάρα πολὺ πτωχὸν μάλιστα, ἦτο ἁπλοϊκὸς εἰς μεγάλον βαθμόν, δὲν ἐγνώριζε γράμματα οὔτε πρὶν οὔτε μετὰ τὴν γνωριμίαν του μὲ τὸν Χριστόν, ἂς ἴδωμεν τί λέγει καὶ διὰ ποῖα πράγματα μᾶς ὁμιλεῖ. Μήπως ὁμιλεῖ δι' ὅσα ἀφοροῦν τοὺς ἀγρούς, ἢ τοὺς ποταμούς, ἢ διὰ τὴν δοσοληψίαν τῶν ἰχθύων; Διότι αὐτὰ θὰ ἀνέμενεν ἴσως νὰ ἀκούσῃ κανεὶς ἀπὸ ἁλιέα. Ἀλλὰ μὴ φοβῆσθε· τίποτε ἀπὸ αὐτὰ δὲν θὰ ἀκούσωμεν· ἀντιθέτως θὰ ἀκούσωμεν ὅσα ὑπάρχουν εἰς τοὺς οὐρανούς, ἐκεῖνα τὰ ὁποῖα κανεὶς πρὶν ἀπὸ αὐτὸν δὲν ἔχει μάθει. Τόσον ὑψηλὰ διδάγματα καὶ τρόπον ζωῆς καὶ φιλοσοφίαν ἀρίστην μᾶς φέρει ἐρχόμενος, ὅπως εἶναι φυσικὸν εἰς ἐκεῖνον ὁ ὁποῖος ὁμιλεῖ ἐμπνεόμενος ἀπὸ τοὺς θησαυροὺς

φθεγγόμενον τῶν τοῦ Πνεύματος θησαυρῶν ὡς ἀπ᾿ αὐτῶν ἄρτι παραγενόμενος τῶν οὐρανῶν· μᾶλλον δὲ οὐδὲ τοὺς ἐκεῖ πάντας εἰκὸς ἦν εἰδέναι, ὅπερ καὶ ἔφθην εἰπών.

Ταῦτα οὖν ἁλιέως; εἰπέ μοι· ῥήτορος δὲ ὅλως; σοφιστοῦ δὲ ἢ φιλοσόφου; παντὸς δὲ τοῦ τὴν ἔξωθεν πεπαιδευμένου σοφίαν; Οὐδαμῶς· οὐ γὰρ ἀνθρωπίνης ἁπλῶς ψυχῆς περὶ τῆς ἀκηράτου καὶ μακαρίας ἐκείνης φύσεως τοιαῦτα φιλοσοφεῖν, περὶ τῶν μετ᾿ ἐκείνην δυνάμεων, περὶ ἀθανασίας καὶ ζωῆς ἀπείρου περὶ φύσεως σωμάτων θνητῶν τε καὶ ἀθανάτων ὕστερον ἐσομένων, περὶ κολάσεως, περὶ τοῦ μέλλοντος δικαστηρίου, περὶ τῶν ἐσομένων εὐθυνῶν, τῶν ἐν ῥήμασι, τῶν ἐν πράξεσι, τῶν ἐν λογισμοῖς καὶ διανοίᾳ, καὶ τί μὲν ἄνθρωπος εἰδέναι, τί δὲ κόσμος, καὶ τί μὲν ὁ ὄντως ἄνθρωπος, τί δὲ δοκῶν μὲν εἶναι, οὐκ ὢν δέ, τί κακία, καὶ τί ἀρετή.

2. Τούτων γὰρ ἔνια ἐζήτησαν μὲν οἱ περὶ Πλάτωνα καὶ Πυθαγόραν· τῶν γὰρ ἄλλων οὐδὲ ἁπλῶς μνημονευτέον ἡμῖν φιλοσόφων· οὕτω καταγέλαστοι ἐντεῦθεν μεθ᾿ ὑπερβολῆς γεγόνασιν ἅπαντες. Οἱ δὲ τῶν ἄλλων θαυμασθέντες πλέον παρ᾿ αὐτοῖς, καὶ πιστευθέντες εἶναι κορυφαῖοι τῆς ἐπιστήμης ἐκείνης, οὗτοι μάλιστα τῶν ἄλλων εἰσίν· οἳ καὶ πολιτείας μὲν ἕνεκεν καὶ νόμων συνθέντες τινὰ ἔγραψαν, ὅμως δὲ ἐν ἅπασι παίδων αἰσχρότερον κατεγελάσθησαν· τάς τε γὰρ γυναῖκας κοινὰς ἅπασι ποιοῦντες, καὶ τὸν βίον αὐτὸν ἀνατρέποντες, καὶ τὸ σεμνὸν διαφθείροντες τοῦ γάμου, καὶ ἕτερα τοιαῦτα καταγέλαστα νομοθετοῦντες, οὕτω πάντα τὸν βίον αὐτῶν ἀνάλωσαν. Δογμάτων δὲ ἕνεκεν τῶν περὶ ψυχῆς, οὐδὲ ὑπερβολήν τινα κατέλιπον αἰσχύνης λοιπόν, μυίας, καὶ κώνω-

τοῦ ἁγίου Πνεύματος (ὡσὰν νὰ ἔχῃ μόλις ἀφιχθῇ ἀπὸ τοὺς οὐρανούς· ἢ μᾶλλον θὰ μᾶς ἀποκαλύψῃ πράγματα, τὰ ὁποῖα οὔτε ὅλοι ὅσοι εἶναι ἐκεῖ τὰ γνωρίζουν, ὅπως εἶπα ἤδη προηγουμένως).

Εἶναι αὐτὰ ἔργον ἁλιέως; Εἰπέ μου. Ἢ μήπως ἐξ ὁλοκλήρου ἔργον ῥήτορος, σοφιστοῦ ἢ φιλοσόφου, ἢ καθενὸς ὁ ὁποῖος ἔχει ἀποκτήσει τὴν κατὰ κόσμον σοφίαν; Ὄχι. Διότι δὲν εἶναι ἁπλῆ ὑπόθεσις τῆς ἀνθρωπίνης ψυχῆς νὰ διατυπώσῃ τοιαύτας ἀπόψεις περὶ τῆς ἐναρέτου καὶ μακαρίας φύσεως τῆς ζωῆς, περὶ τῶν δυνάμεων ποὺ ὑπάρχουν πέρα ἀπὸ αὐτήν, περὶ ἀθανασίας καὶ αἰωνίου ζωῆς, περὶ τῆς φύσεως τῶν σωμάτων καὶ ὡς θνητῶν καὶ ἀθανάτων, ὅπως θὰ καταστοῦν κατόπιν, περὶ κολάσεως, περὶ τῆς μελλούσης κρίσεως, περὶ τῶν εὐθυνῶν ἑκάστου διὰ τὰ λόγια του, διὰ τὰς πράξεις του, διὰ τοὺς διαλογισμοὺς καὶ τὰς σκέψεις του. Καὶ ἀκόμη, νὰ γνωρίζῃ, τί εἶναι ἄνθρωπος, τί κόσμος, τί ὁ πραγματικὸς ἄνθρωπος καὶ τί ἐκεῖνος ποὺ φαίνεται ὅτι εἶναι, ἀλλὰ δὲν εἶναι, τί εἶναι κακία καὶ τί ἀρετή.

2. Μερικὰ ἀπὸ αὐτὰ βέβαια τὰ ἠρεύνησαν οἱ ὀπαδοὶ τοῦ Πλάτωνος καὶ τοῦ Πυθαγόρα, διότι τοὺς ἄλλους ἐκ τῶν φιλοσόφων δὲν ἀξίζει οὔτε νὰ τοὺς ἀναφέρωμεν, καθόσον ἀπεδείχθησαν ἐν προκειμένῳ πολὺ καταγέλαστοι. Ὅσοι δὲ ἀπὸ τοὺς ἄλλους ἐθαυμάσθησαν περισσότερον ἀπὸ αὐτοὺς καὶ ἐθεωρήθησαν ὅτι εἶναι οἱ κορυφαῖοι αὐτῆς τῆς ἐπιστήμης, αὐτοὶ κυρίως εἶναι ἐκεῖνοι οἱ ὁποῖοι ἔγραψαν μερικὰ χάριν δὲ τῆς πολιτείας συνέταξαν καὶ νόμους. Ἀλλ' ὅμως εἰς ὅλα ἐχλευάσθησαν χειρότερα καὶ ἀπὸ τὰ παιδιά. Διότι κατηνάλωσαν ὁλόκληρον τὸν βίον των καθιστῶντες τὰς γυναῖκας κοινὰς εἰς ὅλους καὶ ἀνατρέποντες τὴν ζωήν των, καταστρέφοντες τὴν ἱερότητα τοῦ γάμου καὶ νομοθετοῦντες ἄλλα τέτοια καταγέλαστα. Εἰς τὰ θέματα δὲ περὶ ψυχῆς δὲν ἀπέφυγαν οὔτε τὴν ὑπερβολικὴν αἰσχύνην, ἰσχυριζόμενοι ὅτι αἱ ψυχαὶ τῶν ἀνθρώπων γίνονται μυῖαι

πας, καὶ θάμνους τὰς τῶν ἀνθρώπων λέγοντες γίνεσθαι ψυχάς, καὶ τὸν Θεὸν αὐτὸν ψυχὴν εἶναι φάσκοντες, καὶ ἕτερα ἄττα τινὰ τοιαῦτα ἀσχημονοῦντες.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ κατηγορίας ἄξιον, ἀλλὰ καὶ ὁ πολὺς αὐτῶν τῶν λόγων εὔριπος· καθάπερ γὰρ ἐν εὐρίπῳ τῇδε κἀκεῖσε περιφερόμενοι, οὕτως οὐδέποτε ἐπὶ τῶν αὐτῶν ἑστήκεσαν, ἅτε ἀπὸ τῶν ἀδήλων καὶ ἐπισφαλῶν λογισμῶν πάντα φθεγγόμενοι. Ἀλλ' οὐχ ὁ ἁλιεὺς οὗτος οὕτως· ἀλλ' ἅπαντα μετὰ ἀσφαλείας φθέγγεται, καὶ ὥσπερ ἐπὶ πέτρας ἑστηκώς, οὐδαμοῦ περιτρέπεται· ἐν αὐτοῖς γὰρ τοῖς ἀδύτοις γενέσθαι καταξιωθείς, καὶ τὸν πάντων Δεσπότην ἐν ἑαυτῷ λαλοῦντα ἔχων, οὐδὲν ἀνθρώπινον ἔπασχεν· ἐκεῖνοι δὲ ὥσπερ οἱ τῶν μὲν βασιλείων οὐδὲ ὄναρ ἐπιβῆναι καταξιωθέντες, ἔξω δὲ ἐπ' ἀγορᾶς μετὰ τῶν ἄλλων διατρίβοντες ἀνθρώπων, καὶ ἀπὸ τῆς ἰδίας διανοίας καταστοχαζόμενοι τῶν ἀοράτων, τὴν πολλὴν ἐπλανήθησαν πλάνην, περὶ τῶν ἀρρήτων διαλεχθῆναι θελήσαντες, καὶ καθάπερ τυφλοὶ καὶ μεθύοντες, καὶ ἐν αὐτῇ τῇ πλάνῃ ἀλλήλοις προσέρρηξαν· οὐκ ἀλλήλοις δὲ μόνον, ἀλλὰ καὶ ἑαυτοῖς, πολλαχοῦ καὶ περὶ τῶν αὐτῶν ἀεὶ μετατιθέμενοι.

Ὁ δὲ ἀγράμματος οὗτος, ὁ ἰδιώτης, ὁ ἀπὸ Βηθσαϊδά, ὁ Ζεβεδαίου παῖς· κἂν γὰρ μυριάκις καταγελῶσιν Ἕλληνες τῆς τῶν ὀνομάτων ἀγροικίας οὐδὲν ἧττον μετὰ πλείονος αὐτὰ τῆς παρρησίας ἐρῶ· ὅσῳ γὰρ ἂν τὸ ἔθνος αὐτοῖς βάρβαρον φαίνηται καὶ τῆς Ἑλληνικῆς ἀπέχον παιδεύσεως, τοσούτῳ λαμπρότερα τὰ ἡμέτερα φανεῖται· ὅταν γὰρ ὁ βάρβαρος καὶ ἀμαθὴς τοιαῦτα φθέγγηται, ἃ μηδεὶς τῶν ἐπὶ γῆς ἀνθρώπων συνεῖδέ ποτε, καὶ μὴ φθέγγηται μόνον, ἀλλὰ καὶ πείθῃ, καίτοι, εἰ καὶ τοῦτο μόνον ἦν, μέγα τὸ θαῦμα ἦν, νῦν δὲ

καὶ κώνωπες καὶ θάμνοι, καὶ λέγοντες ὅτι καὶ ὁ ἴδιος ὁ Θεὸς εἶναι ψυχὴ καὶ ἄλλα τινὰ παρόμοια αἰσχρῶς ἰσχυριζόμενοι.

Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ ἄξιον κατηγορίας, ἀλλὰ καὶ ἡ μεγάλη παλινοδεία τῶν λόγων των. Διότι περιφερόμενοι ἐδῶ καὶ ἐκεῖ, ὅπως ἡ παλίρροια εἰς πορθμόν, δὲν σταματοῦν ποτὲ εἰς τὰ ἴδια πράγματα, καθόσον ὁμιλοῦν βασίζοντες τὰ πάντα εἰς τοὺς κρυφοὺς καὶ ἐπισφαλεῖς συλλογισμούς. Ὁ ἁλιεὺς αὐτὸς ὅμως δὲν κάνει ἔτσι, ἀλλὰ τὰ λέγει ὅλα μὲ βεβαιότητα καί, ὡσὰν νὰ στέκεται ἐπάνω εἰς πέτραν, πουθενὰ δὲν παρεκτρέπεται. Διότι ἐπειδὴ κατηξιώθη νὰ εἰσέλθῃ εἰς τὰ ἴδια τὰ ἄδυτα καὶ ἐπειδὴ ἔχει μέσα του τὸν πάντων Δεσπότην ὁ ὁποῖος ὁμιλεῖ, δὲν ὑπέπεσεν εἰς κανένα ἀνθρώπινον σφάλμα. Ἐνῷ ἐκεῖνοι, ὅπως αὐτοὶ οἱ ὁποῖοι οὔτε εἰς τὸ ὄνειρόν των δὲν ἠξιώθησαν νὰ ἐπισκεφθοῦν τὰ ἀνάκτορα, ἀλλὰ περιφέρονται ἔξω εἰς τὴν ἀγορὰν μαζὶ μὲ τοὺς ἄλλους ἀνθρώπους, καὶ μὲ τὴν σκέψιν των σχηματίζουν εἰκασίας περὶ ἐκείνων ποὺ εἶναι ἀόρατα, ὑπέπεσαν εἰς μεγάλην πλάνην θελήσαντες νὰ ὁμιλήσουν περὶ τῶν ἀρρήτων πραγμάτων, καὶ ὡσὰν τυφλοὶ καὶ μεθυσμένοι, μέσα εἰς τὴν πλάνην των αὐτὴν κατεσπάραξαν ὁ ἕνας τὸν ἄλλον, καὶ ὄχι μόνον ὁ ἕνας τὸν ἄλλον, ἀλλὰ καὶ τοὺς ἰδίους τοὺς ἑαυτούς των, ἀφοῦ συνεχῶς ἀλλάσσουν γνώμην διὰ τὰ αὐτὰ πράγματα.

Ἐνῷ αὐτὸς ὁ ἀγράμματος, ὁ ἁπλοϊκός, ἀπὸ τὴν Βηθσαϊδά, ὁ υἱὸς τοῦ Ζεβεδαίου, ἔστω καὶ ἂν μυρίας φορὰς εἰρωνεύωνται οἱ Ἕλληνες διὰ τὴν εὐτέλειαν τῶν τίτλων του, θὰ τὸ εἰπῶ μὲ πολὺ πιὸ μεγάλην παρρησίαν, ὅσον καὶ ἂν τὸ ἔθνος (ἀπὸ τὸ ὁποῖον κατάγεται ὁ Ἰωάννης) τοὺς φαίνεται ὅτι εἶναι βάρβαρον καὶ ὅτι ἀπέχει ἀπὸ τὴν ἑλληνικὴν παιδείαν, τόσον πιὸ σαφῆ θὰ ἀποδειχθοῦν τὰ ἰδικά μας. Διότι, ὅταν ὁ βάρβαρος καὶ ἀμαθὴς λέγῃ πράγματα τὰ ὁποῖα κανεὶς ἀπὸ τοὺς ἀνθρώπους τῆς γῆς δὲν κατενόησε ποτέ, καὶ ὄχι μόνον λέγῃ ἀλλὰ καὶ πείθῃ, μολονότι καὶ μόνον αὐτὸ ἂν συνέβαινε θὰ ἦτο μέγα τὸ θαῦμα, ἐνῷ τώρα

πρὸς τούτῳ καὶ ἕτερον τούτου μεῖζον παρέχῃ τεκμήριον, τοῦ θεόπνευστα εἶναι τὰ λεγόμενα, τὸ τοὺς ἀκούοντας πείθειν ἅπαντας διὰ τοῦ χρόνου παντός, τίς οὐ θαυμάσεται τὴν ἐνοικοῦσαν αὐτῷ δύναμιν; καὶ γὰρ καὶ τοῦτο μέγιστον, ὅπερ ἔφην, τεκμήριον τοῦ μηδὲν οἴκοθεν αὐτὸν νομοθετεῖν.

Οὗτος δὴ οὖν ὁ βάρβαρος, τῇ μὲν τοῦ Εὐαγγελίου γραφῇ τὴν οἰκουμένην κατέλαβεν ἅπασαν, τῷ δὲ σώματι μέσην κατέσχε τὴν Ἀσίαν, ἔνθα τὸ παλαιὸν ἐφιλοσόφουν οἱ τῆς Ἑλληνικῆς συμμορίας ἅπαντες, κἀκεῖθεν τοῖς δαίμοσίν ἐστι φοβερός, ἐν μέσῳ τῶν ἐχθρῶν διαλάμπων, καὶ τὸν ζόφον αὐτῶν σβεννύς, καὶ τὴν ἀκρόπολιν τῶν δαιμόνων καταλύων, τῇ δὲ ψυχῇ πρὸς τὸν χῶρον ἀνεχώρησεν ἐκεῖνον, τὸν ἁρμόττοντα τῷ τὰ τοιαῦτα ἐργασαμένῳ. Καὶ τὰ μὲν Ἑλλήνων ἔσβεσται ἅπαντα καὶ ἠφάνισται, τὰ δὲ τούτου καθ' ἑκάστην λαμπρότερα γίνεται. Ἐξ ὅτου γὰρ καὶ οὗτος καὶ οἱ λοιποὶ ἁλιεῖς, ἐξ ἐκείνου τὰ μὲν Πυθαγόρου σεσίγηται καὶ τὰ Πλάτωνος, δοκοῦντα πρότερον κρατεῖν, καὶ οὐδὲ ἐξ ὀνόματος αὐτοὺς ἴσασιν οἱ πολλοί· καίτοι Πλάτων καὶ τυράννοις συνεγένετο μετακληθείς, ὥς φασι, καὶ πολλοὺς ἔσχεν ἑταίρους, καὶ εἰς Σικελίαν ἔπλευσε, Πυθαγόρας δὲ τὴν μεγίστην Ἑλλάδα καταλαβών, καὶ γοητείας κινήσας εἴδη μυρία. Τὸ γὰρ βουσὶ διαλέγεσθαι (καὶ γὰρ καὶ τοῦτό φασιν αὐτὸν πεποιηκέναι), οὐδὲν ἕτερον ἢ γοητείας ἦν. Καὶ δῆλον μάλιστα ἐκεῖθεν· ὁ γὰρ τοῖς ἀλόγοις οὕτω διαλεγόμενος, τὸ τῶν ἀνθρώπων οὐδὲν ὠφέλησε γένος, ἀλλὰ καὶ τὰ μέγιστα ἔβλαψε.

Καίτοι γε ἐπιτηδειοτέρα πρὸς φιλοσοφίας λόγον ἡ φύσις ἡ τῶν ἀνθρώπων ἦν, ἀλλ' ὅμως ἐκεῖνος ἀετοῖς μὲν καὶ βουσὶ διελέγετο, καθάπερ φασί, γοητεύων· οὐδὲ γὰρ τὴν ἀ-

ἐκτὸς ἀπὸ αὐτὸ μᾶς παρέχει καὶ ἄλλην μεγαλυτέραν ἀπόδειξιν ὅτι ὅσα λέγονται εἶναι θεόπνευστα, τὸ ὅτι πείθει ὅλους ἐκείνους ποὺ τὸν ἀκούουν διὰ μέσου τῶν αἰώνων, ποῖος δὲν θὰ θαυμάσῃ τὴν δύναμιν ποὺ ὑπάρχει μέσα του; Διότι καὶ αὐτό, ὅπως εἶπα, ἀποτελεῖ μέγα τεκμήριον, ὅτι τίποτε δὲν νομοθετεῖ ἀπὸ τὸν ἑαυτόν του.

Αὐτὸς λοιπὸν ὁ βάρβαρος, μὲ τὴν μὲν συγγραφὴν τοῦ εὐαγγελίου ἐκυρίευσεν ὁλόκληρον τὴν οἰκουμένην, μὲ τὸ δὲ σῶμά του κατέλαβε τὴν μέσην Ἀσίαν, ὅπου παλαιότερα ἐφιλοσοφοῦσαν ὅλοι οἱ ἀνήκοντες εἰς τὴν ἑλληνικὴν συμμορίαν, καὶ ἐκεῖ κατέστη φοβερὸς εἰς τοὺς δαίμονας, διαπρέψας ἀνάμεσα εἰς ἐχθροὺς καὶ ἐξαφανίσας τὸ σκότος αὐτῶν καὶ καταργήσας τὸ προπύργιον τῶν δαιμόνων. Μὲ τὴν δὲ ψυχήν του ἀνεχώρησε πρὸς τὸν χῶρον ἐκεῖνον ὁ ὁποῖος ἁρμόζει εἰς αὐτὸν ποὺ ἔκαμεν ὅλα αὐτά. Καὶ τὰ μὲν ἔργα τῶν Ἑλλήνων ὅλα ἔσβησαν καὶ ἐξηφανίσθησαν, ἐνῷ τὰ ἰδικά του γίνονται καθ' ἑκάστην περισσότερον περιφανῆ.

Διότι ἀφ' ὅτου ἐνεφανίσθησαν αὐτὸς καὶ οἱ ὑπόλοιποι ἁλιεῖς, ἀπὸ τότε αἱ διδασκαλίαι τοῦ Πυθαγόρα καὶ τοῦ Πλάτωνος ἔχουν σιγήσει, ἐνῷ προηγουμένως ἐνομίζετο ὅτι ἐπικρατοῦν, καὶ οὔτε ἀπὸ τὸ ὄνομά τους δὲν τοὺς γνωρίζουν οἱ περισσότεροι· μολονότι ὁ Πλάτων μετακληθεὶς συνανεστράφη καὶ μὲ τυράννους, ὅπως λέγουν, καὶ εἶχε πολλοὺς φίλους καὶ ἐταξίδευσε καὶ εἰς τὴν Σικελίαν, ὁ δὲ Πυθαγόρας περιῆλθε τὸ μεγαλύτερον μέρος τῆς Ἑλλάδος καὶ ἔκανεν ἐπίδειξιν ἀπείρων εἰδῶν γοητείας. Διότι τὸ νὰ συνομιλῇ μὲ βόδια (διότι καὶ αὐτὸ λέγουν ὅτι τὸ ἔχει κάνει), δὲν ἦτο τίποτε ἄλλο ἀπὸ γοητείαν. Διότι αὐτὸς ὁ ὁποῖος διελέγετο ἔτσι μὲ τὰ ἄλογα ζῶα, δὲν ὠφέλησε καθόλου τὸ ἀνθρώπινον γένος, ἀλλὰ καὶ τὸ ἔβλαψε πάρα πολύ.

Καὶ μολονότι ἡ φύσις τῶν ἀνθρώπων ἦτο περισσότερον κατάλληλος πρὸς τὸν λόγον τῆς φιλοσοφίας, ὅμως ἐκεῖνος ὡμιλοῦσε μὲ ἀετοὺς καὶ βόδια, ὅπως λέγουν, γοητεύων.

λογον λογικὴν ἐποίησε φύσιν, (οὐδὲ γὰρ δυνατὸν ἀνθρώπῳ τοῦτο), ἀλλὰ μαγγανείαις τοὺς ἀνοήτους ἠπάτα, καὶ ἀνθρώπους ἀφεὶς διδάξαι τι τῶν χρησίμων, ἐπαίδευσεν ὅτι ἴσον ἦν κυάμους φαγεῖν καὶ τὰς τῶν γεννησαμένων κεφαλάς, καὶ τοὺς συνόντας ἔπειθεν, ὅτι δὴ ἡ τοῦ διδασκάλου ψυχὴ ποτὲ μὲν θάμνος ἐγίνετο, ποτὲ δὲ κόρη, ποτὲ δὲ ἰχθύς.

Ἆρ' οὐκ εἰκότως πάντα ἐσβέσθη ἐκεῖνα, καὶ ἠφανίσθη τέλεον; Εἰκότως, καὶ κατὰ λόγον. Ἀλλ' οὐ τὰ τοῦ ἰδιώτου καὶ ἀγραμμάτου οὕτως· ἀλλὰ καὶ Σύροι, καὶ Αἰγύπτιοι, καὶ Ἰνδοί, καὶ Πέρσαι, καὶ Αἰθίοπες, καὶ μυρία ἕτερα ἔθνη, εἰς τὴν αὐτῶν μεταβαλόντες γλῶτταν τὰ παρὰ τούτου δόγματα εἰσαχθέντα, ἔμαθον ἄνθρωποι βάρβαροι φιλοσοφεῖν.

3. Οὐκ ἄρα μάτην ἔλεγον, ὅτι αὐτῷ θέατρον γέγονε πᾶσα ἡ οἰκουμένη· οὐ γὰρ δή, τοὺς ὁμοφύλους ἀφείς, περὶ τὰς τῶν ἀλόγων ἐματαιοπόνει φύσεις, (ὃ περὶ περιττῆς φιλοτιμίας καὶ ἐσχάτης ἀνοίας ἦν), ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τούτου καθαρεύων τοῦ πάθους, ἓν μόνον ἐσπούδασεν, ὅπως ἡ οἰκουμένη πᾶσα μάθοι τι τῶν χρησίμων καὶ δυναμένων αὐτὴν ἀπὸ τῆς γῆς μεταστῆσαι πρὸς τὸν οὐρανόν. Διὰ τοῦτο οὐδὲ ζόφῳ τινὶ καὶ σκότῳ ἔκρυψεν ἑαυτοῦ τὴν διδασκαλίαν, καθάπερ ἐποίουν ἐκεῖνοι, τῶν ἔνδον ἐναποκειμένων κακῶν τὴν ἐν τῷ λέγειν ἀσάφειαν, καθάπερ τι παραπέτασμα προβαλλόμενοι, ἀλλὰ τὰ τούτου δόγματα τῶν ἡλιακῶν ἀκτίνων ἐστὶ φανερώτερα· διὸ καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις ἀνήπλωται.

Οὐ γὰρ πέντε ἔτη κελεύων τοὺς προσιόντας σιγᾶν, καθάπερ ἐκεῖνος, οὐδὲ ὡς ἀναισθήτοις παρακαθῆσθαι λίθοις, οὕτως ἐδίδασκεν, οὐδὲ ἐν ἀριθμοῖς εἶναι τὸ πᾶν διοριζόμενος ἐμυθολόγει, ἀλλά, ἀπορρίψας τὴν σατανικὴν ταύτην ἀηδίαν ἅπασαν καὶ λύμην, τοσαύτην τοῖς ῥήμασιν ἐγκατέμιξεν

Διότι οὔτε τὴν ἄλογον φύσιν τῶν ζώων τὴν ἔκανε λογικὴν (αὐτὸ ἐξ ἄλλου δὲν ἦτο δυνατὸν εἰς ἄνθρωπον), ἀλλὰ ἐξαπατοῦσε τοὺς ἀνοήτους μὲ μαγγανείας, καὶ ἀντὶ νὰ διδάξῃ εἰς τοὺς ἀνθρώπους κάτι χρήσιμον, τοὺς ἐδίδαξεν ὅτι εἶναι τὸ ἴδιον τὸ νὰ φάγῃ κανεὶς κουκιὰ ἢ τὰ κεφάλια αὐτῶν ποὺ τὸν ἐγέννησαν καὶ ἔπειθεν ὅσους ἦσαν μαζί του ὅτι ἡ ψυχὴ τοῦ διδασκάλου ἄλλοτε μὲν ἐγίνετο θάμνος, ἄλλοτε δὲ κόρη καὶ ἄλλοτε ἰχθύς.

Ἑπομένως ὀρθῶς δὲν ἐσβήσθησαν ὅλα ἐκεῖνα καὶ ἐξηφανίσθησαν τελείως; Ὀρθῶς καὶ λογικῶς. Δὲν συνέβη ὅμως τὸ ἴδιον καὶ μὲ τὰ ὅσα ἐδίδαξεν ὁ ἁπλοϊκὸς καὶ ἀγράμματος. Ἀλλὰ καὶ οἱ Σύροι καὶ οἱ Αἰγύπτιοι καὶ οἱ Ἰνδοὶ καὶ οἱ Πέρσαι καὶ οἱ Αἰθίοπες καὶ ἄπειρα ἄλλα ἔθνη, ἀφοῦ μετέφεραν εἰς τὴν γλῶσσαν των ὅσα ἐδίδαξεν ἐκεῖνος, ἔμαθαν βάρβαροι ἄνθρωποι νὰ φιλοσοφοῦν.

3. Δὲν ἔλεγα ἑπομένως ἀδίκως ὅτι ὁλόκληρος ἡ οἰκουμένη ἔγινε δι' αὐτὸν θέατρον. Διότι δὲν ἄφησε τοὺς ὁμοφύλους του καὶ ἐματαιοπονοῦσε μὲ τὰς φύσεις τῶν ἀλόγων ζώων, πρᾶγμα τὸ ὁποῖον ἦτο προσπάθεια περιττὴ καὶ μεγάλη ἀνοησία, ἀλλά, ἐπειδὴ μαζὶ μὲ τὰ ἄλλα ἦτο ἀπηλλαγμένος καὶ ἀπὸ τὸ πάθος, ἕνα πρᾶγμα μόνον ἐπεδίωξε, νὰ μάθῃ ἡ οἰκουμένη ὁλόκληρος κάτι ἀπὸ αὐτὰ ποὺ εἶναι χρήσιμα καὶ ποὺ ἠμποροῦν νὰ τὴν μεταθέσουν εἰς τὸν οὐρανόν. Δι' αὐτὸ καὶ δὲν ἔκρυψε τὴν διδασκαλίαν του μέσα εἰς κάποιαν ὁμίχλην καὶ σκότος, ὅπως ἔκαναν ἐκεῖνοι, προβάλλοντες τὴν ἀσάφειαν τοῦ λόγου ὡς ἄλλο παραπέτασμα, διὰ νὰ καλύψουν τὰ κακὰ ποὺ ὑπῆρχαν μέσα. Ἐνῷ αἱ διδασκαλίαι αὐτοῦ εἶναι πιὸ καθαραὶ καὶ ἀπὸ τὰς ἡλιακὰς ἀκτῖνας, δι' αὐτὸ καὶ ἔχουν ἐξαπλωθῆ μεταξὺ ὅλων τῶν ἀνθρώπων τῆς οἰκουμένης.

Διότι δὲν ἐδίδασκεν, ὅπως ἐκεῖνος, προτρέπων ὅσους προσήρχοντο νὰ σιωποῦν ἐπὶ πέντε ἔτη, ἢ νὰ κάθωνται ὡσὰν ἀναίσθητοι λίθοι, οὔτε ἔλεγε μύθους διακηρύσσων ὅτι τὸ σύμπαν εὑρίσκεται εἰς ἀριθμούς. Ἀλλά, ἀφοῦ ἀπέρριψεν ὁλόκληρον αὐτὴν τὴν σατανικὴν ἀηδίαν καὶ κακο-

εὐκολίαν, ὡς μὴ μόνον ἀνδράσι καὶ συνετοῖς, ἀλλὰ καὶ γυναιξὶ καὶ νέοις ἅπαντα εἶναι τὰ λεγόμενα δῆλα· ἐπίστευσε γὰρ αὐτὰ ἀληθῆ τε εἶναι καὶ χρήσιμα τοῖς ἀκουσομένοις ἅπασι, καὶ μαρτυρεῖ πᾶς ὁ μετ' ἐκεῖνον χρόνος· ὅλην τε γὰρ πρὸς ἑαυτὸν ἐφειλκύσατο τὴν οἰκουμένην, καὶ πάσης ἀλλοκότου τραγῳδίας τὸν ἡμέτερον ἀπήλλαξε βίον, μετὰ τὴν τῶν λόγων τούτων ἀκρόασιν· Διά τοι τοῦτο τῆς ψυχῆς ἑλοίμεθα ἂν ἐκστῆναι μᾶλλον οἱ ταῦτα ἀκούοντες, ἢ τῶν δογμάτων τῶν ὑπ' ἐκείνου παραδοθέντων ἡμῖν.

Καὶ ἐντεῦθεν τοίνυν καὶ πανταχόθεν δῆλον, ὅτι οὐδὲν ἀνθρώπινον τῶν τούτου, ἀλλὰ θεῖά τε καὶ οὐράνιά ἐστι διδάγματα τὰ διὰ τῆς θείας ταύτης εἰς ἡμᾶς ἐλθόντα ψυχῆς· οὐ γὰρ κτύπον ῥημάτων, οὐδὲ λέξεως κόμπον, οὐδὲ ὀνομάτων καὶ ῥημάτων κόσμον καὶ συνθήκην ὀψόμεθα περιττὴν καὶ ἀνόνητον, (πόρρω γὰρ ταῦτα φιλοσοφίας ἁπάσης), ἀλλ' ἰσχὺν ἄμαχον καὶ θείαν, καὶ δογμάτων ὀρθῶν ἀμήχανον δύναμιν, καὶ μυρίων ἀγαθῶν χορηγίαν· ἡ γὰρ κατὰ τὴν ἀπαγγελίαν περιεργία οὕτω περιττὴ ἦν καὶ σοφιστῶν ἀξία, μᾶλλον δὲ οὐδὲ σοφιστῶν, ἀλλὰ μειρακίων ἀνοήτων, ὡς καὶ αὐτὸν τὸν παρ' αὐτοῖς φιλόσοφον εἰσαγαγεῖν τὸν διδάσκαλον τὸν αὐτοῦ σφόδρα ἐπαισχυνόμενον ταύτῃ τῇ τέχνῃ, καὶ λέγοντα τοῖς δικασταῖς, ὅτι ἀκούσονται παρ' αὐτοῦ ῥήματα ἁπλῶς καὶ ὡς ἔτυχε λεγόμενα, οὐ μέντοι κεκαλλιεπημένα λόγοις, οὐδὲ ῥήμασί τε καὶ ὀνόμασι κεκοσμημένα. Οὐδὲ γὰρ δήπου πρέποι, φησίν, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς αὐτὸν εἰσιέναι.

Καὶ ὅρα τὸν πολὺν καταγέλωτα. Ὃ γὰρ ὡς αἰσχρὸν καὶ φιλοσοφίας ἀνάξιον καὶ μειρακίων ἔργον ἐποίησεν αὐτὸν

ποίησιν τῆς ἀληθείας, ἔκαμε τόσον εὔκολον τὴν διδασκαλίαν του, εἰς τρόπον ὥστε νὰ γίνωνται κατανοητὰ ὅλα ὅσα ἔλεγεν, ὄχι μόνον ἀπὸ τοὺς ἄνδρας καὶ τοὺς εἰδήμονας, ἀλλὰ καὶ ἀπὸ τὰς γυναῖκας καὶ τὰ παιδιά. Καὶ τοῦτο διότι ἐπίστευσεν, ὅτι αὐτὰ καὶ ἀληθινὰ εἶναι καὶ χρήσιμα εἰς ὅλους ὅσοι θὰ τὰ ἀκούσουν. Καὶ τὸ ἐπιβεβαιώνει αὐτὸ ὅλος ὁ χρόνος ποὺ διέρρευσε μετὰ ἀπὸ ἐκεῖνον. Διότι καὶ τὴν οἰκουμένην ὁλόκληρον τὴν προσείλκυσε πρὸς τὸν ἑαυτόν του, καὶ τὴν ζωήν μας τὴν ἠλευθέρωσεν ἀπὸ ὅλην τὴν ἀλλόκοτον τραγῳδίαν, μετὰ τὴν ἀκρόασιν τῶν λόγων αὐτῶν. Ἀκριβῶς δὲ δι' αὐτὸ θὰ ἐπροτιμούσαμεν νὰ στερηθῶμεν τὴν ζωήν μας, ὅσοι ἀκούομεν αὐτά, παρὰ τὰς ἀληθείας αἱ ὁποῖαι μᾶς παρεδόθησαν ἀπὸ ἐκεῖνον.

Καὶ ἀπὸ αὐτὸ λοιπὸν καὶ ἀπὸ παντοῦ γίνεται φανερόν, ὅτι τίποτε ἀπὸ τὰ ἰδικά του δὲν εἶναι ἀνθρώπινον, ἀλλὰ εἶναι θεϊκὰ καὶ οὐράνια διδάγματα, αὐτὰ τὰ ὁποῖα μᾶς ἦλθαν μὲ τὴν θεϊκὴν αὐτὴν ψυχήν. Διότι δὲν θὰ ἰδοῦμεν κτυπητὰ λόγια, οὔτε ἐντυπωσιακὰς λέξεις, οὔτε διακοσμητικὰ ὀνόματα καὶ ῥήματα καὶ πλοκὴν περιττὴν καὶ ἀνώφελον (διότι αὐτὰ εἶναι ξένα πρὸς κάθε φιλοσοφίαν), ἀλλὰ ἀκαταμάχητον καὶ θεϊκὴν ἰσχὺν καὶ ἀκαταγώνιστον δύναμιν ὀρθῶν ἀληθειῶν καὶ ἀφθονίαν ἀπείρων ἀγαθῶν. Διότι ἡ ἐπίμονος προσοχὴ εἰς τὴν ἔκθεσιν ἦτο τόσον περιττὴ καὶ ἀνταξία σοφιστῶν, ἢ μᾶλλον οὔτε σοφιστῶν ἀλλὰ ἀνοήτων παιδιῶν, ὥστε καὶ αὐτὸς ὁ φιλόσοφός των νὰ ἐμφανίζῃ τὸν διδάσκαλόν του ἐντρεπόμενον δι' αὐτὴν τὴν τέχνην καὶ λέγοντα εἰς τοὺς δικαστάς, ὅτι θὰ ἀκούσουν ἀπὸ αὐτὸν λόγια τὰ ὁποῖα λέγονται ἁπλᾶ καὶ εἰς τὴν τύχην καὶ ὄχι καρυκευμένα μὲ λόγους, οὔτε στολισμένα μὲ ῥήματα καὶ ὀνόματα. Δὲν εἶναι ἄλλωστε πρέπον, λέγει, εἰς αὐτὴν τὴν ἡλικίαν, ἄνδρες δικασταί, ἐμφανιζόμενος ἐνώπιόν σας νὰ πλάθω λόγους ὡσὰν μειράκιον.

Καὶ πρόσεξε τὸν μεγάλον περίγελον. Διότι ἐκεῖνο τὸ ὁποῖον αὐτὸς ἐχαρακτήρισεν ὡς αἰσχρὸν καὶ ἀνάξιον τῆς

φεύγοντα, τοῦτο μάλιστα πάντων αὐτὸς ἐπετήδευσεν. Οὕτω πανταχοῦ φιλοτιμίας ἦσαν μόνης· καὶ Πλάτωνος οὐδὲν ἔστι θαυμάσαι, ἢ τοῦτο μόνον. Καὶ καθάπερ τῶν τάφων τοὺς ἔξωθεν κεκονιαμένους ἂν ἀπαμφιάσῃς, ἰχῶρος, καὶ δυσωδίας, καὶ διεφθορότων ὄψει γέμοντας ὀστῶν, οὕτω καὶ τὰ τοῦ φιλοσόφου δόγματα, ἂν τῆς κατὰ τὴν λέξιν ἀπογυμνώσῃς ὥρας, πολλῆς ὄψει τῆς βδελυγμίας πεπληρωμένα, καὶ μάλιστα, ὅταν περὶ ψυχῆς φιλοσοφῇ, ἀμέτρως τιμῶν τε αὐτὴν καὶ βλασφημῶν.

Τοῦτο γὰρ ἡ διαβολικὴ παγίς, μηδαμοῦ τὴν συμμετρίαν τηρεῖν, ἀλλὰ τοῖς ἐφ' ἑκάτερα πλεονασμοῖς πρὸς δυσφημίαν ἐξάγειν τοὺς ἁλισκομένους αὐτῇ. Νῦν μὲν γὰρ αὐτὴν τῆς τοῦ Θεοῦ φησιν οὐσίας εἶναι, νῦν δὲ αὐτὴν οὕτως ἀμέτρως καὶ ἀσεβῶς ἐπάρας, μεθ' ἑτέρας καθυβρίζει πάλιν ὑπερβολῆς, εἰς χοίρους καὶ ὄνους εἰσάγων, καὶ τὰ ἔτι τούτων ἀτιμότερα ζῶα. Ἀλλὰ τούτων μὲν ἅλις· μᾶλλον δὲ καὶ ταῦτα πέρα τοῦ μέτρου· εἰ μὲν γάρ τι χρήσιμον παρ' αὐτῶν ἦν μαθεῖν, ἔδει καὶ πλέον ἐνδιατρίβειν, εἰ δὲ ὅσον τὴν ἀσχημοσύνην αὐτῶν καὶ τὸν γέλωτα κατοπτεῦσαι, καὶ ταῦτα πλέον τοῦ δέοντος εἴρηται παρ' ἡμῶν.

Διὰ ταῦτα, ἀφέντες τοὺς ἐκείνων μύθους, τῶν ἡμετέρων ἀψώμεθα δογμάτων, τῶν ἄνωθεν ἡμῖν κατενηνεγμένων διὰ τῆς γλώττης τούτου τοῦ ἁλιέως, τῶν μηδὲν ἐχόντων ἀνθρώπινον. Φέρε οὖν, αὐτὰς εἰς μέσον τὰς ῥήσεις ἀγάγωμεν, καὶ ὃ τὴν ἀρχὴν παρεκαλέσαμεν, ὥστε μετὰ ἀκριβείας προσέχειν τοῖς λεγομένοις, τοῦτο καὶ νῦν ὑπομνήσαντες.

φιλοσοφίας καὶ ἔργον τῶν μικρῶν παιδιῶν ὅταν ἔφευγεν, αὐτὸ τὸ ἐφήρμοσεν ὁ ἴδιος περισσότερον ἀπὸ ὅλους. Τόση μόνον ἦτο παντοῦ ἡ προσπάθειά των. Καὶ εἰς τὸν Πλάτωνα δὲν ὑπάρχει τίποτε νὰ θαυμάσῃς, παρὰ μόνον αὐτό. Καὶ ὅπως, ἐὰν ἀπογυμνώσῃς τοὺς τάφους, οἱ ὁποῖοι ἀπὸ ἔξω εἶναι ἐπιχρισμένοι, θὰ ἰδῇς νὰ εἶναι γεμᾶτοι ἀπὸ αἵματα καὶ δυσωδίαν καὶ σαπισμένα ὀστᾶ, ἔτσι καὶ αἱ θεωρίαι τοῦ φιλοσόφου, ἐὰν τὰς ἀπογυμνώσῃς ἀπὸ τὸ λεκτικὸν κάλλος, θὰ τὰς ἰδῇς νὰ εἶναι πλήρεις πολλῆς βδελυγμίας, ἰδίως ὅταν φιλοσοφῇ περὶ ψυχῆς, τὴν ὁποίαν τιμᾷ ὑπερβολικὰ ἀλλὰ καὶ τὴν ὑβρίζει.

Διότι τέτοια εἶναι ἡ παγίδα τοῦ διαβόλου, νὰ μὴ τηροῦν πουθενὰ τὴν συμμετρίαν, ἀλλὰ μὲ τοὺς πλεονασμοὺς καὶ πρὸς τὰς δύο πλευρὰς νὰ ὁδηγῇ εἰς βλασφημίας ὅσους παγιδεύονται εἰς αὐτήν. Διότι ἄλλοτε μὲν λέγει ὅτι αὐτὴ ἀνήκει εἰς τὴν οὐσίαν τοῦ Θεοῦ, ἄλλοτε δέ, ἀφοῦ τὴν ἐξύψωσε τόσον ὑπερμέτρως καὶ ἀσεβῶς, τὴν ὑβρίζει μὲ ἄλλην πάλιν ὑπερβολήν, ἀφοῦ τὴν εἰσάγῃ εἰς χοίρους καὶ ὄνους καὶ εἰς ἄλλα πιὸ ἄτιμα ἀπὸ αὐτὰ ζῶα. Ἀλλὰ περὶ αὐτῶν μὲν ἀρκετά. Ἢ μᾶλλον καὶ αὐτὰ εἶναι πέραν τοῦ μέτρου. Διότι, ἐὰν μὲν ἐπρόκειτο νὰ μάθωμεν κάτι τὸ χρήσιμον ἀπὸ αὐτά, ἔπρεπε νὰ ἐπιμείνωμεν ἀκόμη πιὸ πολύ. Διὰ νὰ διαπιστώσωμεν ὅμως τὴν ἀσχημοσύνην καὶ τὴν γελοιότητα αὐτῶν, καὶ αὐτὰ ποὺ ἐλέχθησαν ἀπὸ ἐμᾶς εἶναι περισσότερα ἀπὸ ὅσα ἐχρειάζοντο.

Δι' αὐτὸ ἀφοῦ ἀφήσωμεν τοὺς μύθους ἐκείνων, ἂς καταπιασθῶμεν μὲ τὰς ἰδικάς μας ἀληθείας, αἱ ὁποῖαι ἔχουν κατέλθει ἀπὸ τὸν οὐρανὸν πρὸς χάριν μας μὲ τὴν γλῶσσαν αὐτοῦ τοῦ ἁλιέως, αἱ ὁποῖαι δὲν ἔχουν τίποτε τὸ ἀνθρώπινον. Ἂς φέρωμεν λοιπὸν ἐνώπιόν μας τὰς ρήσεις αὐτὰς καὶ ἂς ὑπενθυμίσωμεν καὶ πάλιν ἐκεῖνο τὸ ὁποῖον ἀπὸ τὴν ἀρχὴν σᾶς παρεκαλέσαμεν, νὰ προσέχετε μὲ ἀκρίβειαν εἰς αὐτὰ ποὺ λέγονται.

Τί οὖν ἀρχόμενος ὁ Εὐαγγελιστὴς οὗτος εὐθέως φησίν; «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν». Εἶδες παρρησίαν καὶ ἐξουσίαν ῥημάτων πολλήν; πῶς, οὐδὲν ἀμφιβάλλων, οὐδὲ εἰκάζων, ἀλλὰ πάντα ἀποφαινόμενος, φθέγγεται; Τοῦτο γάρ ἐστι διδασκάλου, τὸ μὴ περιφέρεσθαι ἐν οἷς ἂν λέγῃ· εἰ γὰρ ὁ τοῖς ἄλλοις καθηγησόμενος ἑτέρου δεηθήσεται τοῦ στηρίξαι δυνησομένου μετὰ ἀσφαλείας αὐτόν, οὐ τὴν τῶν διδασκάλων, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ἐπέχειν ἂν εἴη δίκαιος. Εἰ δὲ λέγοι τις· Καὶ τί δήποτε, τό πρῶτον αἴτιον ἀφείς, εὐθέως ἡμῖν περὶ τοῦ δευτέρου διείλεκται; τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον παραιτησόμεθα λέγειν· ἀριθμοῦ γὰρ τὸ Θεῖον ἀνώτερον καὶ χρόνων ἀκολουθίας. Διὸ καὶ ταῦτα μὲν παρῃτησάμεθα, Πατέρα δὲ ὁμολογοῦμεν ἐξ οὐδενὸς ὄντα, καὶ Υἱὸν ἐκ Πατρὸς γεγεννημένον.

4. Ναί, φησί· τί δήποτ' οὖν, τὸν Πατέρα ἀφείς, περὶ τοῦ Υἱοῦ διαλέγεται; Ὅτι ἐκεῖνος μὲν δῆλος ἅπασιν ἦν, εἰ καὶ μὴ ὡς Πατήρ, ἀλλ' ὡς Θεός, ὁ δὲ Μονογενὴς ἠγνοεῖτο. Διὸ εἰκότως τὴν περὶ τούτου γνῶσιν εὐθέως ἐκ προοιμίων ἔσπευσεν ἐνθεῖναι τοῖς οὐκ εἰδόσιν αὐτόν· ἄλλως τε οὐδὲ τὸν Πατέρα ἐν τοῖς περὶ τούτων λόγοις ἀπεσιώπησε. Καὶ θέα μοι τὴν σύνεσιν τὴν πνευματικήν. Οἶδε τοὺς ἀνθρώπους τὸ πρεσβύτερον καὶ τὸ πρὸ πάντων μάλιστα τιμῶντας καὶ τιθεμένους, Θεόν. Διὰ τοῦτο ἐντεῦθεν πρῶτον ποιεῖται τὴν ἀρχήν, καὶ προϊὼν καὶ Θεόν φησιν εἶναι· καὶ οὐχ ὡς Πλάτων, τὸν μὲν νοῦν, τὸν δὲ ψυχὴν λέγων εἶναι· ταῦτα γὰρ πόρρω τῆς θείας καὶ ἀκηράτου φύσεως.

Οὐδὲ γὰρ ἔχει τι τὸ κοινὸν πρὸς ἡμᾶς, ἀλλὰ ἀνακεχώρηκε τῆς πρὸς τὴν κτίσιν κοινωνίας τῆς κατ' οὐσίαν λέγω,

Τί λέγει λοιπὸν εὐθὺς ἀπὸ τὴν ἀρχὴν αὐτὸς ὁ εὐαγγελιστής; «Εἰς τὴν ἀρχὴν ὑπῆρχεν ὁ Λόγος καὶ ὁ Λόγος ἦτο κοντὰ εἰς τὸν Θεόν». Βλέπεις μὲ πόσον θάρρος καὶ ἐξουσίαν ὁμιλεῖ; Βλέπεις πῶς ὁμιλεῖ ἀποκαλύπτων τὰ πάντα χωρὶς ἀμφιβολίαν καὶ εἰκασίας; Διότι αὐτὸ εἶναι τὸ ἴδιον τοῦ διδασκάλου, νὰ μὴ εἶναι ἀσταθὴς εἰς ὅσα λέγῃ. Διότι ἐὰν αὐτὸς ὁ ὁποῖος θὰ γίνῃ ὁδηγὸς τῶν ἄλλων, χρειάζεται ἄλλον ὁ ὁποῖος νὰ ἠμπορέσῃ νὰ τὸν στηρίξῃ μὲ ἀσφάλειαν, θὰ ἦτο ὀρθὸν νὰ κατέχῃ τὴν θέσιν τῶν μαθητῶν καὶ ὄχι τῶν διδασκάλων. Ἐὰν δὲ κάποιος προβάλῃ τὴν ἐρώτησιν· διατί ἄφησε τὸ πρῶτον αἴτιον καὶ μᾶς ὡμίλησεν ἀμέσως περὶ τοῦ δευτέρου; Διὰ τὸ πρῶτον καὶ τὸ δεύτερον θὰ ἀποφύγωμεν νὰ ὁμιλήσωμεν, διότι τὸ θεῖον εἶναι ἀνώτερον ἀπὸ τὸν ἀριθμὸν καὶ τὴν συνέπειαν τῶν χρόνων. Δι' αὐτὸ αὐτὰ μὲν τὰ ἀφήσαμεν, ὁμολογοῦμεν δὲ ὅτι ὁ Πατὴρ δὲν προέρχεται ἀπὸ κανένα, ὁ δὲ Υἱὸς ἔχει γεννηθῆ ἀπὸ τὸν Πατέρα.

4. Ναί, λέγει· διατί ὅμως ἄφησε τὸν Πατέρα καὶ ὁμιλεῖ περὶ τοῦ Υἱοῦ; Διότι ἐκεῖνος μὲν ἦτο φανερὸς εἰς ὅλους, ἂν ὄχι ὡς Πατήρ, ἀλλὰ ὡς Θεός· ἐνῷ ὁ Μονογενὴς ἠγνοεῖτο. Δι' αὐτὸ ὀρθῶς τὴν περὶ αὐτοῦ γνῶσιν ἀμέσως ἐκ προοιμίου ἔσπευσε νὰ τὴν παρεμβάλῃ χάριν ἐκείνων οἱ ὁποῖοι δὲν τὸν ἐγνώριζαν. Ἄλλως τε οὔτε τὸν Πατέρα ἀπεσιώπησεν εἰς τοὺς λόγους του περὶ αὐτῶν. Κάνε μου μάλιστα τὴν χάριν νὰ ἰδῇς τὴν πνευματικὴν σύνεσιν. Γνωρίζει ὅτι οἱ ἄνθρωποι τιμοῦν τὸ πρεσβύτερον καὶ μάλιστα αὐτὸ ποὺ ὑπῆρχε πρὶν ἀπὸ ὅλα καὶ τὸ δέχονται ὡς Θεόν, δι' αὐτὸ ἀπὸ ἐδῶ κάμνει πρῶτα τὴν ἀρχὴν καὶ καθὼς προχωρεῖ λέγει ὅτι εἶναι καὶ Θεός, καὶ ὄχι ὅπως κάμνει ὁ Πλάτων, ὁ ὁποῖος λέγει ὅτι ὁ μὲν ἕνας εἶναι νοῦς ὁ δὲ ἄλλος ψυχή. Διότι αὐτὰ εἶναι ξένα πρὸς τὴν θεϊκὴν καὶ ἀκηλίδωτον φύσιν.

Ἐξ ἄλλου δὲν ἔχει τίποτε τὸ κοινὸν μὲ ἐμᾶς, ἀλλὰ ἔπαυσε νὰ ἔχῃ ἐπικοινωνίαν μὲ τὴν κτίσιν, ἐννοῶ ὅσον ἀ-

οὐ μὴν τῆς κατὰ τὴν σχέσιν. Διά τοι τοῦτο καὶ Λόγον αὐτὸν ἐκάλεσεν. Ἐπειδὴ γὰρ μέλλει διδάσκειν, ὅτι οὗτος ὁ Λόγος Μονογενής ἐστιν Υἱὸς τοῦ Θεοῦ, ἵνα μὴ παθητὴν ὑπολάβοι τις τὴν γέννησιν, προλαβὼν τῇ τοῦ Λόγου προσηγορίᾳ, πᾶσαν ἀναιρεῖ τὴν πονηρὰν ὑποψίαν, τότε ἐξ αὐτοῦ τὸν Υἱὸν εἶναι δηλῶν, καὶ τὸ ἀπαθῶς.

Ὁρᾷς ὅτι, ὅπερ εἶπον, οὐδὲ τὸν Πατέρα ἐν τοῖς περὶ τοῦ Υἱοῦ λόγοις ἀπεσιώπησεν; Εἰ δὲ οὐκ ἀρκεῖ ταῦτα τὰ ὑποδείγματα παραστῆσαι τὸ πᾶν, μὴ θαυμάσῃς· περὶ Θεοῦ γὰρ ἡμῖν ὁ λόγος, ὃν οὔτε εἰπεῖν, οὔτε νοῆσαι κατ' ἀξίαν δυνατόν. Διὸ καὶ οὗτος οὐσίας μὲν οὐδαμοῦ τίθησιν ὄνομα· οὐδὲ γὰρ δυνατὸν εἰπεῖν αὐτὸ ὅ,τι ποτέ ἐστι τὴν οὐσίαν ὁ Θεός, πανταχοῦ δὲ ἡμῖν αὐτὸν ἀπὸ τῶν ἐνεργειῶν δηλοῖ.

Τὸν δὲ Λόγον τοῦτον ἴδοι τις ἂν μικρὸν ὕστερον καὶ φῶς λεγόμενον, καὶ τὸ φῶς πάλιν ὀνομαζόμενον ζωήν. Οὐ ταύτης δὲ μόνον ἕνεκεν τῆς αἰτίας οὕτως ὠνόμασεν αὐτόν, ἀλλὰ πρώτης μὲν ταύτης, δευτέρας δέ, ἐπειδὴ τὰ τοῦ Πατρὸς ἡμῖν ἔμελλεν ἀπαγγέλλειν· «Πάντα», γάρ, φησίν, «ὅσα ἤκουσα παρὰ τοῦ Πατρός, ἀνήγγειλα ὑμῖν». Καλεῖ δὲ αὐτὸν καὶ ζωὴν καὶ φῶς· τὸ γὰρ ἀπὸ τῆς γνώσεως φῶς ἡμῖν ἐχαρίσατο καὶ τὴν ἐντεῦθεν ζωήν. Καὶ ὅλως οὐκ ἔστιν ὄνομα ἓν ἀρκοῦν, οὐδὲ δύο καὶ τρία, οὐδὲ πλείω διδάξαι τὰ περὶ Θεοῦ, ἀλλ' ἀγαπητὸν διὰ πολλῶν γοῦν δυνηθῆναι κἂν ἀμυδρῶς περιδράξασθαι τῶν προσόντων αὐτῷ. Οὐχ ἁπλῶς δὲ αὐτὸν Λόγον εἴρηκεν, ἀλλὰ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, τῶν λοιπῶν αὐτὸν καὶ ταύτῃ χωρίζων.

Ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι ἀπὸ τῶν οὐρανῶν φθέγγεται ἡμῖν ὁ Εὐαγγελιστὴς οὗτος; Ὅρα γοῦν εὐθὺς ἐκ προ-

---

3. Ἰω. 15, 15.

φορᾶ τὴν οὐσίαν, ὄχι ὅμως ὅσον ἀφορᾶ καὶ τὴν σχέσιν. Δι' αὐτὸ ἀκριβῶς καὶ τὸν ὠνόμασε Λόγον. Διότι, ἐπειδὴ ἐπρόκειτο νὰ διδάξῃ ὅτι αὐτὸς ὁ Λόγος εἶναι μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ νὰ μὴ ὑποθέσῃ κανεὶς τὴν γέννησιν παθητὴν (κατὰ τὰ ἀνθρώπινα μέτρα), μὲ τὴν ὀνομασίαν τοῦ Λόγου προλαμβάνει καὶ ἀφ' ἑνὸς μὲν ἀνατρέπει κάθε πονηρὰν ὑπόνοιαν, ἀφ' ἑτέρου δὲ δηλώνει καὶ ὅτι ὁ Υἱὸς προέρχεται ἀπὸ αὐτὸν καὶ ὅτι γεννᾶται μὲ τρόπον ἀπαθῆ.

Βλέπεις ὅτι, ὅπως εἶπα, δὲν ἀποσιωπᾷ καὶ τὸν Πατέρα εἰς τοὺς λόγους του περὶ τοῦ Υἱοῦ; Ἐὰν δὲ δὲν ἀρκοῦν αὐτὰ τὰ παραδείγματα νὰ καταστήσουν φανερὸν τὸ ὅλον θέμα, μὴ ἀπορήσῃς. Διότι ὁμιλοῦμεν περὶ τοῦ Θεοῦ, τὸν ὁποῖον δὲν εἶναι δυνατὸν οὔτε νὰ τὸν ἐκφράσωμεν οὔτε νὰ τὸν κατανοήσωμεν. Διὰ τοῦτο καὶ αὐτὸς πουθενὰ δὲν θέτει ὄνομα τῆς οὐσίας, διότι δὲν εἶναι δυνατὸν νὰ εἰπῇ τοῦτο, τί ἀκριβῶς εἶναι ὡς πρὸς τὴν οὐσίαν ὁ Θεός· εἰς ὅλας δὲ τὰς περιπτώσεις τὸν δηλώνει ἐκ τῶν ἐνεργειῶν του.

Αὐτὸν δὲ τὸν Λόγον θὰ τὸν ἰδῇ κανεὶς ὕστερα ἀπὸ ὀλίγον νὰ λέγεται καὶ φῶς, καὶ τὸ φῶς πάλιν νὰ ὀνομάζεται ζωή. Δὲν τὸν ὀνομάζει ὅμως ἔτσι μόνον ἀπὸ αὐτὴν τὴν αἰτίαν· αὐτὴ μὲν εἶναι ἡ πρώτη αἰτία. Ἡ δευτέρα δὲ αἰτία εἶναι ὅτι ἐπρόκειτο νὰ μᾶς ἐκθέσῃ τὰ τοῦ Πατρός. Διότι λέγει· «Ὅλα ὅσα ἤκουσα ἀπὸ τὸν Πατέρα μου σᾶς τὰ ἀνήγγειλα»[3]. Τὸν ὀνομάζει δὲ καὶ ζωὴν καὶ φῶς, διότι μᾶς ἐχάρισε τὸ φῶς τῆς γνώσεως καὶ ἀπὸ αὐτὸ τὴν ζωήν. Γενικῶς ὅμως δὲν ὑπάρχει ἕνα ὄνομα ποὺ νὰ ἀρκῇ νὰ διδάξῃ τὰ περὶ Θεοῦ, οὔτε δύο καὶ τρία, οὔτε περισσότερα. Δι' αὐτὸ λοιπὸν συνηθίζει νὰ χρησιμοποιῇ πολλὰ διὰ νὰ ἠμπορέσῃ νὰ περιλάβῃ ἔστω καὶ ἀμυδρῶς τὰ ἰδιώματά του. Δὲν τὸν ὀνομάζει δὲ ἁπλῶς Λόγον, ἀλλὰ μαζὶ μὲ τὴν προσθήκην τοῦ ἄρθρου, διακρίνοντάς τον ἀπὸ τοὺς ἄλλους λόγους μὲ τὸν τρόπον αὐτόν.

Βλέπεις ὅτι δὲν ἔλεγα ἄδικα ὅτι ὁ εὐαγγελιστὴς αὐτὸς μᾶς ὁμιλεῖ ἀπὸ τοὺς οὐρανούς; Κύτταξε λοιπὸν πῶς ἀμέσως

οιμίων ποῦ τὴν ψυχὴν πτερώσας καὶ τὴν διάνοιαν ἀνήγαγε τῶν ἀκουόντων· πάντων γὰρ τῶν αἰσθητῶν ἀνωτέρω στήσας αὐτήν, πρὸ γῆς, πρὸ θαλάσσης, πρὸ οὐρανοῦ, καὶ ὑπὲρ τοὺς ἀγγέλους χειραγωγεῖ, καὶ ὑπεράνω τῶν Χερουβὶμ καὶ τῶν Σεραφίμ, καὶ ὑπὲρ τοὺς θρόνους, καὶ ὑπὲρ τὰς ἀρχάς, καὶ ὑπὲρ τὰς ἐξουσίας, καὶ πάσης ἁπλῶς ἐπέκεινα κτίσεως ὁδοιπορεῖν, ἀναπείθει.

Τί οὖν; ἆρα πρὸς τοσοῦτον ἀναγαγὼν ὕψος, ἐνταῦθα γοῦν ἡμᾶς στῆσαι ἴσχυσεν; Οὐδαμῶς· ἀλλ' ὥσπερ, εἴ τις τὸν ἑστῶτα παρ' αἰγιαλόν, καὶ βλέποντα πόλεις καὶ ἀκτὰς καὶ λιμένας, ἐπειδὰν εἰς μέσον ἀγάγῃ πελάγους, τῶν μὲν προτέρων ἀπέστησεν, οὐ μὴν ἔστησέ που τὸ ὄμμα αὐτῷ, ἀλλ' εἰς ἄπειρον ἤγαγε θεωρίαν, οὕτω καὶ ὁ Εὐαγγελιστής, πάσης ἡμᾶς ἀνωτέρω τῆς κτίσεως ἀγαγών, καὶ πρὸς τοὺς ἀνωτέρω ταύτης παραπέμψας αἰῶνας, μετέωρον τὸ ὄμμα ἀφίησιν, οὐ διδοὺς ἐπιλαβέσθαι τινὸς τέλους εἰς τὸ ἄνω, ἐπειδὴ μηδέ ἐστιν.

Ἀνελθὼν γὰρ εἰς ἀρχὴν ὁ λόγος, ζητεῖ ποίαν ἀρχήν· εἶτα, τὸ «ἦν» εὑρίσκων, ἀεὶ φθάνων αὐτοῦ τὴν διάνοιαν, οὐκ ἔχει ποῦ στῆσαι τὸν λογισμόν, ἀλλά, ἀτενὲς ἐνορῶν καὶ μηδαμοῦ λῆξαι δυνάμενος, ἀποκαμὼν ὑποστρέφει πάλιν ἐπὶ τὰ κάτω. Τὸ γὰρ «ἐν ἀρχῇ ἦν» οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τοῦ εἶναι ἀεὶ δηλωτικόν, καὶ ἀπείρως εἶναι.

Εἶδες φιλοσοφίαν ἀληθῆ καὶ δόγματα θεῖα, οὐχ οἷα τῶν Ἑλλήνων, χρόνους τιθέντων, καὶ τοὺς μὲν πρεσβυτέρους, τοὺς δὲ νεωτέρους εἶναι λεγόντων θεούς; Ἀλλ' οὐδὲν τοιοῦτον παρ' ἡμῖν· εἰ γὰρ Θεός ἐστιν (ὥσπερ οὖν καὶ ἔστιν),

ἀπὸ τὸ προοίμιον, ἀφοῦ ἔκανε τὴν ψυχὴν νὰ πετάξῃ, ποῦ ἀνέβασε τὸν νοῦν τῶν ἀκροατῶν. Διότι, ἀφοῦ τὴν ἔστησεν ὑπεράνω τῶν αἰσθητῶν πραγμάτων, ἐπάνω ἀπὸ τὴν ξηράν, ἐπάνω ἀπὸ τὴν θάλασσαν, ἐπάνω ἀπὸ τὸν οὐρανόν, τὴν χειραγωγεῖ καὶ ἐπάνω ἀπὸ τοὺς ἀγγέλους, πιὸ ἐπάνω ἀπὸ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ καὶ πιὸ ἐπάνω ἀπὸ τοὺς θρόνους καὶ πιὸ ἐπάνω ἀπὸ τὰς Ἀρχὰς καὶ πιὸ ἐπάνω ἀπὸ τὰς Ἐξουσίας, καὶ γενικῶς τὴν παρασύρει νὰ βαδίσῃ πέρα ἀπὸ ὁλόκληρον τὴν κτίσιν.

Τί συνέβη λοιπόν; Ἆρά γε, ἀφοῦ μᾶς ἀνεβίβασεν εἰς τόσον ὕψος, ἠμπόρεσε νὰ μᾶς στήσῃ ἐκεῖ; Καθόλου· ἀλλὰ συνέβη ὅ,τι γίνεται ἐὰν κάποιος, ἐκεῖνον ποὺ στέκεται εἰς τὸν αἰγιαλὸν καὶ βλέπει πόλεις καὶ ἀκτὰς καὶ λιμένας, ὅταν τὸν ὁδηγήσῃ μέσα εἰς τὸ πέλαγος, τὸν ἀσποσπᾷ βέβαια ἀπὸ αὐτὰ ποὺ ἔβλεπε προηγουμένως, δὲν σταματᾷ ὅμως τὸ βλέμμα του πουθενά, ἀλλὰ τὸ κάνει νὰ πλανᾶται εἰς τὸ ἄπειρον. Ἔτσι καὶ ὁ Εὐαγγελιστής, ἀφοῦ μᾶς ὡδήγησεν ὑπεράνω ὁλοκλήρου τῆς κτίσεως καὶ μᾶς παρέπεμψεν εἰς τοὺς ὑπεράνω αὐτῆς αἰῶνας, ἀφήνει μετέωρον τὸ βλέμμα μας, χωρὶς νὰ μᾶς δίνῃ τὴν δυνατότητα νὰ φθάσωμεν εἰς κάποιο τέρμα πρὸς τὰ ἄνω, ἐπειδὴ καὶ δὲν ὑπάρχει.

Διότι ἀφοῦ ὁ λόγος ἀνεφέρθη εἰς τὴν ἀρχήν, ζητεῖ ποίαν ἀρχήν. Ἔπειτα συναντῶν τὸ «ἦν» καὶ προχωρῶν πάντοτε μὲ τὴν διάνοιάν του, δὲν ἔχει ποῦ νὰ σταματήσῃ τὸν στοχασμόν του, καὶ ἐπειδὴ παρατηρεῖ ἀτενῶς καὶ δὲν ἠμπορεῖ νὰ καταλήξῃ πουθενά, ἀποκαμωμένος ἐπιστρέφει πάλιν πρὸς τὰ κάτω. Διότι τὸ «ἐν ἀρχῇ ἦν», δὲν εἶναι τίποτε ἄλλο παρὰ δηλωτικὸν ὅτι ὑπάρχει πάντοτε καὶ ὑπάρχει κατὰ τρόπον ἄπειρον.

Εἶδες φιλοσοφίαν ἀληθινὴν καὶ ἀληθείας θεϊκάς, ὄχι ὅπως τῶν Ἑλλήνων οἱ ὁποῖοι θέτουν χρονικὰ ὅρια καὶ ἄλλους μὲν θεοὺς ὀνομάζουν πρεσβυτέρους ἄλλους δὲ νεωτέρους; Ὅμως τίποτε τέτοιο δὲν ὑπάρχει εἰς ἐμᾶς. Διότι ἐὰν εἶναι Θεός, ὅπως καὶ εἶναι, δὲν ὑπάρχει τίποτε πρὶν

οὐδὲν πρὸ αὐτοῦ· εἰ Δημιουργὸς πάντων, πρῶτος αὐτός· εἰ Δεσπότης καὶ Κύριος ἁπάντων, πάντα μετ' αὐτόν, καὶ κτίσματα καὶ αἰῶνες. Ἐβουλόμην καὶ εἰς ἀγῶνας καθιέναι ἑτέρους, ἀλλ' ἴσως ἀπέκαμεν ὑμῖν ἡ διάνοια. Διό, παραινέσας ἐκεῖνα, ἅπερ ἐστὶν ὑμῖν καὶ πρὸς τὴν τῶν εἰρημένων καὶ πρὸς τὴν τῶν λεχθησομένων ἀκρόασιν χρήσιμα, πάλιν σιγήσομαι.

Τίνα δὴ οὖν ταῦτά ἐστιν; Οἶδα πολλοὺς ἰλιγγιάσαντας πρὸς τὸ τῶν λεχθέντων μῆκος. Τοῦτο δὲ γίνεται, ὅταν ἡ ψυχὴ πολλοῖς φορτίοις βαρύνηται βιωτικοῖς. Καθάπερ γὰρ τὸ ὄμμα, ὅταν μὲν καθαρὸν ᾖ καὶ διαυγές, ὀξυδερκές τέ ἐστι, καὶ οὐκ ἂν ἀποκάμοι ῥᾳδίως καὶ τὰ λεπτότατα σώματα καταμανθάνον, ἐπειδὰν δέ, χυμοῦ τινος ἀπὸ τῆς κεφαλῆς ἐπιρρεύσαντος πονηροῦ, ἢ κάτωθεν λιγνύος καπνώδους ἀνενεχθείσης, πυκνή τις πρὸ τῆς κόρης γένηται νεφέλη, οὐδὲν οὐδὲ τῶν παχυτέρων σαφῶς ἀφίησι συνιδεῖν, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γίνεσθαι πέφυκεν· ὅταν μὲν γὰρ ἐκκεκαθαρμένη τυγχάνῃ, καὶ μηδὲν ἔχῃ πάθος ἐνοχλοῦν, ἀτενὲς ἐνορᾷ πρὸς ἅπερ ἐνορᾶν χρή, ὅταν δέ, πολλοῖς ἐπιθολωθεῖσα πάθεσιν, ἀπολέσῃ τὴν ἑαυτῆς ἀρετήν, πρὸς οὐδὲν τῶν ὑψηλῶν ἀρκέσαι δύναται ῥᾳδίως, ἀλλὰ ἀποκάμνει ταχέως καὶ ἀναπίπτει, καὶ πρὸς ὕπνον ἀποκλίνασα καὶ ῥᾳθυμίαν, τὰ πρὸς ἀρετὴν καὶ ζωὴν τὴν ἐκ ταύτης αὐτῇ διαφέροντα παραπέμπεται, καὶ οὐ προσίεται μετὰ προθυμίας πολλῆς.

5. Ὅπερ ἵνα μὴ καὶ ὑμεῖς πάθητε, (οὐ γὰρ παύσομαι ταῦτα ἀεὶ παραινῶν), ἐπιρρώσατε ὑμῶν τὴν διάνοιαν, ἵνα μὴ τὰ αὐτὰ ἀκούσητε, ἅπερ οἱ πιστοὶ τῶν Ἑβραίων παρὰ Παύλου· καὶ γὰρ ἐκείνοις πολὺν ἔφησε τὸν λόγον γεγενῆσθαι, καὶ δυσερμήνευτον, οὐκ ἐπειδὴ φύσει τοιοῦτος ἦν, ἀλλ' ἐπειδή, φησίν, ὑμεῖς «νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς». Ὁ

---

4. Ἑβρ. 5, 11.

ἀπὸ αὐτόν. Ἐὰν εἶναι Δημιουργὸς ὅλων, αὐτὸς εἶναι πρῶτος. Ἐὰν εἶναι Δεσπότης καὶ Κύριος ὅλων, ὅλα ἔγιναν μετὰ ἀπὸ αὐτόν, καὶ τὰ κτίσματα καὶ οἱ αἰῶνες. Θὰ ἤθελα νὰ κατέλθω καὶ εἰς ἄλλους ἀγῶνας, ἀλλὰ φοβοῦμαι ὅτι ἀπέκαμεν ὁ νοῦς σας. Δι' αὐτὸ ἀφοῦ συστήσω αὐτὰ τὰ ὁποῖα σᾶς εἶναι ἀπαραίτητα διὰ τὴν ἀκρόασιν καὶ αὐτῶν ποὺ ἐλέχθησαν καὶ αὐτῶν ποὺ θὰ λεχθοῦν, πάλιν θὰ σιωπήσω.

Ποῖα λοιπὸν εἶναι αὐτά; Γνωρίζω ὅτι πολλοὶ ᾐσθάνθησαν ἴλιγγον ἀπὸ τὸ μῆκος ὅσων ἐλέχθησαν. Αὐτὸ δὲ συμβαίνει ὅταν ἡ ψυχὴ εἶναι φορτωμένη μὲ πολλὰ βάρη βιωτικά. Διότι, ὅπως τὸ μάτι, ὅταν μὲν εἶναι καθαρὸν καὶ διαυγές, καὶ μακρυὰ βλέπει καὶ δὲν κουράζεται εὔκολα ὅταν παρατηρῇ ἀπὸ κοντὰ καὶ τὰ πιὸ λεπτὰ ἀντικείμενα, ἐνῷ ὅταν χυθῇ ἐπάνω του ἀπὸ τὴν κεφαλὴν κάποιο βλαβερὸν ὑγρόν, ἢ ὅταν ἀπὸ κάτω ἀνεβῇ πυκνὸς καπνὸς μὲ φλόγες, δημιουργεῖται πυκνὸν σύννεφον μπροστὰ ἀπὸ τὴν κόρην, τὸ ὁποῖον δὲν ἀφήνει νὰ διακρίνῃ καλὰ τίποτε, οὔτε ἀπὸ τὰ πιὸ χονδροειδῆ ἀντικείμενα, ἔτσι εἶναι φυσικὸν νὰ συμβαίνῃ καὶ μὲ τὴν ψυχήν. Διότι, ὅταν μὲν εἶναι καθαρισμένη καὶ δὲν ἔχῃ κανένα πάθος νὰ τὴν ἐνοχλῇ, προσβλέπει ἐντόνως πρὸς ἐκεῖνα ποὺ πρέπει νὰ προσέξῃ. Ὅταν ὅμως θολωμένη ἀπὸ τὰ πολλὰ πάθη χάσῃ τὴν ἀρετήν της, δὲν ἠμπορεῖ νὰ ἀντέξῃ εὔκολα πρὸς τίποτε τὸ ὑψηλόν, ἀλλὰ γρήγορα κουράζεται καὶ γέρνει καὶ ρέπουσα πρὸς ὕπνον καὶ νωθρότητα, περιφρονεῖ τὰ ἐνδιαφέροντά της διὰ τὴν ἀρετὴν καὶ τὴν ἐνάρετον ζωὴν καὶ δὲν τὰ ἐπιδοκιμάζει μὲ πολλὴν προθυμίαν.

5. Διὰ νὰ μὴ πάθετε καὶ σεῖς τὸ ἴδιον (διότι δὲν θὰ παύσω νὰ σᾶς κάνω διαρκῶς τὰς αὐτὰς παραινέσεις) δυναμώσατε τὸν νοῦν σας, διὰ νὰ μὴ ἀκούσετε τὰ ἴδια μὲ ἐκεῖνα ποὺ ἤκουσαν οἱ πιστοὶ Ἑβραῖοι ἀπὸ τὸν Παῦλον. Διότι εἰς ἐκείνους εἶπεν ὅτι ὁ λόγος ἔγινε πολὺς καὶ δυσκολοερμήνευτος, ὄχι διότι ἦτο ἀπὸ τὴν φύσιν του τέτοιος, ἀλλ' ἐπειδή, ὅπως λέγει, σεῖς ἐγίνατε νωθροὶ εἰς τὴν ἀκοήν[4].

γὰρ ἀσθενὴς καὶ ἄρρωστος, καὶ ὑπὸ τῆς βραχυλογίας ὡς ὑπὸ μακρηγορίας παρενοχλεῖσθαι πέφυκε, καὶ τὰ σαφῆ καὶ τὰ εὐδιάλυτα δυσκατάληπτα εἶναι νομίζει.

Ἀλλὰ μηδεὶς ἔστω ἐνταῦθα τοιοῦτος· ἀλλά, πᾶσαν ἀπελάσας φροντίδα βιωτικήν, οὕτω τούτων ἀκουέτω τῶν δογμάτων· ὅταν γὰρ ἐπιθυμία χρημάτων κατέχῃ τὸν ἀκροατήν, οὐκ ἂν δύναιτο καὶ ἐπιθυμία κατασχεῖν ἀκροάσεως ὁμοίως, ἐπειδὴ μηδὲ ἀρκεῖ πολλαῖς ἐπιθυμίαις μία τυγχάνουσα ἡ ψυχή, ἀλλ' ἡ ἑτέρα τῇ ἑτέρᾳ λυμαίνεται, καὶ σχιζομένη ἀσθενεστέρα γίνεται, ἐπικρατούσης τῆς ἑτέρας καὶ τὸ πᾶν εἰς ἑαυτὴν δαπανώσης.

Τοῦτο καὶ ἐπὶ παίδων συμβαίνειν εἴωθεν· ὅταν μὲν γὰρ ἕνα τις ἔχῃ μόνον, μεθ' ὑπερβολῆς ἀγαπᾷ τὸν ἕνα, ὅταν δὲ πολλῶν γένηται παίδων πατήρ, καὶ τὰ τῆς διαθέσεως διαιρεθέντα ἀσθενέστερα γίνεται. Εἰ δέ, ἔνθα φυσικὴ τυραννὶς καὶ δύναμις καὶ συγγενῆ τὰ φιλούμενα, τοῦτο συμβαίνει, τί ἂν εἴποιμεν ἐπὶ τῆς κατὰ προαίρεσιν ἐπιθυμίας καὶ διαθέσεως, καὶ μάλιστα, ὅταν οἱ ἔρωτες οὗτοι ἀπ' ἐναντίας ἀλλήλοις διακέωνται; ἐναντίον γὰρ χρημάτων ἔρως ἔρωτι τοιαύτης ἀκροάσεως.

Εἰς τὸν οὐρανὸν εἴσιμεν εἰσιόντες ἐνθάδε. Οὐ τῷ τόπῳ λέγω, ἀλλὰ τῇ διαθέσει· ἔνεστι γὰρ καὶ ἐπὶ γῆς ὄντα ἑστάναι ἐν οὐρανῷ, καὶ τὰ ἐκεῖ φαντάζεσθαι, καὶ τὰ ἐκεῖθεν ἀκούειν. Μηδεὶς οὖν τῷ οὐρανῷ τὰ τῆς γῆς ἐπεισαγέτω! μηδείς, ἐνταῦθα ἑστώς, τὰ κατὰ τὴν οἰκίαν μεριμνάτω! τὴν γὰρ οἰκίαν καὶ τὴν ἀγορὰν ἔδει τὰ ἐντεῦθεν περιφέρειν κέρδη καὶ ἔχειν, οὐ ταύτην τοῖς ἐκ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς φορτίοις

Διότι ὁ ἀσθενὴς καὶ ἀδύνατος εἶναι φυσικὸν νὰ ἐνοχλῆται καὶ ἀπὸ τὸν σύντομον λόγον, ὡσὰν νὰ πρόκειται περὶ λόγου μακροῦ, καὶ νὰ θεωρῇ δυσνόητα καὶ τὰ εὐκολονόητα καὶ σαφῆ.

Ὅμως ἐδῶ δὲν πρέπει νὰ ὑπάρχῃ κανεὶς τέτοιος, ἀλλὰ ἀφοῦ ἀπομακρύνῃ κάθε βιωτικὴν φροντίδα, ἂς ἀκούῃ ἔτσι αὐτὰ τὰ διδάγματα. Διότι ὅταν τὸν ἀκροατὴν τὸν διακατέχῃ ἡ ἐπιθυμία τῶν χρημάτων, δὲν ἠμπορεῖ νὰ τὸν καταλάβῃ καθ' ὅμοιον τρόπον καὶ ἡ ἐπιθυμία τῆς ἀκροάσεως, ἐπειδὴ ἡ ψυχὴ ποὺ εἶναι μία δὲν ἐπαρκεῖ εἰς πολλὰς ἐπιθυμίας, ἀλλὰ ἡ μία καταστρέφεται ἀπὸ τὴν ἄλλην καί, ἐπειδὴ διχάζεται, γίνεται περισσότερον ἀδύνατος καὶ ἐπικρατεῖ ἡ ἄλλη καὶ δαπανᾷ ὅλην τὴν δύναμίν της εἰς τὸν ἑαυτόν της.

Αὐτὸ συμβαίνει συνήθως καὶ εἰς τὰ παιδιά. Ὅταν κανεὶς ἔχῃ μόνον ἕνα, ἀγαπᾷ τὸ ἕνα ὑπερβολικά. Ὅταν ὅμως γίνῃ πατέρας πολλῶν παιδιῶν, καὶ ἡ διάθεσίς του διαιρεῖται καὶ γίνεται πιὸ ἀσθενής. Ἐὰν δὲ αὐτὸ συμβαίνῃ ἐκεῖ ὅπου ἡ δύναμις καὶ κυριαρχία εἶναι φυσικὴ τὰ δὲ ἀγαπώμενα πρόσωπα εἶναι συγγενικά, τί θὰ ἠμπορούσαμεν νὰ εἴπωμεν διὰ τὴν προαιρετικὴν ἐπιθυμίαν καὶ διάθεσιν, ὅταν μάλιστα αἱ ἐπιθυμίαι αὐταὶ εἶναι ἀντίθετοι ἡ μία τῆς ἄλλης; Διότι ὁ ἔρως τῶν χρημάτων εἶναι ἀντίθετος πρὸς τὸν ἔρωτα τῆς ἀκροάσεως.

Εἰσερχόμενοι ἐδῶ εἰσερχόμεθα εἰς τὸν οὐρανόν. Δὲν ἐννοῶ τὸν τόπον, ἀλλὰ τὴν διάθεσιν· διότι εἶναι δυνατὸν καὶ ἐνῷ εὑρίσκεσαι εἰς τὴν γῆν, νὰ ἵστασαι εἰς τὸν οὐρανὸν καὶ νὰ φαντάζεσαι ὅσα ὑπάρχουν ἐκεῖ καὶ νὰ ἀκούῃς ὅσα προέρχονται ἀπὸ ἐκεῖ. Ἂς μὴ ἀφήνῃ λοιπὸν κανεὶς νὰ παρεισφρύουν εἰς τὸν οὐρανὸν τὰ ἐπίγεια. Κανεὶς ἂς μὴ φροντίζῃ διὰ τὰ οἰκιακά του, ἐνῷ εὑρίσκεται ἐδῶ. Διότι ἡ οἰκία καὶ ἡ ἀγορὰ ἔπρεπε νὰ ἔχουν καὶ νὰ περιφέρουν τὰ ὠφέλη ποὺ προσφέρονται ἐδῶ, καὶ ὄχι ἡ ἐδῶ παραμονή σας νὰ βαρύνεται μὲ τὰ φορτία τῆς οἰκίας καὶ τῆς ἀγορᾶς.

βαρύνεσθαι. Διὰ ταῦτα εἴσιμεν παρὰ τὸν τῆς διδασκαλίας θρόνον, ἵνα ἐντεῦθεν τὸν ἔξωθεν ἀπορρυψώμεθα ῥύπον. Ἂν δὲ μέλλωμεν καὶ τῇ μικρᾷ ταύτῃ σχολῇ ἀπὸ τῶν ἔξω λεγομένων ἢ πραττομένων λυμαίνεσθαι, βέλτιον μηδὲ εἰσελθεῖν τὴν ἀρχήν.

Μηδεὶς τοιγαροῦν ἐν ἐκκλησίᾳ τὰ κατὰ τὴν οἰκίαν μελετάτω, ἀλλὰ καὶ ἐν οἰκίᾳ τὰ κατὰ τὴν ἐκκλησίαν κινείτω. Πάντων ἡμῖν ἔστω ταῦτα τιμιώτερα· τῆς γὰρ ψυχῆς ταῦτά ἐστι, τοῦ σώματος δὲ ἐκεῖνα· μᾶλλον δὲ καὶ σώματι καὶ ψυχῇ τὰ ἐνταῦθα λεγόμενα διαφέρει. Διὰ τοῦτο ταῦτα μὲν ἔστω προηγούμενα ἔργα, πάρεργα δὲ ἅπαντα τὰ ἄλλα· ταῦτα μὲν γὰρ καὶ τῆς μελλούσης καὶ τῆς παρούσης ἐστὶ ζωῆς, ἐκεῖνα δὲ οὐδ' ἑτέρας, ἐὰν μὴ κατὰ τὸν ὑπὲρ τούτων τεθέντα διοικῆται νόμον· οὐ γὰρ δὴ μόνον τί μετὰ ταῦτα ἐσόμεθα, καὶ πῶς τότε ζησόμεθα, ἐντεῦθεν ἔστι μαθεῖν μόνον, ἀλλὰ πῶς καὶ τὸν παρόντα οἰκονομήσομεν βίον· ἰατρεῖον γὰρ ὁ οἶκος οὗτος ἕστηκε πνευματικόν, ἵνα, ἅπερ ἂν λάβωμεν ἔξωθεν τραύματα, ἐντεῦθεν θεραπεύσωμεν, οὐχ ἵνα, καὶ ἐντεῦθεν συλλέξαντες ἕτερα, οὕτως ἀπίωμεν· ἂν γάρ, τοῦ Πνεύματος ἡμῖν τοῦ ἁγίου διαλεγομένου, μὴ προσέχωμεν, οὐ μόνον τὰ πρότερα οὐκ ἀπολουσόμεθα, ἀλλὰ καὶ ἕτερα προσληψόμεθα.

Προσέχωμεν τοίνυν τῷ βιβλίῳ, μετὰ πολλῆς τῆς σπουδῆς ἡμῖν ἀνακαλυπτομένῳ· οὐδὲ γὰρ πολλῆς δεηθησόμεθα λοιπὸν πραγματείας, ἂν τὰς ἀρχὰς καὶ ὑποθέσεις μετὰ ἀκριβείας μάθωμεν, ἀλλά, μικρὸν ἐν προοιμίοις πονέσαντες, δυνησόμεθα τοῦ λοιποῦ κατὰ τὸν Παῦλον καὶ ἄλλους νουθετεῖν·

Δι' αὐτὰ εἰσερχόμεθα κοντὰ εἰς τὸν θρόνον τῆς διδασκαλίας, διὰ νὰ ἀποπλύνωμεν τὴν ἀκαθαρσίαν ποὺ ἔχομεν ἀπὸ ἔξω. Ἐὰν δὲ πρόκειται καὶ κατὰ τὴν διάρκειαν τῆς μικρᾶς αὐτῆς πνευματικῆς ἀναπαύσεως νὰ μολυνώμεθα ἀπὸ ὅσα λέγονται ἢ γίνονται ἔξω, εἶναι καλύτερα νὰ μὴ εἰσέλθωμεν ἀπὸ τὴν ἀρχήν.

Ἂς μὴ σκέπτεται λοιπὸν κανεὶς μέσα εἰς τὴν Ἐκκλησίαν τὰ προβλήματα τῆς οἰκίας, ἀλλ' ἀντιθέτως καὶ εἰς τὴν οἰκίαν ἂς θέτῃ εἰς ἐνέργειαν ὅσα λέγονται εἰς τὴν ἐκκλησίαν. Αὐτὰ ἂς εἶναι δι' ἐμᾶς πολυτιμώτερα ἀπὸ ὅλα, διότι ἀναφέρονται εἰς τὴν ψυχήν, ἐνῷ ἐκεῖνα ἀναφέρονται εἰς τὸ σῶμα. Ἢ μᾶλλον, ὅσα λέγονται ἐδῶ ἐνδιαφέρουν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Δι' αὐτὸ αὐτὰ τὰ ἔργα ἂς προηγοῦνται, ὅλα δὲ τὰ ἄλλα νὰ εἶναι πάρεργα. Διότι αὐτὰ μὲν ἀναφέρονται καὶ εἰς τὴν παροῦσαν καὶ εἰς τὴν μέλλουσαν ζωήν, ἐνῷ ἐκεῖνα δὲν ὠφελοῦν οὔτε τὴν μίαν οὔτε τὴν ἄλλην, ἐὰν δὲν γίνωνται σύμφωνα μὲ τὸν νόμον ποὺ ἐτέθη χάριν αὐτῶν. Διότι ἐδῶ δὲν εἶναι δυνατὸν νὰ μάθωμεν μόνον τί θὰ γίνωμεν μετὰ ταῦτα καὶ πῶς θὰ ζήσωμεν τότε, ἀλλὰ πῶς θὰ ὀργανώσωμεν καὶ τὴν ἐδῶ ζωήν μας. Διότι ὁ οἶκος αὐτὸς εἶναι πνευματικὸν ἰατρεῖον διὰ νὰ θεραπεύωμεν τὰ τραύματα ποὺ δεχόμεθα ἀπὸ ἔξω, καὶ ὄχι διὰ νὰ ἀπερχώμεθα ἀφοῦ δεχθῶμεν καὶ ἄλλα τραύματα ἀπὸ ἐδῶ. Διότι ἐὰν δὲν προσέχωμεν ὅταν μᾶς ὁμιλῇ τὸ ἅγιον Πνεῦμα, ὄχι μόνον δὲν θὰ ἀποπλύνωμεν τὰ προηγούμενα ἁμαρτήματά μας, ἀλλὰ θὰ ἀποκτήσωμεν καὶ ἄλλα.

Ἂς προσέχωμεν λοιπὸν μὲ πολλὴν προθυμίαν εἰς τὸ εὐαγγέλιον ὅταν μᾶς ἑρμηνεύεται. Ἄλλως τε δὲν θὰ χρειασθῇ νὰ καταβάλωμεν μεγάλον κόπον, ἐὰν μάθωμεν μὲ μεγάλην προσοχὴν τὰς θεμελιώδεις ἀρχὰς καὶ προϋποθέσεις του· ἀντιθέτως ἀφοῦ κοπιάσωμεν ὀλίγον εἰς τὴν ἀρχήν, θὰ ἠμποροῦμεν εἰς τὸ ἑξῆς — κατὰ τὸν Παῦλον — νὰ νουθετῶμεν καὶ ἄλλους. Διότι ὁ Ἀπόστολος αὐτὸς ἔχει πολὺ ὑ-

σφόδρα γάρ ἐστιν ὑψηλὸς ὁ Ἀπόστολος οὗτος, καὶ πολλῶν γέμει δογμάτων, καὶ τούτοις ἐνδιατρίβει μᾶλλον ἢ ἑτέροις.

Μὴ δὴ παρέργως ἀκούωμεν· διὰ τοῦτο γὰρ ἡμεῖς καὶ κατὰ μικρὸν ἐξηγούμεθα, ὥστε ὑμῖν εὔληπτα πάντα γενέσθαι καὶ μὴ διαφυγεῖν τὴν μνήμην. Φοβηθῶμεν τοίνυν μή ποτε γενώμεθα τῆς φωνῆς ἐκείνης ὑπεύθυνοι, τῆς λεγούσης· «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. Τί γὰρ ἕξομεν τῶν οὐκ ἀκηκοότων πλέον, ὅταν καὶ μετὰ τὴν ἀκρόασιν μηδὲν οἴκαδε ἀπέλθωμεν ἔχοντες, ἀλλὰ θαυμάζοντες τὰ εἰρημένα μόνον;

Δότε τοίνυν ἡμῖν εἰς ἀγαθὴν σπεῖραι γῆν! δότε ἵνα ἡμᾶς ἐπισπάσησθε μειζόνως! Καὶ εἴ τις ἀκάνθας ἔχει, τὸ πῦρ ἐπαφιέτω τοῦ Πνεύματος· εἴ τις σκληρὰν καὶ ἀντίτυπον καρδίαν, λιπαρὰν ποιείτω αὐτὴν καὶ ἁπαλήν, τῷ αὐτῷ χρώμενος πυρί· εἴ τις κατὰ τὰς ὁδοὺς ὑπὸ πάντων πατεῖται τῶν λογισμῶν, πρὸς τὰ ἐνδότερα εἰσίτω, καὶ μὴ προκείσθω τοῖς βουλομένοις εἰς ἁρπαγὴν ἐπιέναι, ἵνα κομῶντα ὑμῶν ἴδωμεν τὰ λήϊα· καὶ γάρ, ἂν οὕτως ἑαυτῶν ἐπιμελώμεθα, καὶ μετὰ φιλοπονίας τῆς ἀκροάσεως ἐχώμεθα ταύτης τῆς πνευματικῆς, εἰ καὶ μὴ ἀθρόον, ἀλλὰ κατὰ μικρὸν πάντων γοῦν ἀπαλλαγησόμεθα τῶν βιωτικῶν.

Διὸ προσέχωμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, ὅτι «ἀσπίδος κωφῆς τὰ ὦτα αὐτῶν». Τί θηρίου διενήνοχεν ὁ τοιοῦτος ἀκροατής; εἰπέ μοι. Πῶς δὲ οὐκ ἂν εἴη παντὸς ἀλογώτερος ἀλόγου ὁ Θεοῦ διαλεγομένου μὴ προσέχων; εἰ γὰρ τὸ εὐαρεστεῖν τῷ Θεῷ, τοῦτό ἐστιν ἄνθρωπον εἶναι, ὁ μηδέ,

5. Ἰω. 15, 22.
6. Ψαλμ. 57, 5.

ψηλὰς εὐνοίας καὶ εἶναι γεμᾶτος ἀπὸ δογματικὰς ἀληθείας καὶ ἐπιμένει περισσότερον εἰς αὐτὰ παρὰ εἰς ἄλλα.

Ἂς μὴ τὰ ἀκούωμεν λοιπὸν ὡς ἐν παρέργῳ. Δι' αὐτὸ ἄλλωστε καὶ ἐμεῖς τὰ ἑρμηνεύωμεν ὀλίγον κατ' ὀλίγον, διὰ νὰ σᾶς γίνουν κατανοητὰ καὶ νὰ μὴ ἐγκαταλείψουν τὴν μνήμην σας. Νὰ φοβούμεθα λοιπὸν μήπως γίνωμεν ἄξιοι τῆς φωνῆς ἐκείνης ἡ ὁποία λέγει· «Ἐὰν δὲν εἶχα ἔλθει καὶ δὲν τοὺς ὡμιλοῦσα, δὲν θὰ εἶχαν ἁμαρτίαν»[5]. Διότι τί θὰ ἔχωμεν περισσότερον ἀπὸ ἐκείνους ποὺ δὲν ἤκουσαν, ὅταν μετὰ τὴν ἀκρόασιν μεταβῶμεν εἰς τὴν οἰκίαν χωρὶς νὰ ἔχωμεν τίποτε, παρὰ μόνον θαυμάζοντες δι' ὅσα ἐλέχθησαν;

Δώσατέ μας λοιπὸν τὴν δυνατότητα νὰ σπείρωμεν εἰς εὔφορον γῆν· δώσατέ μας τὴν δυνατότητα αὐτήν, διὰ νὰ μᾶς προσελκύσετε περισσότερον. Καὶ ἐὰν κανεὶς ἔχῃ ἀκάνθας, ἂς τὰς ἐμπιστευθῇ εἰς τὸ πῦρ τοῦ ἁγίου Πνεύματος· ἐὰν κανεὶς ἔχῃ σκληρὰν καὶ ἐναντιουμένην καρδίαν, ἂς τὴν κάνῃ λιπαρὰν καὶ ἁπαλὴν χρησιμοποιῶν τὸ ἴδιον πῦρ. Ἐὰν κανεὶς εὑρίσκεται εἰς τὴν ὁδὸν καὶ καταπατεῖται ἀπὸ τοὺς λογισμούς, ἂς εἰσέλθῃ εἰς τὰ ἐνδότερα καὶ ἂς μὴ μένῃ ἐκτεθειμένος εἰς ἐκείνους οἱ ὁποῖοι θέλουν νὰ τοῦ ἐπιτεθοῦν διὰ νὰ τὸν ἁρπάξουν, διὰ νὰ τὸν ἰδοῦμεν νὰ ἀποφέρῃ τοὺς καρπούς σας. Διότι ἐὰν κατ' αὐτὸν τὸν τρόπον φροντίζωμεν τοὺς ἑαυτούς μας καὶ προσέχωμεν μὲ φιλόπονον προσπάθειαν εἰς αὐτὴν τὴν πνευματικὴν ἀκρόασιν, μολονότι ὄχι διὰ μιᾶς, ὁπωσδήποτε ὅμως ὀλίγον κατ' ὀλίγον θὰ ἀπαλλαγῶμεν ἀπὸ ὅλα αὐτὰ τὰ βιωτικά.

Δι' αὐτὸ ἂς προσέχωμεν, διὰ νὰ μὴ λέγεται καὶ δι' ἡμᾶς ὅτι «τὰ αὐτιά των εἶναι αὐτιὰ κωφῆς ἀσπίδος»[6]. Κατὰ τί διαφέρει ἀπὸ τὸ θηρίον ὁ τέτοιου εἴδους ἀκροατής; Εἰπέ μου. Καὶ πῶς δὲν θὰ εἶναι πιὸ ἄλογος ἀπὸ κάθε ἄλογον ζῶον, ἐκεῖνος ποὺ δὲν προσέχει τὸν Θεὸν ὁμιλοῦντα; Διότι, ἐὰν τὸ νὰ εὐχαριστοῦμεν τὸν Θεὸν αὐτὸ σημαίνει νὰ εἶσαι ἄνθρωπος, ἐκεῖνος ποὺ δὲν θέλει νὰ ἀκούσῃ οὔτε

ὅπως τοῦτο κατορθώσειεν, ἀκοῦσαι θέλων, οὐδὲν ἕτερον ἢ θηρίον ἐστίν.

Ἐννόησον οὖν ὅσον ἂν εἴη κακόν, τοῦ Χριστοῦ θέλοντος ἡμᾶς ἐξ ἀνθρώπων ἰσαγγέλους ποιεῖν, αὐτοὺς ἐξ ἀνθρώπων εἰς θηρία μεταποιεῖν· τὸ γὰρ τῇ γαστρὶ δουλεύειν, καὶ τῇ τῶν χρημάτων ἐπιθυμίᾳ κατέχεσθαι, καὶ ὀργίζεσθαι, καὶ δάκνειν, καὶ λακίζειν, οὐκ ἀνθρώπων ἀλλὰ θηρίων ἐστί. Καίτοι τὰ μὲν θηρία ἓν ἕκαστον, ὡς εἰπεῖν, ἔχει πάθος, καὶ τοῦτο κατὰ φύσιν, ὁ δὲ ἄνθρωπος, ὁ τῶν λογισμῶν τὴν ἀρχὴν ἐκβαλὼν καὶ τῆς κατὰ Θεὸν πολιτείας ἀπορραγείς, πᾶσιν ἑαυτὸν ἐπιτρέπει τοῖς πάθεσι, καὶ οὐκ ἔτι θηρίον γίνεται μόνον, ἀλλὰ τέρας πολύμορφόν τι καὶ ποικίλον, καὶ οὐδὲ τὴν ἀπὸ τῆς φύσεως συγγνώμην ἔχει· προαιρέσεως γὰρ καὶ γνώμης ἡ κακία πᾶσα.

Ἀλλὰ μὴ γένοιτό ποτε ταῦτα περὶ τῆς Ἐκκλησίας ὑποπτεῦσαι τοῦ Χριστοῦ· πεπείσμεθα γὰρ περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας. Ἀλλ᾽ ὅσῳ πεπείσμεθα, τοσούτῳ τῶν προφυλακτικῶν οὐδὲν ἧττον ἀποστησόμεθα λόγων, ἵνα, πρὸς αὐτὴν ἀνελθόντες τὴν κεφαλὴν τῶν ἀρετῶν, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πῶς θὰ τὸ κατορθώσῃ αὐτό, δὲν εἶναι τίποτε ἄλλο παρὰ θηρίον.

Κατανόησε λοιπὸν πόσον κακὸν εἶναι, ἐνῷ ὁ Χριστὸς θέλει νὰ μᾶς κάμῃ ἀπὸ ἀνθρώπους ἰσαγγέλους, ἐμεῖς νὰ μεταβάλλωμεν τοὺς ἑαυτούς μας ἀπὸ ἀνθρώπους εἰς θηρία. Διότι τὸ νὰ γινώμεθα δοῦλοι τῆς κοιλίας μας καὶ νὰ κατεχώμεθα ἀπὸ τὴν ἐπιθυμίαν τῶν χρημάτων καὶ νὰ ὀργιζώμεθα καὶ νὰ δαγκώνωμεν καὶ νὰ λακτίζωμεν, δὲν εἶναι ἴδιον ἀνθρώπων, ἀλλὰ θηρίων. Ἂν καὶ τὸ κάθε θηρίον ἔχει, οὕτως εἰπεῖν, ἐκ φύσεως κάποιο πάθος. Ὁ ἄνθρωπος ὅμως ὁ ὁποῖος ἀπέβαλε τὴν βάσιν τῶν συλλογισμῶν καὶ ἀπεσπάσθη ἀπὸ τὴν σύμφωνα πρὸς τὸ θέλημα τοῦ Θεοῦ ζωήν, ἐπιτρέπει ὅλα τὰ πάθη εἰς τὸν ἑαυτόν του, καὶ δὲν γίνεται μόνον θηρίον πλέον, ἀλλὰ τέρας πολύμορφον καὶ πολυμήχανον καὶ δὲν ἔχει οὔτε τὸ ἐλαφρυντικὸν ὅτι εἶναι ἐκ φύσεως τέτοιος, διότι ὅλη ἡ κακία του εἶναι ἀποτέλεσμα τῆς ἐλευθέρα ἐκλογῆς καὶ γνώμης του.

Ἀλλὰ μὴ γένοιτο νὰ φαντασθῶμεν ὅτι αὐτὰ συμβαίνουν εἰς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ· διότι εἴμεθα πεπεισμένοι δι᾽ ἐσᾶς ὅτι πράττετε ὅ,τι εἶναι ἀνώτερον καὶ συνδέεται πρὸς τὴν σωτηρίαν σας. Ἀλλὰ ὅσον εἴμεθα πεπεισμένοι, τόσον περισσότερον δὲν θὰ παύσωμεν τοὺς προληπτικοὺς λόγους, πρὸς τὸν σκοπὸν ὅπως, ἀφοῦ ἀνέλθωμεν εἰς αὐτὴν τὴν κορυφὴν τῶν ἀρετῶν, ἐπιτύχωμεν τὰ ὑπεσχημένα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον δοξάζεται ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ΄.

'Ιω. 1, 1

«Ἐν ἀρχῇ ἦν ὁ Λόγος».

1. Προσοχῆς μὲν ἕνεκεν τῆς περὶ τὴν ἀκρόασιν περιττὸν λοιπὸν ὑμῖν παραινεῖν· οὕτω ταχέως τὴν παραίνεσιν ἐπὶ τῶν ἔργων ἐδείξατε· ἥ τε γὰρ συνδρομή, τό τε ἀτενὲς τῆς στάσεως, καὶ τὸ συνωθοῦντας ἀλλήλους τὸν ἐνδοτέρω τόπον ἐπείγεσθαι καταλαβεῖν, καὶ ὅθεν ἂν εὐσημοτέρα γένοιτο ὑμῖν ἡ παρ' ἡμῶν φωνή, καὶ τὸ πιεζομένους μὴ θέλειν ἀναχωρεῖν, ἕως ἂν τὸ πνευματικὸν τοῦτο διαλυθῇ θέατρον, καὶ οἱ κρότοι, καὶ οἱ θόρυβοι, καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα, τεκμήριον τῆς ἐν τῇ ψυχῇ θερμότητος ἂν εἴη καὶ τῆς φιληκοΐας ὑμῶν. Διὸ καὶ περιττὸν περὶ τούτου παρεγγυᾶν· ἐκεῖνο μέντοι εἰπεῖν καὶ παρακαλέσαι ἀναγκαῖον ἡμῖν, ὥστε μεῖναι ταύτην ἔχοντας τὴν σπουδήν, καὶ μὴ μόνον ἐνταῦθα αὐτὴν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ οἴκοι γενομένους, τὸν ἄνδρα πρὸς τὴν γυναῖκα, τὸν πατέρα πρὸς τὸν παῖδα περὶ τούτων διαλέγεσθαι, καὶ λέγειν μὲν τὰ παρ' ἑαυτοῦ, ἀπαιτεῖν δὲ τὰ παρ' ἐκείνων, καὶ τὸν καλὸν τοῦτον εἰσφέρειν ἅπαντας ἔρανον.

Μὴ γάρ μοι λεγέτω τις, ὅτι τὰ παιδία πρὸς ταῦτα ἡμῖν ἀπησχολῆσθαι οὐ χρή· ἐχρῆν μὲν γὰρ οὐ μόνον ἀπησχολῆσθαι, ἀλλὰ καὶ ἐν τούτοις μόνοις ἔχειν τὴν σπουδήν. Πλὴν ἀλλὰ διὰ τὴν ἀσθένειαν ὑμῶν οὐ λέγω τοῦτο, οὐδὲ αὐτὰ τῆς ἔξωθεν ἀπάγω σχολῆς, ὥσπερ οὐδὲ ὑμᾶς τῶν πολιτικῶν ἀφέλκω πραγμάτων. 'Αλλ' ἀπὸ τῶν ἑπτὰ τούτων ἡμερῶν μίαν ἀξιῶ τῷ κοινῷ πάντων ἡμῶν ἀναθεῖναι Δεσπότῃ.

Πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν οἰκέτας ἡμῖν κελεύειν

ΟΜΙΛΙΑ Γ'.

'Ιω. 1, 1

«Εἰς τὴν ἀρχὴν ὑπῆρχεν ὁ Λόγος»

1. Εἶναι περιττὸν μὲν λοιπὸν νὰ σᾶς κάνω παραίνεσιν διὰ τὴν μετὰ προσοχῆς ἀκρόασιν, ἀφοῦ τόσον γρήγορα ἐφαρμόσατε τὴν παραίνεσιν εἰς τὴν πρᾶξιν. Διότι καὶ ἡ συρροή σας καὶ ἡ ἀκούραστος στάσις σας καὶ τὸ ὅτι συνωθοῦντες ὁ ἕνας τὸν ἄλλον βιάζεσθε νὰ καταλάβετε τὸν ἐνδότερον χῶρον, ἀπὸ ὅπου ἡ φωνή μου θὰ ἀκούετε καλύτερα ἀπὸ σᾶς, καὶ τὸ ὅτι δὲν ἠθελήσατε νὰ ἀναχωρήσετε, ἂν καὶ πιέζεσθε, μέχρι νὰ διαλυθῇ αὐτὸ τὸ πνευματικὸν θέατρον, καὶ οἱ κρότοι καὶ οἱ θόρυβοι καὶ ὅλα αὐτὰ τὰ παρόμοια, ἀποτελοῦν ἀπόδειξιν τῆς θερμότητος τῆς ψυχῆς καὶ τῆς πρὸς ἀκρόασιν διαθέσεώς σας. Δι' αὐτὸ καὶ εἶναι περιττὸν νὰ σᾶς προτρέψω πρὸς τοῦτο. Εἶναι ὅμως ἀναγκαῖον νὰ σᾶς εἰπῶ καὶ νὰ σᾶς παρακαλέσω νὰ διατηρήσετε αὐτὴν τὴν προθυμίαν καὶ νὰ μὴ τὴν ἐπιδεικνύετε μόνον ἐδῶ, ἀλλὰ καὶ ὅταν ἐπιστρέψετε εἰς τὰς οἰκίας σας, καὶ νὰ ὁμιλήσῃ περὶ αὐτῶν ὁ ἄνδρας εἰς τὴν γυναῖκα του καὶ ὁ πατέρας εἰς τὸν υἱόν του. Καὶ ἐκεῖνος μὲν νὰ τοὺς λέγῃ τὰ ἰδικά του, νὰ ἀπαιτῇ δὲ ἀπὸ ἐκείνους νὰ τοῦ λέγουν τὰ ἰδικά των.

Ἂς μὴ μοῦ εἰπῇ δὲ κανεὶς ὅτι τὰ παιδιὰ δὲν πρέπει νὰ ἀπασχολοῦνται μὲ αὐτά, διότι ἔπρεπε ὄχι μόνον νὰ ἀπασχολοῦνται, ἀλλὰ καὶ νὰ ἔχουν ἐστραμμένην τὴν προσοχήν των μόνον εἰς αὐτά. Ἐξ αἰτίας τῆς ἀδυναμίας σας ὅμως δὲν τὸ λέγω αὐτό, οὔτε καὶ τὰ ἀπαγορεύω τὴν μελέτην τῶν ἀρχαίων, ὅπως δὲν ἀπομακρύνω οὔτε ἐσᾶς ἀπὸ τὰς κοσμικὰς ὑποθέσεις. Ἀλλὰ ἀξιώνω μία ἀπὸ τὰς ἑπτὰ αὐτὰς ἡμέρας νὰ τὴν ἀφιερώνουν εἰς τὸν κοινὸν ὅλων Δεσπότην.

Διότι δὲν νομίζετε ὅτι εἶναι ἄτοπον, τοὺς μὲν ὑπηρέτας

ἅπαντα δουλεύειν τὸν χρόνον, ἡμᾶς δὲ μηδὲ τὴν ἐλάττω σχολὴν ἀπονέμειν τῷ Θεῷ, καὶ ταῦτα τῆς δουλείας ἁπάσης ἐκείνῳ μὲν οὐδὲν προστιθείσης, (ἀνενδεὲς γὰρ τὸ Θεῖον), εἰς τὸ συμφέρον δὲ περιϊσταμένης ἡμῖν; Ἀλλ' εἰς θέατρα μὲν αὐτοὺς ἄγοντες, οὔτε μαθήματα, οὔτε ἄλλο τι τῶν τοιούτων προβάλλεσθε· ἂν δέ τι τῶν πνευματικῶν κερδᾶναι δέῃ καὶ συναγαγεῖν, ἀσχολίαν τὸ πρᾶγμα ὀνομάζετε. Καὶ πῶς οὐ παροξύνετε τὸν Θεόν, πᾶσι μὲν τοῖς ἄλλοις σχολάζοντες καὶ καιρὸν ἀπονέμοντες, τὸ δὲ τὰ αὐτοῦ μεταχειρίζειν ὀχληρὸν καὶ οὐκ εὔκαιρον εἶναι νομίζοντες τοῖς παισίν;

Μὴ ταῦτα, μή, ἀδελφοί· Καὶ γὰρ αὕτη μάλιστα ἡ ἡλικία τούτων δεῖται τῶν ἀκουσμάτων· ἁπαλὴ γὰρ οὖσα, ταχέως ἐναποτίθεται τὰ λεγόμενα, καθάπερ τινὸς σφραγῖδος τῆς ἀκροάσεως ἐν κηρῷ τῇ διανοίᾳ τῇ τούτων ἐντυπουμένης. Ἄλλως τε καὶ ὁ βίος αὐτοῖς τότε ἀρχὴν ἔχει πρὸς κακίαν ἀποκλῖναι ἢ ἀρετήν. Ἂν οὖν τις αὐτοὺς ἀπ' αὐτῶν τῶν ἀρχῶν καὶ τῶν προθύρων ἀπαγάγῃ μὲν τῆς πονηρίας, χειραγωγήσῃ δὲ πρὸς τὴν ἀρίστην ὁδόν, ὥσπερ εἰς ἕξιν τινὰ καὶ φύσιν αὐτοὺς καταστήσει λοιπόν· καὶ οὐδὲ ἑκόντες μεταβαλοῦνται ῥᾳδίως πρὸς τὸ χεῖρον, τῆς συνηθείας ταύτης ἑλκούσης αὐτοὺς πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν.

Οὕτως ἡμῖν τῶν γεγηρακότων αἰδεσιμώτεροι γενήσονται, καὶ τοῖς πολιτικοῖς χρησιμώτεροι πράγμασιν, ἐν νεότητι τὰ τῶν πρεσβυτέρων ἐπιδεικνύμενοι· οὐ γάρ ἐστιν, ὥσπερ ἔφθην εἰπών, τοιαύτης ἀπολαύοντας ἀκροάσεως, καὶ Ἀποστόλῳ τοιούτῳ συγγινομένους, μὴ μέγα τι καὶ γενναῖον ἀγαθὸν λαβόντας ἀπελθεῖν, κἂν ἀνήρ, κἂν γυνή, κἂν νέος ὁ ταύτης μετέχων τῆς τραπέζης ᾖ· εἰ γὰρ τὰ θηρία τὰ παρ'

νὰ τοὺς διατάσσετε νὰ σᾶς δουλεύουν ὅλον τὸν χρόνον, σεῖς δὲ νὰ μὴ ἀφιερώνετε οὔτε ἐλάχιστον χρόνον ἀπὸ τὴν ἀνάπαυσίν σας εἰς τὸν Θεόν, καὶ αὐτὸ τὴν στιγμὴν καθ' ἣν ἡ ὑπηρεσία εἰς ἐκεῖνον μὲν δὲν προσθέτει τίποτε (διότι ὁ Θεὸς εἶναι ἀνενδεής), καταλήγει δὲ εἰς τὸ ἰδικόν μας συμφέρον; Ἀλλ' ὅταν μὲν τὰ ὁδηγῆτε εἰς τὰ θέατρα, δὲν προβάλλετε ὡς δικαιολογίαν οὔτε τὰ μαθήματα οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά, ἐνῷ ὅταν χρειάζεται νὰ ὠφεληθοῦν καὶ νὰ ἀποκομίσουν κάτι πνευματικόν, προφασίζεσθε ὅτι εἶναι ἀπησχολημένα; Δὲν ἐξοργίζετε ἔτσι τὸν Θεόν, ὅταν δι' ὅλα τὰ ἄλλα εὐκαιρῆτε καὶ ἀφιερώνετε καιρόν, τὸ νὰ ἐπιδίδωνται δὲ εἰς τὰ ἰδικά του νὰ τὸ θεωρῆτε ἐνοχλητικὸν διὰ τὰ παιδιὰ καὶ ἀναχρονιστικόν;

Ὄχι τέτοια, ἀδελφοί. Διότι αὐτὴ πρὸ πάντων ἡ ἡλικία ἔχει ἀνάγκην ἀπὸ τοιούτου εἴδους ἀκροάσεις. Ἐπειδὴ εἶναι τρυφερά, ἀφομοιώνει ἀμέσως ὅσα λέγονται, διότι ἡ ἀκρόασις τυπώνεται εἰς τὸν νοῦν των, ὅπως μία σφραγὶς ἐπάνω εἰς τὸ κερί. Ἄλλως τε καὶ ἡ ζωὴ αὐτῶν τότε ἀρχίζει νὰ ἀποκλίνῃ πρὸς τὴν κακίαν ἢ τὴν ἀρετήν. Ἐὰν λοιπὸν κανεὶς ἀποτρέψῃ μὲν αὐτὰ ἀπὸ αὐτὰς τὰς ἀρχὰς καὶ τὰ πρόθυρα τῆς πονηρίας καὶ τὰ χειραγωγήσῃ πρὸς τὴν ἀρίστην ὁδόν, θὰ τοὺς δημιουργήσῃ τρόπον τινὰ κατάστασιν συνηθείας καὶ φύσεως. Καὶ δὲν θὰ μεταστρέφωνται εὔκολα μὲ τὴν θέλησίν των πρὸς τὸ κακόν, διότι ἡ συνήθεια αὐτὴ θὰ τοὺς ὠθεῖ νὰ πράττουν τὰ ἀγαθά.

Ἔτσι εἰς ἐμᾶς τοὺς γηρασμένους θὰ γίνουν περισσότερον σεβαστοὶ καὶ εἰς τὰς πολιτικὰς ὑποθέσεις περισσότερον χρήσιμοι, ἀφοῦ θὰ παρουσιάζουν εἰς τὴν νεότητά των τὰς ἀρετὰς τῶν μεγαλυτέρων. Διότι δὲν εἶναι δυνατόν, ὅπως εἶπα προηγουμένως, ὅταν ἀκούσουν τέτοια πράγματα καὶ μαθητεύσουν κοντὰ εἰς τέτοιον ἀπόστολον, νὰ ἀπέλθουν χωρὶς νὰ ἀποκομίσουν κάποιο μεγάλο καὶ γενναῖον ἀγαθόν, εἴτε εἶναι ἄνδρας, εἴτε εἶναι γυναῖκα, εἴτε νέος ἐκεῖνος ποὺ θὰ συμμετάσχῃ αὐτῆς τῆς τραπέζης. Διότι ἐφ'

ἡμῖν λόγῳ ῥυθμίζοντες ἡμεροῦμεν, πόσῳ μᾶλλον τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ τοὺς ἄνδρας τοῦτο ἐργασόμεθα, ὅταν καὶ τοῦ φαρμάκου καὶ τοῦ θεραπευομένου πολὺ τὸ μέσον ᾖ;

Οὔτε γὰρ ἡ ἐν ἡμῖν ἀγριότης τοσαύτη, ὅση ἡ ἐν ἐκείνοις, (ἡ μὲν γὰρ φύσεως, ἡ δὲ προαιρέσεώς ἐστιν), οὔτε τῶν λόγων ἡ ἰσχὺς ἡ αὐτή· ἐκείνη μὲν γὰρ ἀνθρωπίνης ἐστὶ διανοίας, αὕτη δὲ τῆς τοῦ Πνεύματος δυνάμεως καὶ τῆς χάριτος. Ὁ τοίνυν ἀπογινώσκων ἑαυτοῦ τὰ θηρία ἐννοείτω τὰ ἥμερα, καὶ οὐδέποτε τοῦτο πείσεται· συνεχῶς παρὰ τοῦτο ἴτω τὸ ἰατρεῖον, τῶν τοῦ Πνεύματος ἀκουέτω νόμων διὰ παντὸς τοῦ καιροῦ, καὶ οἴκαδε ἀπελθὼν ἀπογραφέτω τὰ ἀκουσθέντα τῇ διανοίᾳ, καὶ οὕτως ἔσται ἐν ἐλπίσι χρησταῖς καὶ ἀσφαλείᾳ πολλῇ, τῇ πείρᾳ τῆς προκοπῆς αἰσθανόμενος· ὅταν γὰρ ὁ διάβολος ἴδῃ τοῦ Θεοῦ τὸν νόμον ἐγγραφέντα τῇ ψυχῇ, καὶ πλάκας αὐτοῦ γενομένην τὴν καρδίαν, οὐ προσελεύσεται λοιπόν.

Ἔνθα γὰρ ἂν ᾖ γράμματα βασιλικά, οὐκ ἐν στήλῃ χαραγέντα χαλκῇ, ἀλλ' ἐπὶ θεοφιλοῦς διανοίας ἁγίῳ Πνεύματι τυπωθέντα, καὶ πολλῆς ἀποστίλβοντα τῆς χάριτος, οὐδὲ ἀντιβλέψαι ἐκεῖνος δυνήσεται, ἀλλὰ πόρρωθεν ἡμῖν δώσει τὰ νῶτα· οὐδὲν γὰρ οὕτω φοβερὸν ἐκείνῳ καὶ τοῖς παρ' ἐκείνου ὑποτιθεμένοις λογισμοῖς, ὡς διάνοια, τὰ θεῖα μελετῶσα, καὶ ψυχή, ταύτῃ διὰ παντὸς ἐγκειμένη τῇ πηγῇ· τὴν γὰρ τοιαύτην οὐ λυπῆσαί τι τῶν παρόντων δυνήσεται, κἂν ἀηδὲς ᾖ, οὐ

ὅσον μὲ τὸν λόγον κατευθύνοντες ἐξημερώνομεν τὰ ζῶα ποὺ ζοῦν μαζί μας, πόσον μᾶλλον μὲ αὐτὴν τὴν πνευματικὴν διδασκαλίαν θὰ ἐπιτύχωμεν αὐτὸ εἰς τοὺς ἄνδρας, τὴν στιγμὴν κατὰ τὴν ὁποίαν καὶ τὸ φάρμακον καὶ ὁ θεραπευόμενος διαφέρουν πολύ.

Διότι οὔτε ἡ ἀγριότης ποὺ ὑπάρχει μέσα μας εἶναι τόσον μεγάλη ὅσον ἡ ἀγριότης ἐκείνων, ἀφοῦ ἐκείνων μὲν εἶναι φυσική, ἐνῷ ἡ ἰδική μας προαιρετική, οὔτε ἡ δύναμις τῶν λόγων εἶναι ἡ ἰδία. Καθόσον ἐκείνη μὲν εἶναι προϊὸν ἀνθρωπίνης διανοίας, ἐνῷ αὐτὴ ἐδῶ τῆς δυνάμεως καὶ χάριτος τοῦ Πνεύματος. Ὅποιος λοιπὸν βλέπει τὸν ἑαυτόν του νὰ ἀπογοητεύεται, ἂς ἐνθυμητῆται τὰ ἥμερα ζῶα καὶ δὲν θὰ τὸ πάθῃ αὐτὸ ποτέ. Ἂς ἔρχεται συνεχῶς εἰς αὐτὸ τὸ ἰατρεῖον. Ἂς ἀκούῃ ὅλον τὸν καιρὸν τοὺς νόμους τοῦ Πνεύματος καὶ ὅταν ἀπέρχεται εἰς τὴν οἰκίαν του ἂς καταγράφῃ ὅσα ἤκουσεν εἰς τὸν νοῦν του. Ἔτσι θὰ ζῇ μὲ ἀγαθὰς ἐλπίδας καὶ μεγάλην ἀσφάλειαν, τὰ ὁποῖα θὰ τοῦ παρέχῃ ἡ συναίσθησις τῆς προκοπῆς. Διότι ὅταν ὁ διάβολος ἰδῇ τὸν νόμον τοῦ Θεοῦ νὰ γράφεται μέσα εἰς τὴν ψυχὴν καὶ τὴν καρδίαν τοῦ ἀνθρώπου νὰ μεταβάλλεται εἰς πλάκας τοῦ νόμου, δὲν πλησιάζει.

Διότι ὅπου ὑπάρχουν γράμματα βασιλικά, ὄχι χαραγμένα εἰς χαλκίνην στήλην, ἀλλὰ ποὺ νὰ εἶναι τυπωμένα εἰς θεοφιλῆ διάνοιαν ἀπὸ τὸ ἅγιον Πνεῦμα καὶ νὰ ἀκτινοβολοῦν πολλὴν χάριν, οὔτε νὰ μᾶς ἀτενίσῃ κατὰ πρόσωπον θὰ ἠμπορέσῃ ἐκεῖνος, ἀλλὰ ἀπὸ μακρυὰ θὰ μᾶς δείξῃ τὰ νῶτα του. Διότι δὲν ὑπάρχει τίποτε τόσον φοβερὸν δι' ἐκεῖνον καὶ τοὺς συλλογισμοὺς ποὺ ὑποβάλλει ἐκεῖνος, ὅσον ὁ νοῦς ποὺ μελετᾷ τὰ θεῖα καὶ ἡ ψυχὴ ποὺ εὑρίσκεται διὰ παντὸς μέσα εἰς τὴν πηγήν. Αὐτὴν δὲν θὰ ἠμπορέσῃ νὰ τὴν στενοχωρήσῃ τίποτε ἀπὸ τὰ παρόντα, ἔστω καὶ ἂν εἶναι ἀηδές, οὔτε νὰ τὴν φουσκώσῃ καὶ νὰ τὴν κάνῃ ἀλαζονικήν, ἔστω καὶ ἂν εἶναι εὐδαιμονικόν, ἀλλὰ μέσα

φυσῆσαι καὶ ἐπᾶραι, κἂν αἴσιον ᾖ, ἀλλ' ἐν τοσούτῳ χειμῶνι καὶ ζάλῃ γαλήνης ἀπολαύσεται πολλῆς.

2. Οὐ γὰρ παρὰ τὴν τῶν πραγμάτων φύσιν ὁ θόρυβος ἡμῖν ἐγγίνεται, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς διανοίας τῆς ἡμετέρας· ἐπεί, εἰ παρὰ τὰ συμβαίνοντα τοῦτο ἐπάσχομεν, πάντας ἀνθρώπους ταράττεσθαι ἔδει· πάντες γὰρ τὴν αὐτὴν πλέομεν θάλατταν, καὶ κυμάτων καὶ ἅλμης ἐκτὸς εἶναι ἀμήχανον. Εἰ δέ εἰσιν, οἳ τοῦ χειμῶνος ἑστήκασιν ἔξω καὶ τῆς θαλάττης μαινομένης, εὔδηλον ὅτι τὸν χειμῶνα οὐ τὰ πράγματα ποιεῖ, ἀλλ' ἡ κατάστασις τῆς διανοίας τῆς ἡμετέρας. Ἂν οὖν αὐτὴν κατασκευάσωμεν οὕτως, ὡς πάντα φέρειν εὐκόλως, οὐκ ἔσται χειμὼν ἡμῖν, οὐδὲ κλυδώνιον, λευκῆς ἀεὶ τῆς γαλήνης οὔσης.

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς, προθέμενος μηδὲν ὑπὲρ τούτων εἰπεῖν, εἰς τοσοῦτον ταύτης ἐξηνέχθην τῆς παραινέσεως. Σύγγνωτε οὖν τῆς μακρηγορίας ἡμῖν· καὶ γὰρ δέδοικα, καὶ σφόδρα δέδοικα, μή ποτε ἀσθενεστέρα ἡμῖν αὕτη γένηται ἡ σπουδή· ὡς, εἴ γε ἐθάρρουν ὑπὲρ αὐτῆς, οὐδὲν ἂν διελέχθην τούτων ὑμῖν νῦν· ἱκανὴ γὰρ αὕτη πάντα ὑμῖν ἐξευμαρίσαι τὰ πράγματα.

Ὥρα δὲ λοιπὸν ἐπὶ τὰ προκείμενα τήμερον ἰέναι, ὥστε μὴ κεκμηκότας ὑμᾶς προσβάλλειν τοῖς ἀγῶσιν· ἀγῶνες γὰρ ἡμῖν πρόκεινται πρὸς τοὺς τῆς ἀληθείας ἐχθρούς, πρὸς τοὺς πάντα μηχανωμένους, ὥστε καθελεῖν τὴν δόξαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, μᾶλλον δὲ τὴν ἑαυτῶν· ἡ μὲν γὰρ μένει διὰ παντός, οἵαπέρ ἐστιν, οὐδὲν παρὰ τῆς βλασφήμου γλώττης ἐλαττουμένη, ἐκεῖνοι δέ, ὃν φασι προσκυνεῖν, καθελεῖν σπουδάζοντες, τὰ πρόσωπα αὐτῶν ἀτιμίας πληροῦσι καὶ κολάσεως τὴν ψυχήν.

εἰς τόσον μεγάλην βαρυχειμωνιὰν καὶ παραζάλην, θὰ ἀπολαύῃ πολλῆς γαλήνης.

2. Διότι ὁ θόρυβος δὲν προκαλεῖται μέσα μας ἀπὸ τὴν φύσιν τῶν πραγμάτων, ἀλλὰ ἀπὸ τὴν ἀσθένειαν τῆς διανοίας μας. Διότι ἐὰν αὐτὰ τὰ ὑφιστάμεθα ἀπὸ τὰ ἴδια τὰ πράγματα, τότε θὰ ἔπρεπε νὰ ταράσσωνται ὅλοι οἱ ἄνθρωποι, ἀφοῦ ὅλοι διαπλέομεν τὴν ἰδίαν θάλασσαν καὶ εἶναι ἀδύνατον νὰ μείνωμεν ἔξω ἀπὸ τὴν ἐπήρειαν τῶν κυμάτων καὶ τῆς ἁλμύρας. Ἐφ' ὅσον ὅμως ὑπάρχουν ἐκεῖνοι οἱ ὁποῖοι εὑρίσκονται ἔξω ἀπὸ τὴν βαρυχειμωνιὰν καὶ τὴν μαινομένην θάλασσαν, εἶναι φανερὸν ὅτι τὴν βαρυχειμωνιὰν δὲν τὴν προκαλοῦν τὰ πράγματα, ἀλλὰ ἡ κατάστασις τῆς ἰδικῆς μας διανοίας. Ἐὰν λοιπὸν τὴν διαπλάσσωμεν ἔτσι ὥστε νὰ τὰ ἀντιμετωπίζῃ ὅλα μὲ εὐκολίαν, δὲν θὰ ὑπάρχη δι' ἡμᾶς βαρυχειμωνιά, οὔτε θαλασσοταραχή, ἀφοῦ πάντοτε θὰ ὑπάρχῃ ἀδιατάρακτος γαλήνη.

Ἀλλὰ δὲν γνωρίζω πῶς ἐνῷ δὲν εἶχα πρόθεσιν νὰ ὁμιλήσω περὶ αὐτῶν, ἔφθασα εἰς αὐτὸ τὸ σημεῖον τῶν παραινέσεων. Συγχωρεῖστε μου λοιπὸν τὴν μακρηγορίαν. Τὸ ἔκανα διότι φοβοῦμαι, καὶ φοβοῦμαι πολύ, μήπως ἐξασθενήσῃ εἰς ἐσᾶς αὐτὴ ἡ προθυμία. Ἐνῷ ἐὰν ἤμουν βέβαιος περὶ αὐτῆς, δὲν θὰ σᾶς ὡμιλοῦσα καθόλου τώρα περὶ αὐτήν, διότι αὐτὴ εἶναι ἀρκετὴ διὰ νὰ ἀνακουφίσῃ ὅλα τὰ πράγματα πρὸς χάριν σας.

Εἶναι ὥρα λοιπὸν νὰ προχωρήσωμεν σήμερα εἰς τὸ θέμα μας, διὰ νὰ μὴ ριφθῆτε εἰς τοὺς ἀγῶνας κουρασμένοι. Διότι σᾶς περιμένουν ἀγῶνες ἐναντίον τῶν ἐχθρῶν τῆς ἀληθείας, ἐναντίον ἐκείνων ποὺ μηχανεύονται τὰ πάντα διὰ νὰ καταλύσουν τὴν δόξαν τοῦ Θεοῦ, ἢ μᾶλλον τὴν ἰδικήν των. Διότι ἐκείνη μὲν παραμένει αἰώνιος, ὅπως εἶναι, χωρὶς νὰ ἐλαττοῦται ἀπὸ τὴν βλάσφημον γλῶσσαν. Ἐνῷ αὐτοὶ ἐπιδιώκοντες νὰ καταργήσουν αὐτὸν ποὺ ἰσχυρίζονται ὅτι τὸν προσκυνοῦν, γεμίζουν τὰ ἰδικά των πρόσωπα μὲ ἀτιμίαν καὶ καθιστοῦν τὴν ψυχήν των ἀξίαν κολάσεως.

Τίνα οὖν ἐστιν ἅ φασιν, ἡμῶν ταῦτα λεγόντων, ἐκεῖνοι; Ὅτι τὸ «ἐν ἀρχῇ ἦν ὁ Λόγος» οὐ τὸ ἀΐδιον δείκνυσιν ἁπλῶς· καὶ γὰρ καὶ περὶ οὐρανοῦ τοῦτο καὶ περὶ γῆς ἐλέχθη. Ὢ τῆς ἀναισχυντίας καὶ τῆς ἀνευλαβείας τῆς πολλῆς. Περὶ Θεοῦ σοι διαλέγομαι, καὶ σύ μοι τὴν γῆν φέρεις εἰς μέσον, καὶ τοὺς ἀπὸ τῆς γῆς ἀνθρώπους; Οὐκοῦν, ἐπειδὴ Υἱὸς Θεοῦ ὁ Χριστὸς λέγεται καὶ Θεός, καὶ ὁ ἄνθρωπος υἱὸς Θεοῦ λέγεται καὶ θεός, («ἐγὼ» γὰρ «εἶπα· Θεοί ἐστε», φησί, «καὶ υἱοὶ Ὑψίστου πάντες»), φιλονεικήσεις τῷ Μονογενεῖ τῆς υἱότητος, καὶ οὐδὲν φήσεις αὐτὸν ἔχειν κατὰ τοῦτό σου πλέον; Οὐδαμῶς, φησί. Καὶ μὴν τοῦτο ποιεῖς, κἂν μὴ τῷ λόγῳ λέγῃς. Πῶς; Ὅτι καὶ σὺ χάριτι φῄς τῆς υἱοθεσίας μετειληφέναι καὶ αὐτὸν οὕτω· τῷ γὰρ μὴ φύσει λέγειν αὐτὸν υἱὸν οὐδὲν ἕτερον ἢ χάριτι εἶναι τοῦτο κατασκευάζεις.

Πλὴν ἀλλ' ἴδωμεν καὶ τὰς μαρτυρίας, ἃς παράγουσιν ἡμῖν. «Ἐν ἀρχῇ», φησίν, «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος»· καί, «ἦν ἄνθρωπος ἐξ Ἀρμαθαὶμ Σιφά». Ταῦτά ἐστιν, ἃ νομίζουσιν εἶναι ἰσχυρά. Καὶ ἔστιν ἰσχυρά, ἀλλ' εἰς τὸ δεῖξαι τὴν παρ' ἡμῶν λεγομένην ὀρθότητα τῶν δογμάτων, πρὸς δὲ τὸ στῆσαι τὴν βλασφημίαν αὐτῶν ἀσθενέστερά πως ἁπάντων· τί γάρ, εἰπέ μοι, κοινὸν ἔχει πρὸς τὸ «ἐποίησε» τὸ «ἦν»; τί δὲ ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον; Τί τὰ ἄμικτα μιγνύεις, καὶ συγχεῖς τὰ διαιρούμενα, καὶ τὰ ἄνω τὰ κάτω ποιεῖς; Ἐνταῦθα γὰρ τὸ «ἦν» οὐ δείκνυσι τὸ ἀΐδιον μόνον, ἀλλὰ καὶ τὸ «ἐν ἀρχῇ ἦν» καὶ τὸ «ὁ Λόγος ἦν». Ὥσπερ οὖν τὸ «ὢν», ὅταν μὲν περὶ ἀνθρώπου λέγηται, τὸν ἐνεστῶτα χρόνον δηλοῖ μόνον, ὅταν δὲ περὶ Θεοῦ, τὸ ἀΐδιον δείκνυσιν, οὕτω καὶ τὸ «ἦν»,

1. Ψαλμ. 81, 6.
2. Γεν. 1, 1-2.
3. Α΄ Βασ. 1, 1.

Ποῖα εἶναι λοιπὸν ἐκεῖνα ποὺ ἰσχυρίζονται αὐτοί, ὅταν ἐμεῖς λέγωμεν αὐτά; Ὅτι τὸ «ἐν ἀρχῇ ἦν ὁ Λόγος» δὲν φανερώνει μόνον τὸ ἀίδιον, διότι τοῦτο ἀναφέρεται καὶ εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν. Πόσον μεγάλη εἶναι ἡ ἀναισχυντία καὶ ἡ ἀνευλάβειά των! Ἐγὼ σοῦ ὁμιλῶ περὶ τοῦ Θεοῦ καὶ σὺ μοῦ ἀναφέρεις τὴν γῆν καὶ τοὺς ἀνθρώπους τῆς γῆς; Λοιπόν, ἐπειδὴ ὁ Χριστὸς λέγεται Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς καὶ ὁ ἄνθρωπος λέγεται υἱὸς Θεοῦ καὶ Θεὸς (διότι λέγει· «Ἐγὼ εἶπα, εἶσθε θεοὶ καὶ υἱοὶ τοῦ ὑψίστου ὅλοι»[1]), ἀμφισβητεῖς τὴν υἱότητα εἰς τὸν Μονογενῆ καὶ ἰσχυρίζεσαι ὅτι δὲν ἔχει τίποτε περισσότερον ἀπὸ σὲ ὡς πρὸς αὐτό; Καθόλου, λέγει. Καὶ ὅμως αὐτὸ κάνεις, ἔστω καὶ ἂν δὲν τὸ λέγῃς μὲ λόγια. Πῶς; Διότι ἰσχυρίζεσαι ὅτι καὶ σὺ διὰ τῆς χάριτος τοῦ Θεοῦ μετέχεις τῆς υἱοθεσίας ὅπως καὶ ἐκεῖνος. Διότι μὲ τὸ νὰ λέγῃς ὅτι αὐτὸς δὲν εἶναι φυσικὸς υἱός, δὲν κάνεις τίποτε ἄλλο παρὰ νὰ ἰσχυρίζεσαι ὅτι εἶναι υἱὸς κατὰ χάριν.

Ἀλλὰ ἂς ἴδωμεν καὶ τὰς μαρτυρίας τῆς Γραφῆς τὰς ὁποίας μᾶς προβάλλουν. «Εἰς τὴν ἀρχήν», λέγει, «ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἀδιαμόρφωτος»[2], καὶ «ὑπῆρχεν ἄνθρωπος ἀπὸ τὴν Ἀρμαθαὶμ Σιφᾶ»[3]. Αὐτὰ εἶναι τὰ χωρία τὰ ὁποῖα νομίζουν ὅτι εἶναι ἀκατανίκητα. Καὶ εἶναι ἀκατανίκητα, ἀλλὰ διὰ νὰ ἀποδείξουν τὴν ὀρθότητα τῶν δογμάτων ποὺ ὑποστηρίζομεν ἐμεῖς, ἐνῷ διὰ νὰ στηρίξουν τὴν βλασφημίαν αὐτῶν, εἶναι κάπως πιὸ ἀσθενῆ ἀπὸ ὅλα. Διότι εἰπέ μου, τί κοινὸν ἔχει τὸ «ἦν» πρὸς τὸ «ἐποίησε»; Καὶ τί κοινὸν ἔχει ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον; Διατί ἀναμιγνύεις τὰ ἀσυμβίβαστα καὶ συγχέεις αὐτὰ ποὺ εἶναι χωριστά, καὶ κάνεις τὰ ἄνω κάτω; Διότι ἐδῶ τὸ ἀίδιον δὲν τὸ δηλώνει μόνον του τὸ «ἦν», ἀλλὰ τὸ «ἐν ἀρχῇ ἦν» καὶ τὸ «ὁ Λόγος ἦν». Ὅπως λοιπὸν τὸ «ὤν», ὅταν μὲν ἀναφέρεται εἰς τὸν ἄνθρωπον δηλοῖ μόνον τὸν ἐνεστῶτα χρόνον, ἐνῷ ὅταν ἀναφέρεται εἰς τὸν Θεόν, φανερώνει τὸ ἀίδιον, ἔτσι καὶ τὸ

περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα σημαίνει χρόνον ἡμῖν, καὶ αὐτὸν τοῦτον πεπερατωμένον, ὅταν δὲ περὶ Θεοῦ, τὸ ἀΐδιον ἐμφαίνει.

Ἤρκει μὲν οὖν ἀκούσαντα γῆν, καὶ ἀκούσαντα ἄνθρωπον, μηδὲν πλέον ὑποπτεῦσαι περὶ αὐτῶν, ὧν τῇ φύσει τῇ γεννητῇ προσῆκε νοεῖν. Τὸ γὰρ γενόμενον, ὅ,τι ἂν ᾖ, χρόνῳ ἢ αἰῶνι γέγονεν, ὁ δὲ Υἱὸς τοῦ Θεοῦ οὐ χρόνων μόνον, ἀλλὰ καὶ αἰώνων πάντων ἀνώτερος· δημιουργὸς γὰρ αὐτῶν ἐστι καὶ ποιητής· «Δι' οὗ» γάρ, φησί, «καὶ τοὺς αἰῶνας ἐποίησεν». Ὁ δὲ ποιητὴς πρὸ τῶν ποιημάτων πάντως ἐστίν.

Ἐπειδὴ δὲ οὕτως ἀναίσθητοί τινες εἰσιν, ὡς καὶ μετὰ ταῦτα μεῖζόν τι περὶ αὐτῶν τῆς ἀξίας ὑπονοεῖν τῷ «ἐποίησε» ῥήματι, καὶ τῷ «ἄνθρωπος ἦν» προκαταλαμβάνει τὴν διάνοιαν τοῦ ἀκροατοῦ, καὶ πᾶσαν ἀναισχυντίαν ἐκκόπτει. Πᾶν γὰρ τὸ ποιηθέν, καὶ οὐρανὸς καὶ γῆ, χρόνῳ πεποίηται, καὶ ἀρχὴν ἔχει χρονικήν, καὶ ἄναρχον τούτων οὐδέν, ἐπειδὴ γέγονεν. Ὥστε, ὅταν ἀκούσῃς, ὅτι «ἐποίησε τὴν γῆν», καὶ ὅτι «ἄνθρωπος ἦν», περιττὰ λοιπὸν φλυαρεῖς, ἀνόνητόν τινα ἐλίττων λῆρον.

Ἐγὼ γὰρ καὶ ἑτέραν ὑπερβολὴν εἴποιμι ἄν. Ποίαν δὴ ταύτην; Ὅτι, εἰ καὶ περὶ τῆς γῆς εἴρητο τὸ «ἐν ἀρχῇ ἦν ἡ γῆ», καὶ περὶ τοῦ ἀνθρώπου, ὅτι «ἐν ἀρχῇ ἦν ὁ ἄνθρωπος», οὐδὲ οὕτως ὑποπτεῦσαί τι μεῖζον περὶ αὐτῶν τῶν νῦν ἐγνωσμένων ἐχρῆν ἡμῖν· ἡ γὰρ τῆς γῆς καὶ τοῦ ἀνθρώπου προσηγορία προλαβοῦσα, ὅσα ἂν περὶ αὐτῶν λέγηται, οὐκ ἀφίησι τὴν διάνοιαν μεῖζόν τι φαντασθῆναι περὶ αὐτῶν, ὧν νῦν ἴσμεν· ὥσπερ οὐδὲ ὁ Λόγος, κἂν μικρόν τι περὶ αὐτοῦ λεχθῇ,

4. Ἑβρ. 1, 2.

«ἦν», ὅταν μὲν ἀναφέρεται εἰς τὴν ἰδικήν μας φύσιν σημαίνει τὸν χρόνον ὁ ὁποῖος ἔχει παρέλθει δι' ἡμᾶς, καὶ μάλιστα τελειωμένον, ὅταν ὅμως ἀναφέρεται εἰς τὸν Θεὸν φανερώνει τὸ ἀίδιον.

Ἦτο ἀρκετὸν ἑπομένως, ὅταν ἤκουσε τὰς λέξεις γῆ καὶ ἄνθρωπος, νὰ μὴ ὑποθέση τίποτε περισσότερον περὶ αὐτῶν, τὰ ὁποῖα ἔπρεπε νὰ κατανοῆ ἐκ φύσεως γεννητά. Διότι αὐτὸ τὸ ὁποῖον ἔγινεν, ὅ,τι καὶ ἂν εἶναι, ἔγινε μέσα εἰς τὸν χρόνον ἢ εἰς τὸν αἰῶνα. Ὁ Υἱὸς τοῦ Θεοῦ ὅμως εἶναι ὑπεράνω ὄχι μόνον τῶν χρόνων, ἀλλὰ καὶ ὅλων τῶν αἰώνων, διότι εἶναι δημιουργὸς καὶ ποιητὴς αὐτῶν. Διότι λέγει· «διὰ τοῦ ὁποίου ἐδημιούργησε καὶ τοὺς αἰῶνας»[4]. Εἶναι δὲ γνωστὸν ὅτι ὁ ποιητὴς ὑπάρχει ὁπωσδήποτε πρὶν ἀπὸ τὰ ποιήματα.

Ἀλλὰ ἐπειδὴ μερικοὶ εἶναι τόσον ἀναίσθητοι, ὥστε καὶ μετὰ ἀπὸ αὐτὰ νὰ ὑπονοοῦν κάτι ἀνώτερον περὶ τῆς ἀξίας των, μὲ τὸ ρῆμα «ἐποίησε» καὶ μὲ τὸ «ἄνθρωπος ἦν» προλαμβάνει τὴν σκέψιν τοῦ ἀκροατοῦ καὶ κόπτει σύρριζα κάθε ἀναισχυντίαν. Διότι κάθε τι τὸ ὁποῖον ἐδημιουργήθη, καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἔχει δημιουργηθῆ ἐν χρόνῳ καὶ ἔχει χρονικὴν ἀρχὴν καὶ κανένα ἀπὸ αὐτὰ δὲν εἶναι ἄναρχον, ἐπειδὴ ἔχει γίνει. Ὥστε, ὅταν ἀκούῃς ὅτι ἐδημιούργησε τὴν γῆν καὶ ὅτι ἦτο ἄνθρωπος, ὅσα ἰσχυρίζεσαι εἶναι περιτταὶ φλυαρίαι.

Ἐγὼ ὅμως ἠμπορῶ νὰ σοῦ ἀναφέρω καὶ ἄλλην ὑπερβολήν. Ποία εἶναι αὐτή; ὅτι, ἂν καὶ τὸ «ἐν ἀρχῇ ἦν ἡ γῆ» ἐλέχθη περὶ τῆς γῆς καὶ περὶ τοῦ ἀνθρώπου, διότι «ἐν ἀρχῇ ἦν ὁ ἄνθρωπος», δὲν ἔπρεπεν οὔτε δι' αὐτὸ ἡμεῖς νὰ ὑπονοήσωμεν κάτι τὸ ἀνώτερον περὶ αὐτῶν τὰ ὁποῖα τώρα εἶναι γνωστά. Διότι προηγηθεῖσα ἡ ὀνομασία τῆς γῆς καὶ τοῦ ἀνθρώπου, ὅσα καὶ ἂν λέγωνται περὶ αὐτῶν, δὲν ἐπιτρέπει τὸν νοῦν νὰ φαντασθῇ κάτι ἀνώτερον δι' αὐτά, τὰ ὁποῖα τώρα γνωρίζομεν, ὅπως οὔτε ὁ Λόγος, ἔστω καὶ ἂν λεχθῇ κάτι τὸ ταπεινὸν περὶ αὐτοῦ, δὲν τοῦ ἐπιτρέπει νὰ

οὐκ ἀφίησιν ταπεινὸν ἐννοῆσαί τι καὶ εὐτελές· ἐπεὶ καὶ προϊών φησι περὶ τῆς γῆς· «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος». Εἰπὼν γὰρ ὅτι ἐποίησεν αὐτήν, καὶ θεὶς αὐτῇ τὸν οἰκεῖον ὅρον, ἀδεῶς λοιπὸν τὰ ἑξῆς φθέγγεται, εἰδὼς ὅτι οὐδεὶς οὕτως ἀνόητός ἐστιν, ὡς ἄναρχον αὐτὴν καὶ ἀγένητον ὑποπτεῦσαι· τὸ γὰρ τῆς γῆς ὄνομα καὶ τὸ «ἐποίησεν» ἱκανὰ καὶ τὸν σφόδρα ἠλίθιον πεῖσαι, ὅτι οὐκ ἀΐδιος, οὐδὲ ἀγένητος, ἀλλὰ τῶν ἐν χρόνῳ γενομένων ἐστί.

3. Χωρὶς δὲ τούτων τὸ «ἦν» ἐπὶ μὲν τῆς γῆς καὶ τοῦ ἀνθρώπου οὐ τοῦ εἶναι ἁπλῶς ἐστι σημαντικόν, ἀλλ' ἐπὶ μὲν τοῦ ἀνθρώπου, τοῦ ἀπὸ τοῦδε τοῦ χωρίου εἶναι, ἐπὶ δὲ τῆς γῆς, τοῦ πῶς εἶναι. Οὐδὲ γὰρ εἶπεν· «Ἡ δὲ γῆ ἦν» ἁπλῶς, καὶ ἐσίγησεν, ἀλλὰ πῶς ἦν καὶ μετὰ τὸ γενέσθαι ἐδίδαξεν, οἷον, ὅτι «ἀόρατος καὶ ἀκατασκεύαστος», ἔτι τοῖς ὕδασι κρυπτομένη καὶ φυρομένη· καὶ ἐπὶ τοῦ Ἐλκανᾶ οὐκ εἶπεν ὅτι «ἦν ἄνθρωπος» μόνον, ἀλλὰ προσέθηκε καὶ πόθεν ἦν δηλῶν, τὸ «ἐξ Ἀρμαθαὶμ Σιφά».

Ἐπὶ δὲ τοῦ Λόγου οὐχ οὕτω. Καὶ αἰσχύνομαι μὲν ταῦτα τούτοις ἀντεξετάζων. Εἰ γὰρ τοῖς ἐπ' ἀνθρώπων αὐτὸ ποιοῦσιν ἐπιτιμῶμεν, ὅταν πολὺ τὸ μέσον τῆς ἀρετῆς τῶν ἐξεταζομένων ᾖ, καίτοι γε τῆς οὐσίας μιᾶς οὔσης, ὅταν καὶ τῆς φύσεως καὶ τῶν ἄλλων ἁπάντων οὕτως ἄπειρον ᾖ τὸ μέσον, πῶς οὐκ ἐσχάτης μανίας τὸ τὰ τοιαῦτα κινεῖν; Ἀλλ' ἵλεως ἡμῖν αὐτὸς ὁ βλασφημούμενος παρ' ἐκείνων εἴη· τὴν γὰρ τῶν τοιούτων λόγων ἀνάγκην οὐχ ἡμεῖς ἐφευρήκαμεν, ἀλλ' οἱ τῇ ἑαυτῶν πολεμοῦντες σωτηρίᾳ ἡμῖν παρέσχον.

---

5. Γεν. 1, 2.

φαντασθῇ κάτι τὸ ταπεινὸν καὶ εὐτελές, ἀφοῦ συνεχίζων λέγει περὶ τῆς γῆς· «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος»[5]. Διότι ἀφοῦ εἶπεν ὅτι τὴν ἐδημιούργησε καὶ τῆς ἔδωσε τὸν ἰδικόν της ὅρον, ἐκθέτει τὰ παρακάτω χωρὶς φόβον, γνωρίζων ὅτι κανεὶς δὲν εἶναι τόσον ἀνόητος, ὥστε νὰ τὴν ἐκλάβη ἄναρχον καὶ ἀδημιούργητον. Διότι τὸ ὄνομα τῆς γῆς καὶ τὸ «ἐποίησεν» εἶναι ἀρκετὰ νὰ πείσουν καὶ τὸν πολὺ ἠλίθιον, ὅτι δὲν εἶναι ἀίδιος οὔτε ἀδημιούργητος, ἀλλὰ ὅτι ἀνήκει μεταξὺ ἐκείνων τὰ ὁποῖα ἔχουν γίνει ἐν χρόνῳ.

3. Ἐκτὸς δὲ ἀπὸ αὐτά, τὸ «ἦν» εἰς τὴν περίπτωσιν μὲν τῆς γῆς καὶ τοῦ ἀνθρώπου, δὲν εἶναι σημαντικὸν τῆς ὑπάρξεως μόνον, ἀλλά, εἰς μὲν τὴν περίπτωσιν τοῦ ἀνθρώπου, τῆς ὑπάρξεως ἀπὸ αὐτὸ ἐδῶ τὸ χωρίον, εἰς δὲ τὴν περίπτωσιν τῆς γῆς τοῦ τρόπου τῆς ὑπάρξεως. Διότι δὲν εἶπεν ἁπλῶς «ἡ δὲ γῆ ἦν» καὶ ἐσιώπησεν, ἀλλὰ ἐδίδαξε καὶ πῶς ἦτο μετὰ τὴν δημιουργίαν, ἤτοι ὅτι ἦτο «ἀόρατος καὶ ἀκατασκεύαστος», κρυμμένη ἀκόμη καὶ ἀνακατωμένη μὲ τὰ ὕδατα. Καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἐλκανᾶ δὲν εἶπε μόνον ὅτι «ἦν ἄνθρωπος», ἀλλὰ ἐδήλωσε καὶ ἀπὸ ποῦ ἦτο προσθέσας τὸ «ἐξ Ἀρμαθαὶμ Σιφᾶ».

Εἰς τὴν περίπτωσιν τοῦ Λόγου ὅμως δὲν γίνεται ἔτσι, καὶ ἐντρέπομαι μὲν ποὺ ἐξετάζω αὐτὰ ἐν ἀντιπαραβολῇ πρὸς ἐκεῖνα, διότι ἐὰν ἐπικρίνωμεν ἐκείνους ποὺ κάνουν τὸ ἴδιον εἰς περιπτώσεις ἀνθρώπων, ὅταν ἡ διαφορὰ τῆς ἀρετῆς τῶν ἐξεταζομένων εἶναι μεγάλη, μολονότι ἡ οὐσία των εἶναι μία καὶ ἡ αὐτή, δὲν εἶναι δεῖγμα ἐσχάτης μανίας τὸ νὰ κάνῃς κάτι τέτοιο, ὅταν ἡ διαφορὰ καὶ τῆς φύσεως καὶ ὅλων τῶν ἄλλων εἶναι τόσον ἀσύγκριτος; Ἀλλὰ εἴθε νὰ μᾶς συγχωρήσῃ αὐτὸς ὁ ὁποῖος βλασφημεῖται ἀπὸ ἐκείνους, διότι τὴν ἀνάγκην τῶν λόγων αὐτῶν δὲν τὴν ἐπροκαλέσαμεν ἐμεῖς, ἀλλὰ μᾶς τὴν ἔδωσαν ἐκεῖνοι οἱ ὁποῖοι πολεμοῦν τὴν ἰδίαν των τὴν σωτηρίαν.

Τί οὖν φημι; Ὅτι τοῦτο τὸ «ἦν» ἐπὶ τοῦ Λόγου τοῦ εἶναι ἀϊδίως μόνον ἐστὶ δηλωτικόν· «ἐν ἀρχῇ γὰρ ἦν», φησίν, «ὁ Λόγος»· τὸ δεύτερον δὲ ἦν τοῦ πρός τινα εἶναι. Ἐπειδὴ γὰρ μάλιστα τοῦ Θεοῦ τοῦτό ἐστιν ἴδιον, τὸ ἀΐδιον καὶ ἄναρχον, τοῦτο πρῶτον τέθεικεν. Εἶτα, ἵνα μή τις, ἀκούων τὸ «ἦν ἐν ἀρχῇ», καὶ ἀγέννητον αὐτὸν εἴπῃ, εὐθέως αὐτὸ παρεμυθήσατο, πρὸ τοῦ εἰπεῖν τί ἦν εἰπὼν ὅτι «πρὸς τὸν Θεὸν ἦν». Καὶ ἵνα μὴ λόγον αὐτὸν ἁπλῶς νομίσῃ τις εἶναι προφορικὸν ἢ ἐνδιάθετον, τῇ τοῦ ἄρθρου προσθήκῃ, καθάπερ ἔφθην εἰπών, καὶ διὰ τῆς δευτέρας ταύτης τοῦτο ἀνεῖλε ῥήσεως· οὐ γὰρ εἶπεν· «Ἐν Θεῷ ἦν», ἀλλὰ «πρὸς τὸν Θεὸν ἦν», τὴν καθ' ὑπόστασιν αὐτοῦ ἀϊδιότητα ἐμφαίνων ἡμῖν. Εἶτα καὶ σαφέστερον αὐτὸ προϊὼν ἀπεκάλυψεν, ἐπαγαγὼν ὅτι ὁ Λόγος οὗτος καὶ Θεὸς ἦν.

Ἀλλὰ πεποιημένος, φησί. Τί οὖν ἐκώλυε τοῦτο εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Λόγον; Περὶ γοῦν τῆς γῆς διαλεγόμενος ὁ Μωϋσῆς οὐκ εἶπεν· «Ἐν ἀρχῇ ἦν ἡ γῆ», ἀλλ' ὅτι «ἐποίησεν» αὐτὴν καὶ τότε ἦν. Τί τοίνυν ἐκώλυε καὶ τὸν Ἰωάννην οὕτως εἰπεῖν, ὅτι «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Λόγον»; Εἰ γὰρ περὶ τῆς γῆς τοῦτο ἔδεισεν ὁ Μωϋσῆς, μή τις αὐτὴν ἀγένητον εἴπῃ, πολλῷ μᾶλλον περὶ τοῦ Υἱοῦ φοβηθῆναι ἐχρῆν τὸν Ἰωάννην, εἴ γε κτιστὸς ἦν· ὁ μὲν γὰρ κόσμος, ὁρατὸς ὤν, αὐτόθεν κηρύττει τὸν Ποιητήν, («οἱ οὐρανοὶ» γάρ, φησί, «διηγοῦνται δόξαν τοῦ Θεοῦ»), ὁ δὲ Υἱὸς ἀόρατός ἐστι, καὶ τὴν κτίσιν σφόδρα καὶ ἀπείρως ὑπεραναβέβηκεν. Εἰ τοίνυν, ἔνθα μηδὲ λόγου καὶ διδασκαλίας ἡμῖν ἔδει πρὸς τὸ μαθεῖν, ὅτι γενητὸς ὁ κόσμος ἐστίν, ὅπως σαφῶς αὐτὸ καὶ πρὸ τῶν ἄλλων τίθησιν ὁ Προφήτης, πολλῷ

---

6. Ψαλμ. 18, 1.

Τί λέγω λοιπόν; Ὅτι αὐτὸ τὸ «ἦν» εἰς τὴν περίπτωσιν τοῦ Λόγου, εἶναι δηλωτικὸν μόνον τῆς ἀιδίου ὑπάρξεως. Διότι λέγει· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Ἐνῷ τὸ δεύτερον «ἦν» εἶναι δηλωτικὸν τῆς ὑπάρξεως ἐν σχέσει πρὸς κάποιον ἄλλον. Ἐπειδὴ δὲ αὐτό, τὸ ἀίδιον καὶ ἄναρχον, ἦτο κατ' ἐξοχὴν ἰδιότης τοῦ Θεοῦ, τὸ θέτει πρῶτον. Ἔπειτα, διὰ νὰ μὴ τὸν ὀνομάσῃ κανεὶς καὶ ἀγέννητον ἀκούων τὸ «ἦν ἐν ἀρχῇ», ἀμέσως τὸ ἐμετρίασεν, ἀναφέρων ὅτι «πρὸς τὸν Θεὸν ἦν», προτοῦ νὰ εἰπῇ τί ἦτο.

Καὶ διὰ νὰ μὴ τὸν νομίσῃ κανεὶς ὅτι εἶναι μόνον λόγος προφορικὸς ἢ ἐνδιάθετος, μαζὶ μὲ τὴν προσθήκην τοῦ ἄρθρου, ὅπως εἶπα προηγουμένως, τὸ ἀπέκλεισεν αὐτὸ καὶ μὲ τὴν δευτέραν ρῆσιν. Διότι δὲν εἶπεν «ἐν Θεῷ ἦν», ἀλλὰ «πρὸς τὸν Θεὸν ἦν», παρουσιάζων εἰς ἐμᾶς τὴν ὑποτεταγμένην ἀιδιότητά του. Ἔπειτα, καθὼς ἐπροχώρει, μᾶς τὸ ἐφανέρωσε μὲ περισσοτέραν σαφήνειαν, προσθέσας ὅτι ὁ Λόγος αὐτὸς ἦτο καὶ Θεός.

Εἶναι ὅμως δημιουργημένος, λέγει. Τότε τί τὸν ἠμπόδιζε νὰ τὸ εἰπῇ, ὅτι δηλαδὴ εἰς τὴν ἀρχὴν ἔπλασεν ὁ Θεὸς τὸν Λόγον; Ὅταν λοιπὸν ὁ Μωϋσῆς ὡμιλοῦσε περὶ τῆς γῆς, δὲν εἶπεν «ἐν ἀρχῇ ἦν ἡ γῆ», ἀλλ' ὅτι τὴν «ἐποίησε» καὶ τότε ὑπῆρχε. Τί ἠμπόδιζεν ἑπομένως καὶ τὸν Ἰωάννην νὰ εἰπῇ ἔτσι· 'εἰς τὴν ἀρχὴν ὁ Θεὸς ἐδημιούργησε τὸν Λόγον'; Διότι ἐὰν ὁ Μωϋσῆς ἐφοβήθη τοῦτο περὶ τῆς γῆς, μήπως κανεὶς τὴν θεωρήσῃ ἀγένητον, πολὺ περισσότερον ἔπρεπε νὰ φοβηθῇ ὁ Ἰωάννης περὶ τοῦ Υἱοῦ, ἐὰν βεβαίως ἦτο κτιστός. Διότι ὁ μὲν κόσμος, ἐπειδὴ εἶναι ὁρατός, διακηρύσσει ἀφ' ἑαυτοῦ τὸν δημιουργόν του (διότι «οἱ οὐρανοὶ διακηρύσσουν τὴν δόξαν τοῦ Θεοῦ»[6], λέγει). Ἐνῷ ὁ Υἱὸς εἶναι ἀόρατος καὶ ὑπερβαίνει κατὰ πολὺ καὶ ἀπείρως τὴν κτίσιν. Ἐφ' ὅσον λοιπὸν ἐκεῖ ὅπου δὲν ἐχρειάζετο νὰ μᾶς γίνῃ λόγος καὶ διδασκαλία διὰ νὰ μάθωμεν, ὅτι ὁ κόσμος εἶναι γενητός, ὁ προφήτης τὸ ἀναφέρει μὲ σαφή-

μᾶλλον περὶ τοῦ Υἱοῦ τοῦτο τὸν Ἰωάννην ἐχρῆν εἰπεῖν, εἴ γε κτισθεὶς ἦν.

Ναί, φησίν· ἀλλ' ὁ Πέτρος τοῦτο εἶπε σαφῶς καὶ διαρρήδην. Ποῦ, καὶ πότε; Ὅτε Ἰουδαίοις διαλεγόμενος ἔλεγεν· «Ὅτι Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε». Τί οὖν καὶ τὸ ἑξῆς οὐ προσέθηκας, ὅτι «τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε»; Ἢ ἀγνοεῖς ὅτι τῶν λεγομένων τὰ μὲν τῆς ἀκηράτου φύσεως, τὰ δὲ τῆς οἰκονομίας ἐστίν; Εἰ δὲ μή ἐστιν, ἀλλὰ πάντα ἁπλῶς ἐπὶ τῆς θεότητος ἐκδέξῃ, καὶ παθητὸν εἰσάξεις τὸ Θεῖον· εἰ δὲ μὴ παθητόν, οὐδὲ ποιητόν. Εἰ μὲν γὰρ ἐκ τῆς θείας αὐτῆς καὶ ἀρρήτου φύσεως τὸ αἷμα ἔρρευσε, καὶ ἀντὶ τῆς σαρκὸς αὐτὴ τοῖς κατὰ τὸν σταυρὸν ἥλοις διῃρεῖτο καὶ ἐτέμνετο, λόγον ἂν εἶχέ σου κατὰ τοῦτο τὸ σόφισμα, εἰ δὲ τοῦτο οὐδ' ἂν αὐτὸς ὁ διάβολος βλασφημήσειε, τίνος ἕνεκεν αὐτὸς ἀγνοεῖν προσποιῇ ἀσύγγνωστον οὕτως ἄγνοιαν, καὶ ἣν οὐδ' ἂν οἱ δαίμονες ὑπεκρίναντο;

Ἄλλως τε τὸ Κύριος καὶ τὸ Χριστὸς οὐκ ἔστιν οὐσίας, ἀλλ' ἀξιώματος· τὸ μὲν γὰρ τῆς ἐξουσίας ἐστί, τὸ δὲ τοῦ χρισθῆναι. Τί οὖν ἂν εἴποις περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ; Εἰ γὰρ καὶ κτιστὸς ἦν καθ' ὑμᾶς, τοῦτο οὐκ ἂν ἔχοι χώραν· οὐ γὰρ δὴ πρότερον ἐγένετο, καὶ τότε αὐτὸν ἐχειροτόνησεν ὁ Θεός· οὐδὲ ἀπόβλητον ἔχει τὴν ἀρχήν, ἀλλὰ φύσει καὶ οὐσιωμένην· ἐρωτηθεὶς γὰρ εἰ βασιλεὺς εἴη, «ἐγὼ εἰς τοῦτο γεγέννημαι», φησίν. Ὁ δὲ Πέτρος, ὡς περί τινος χειροτονηθέντος, οὕτω διαλέγεται· περὶ γὰρ τῆς οἰκονομίας ὁ λόγος αὐτῷ πάσης.

4. Καὶ τί θαυμάζεις, εἰ τοῦτο ὁ Πέτρος φησίν; Ἀθηναίοις γὰρ διαλεγόμενος ὁ Παῦλος ἄνδρα αὐτὸν καλεῖ μόνον, οὕτω λέγων· «Ἐν ἀνδρί, ᾧ ὥρισε πίστιν παρασχὼν πᾶσιν,

7. Πρ. 2, 36.
8. Αὐτόθι.
9. Ἰω. 18, 37.

νειαν καὶ πρὶν ἀπὸ τὰ ἄλλα, πολὺ περισσότερον ἔπρεπε νὰ εἰπῇ τοῦτο ὁ Ἰωάννης περὶ τοῦ Υἱοῦ, ἐὰν ἦτο κτίσμα.

Ναί, λέγει, ἀλλὰ ὁ Πέτρος τὸ εἶπε σαφῶς καὶ κατηγορηματικῶς. Ποῦ καὶ πότε τὸ εἶπεν; Ὅταν ὁμιλῶν πρὸς τοὺς Ἰουδαίους ἔλεγεν «ὅτι ὁ Θεὸς τὸν ἔκαμε Κύριον καὶ Χριστόν»[7]. Διατί ὅμως δὲν ἐπρόσθεσες καὶ τὸ παρακάτω, ὅτι «τὸν Ἰησοῦν, τὸν ὁποῖον σεῖς ἐσταυρώσατε»[8]; Ἢ μήπως ἀγνοεῖς ὅτι ἀπὸ τὰ λεγόμενα ἄλλα μὲν ἀναφέρονται εἰς τὴν ἀνέπαφον φύσιν του καὶ ἄλλα εἰς τὴν θείαν οἰκονομίαν; Διότι ἐὰν δὲν εἶναι ἔτσι, ἀλλὰ ὅλα τὰ ἐκλαμβάνεις ὡς ἀναφερόμενα μόνον εἰς τὴν θεότητα, τότε διδάσκεις ὅτι τὸ θεῖον εἶναι παθητόν. Ἐὰν πάλιν δὲν εἶναι παθητόν, τότε δὲν εἶναι οὔτε κτιστόν. Διότι, ἐὰν μὲν τὸ αἷμα εἶχε ρεύσει ἀπὸ αὐτὴν τὴν θείαν καὶ ἀπερίγραπτον φύσιν καὶ αὐτὴ εἶχε διαιρεθῇ καὶ τεμαχισθῇ μὲ τὰ καρφιὰ τοῦ σταυροῦ ἀντὶ τῆς σαρκὸς τοῦ Ἰησοῦ, θὰ εἶχε κάποιαν δικαιολογίαν τὸ σόφισμά σου. Ἐὰν ὅμως αὐτὸ δὲν θὰ ἐτόλμα νὰ τὸ ἐκστομίσῃ οὔτε ὁ διάβολος, διὰ ποίαν αἰτίαν σὺ προσποιεῖσαι ὅτι ἔχεις τόσον ἀσυγχώρητον ἄγνοιαν, τὴν ὁποίαν οὔτε οἱ δαίμονες δὲν θὰ ὑπεκρίνοντο;

Ἄλλως τε τὰ ὀνόματα «Κύριος» καὶ «Χριστὸς» δὲν εἶναι δηλωτικὰ τῆς οὐσίας του, ἀλλὰ τοῦ ἀξιώματός του. Διότι τὸ μὲν ἕνα σημαίνει τὴν ἐξουσίαν, τὸ δὲ ἄλλο ὅτι ἐχρίσθη. Τί θὰ ἠμποροῦσες λοιπὸν νὰ εἰπῇς περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ; Διότι ἐὰν ἦτο καὶ κτιστός, ὅπως ἰσχυρίζεσθε, αὐτὸ δὲν θὰ εἶχε θέσιν. Διότι ἀσφαλῶς δὲν ἔγινε πρῶτα καὶ ἔπειτα τὸν ἐχειροτόνησεν ὁ Θεός. Οὔτε τὴν ἐξουσίαν τὴν ἔχει ἀξιοκαταφρόνητον, ἀλλ' ἐκ φύσεως καὶ εἰς τὴν οὐσίαν. Διότι ὅταν ἠρωτήθη ἐὰν εἶναι βασιλεύς, «ἐγὼ δι' αὐτὸ ἐγεννήθην» εἶπεν[9]. Ἐνῷ ὁ Πέτρος ὁμιλεῖ ὡσὰν κάποιον ὁ ὁποῖος ἐχειροτονήθη, διότι κάμνει λόγον περὶ ὅλης τῆς οἰκονομίας.

4. Καὶ διατί ἀπορεῖς ποὺ τὸ λέγει αὐτὸ ὁ Πέτρος; Καὶ ὁ Παῦλος, ὁμιλῶν πρὸς τοὺς Ἀθηναίους, τὸν ἀποκαλεῖ μόνον ἄνδρα, λέγων τὰ ἑξῆς· «Μὲ ἄνδρα τὸν ὁποῖον ὥρισεν· ἔδω-

ἀναστήσας αὐτὸν ἐκ νεκρῶν», καὶ οὐδὲν περὶ τῆς τοῦ Θεοῦ λέγει μορφῆς, οὐδὲ ὅτι ἴσος αὐτῷ, οὐδὲ ὅτι ἀπαύγασμα τῆς δόξης αὐτοῦ. Εἰκότως· οὔπω γὰρ τούτων καιρὸς τῶν ῥημάτων ἦν, ἀλλ' ἀγαπητὸν ἦν αὐτοὺς παραδέξασθαι τέως ὅτι ἄνθρωπός ἐστι, καὶ ὅτι ἀνέστη.

Οὕτω καὶ αὐτὸς ἐποίησε Χριστός, παρ' οὗ καὶ Παῦλος μαθών, οὕτω τὰ πράγματα ᾠκονόμει· οὐ γὰρ εὐθέως ἡμῖν ἑαυτοῦ τὴν θεότητα ἐξεκάλυψεν, ἀλλὰ πρῶτον μὲν ἐνομίζετο εἶναι Προφήτης καὶ Χριστὸς ἁπλῶς ἄνθρωπος, ὕστερον δὲ ἐφάνη διὰ τῶν ἔργων καὶ τῶν ῥημάτων τοῦτο, ὅπερ ἦν. Διὰ τοῦτο καὶ ὁ Πέτρος ἐν ἀρχῇ τούτῳ κέχρηται τῷ τρόπῳ· καὶ γὰρ ταύτην πρώτην πρὸς Ἰουδαίους ἐδημηγόρει δημηγορίαν. Ἐπειδὴ γὰρ οὐδὲν περὶ τῆς θεότητος αὐτοῦ τέως σαφὲς μαθεῖν ἴσχυον, διὰ τοῦτο τοῖς περὶ τῆς οἰκονομίας ἐνδιατρίβει λόγοις, ἵνα, τούτοις ἡ ἀκοὴ γυμνασθεῖσα, τῇ λοιπῇ προοδοποιήσῃ διδασκαλίᾳ. Καὶ εἰ βούλοιτό τις τὴν δημηγορίαν πᾶσαν ἄνωθεν διελθεῖν, εὑρήσει τοῦτο, ὃ λέγω, σφόδρα διαλάμπον· καὶ γὰρ ἄνδρα αὐτὸν καλεῖ καὶ αὐτός, καὶ τοῖς τοῦ πάθους καὶ τῆς ἀναστάσεως καὶ τῆς κατὰ σάρκα γεννήσεως ἐνδιατρίβει λόγοις.

Καὶ Παῦλος δέ, ὅταν λέγῃ· «Τοῦ γενομένου ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα», οὐδὲν ἕτερον ἡμᾶς παιδεύει, ἀλλ' ὅτι τὸ «ἐποίησεν» ἐπὶ τῆς οἰκονομίας παρείληπται, ὃ καὶ ἡμεῖς ὁμολογοῦμεν. Ἀλλ' ὁ τῆς βροντῆς υἱὸς περὶ τῆς ἀρρήτου καὶ προαιωνίου ἡμῖν ὑπάρξεως διαλέγεται νῦν. Διὰ τοῦτο τὸ «ἐποίησεν» ἀφείς, τὸ «ἦν» ἔθηκεν. Ἐχρῆν δέ, εἰ κτιστὸς ἦν, τοῦτο μάλιστα διορίσασθαι.

Εἰ γὰρ ὁ Παῦλος ἔδεισε μή τις ὑποπτεύσῃ τῶν ἀνοήτων ὅτι τοῦ Πατρὸς ἔσται μείζων καὶ ὑποτεταγμένον ἕξει τὸν γεννήσαντα, (διὰ γὰρ τοῦτο Κορινθίοις ἐπιστέλλων ἔλεγεν·

---

10. Πρ. 17, 31.
11. Ρωμ. 1, 3.

κε δὲ περὶ αὐτοῦ εἰς ὅλους βεβαίωσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν»[10]. Καὶ δὲν ἀναφέρει τίποτε περὶ τῆς μορφῆς τοῦ Θεοῦ, οὔτε ὅτι εἶναι ἴσος μὲ αὐτόν, οὔτε ὅτι εἶναι ἀπαύγασμα τῆς δόξης του. Εὐλόγως, διότι δὲν ἦτο ἀκόμη καιρὸς διὰ αὐτὰ τὰ λόγια. Ἦτο ἀρκετὸν πρὸς τὸ παρὸν νὰ παραδεχθοῦν ὅτι εἶναι ἄνθρωπος καὶ ὅτι ἀνέστη.

Ἔτσι ἔκανε καὶ ὁ ἴδιος ὁ Χριστός, ἀπὸ τὸν ὁποῖον ἐδιδάχθη καὶ ὁ Παῦλος καὶ ἔκανε τὸ ἴδιον. Διότι δὲν μᾶς ἀπεκάλυψεν ἀμέσως τὴν θεότητά του, ἀλλὰ ἀρχικῶς μὲν ἐνομίζετο ὅτι εἶναι προφήτης καὶ ἁπλῶς κεχρισμένος ἄνθρωπος, κατόπιν δὲ διὰ τῶν ἔργων καὶ τῶν λόγων του ἐφανερώθη αὐτὸ τὸ ὁποῖον ἦτο. Δι' αὐτὸ καὶ ὁ Πέτρος χρησιμοποιεῖ εἰς τὴν ἀρχὴν αὐτὸν τὸν τρόπον, ἀφοῦ ἄλλωστε αὐτὴ ἦτο ἡ πρώτη ὁμιλία τὴν ὁποίαν ἀπηύθυνε πρὸς τοὺς Ἰουδαίους. Διότι, ἐπειδὴ ἀκόμη δὲν ἦσαν εἰς θέσιν νὰ μάθουν τίποτε τὸ σαφὲς περὶ τῆς θεότητος τοῦ Χριστοῦ, δι' αὐτὸ ἐμμένει εἰς τοὺς λόγους περὶ τῆς θείας οἰκονομίας, πρὸς τὸν σκοπὸν ὅπως ἀφοῦ ἀσκηθῇ ἡ ἀκοή τους μὲ αὐτά, προετοιμασθῇ καὶ διὰ τὴν ὑπόλοιπον διδασκαλίαν. Καὶ ἐὰν ἤθελε κανεὶς νὰ διεξέλθῃ ὁλόκληρον τὴν ὁμιλίαν του ἀπὸ τὴν ἀρχήν, θὰ εὕρῃ αὐτὸ τὸ ὁποῖον λέγω νὰ διαφαίνεται καθαρά. Διότι καὶ αὐτὸς τὸν ἀποκαλεῖ ἄνδρα καὶ ἐμμένει εἰς τοὺς λόγους τοῦ πάθους, τῆς ἀναστάσεως καὶ τῆς κατὰ σάρκα γεννήσεώς του.

Ἀλλὰ καὶ ὁ Παῦλος ὅταν λέγῃ, «ὁ ὁποῖος ἐγεννήθη ἀπὸ τὸ γένος τοῦ Δαβὶδ κατὰ σάρκα»[11], δὲν μᾶς διδάσκει τίποτε ἄλλο, παρὰ ὅτι τὸ «ἐποίησεν» ἀναφέρεται εἰς τὴν θείαν οἰκονομίαν, πρᾶγμα τὸ ὁποῖον ὁμολογοῦμεν καὶ ἐμεῖς. Ἀλλὰ ὁ υἱὸς τῆς βροντῆς τώρα μᾶς ὁμιλεῖ περὶ τῆς ἀπεριγράπτου καὶ προαιωνίου ὑπάρξεως τοῦ Λόγου, δι' αὐτὸ ἀφοῦ ἄφησε τὸ «ἐποίησε» ἐχρησιμοποίησε τὸ «ἦν». Ἐνῷ ἔπρεπεν, ἐὰν ἦτο κτιστός, κυρίως αὐτὸ νὰ προσδιορίσῃ.

Διότι, ἐὰν ὁ Παῦλος φοβηθεὶς μήπως κανεὶς ἀπὸ τοὺς ἀνοήτους ὑποπτευθῇ ὅτι θὰ εἶναι ἀνώτερος ἀπὸ τὸν Πατέρα καὶ θὰ ἔχῃ ὑποτακτικόν του ἐκεῖνον ποὺ τὸν ἐγέννησε, δι'

«Ὅταν δὲ εἴπῃ, ὅτι ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα», καίτοι τίς ἂν ὑπονοήσειεν, ὅτι ὁ Πατὴρ ὑποταγήσεταί ποτε τῷ Υἱῷ καὶ μετὰ τῶν πάντων;), ἀλλ' ὅμως, εἰ καὶ τὰς ἀλόγους ταύτας ὑπονοίας δέδοικε, καί φησιν· «Ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα», πολλῷ μᾶλλον τὸν Ἰωάννην, εἰ κτιστὸς ἦν ὁ Υἱὸς τοῦ Θεοῦ, φοβηθῆναι ἔδει, μή τις αὐτὸν ἄκτιστον νομίσῃ, καὶ τοῦτο πρὸ πάντων διδάξαι.

Νῦν δέ, ἐπειδὴ γεννητὸς ἦν, εἰκότως οὔτε αὐτός, οὔτε ἄλλος οὐδείς, οὐκ Ἀπόστολος, οὐ Προφήτης κτιστὸν αὐτὸν ἔφησαν εἶναι. Καὶ αὐτὸς δὲ ὁ Μονογενὴς οὐκ ἂν αὐτὸ παρῆκεν, εἰ τοῦτο ἦν· ὁ γὰρ τὰ οὕτω ταπεινὰ φθεγγόμενος διὰ συγκατάβασιν, πολλῷ μᾶλλον τοῦτο οὐκ ἂν ἐσιώπησεν. Οἶμαι γὰρ οὐκ ἀπεικὸς μᾶλλον ἔχοντα τὸ ὑψηλὸν σιγῆσαι, ἢ μὴ ἔχοντα παραλιπεῖν τοῦτο αὐτόν, καὶ μὴ διδάξαι ὅτι οὐκ ἔχει· ἐκεῖ μὲν γὰρ εὔλογος πρόφασις τῆς σιγῆς ἦν τὸ βούλεσθαι διδάσκειν τοὺς ἀνθρώπους ταπεινοφρονεῖν, καὶ διὰ τοῦτο σιγᾶν τὰ μεγάλα τῶν προσόντων αὐτῷ, ἐνταῦθα δὲ οὐδεμίαν ἔχεις εἰπεῖν δικαίαν πρόφασιν τῆς σιωπῆς.

Τίνος γὰρ ἕνεκεν ἐσίγα, εἰ κτιστὸς ἦν, τὸ γεγενῆσθαι, ὁ καὶ τῶν προσόντων πολλὰ παραιτούμενος; Ὥστε ὁ διὰ τὴν τῆς ταπεινοφροσύνης διδασκαλίαν καὶ τὰ μὴ προσόντα αὐτῷ πολλάκις εἰπὼν ταπεινά, πολλῷ μᾶλλον, εἰ κτιστὸς ἦν, τοῦτο οὐκ ἂν παρέλιπεν. Ἢ οὐχ ὁρᾷς αὐτόν, ἵνα μηδεὶς αὐτὸν ἀγέννητον ὑπολάβῃ, πάντα ὑπὲρ τούτου καὶ ποιοῦντα καὶ λέγοντα, καὶ ἀνάξια αὐτοῦ φθεγγόμενον τῆς ἀξίας καὶ τῆς οὐσίας, καὶ εἰς Προφήτου ταπεινότητα καταβαίνοντα; τὸ γὰρ

12. Α' Κορ. 15, 26-27.
13. Ἰω. 5, 30.

αὐτὸ γράφων τὴν πρὸς Κορινθίους ἐπιστολὴν ἔλεγεν· «Ὅταν δὲ λέγῃ, ὅτι ἔχουν ὑποταγῇ, εἶναι φανερὸν ὅτι αὐτὸ ἀποκλείει ἐκεῖνον ποὺ ὑπέταξε ὅλα εἰς αὐτόν»[12], ἂν καὶ ποῖος θὰ ἠμποροῦσε νὰ ὑποθέσῃ ὅτι ὁ Πατὴρ θὰ ὑποταγῇ ποτε εἰς τὸν Υἱὸν μαζὶ μὲ ὅλα; Πάντως ὅμως ἔχων αὐτὰς τὰς ἀδικαιολογήτους ὑπονοίας, ἔλεγεν «ἐκτὸς ἀπὸ ἐκεῖνον ποὺ ὑπέταξεν εἰς αὐτὰ τὰ πάντα». Πολὺ περισσότερον συνεπῶς ἔπρεπε νὰ φοβηθῇ ὁ Ἰωάννης, ἐὰν ἦτο κτιστός, μήπως κανεὶς τὸν θεωρήσῃ ἄκτιστον, καὶ νὰ τὸ ἀναφέρῃ αὐτὸ ὁπωσδήποτε.

Τώρα ὅμως, ἐπειδὴ ἦτο γεννητός, ὀρθῶς οὔτε αὐτὸς οὔτε κανεὶς ἄλλος, οὔτε ἀπόστολος οὔτε προφήτης, εἶπαν ὅτι αὐτὸς εἶναι κτιστός. Καὶ ὁ ἴδιος ἄλλως τε ὁ μονογενὴς δὲν θὰ τὸ παρέλειπεν, ἐὰν ἦτο κτιστός. Διότι αὐτὸς ὁ ὁποῖος ἔλεγε τὰ τόσον ταπεινὰ ἀπὸ συγκατάβασιν, πολὺ περισσότερον δὲν θὰ ἀποσιωποῦσεν αὐτό. Διότι νομίζω ὅτι ἦτο φυσικὸν νὰ ἀποσιωπήσῃ μᾶλλον κάτι τὸ ὑψηλὸν ποὺ εἶχε, παρὰ νὰ παραλείψῃ αὐτὸς αὐτὸ ποὺ δὲν εἶχε καὶ νὰ μὴ ἀναφέρῃ ὅτι δὲν τὸ ἔχει. Διότι εἰς τὴν πρώτην περίπτωσιν ὑπῆρχεν εὔλογος πρόφασις τῆς παρασιωπήσεως, τὸ νὰ θέλῃ νὰ διδάξῃ τοὺς ἀνθρώπους νὰ εἶναι ταπεινόφρονες, καὶ δι' αὐτὸ ἀποσιωπᾷ τὰ μεγάλα προσόντα του. Ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν ἐδῶ δὲν ἔχεις νὰ προβάλῃς δικαιολογημένην πρόφασιν τῆς ἀποσιωπήσεως.

Διότι, διατί ἀποσιωποῦσε τὸ ὅτι ἐδημιουργήθη, ἐὰν ἦτο κτιστός, αὐτὸς ὁ ὁποῖος ἀπέκρυπτε καὶ πολλὰ ἀπὸ τὰ ἰδιώματά του; Ἄρα λοιπὸν ἐκεῖνος ὁ ὁποῖος, διὰ νὰ διδάξῃ τὴν ταπεινοφροσύνην, ἀνέφερε ἀκόμη καὶ τὰ ταπεινωτικὰ ἰδιώματα τὰ ὁποῖα δὲν εἶχε, πολὺ περισσότερον, ἐὰν ἦτο κτιστός, δὲν θὰ παρέλειπε νὰ τὸ ἀναφέρῃ. Ἢ δὲν βλέπεις ὅτι, διὰ νὰ μὴ τὸν ἐκλάβῃ κανεὶς ὡς ἀγέννητον, ὅτι κάμνει καὶ λέγει τὰ πάντα περὶ αὐτοῦ, καὶ ἀναφέρει πράγματα ἀνάξια τῆς ἀξίας καὶ τῆς οὐσίας του καὶ κατεβαίνει εἰς τὸ ἐπίπεδον προφήτου; Διότι τό· «καθὼς ἀκούω κρίνω»[13] καὶ τό· «Ἐκεῖνος

«καθὼς ἀκούω κρίνω», καὶ τό, «ἐκεῖνός μοι εἶπε τί εἴπω καὶ τί λαλήσω», καὶ ὅσα τοιαῦτα, προφητῶν μόνον ἐστίν·

Εἰ τοίνυν, ταύτην θέλων τὴν ὑποψίαν ἀνελεῖν, οὕτω ταπεινὰ φθέγξασθαι οὐκ ἀπηξίωσε ῥήματα, πολλῷ μᾶλλον ἄν, εἰ κτιστὸς ἦν, ἵνα μὴ ἄκτιστόν τις αὐτὸν ὑποπτεύσῃ, πολλὰ τοιαῦτα ἂν εἶπεν· οἷον, «μὴ νομίζετέ με γεγεννῆσθαι παρὰ τοῦ Πατρός· πεποίημαι ἐγώ, οὐ γεγέννημαι, οὐδέ εἰμι τῆς οὐσίας ἐκείνου». Νῦν δὲ πᾶν τοὐναντίον ποιεῖ· ἐκεῖνα γὰρ φθέγγεται τὰ ῥήματα, ἃ καὶ τοὺς μὴ βουλομένους ἀναγκάζει καὶ ἄκοντας τὴν ἐναντίαν ὑπόνοιαν, οἷον, ὅτι «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί», καί, «τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»· καί, «Ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα». «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱός, οὓς θέλει, ζωοποιεῖ». «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». «Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα». «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν».

Καὶ πανταχοῦ, τὸ «ὥσπερ» καὶ τὸ «οὕτω» τιθεὶς καὶ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα», τὴν πρὸς αὐτὸν ἀπαραλλαξίαν δηλοῖ· τὴν δὲ αὐθεντίαν καὶ διὰ τούτων μέν, καὶ δι' ἑτέρων δὲ πλειόνων ἐνδείκνυται· οἷον, ὅταν λέγῃ· «Σιώπα, πεφίμωσο»· «θέλω, καθαρίσθητι»· «σοὶ λέγω, τὸ δαιμόνιον τὸ κωφὸν καὶ ἄλαλον, ἔξελθε ἀπ' αὐτοῦ»· καὶ τὸ «ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται». Καὶ ὅσα ἄλλα τοιαῦτα νομοθετεῖ καὶ θαυματουργεῖ, ἱκανὰ δεῖξαι αὐτοῦ τὴν ἐξουσίαν, μᾶλλον δὲ τὸ πολλοστὸν αὐτῶν μέρος ἱκα-

14. Ἰω. 12, 49.
15. Ἰω. 14, 10.
16. Ἰω. 14, 9.
17. Ἰω. 5 ,23, 21, 17, 10, 15 καὶ 30.
18. Μάρκ. 4, 39.
19. Ματθ. 8, 3.
20. Μάρκ. 9, 25.

μοῦ εἶπε τί νὰ εἰπῶ καὶ πῶς νὰ ὁμιλήσω»[14] καὶ τόσα ἄλλα παρόμοια, εἶναι χαρακτηριστικὰ μόνον τῶν προφητῶν.

Ἐὰν λοιπόν, θέλων νὰ διαλύσῃ αὐτὴν τὴν ὑποψίαν, δὲν ἀπηξίωσε νὰ χρησιμοποιήσῃ τόσον ταπεινωτικὰ λόγια, πολὺ περισσότερον, ἐὰν ἦτο κτιστός, διὰ νὰ μὴ τὸν θεωρήσῃ κανεὶς ἄκτιστον, θὰ ἔλεγε πολλὰ τέτοια, ἤτοι· Μὴ νομίζετε ὅτι ἔχω γεννηθῆ ἀπὸ τὸν Πατέρα· ἔχω δημιουργηθῆ καὶ ἐγώ, δὲν ἔχω γεννηθῆ, οὔτε εἶμαι ἀπὸ τὴν ἰδικήν του οὐσίαν. Ἐνῷ τώρα κάμνει τὸ ἐντελῶς ἀντίθετον· διότι χρησιμοποιεῖ τὰς λέξεις ἐκείνας, αἱ ὁποῖαι ἀκόμη καὶ ἐκείνους ποὺ δὲν θέλουν τοὺς ἀναγκάζει ἔστω καὶ παρὰ τὴν θέλησίν των νὰ παραδεχθοῦν τὴν ἀντίθετον γνώμην, ἤτοι· ὅτι «ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»[15], καὶ «τόσον χρόνον εἶμαι μαζί σας καὶ δὲν μὲ ἐγνώρισες, Φίλιππε; Ἐκεῖνος ποὺ εἶδε ἐμένα, ἔχει ἰδεῖ τὸν Πατέρα»[16], καὶ «Διὰ νὰ τιμοῦν ὅλοι τὸν Υἱόν, ὅπως τιμοῦν τὸν Πατέρα. Ὅπως ὁ Πατὴρ ἀνιστᾷ τοὺς νεκροὺς καὶ τοὺ ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱός, ἐκείνους ποὺ θέλει τοὺς ζωοποιεῖ. Ὁ Πατήρ μου ἐργάζεται πάντοτε, καὶ ἐγὼ ἐργάζομαι. Ὅπως μὲ γνωρίζει ὁ Πατήρ, γνωρίζω καὶ ἐγὼ τὸν Πατέρα. Ἐγὼ καὶ ὁ Πατὴρ εἴμεθα ἕνα»[17].

Καὶ παντοῦ χρησιμοποιῶν τὸ «ὥσπερ» καὶ τὸ «οὕτω» καὶ τὸ ὅτι εἶναι «ἓν» πρὸς τὸν Πατέρα, δηλώνει ὅτι εἶναι ἀπαράλλακτος μὲ ἐκεῖνον. Τὴν ἐξουσίαν του πάλιν τὴν φανερώνει καὶ μὲ αὐτά, ἀλλὰ καὶ μὲ ἄλλα περισσότερα, ὅπως ὅταν λέγῃ «Σιῶπα, φιμώσου»[18], «Θέλω, καθαρίσου»[19], «Σὲ διατάσσω, τὸ κωφὸν καὶ ἄλαλον δαιμόνιον, νὰ ἔβγῃς ἀπὸ αὐτόν»[20], καὶ τό· «Ἔχετε ἀκούσει ὅτι εἶπαν εἰς τοὺς ἀρχαίους· μὴ φονεύσῃς· ἐγὼ ὅμως σᾶς λέγω, ὅτι ἐκεῖνος ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς λόγον εἶναι ἔνοχος»[21] καὶ ὅσα ἄλλα παρόμοια νομοθετεῖ καὶ θαυματουργεῖ, τὰ ὁποῖα εἶναι ἀρκετὰ νὰ ἀποδείξουν τὴν ἐξουσίαν του. Ἢ μᾶλλον ἕνα πολὺ μικρὸν μέρος αὐτῶν εἶναι ἀρκετὸν νὰ

21. Ματθ. 5, 21-22.

νὸν τοὺς μὴ λίαν ἀναισθητοῦντας προσαγορεύεσθαι καὶ πεῖσαι.

5. Ἀλλὰ γὰρ δεινὸν ἡ κενοδοξία καὶ πρὸς τὰ λίαν φανερὰ ἀποτυφλῶσαι τὴν διάνοιαν τῶν ὑπ᾽ αὐτῆς ἁλισκομένων, καὶ τοῖς ὡμολογουμένοις πεῖσαι φιλονεικεῖν· ἑτέρους δὲ καὶ σφόδρα εἰδότας τἀληθὲς καὶ πεπεισμένους εἰς ὑπόκρισιν καὶ ἀντίστασιν ἀλείφει. Ταῦτα καὶ ἐπὶ τῶν Ἰουδαίων ἐγίνετο· οὐ γὰρ δι᾽ ἄγνοιαν ἠρνοῦντο τὸν τοῦ Θεοῦ Υἱόν, ἀλλ᾽ ἵνα τῆς παρὰ τῶν πολλῶν τύχωσι τιμῆς· καὶ γὰρ «ἐπίστευον εἰς αὐτόν», φησίν, ἀλλ᾽ ἐφοβοῦντο, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. καὶ τὴν αὐτῶν προέτειναν σωτηρίαν ἑτέροις. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὸν οὕτω σφοδρῶς τῇ παρούσῃ δουλεύοντα δόξῃ τῆς παρὰ Θεοῦ τυχεῖν.

Διὸ καὶ ἐπετίμησεν αὐτοῖς εἰπών· «Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν παρὰ τοῦ Θεοῦ μὴ ζητοῦντες;». Μέθη γάρ τίς ἐστι βαθεῖα· διὸ καὶ δυσανάγωγον τὸν χειρωθέντα ποιεῖ τοῦτο τὸ πάθος. Αὕτη, τῶν ἁλόντων τὴν ψυχήν, ἀποσχίσασα τῶν οὐρανῶν, τῇ γῇ προσηλοῖ, καὶ πρὸς τὸ φῶς ἀναβλέψαι τὸ ἀληθινὸν οὐκ ἀφίησιν, ἀλλ᾽ ἐν τῷ βορβόρῳ διὰ παντὸς καλινδεῖσθαι πείθει, κατασκευάζουσα δεσπότας αὐτοῖς οὕτω δυνατούς, ὡς χωρὶς ἐπιταγμάτων αὐτῶν κρατεῖν.

Ὁ γὰρ τοῦτο νοσῶν τὸ νόσημα, καὶ μηδενὸς κελεύσαντος, αὐτομάτως ποιεῖ πάντα, ὅσαπερ ἂν οἴηται τέρπειν αὐτοῦ τοὺς κυρίους· καὶ γὰρ ἱμάτια καλὰ περιτίθεται δι᾽ ἐκείνους, καὶ καλλωπίζει τὴν ὄψιν, οὐχ ἑαυτῷ τοῦτο, ἀλλ᾽ ἑτέροις ἐπιτηδεύων, καὶ ἀκολούθους περιάγει κατὰ τὴν ἀγοράν, ἵνα θαυμάζηται παρ᾽ ἑτέρων· καὶ πάντα, ἃ ποιεῖ, τῆς τῶν ἄλλων ἕνεκεν

22. Ἰω. 12, 42.
23. Ἰω. 5, 44.

προσεγγίση καὶ νὰ πείσῃ ὅσους δὲν εἶναι πολὺ ἀναίσθητοι.

5. Ἀλλὰ τί τὰ θέλετε, ἡ κενοδοξία εἶναι τρομερὸν πρᾶγμα καὶ ἀπὸ τὰ πολὺ γνωστά, διότι ἀποτυφλώνει τὸν νοῦν ἐκείνων ποὺ κυριεύονται ἀπὸ αὐτὴν καὶ τοὺς πείθει νὰ ἀμφισβητοῦν καὶ αὐτὰ ποὺ εἶναι πανθομολογούμενα. Ἄλλους μάλιστα, οἱ ὁποῖοι γνωρίζουν πολὺ καλὰ τὴν ἀλήθειαν καὶ εἶναι πεπεισμένοι περὶ αὐτῆς, τοὺς παρορμᾷ εἰς ἀπόκρυψιν καὶ ἀντίστασιν κατ' αὐτῆς. Αὐτὰ συνέβησαν καὶ εἰς τὴν περίπτωσιν τῶν Ἰουδαίων. Δὲν ἠρνοῦντο ἀπὸ ἄγνοιαν τὸν Υἱὸν τοῦ Θεοῦ, ἀλλὰ διὰ νὰ ἐκτιμηθοῦν ἀπὸ τὰ πλήθη. Διότι «ἐπίστευαν εἰς αὐτόν»[22], λέγει ὁ Εὐαγγελιστής, ἀλλὰ ἐφοβοῦντο μήπως γίνουν ἀποσυνάγωγοι καὶ δι' αὐτὸ ἐζήτουν εἰς τοὺς ἄλλους τὴν σωτηρίαν των. Διότι δὲν εἶναι δυνατόν, ἐκεῖνος ποὺ εἶναι δοῦλος τῆς παρούσης δόξης, νὰ ἐπιτύχῃ τὴν δόξαν τοῦ Θεοῦ.

Δι' αὐτὸ καὶ τοὺς ἐπέπληξε λέγων· «Πῶς ἠμπορεῖτε σεῖς νὰ ἔχετε πίστιν, ἀφοῦ δέχεσθε τιμὰς ἀπὸ τοὺς ἀνθρώπους καὶ δὲν ζητῆτε τὴν τιμὴν ποὺ προέρχεται ἀπὸ τὸν Θεόν;»[23]. Διότι τὸ πάθος αὐτὸ εἶναι ἕνα εἶδος μέθης βαρείας ποὺ κάνει ὅποιον κυριευθῇ ἀπὸ αὐτὸ ἀτίθασον. Αὐτὴ ἀποχωρίζει τὴν ψυχὴν ἐκείνων ποὺ κυριεύει ἀπὸ τοὺς οὐρανούς, τὴν προσηλώνει εἰς τὴν γῆν καὶ δὲν τοὺς ἀφήνει νὰ προσβλέπουν πρὸς τὸ ἀληθινὸν φῶς, ἀλλὰ τοὺς πείθει νὰ κυλίωνται διὰ παντὸς εἰς τὸν βοῦρκον, κάμνοντας δι' αὐτοὺς δεσπότας τόσον ἰσχυρούς, ὥστε νὰ τοὺς ἐξουσιάζουν χωρὶς διαταγάς.

Διότι ἐκεῖνος ποὺ πάσχει ἀπὸ τὴν ἀσθένειαν αὐτὴν καὶ χωρὶς νὰ διατάσσῃ κανεὶς κάνει αὐτομάτως ὅλα ὅσα νομίζει ὅτι εὐχαριστοῦν τοὺς κυρίους του. Διότι καὶ ἐνδύματα ὡραῖα φορεῖ χάριν ἐκείνων καὶ τὸ πρόσωπόν του καλλωπίζει, κάνοντάς το ὄχι διὰ τὸν ἑαυτόν του, ἀλλὰ χάριν τῶν ἄλλων, καὶ περιφέρεται εἰς τὴν ἀγορὰν περιβαλλόμενος ἀπὸ ὑπηρέτας, διὰ νὰ θαυμάζεται ἀπὸ τοὺς ἄλλους, καὶ ὅλα ὅσα κάνει τὰ κάνει μόνον διὰ νὰ ἀρέσῃ εἰς τοὺς ἄλλους.

ἀρεσκείας ὑπομένει μόνης. Ἆρα γένοιτ' ἄν τι τούτου χαλεπώτερον πάθος; Ἵνα ἕτεροι θαυμάσωσιν αὐτόν, κατακρημνίζεται συνεχῶς.

Ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα παρὰ τοῦ Χριστοῦ, δεῖξαι πᾶσαν αὐτοῦ τὴν τυραννίδα· πλὴν καὶ ἐντεῦθεν ἔστιν αὐτὴν συνιδεῖν· εἰ γὰρ ἐθελήσεις ἐρωτῆσαί τινα τῶν πολιτευομένων καὶ τὰ πολυτελῆ δαπανώντων δαπανήματα, τίνος ἕνεκεν τοσοῦτον κενοῦσι χρυσίον, καὶ τί βούλεται αὐτοῖς ἡ τοσαύτη δαπάνη, οὐδὲν ἕτερον ἀκούσῃ παρ' αὐτῶν, ἀλλ' ἢ τοῦ δήμου τὴν ἀρέσκειαν. Εἰ δὲ πάλιν ἔροιο τί δήποτε ὁ δῆμός ἐστιν, ἐροῦσι· Πρᾶγμα, θορύβου γέμον, καὶ ταραχῶδες, καὶ ἐξ ἀνοίας τὸ πλέον συγκείμενον, ἁπλῶς φερόμενον κατὰ τὰ τῆς θαλάττης κύματα, πολλάκις καὶ ἐκ ποικίλου καὶ μαχομένης συνιστάμενον γνώμης.

Ὅταν οὖν τις τοιοῦτον ἔχῃ δεσπότην, τίνος ἐλεεινότερος οὐκ ἂν εἴη; Ἀλλὰ τὸ μὲν ἀνθρώπους βιωτικοὺς περὶ ταῦτα ἐπτοῆσθαι οὐχ οὕτω δεινὸν (καίπερ ὂν δεινόν), τὸ δὲ τοὺς τοῦ κόσμου λέγοντας ἀποπεπηδηκέναι τὰ αὐτὰ νοσεῖν, μᾶλλον δὲ χαλεπώτερα, τοῦτο μάλιστά ἐστι τὸ δεινόν· ἐκείνοις μὲν γὰρ μέχρι χρημάτων ἡ ζημία, ἐνταῦθα δὲ μέχρι ψυχῆς ὁ κίνδυνος· ὅταν γὰρ διὰ δόξαν πίστιν ἀμείβωσιν ὀρθήν, καί, ἵνα αὐτοὶ δοξάζωνται, τὸν Θεὸν ἀτιμάζωσι, τίνα ὑπερβολὴν οὐκ ἂν ἔχοι βλακείας καὶ μανίας τὸ γινόμενον; εἰπέ μοι.

Τὰ μὲν οὖν ἄλλα πάθη, κἂν πολλὴν τὴν βλάβην ἔχῃ, φέρει γοῦν τινα καὶ ἡδονήν, εἰ καὶ πρόσκαιρον καὶ βραχεῖαν. Καὶ γὰρ ὁ φιλοχρήματος, καὶ ὁ φίλοινος, καὶ ὁ φιλογύνης ἔχουσί τινα μετὰ τῆς βλάβης καὶ ἡδονήν, εἰ καὶ βραχεῖαν, οἱ δὲ τοῦ πάθους αἰχμάλωτοι τούτου διὰ παντὸς κατάπικρον ζῶσι βίον, καὶ ἡδονῆς ἀπεστερημένον· οὐ γὰρ ἐπιτυγχάνουσιν,

Ἑπομένως θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πάθος χειρότερον ἀπὸ αὐτό; Κατακρημνίζεται συνεχῶς, διὰ νὰ τὸν θαυμάσουν οἱ ἄλλοι!

Εἶναι μὲν ἀρκετὰ καὶ ὅσα εἶπεν ὁ Χριστὸς νὰ δείξουν ὅλην τὴν καταδυνάστευσίν του. Ἀλλὰ εἶναι δυνατὸν νὰ τὴν διαπιστώσῃς καὶ ἀπὸ αὐτά. Διότι ἐὰν θελήσῃς νὰ ἐρωτήσῃς κάποιον ἀπὸ αὐτοὺς ποὺ φέρονται ἔτσι καὶ κάνουν πολυτελεῖς δαπάνας, διὰ ποῖον λόγον ἐξοδεύουν τόσον χρυσάφι καὶ εἰς τί ἀποβλέπει ἡ τόσον μεγάλη σπατάλη, δὲν θὰ ἀκούσῃς τίποτε ἄλλο ἀπὸ αὐτοὺς παρὰ τὸ νὰ ἀρέσουν εἰς τὸ πλῆθος. Ἐὰν δὲ πάλιν τοὺς ἐρωτοῦσες τί πρᾶγμα εἶναι τὸ πλῆθος, θὰ σοῦ εἰποῦν ὅτι εἶναι ἕνα πρᾶγμα γεμᾶτον θόρυβον καὶ ταραχήν, τὸ μεγαλύτερον μέρος τοῦ ὁποίου ἀποτελεῖται ἀπὸ ἀνοησίαν, τὸ ὁποῖον ἀφήνεται νὰ παρασύρεται ὅπως τὰ κύματα τῆς θαλάσσης καὶ τὸ ὁποῖον πολλὲς φορὲς ἀποτελεῖ συνισταμένην ποικίλων καὶ ἀντιμαχομένων γνωμῶν.

Ὅταν λοιπὸν κανεὶς ἔχῃ τέτοιον δεσπότην, ἀπὸ ποῖον δὲν θὰ εἶναι πιὸ ἀξιολύπητος; Ἀλλὰ τὸ νὰ φοβοῦνται ἄνθρωποι κοσμικοὶ ἀπὸ αὐτὰ δὲν εἶναι τόσον τρομερόν, ἂν καὶ εἶναι τρομερόν. Τὸ νὰ πάσχουν ὅμως τὰ ἴδια, ἢ μᾶλλον χειρότερα, αὐτοὶ ποὺ ἰσχυρίζονται ὅτι ἀπηλλάγησαν τῶν ἐγκοσμίων, αὐτὸ εἶναι τὸ πιὸ τρομερόν. Διότι διὰ τοὺς πρώτους ἡ ζημία περιορίζεται εἰς τὰ χρήματα, ἐνῷ δι' αὐτοὺς ὁ κίνδυνος ἀπειλεῖ τὴν ψυχήν. Διότι ὅταν ἕνεκα δόξης διαστρέφουν τὴν ὀρθὴν πίστιν καὶ διὰ νὰ δοξάζωνται αὐτοὶ ἀτιμάζουν τὸν Θεόν, εἰπέ μου, αὐτὸ ποὺ γίνεται δὲν εἶναι καθαρὰ βλακεία καὶ μανία;

Τὰ μὲν λοιπὸν ἄλλα πάθη, μολονότι προξενοῦν πολλὴν βλάβην, φέρουν ὅμως καὶ κάποιαν ἡδονήν, ἔστω καὶ προσωρινὴν καὶ σύντομον. Διότι καὶ ὁ φιλοχρήματος καὶ ὁ μέθυσος καὶ ὁ γυναικᾶς, δοκιμάζουν μαζὶ μὲ τὴν βλάβην καὶ ἡδονήν, ἔστω καὶ σύντομον. Οἱ αἰχμάλωτοι τοῦ πάθους αὐτοῦ ὅμως, ζοῦν διαπαντὸς βίον πικραμένον καὶ στερημένον ἡδονῆς. Διότι δὲν ἐπιτυγχάνουν αὐτὸ ποὺ ἐπιθυμοῦν πάρα πολύ,

οὔ σφόδρα ἐρῶσι, δόξης λέγω, τῆς παρὰ τῶν πολλῶν, ἀλλὰ δοκοῦσι μὲν ἀπολαύειν αὐτῆς, οὐκ ἀπολαύουσι δὲ διὰ τὸ μηδὲ εἶναι δόξαν τὸ πρᾶγμα.

Διὰ τοῦτο οὐδὲ δόξα, ἀλλὰ κενὸν δόξης πρᾶγμα εἴρηται τὸ πάθος· κενοδοξίαν δὲ αὐτὸ καὶ οἱ παλαιοὶ πάντες εἰκότως ἐκάλεσαν· διάκενος γάρ ἐστιν, ἔνδον οὐδὲν ἔχουσα λαμπρὸν καὶ ἐπίδοξον. Ἀλλ' ὥσπερ τὰ προσωπεῖα δοκεῖ μὲν εἶναι λαμπρὰ καὶ ἐπέραστα, κενὰ δὲ ἔνδον ἐστί· «διὸ καὶ τῶν σωματικῶν ὄψεων εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρὸς τὸν ἔρωτα εἷλε τὸν αὐτῶν· οὕτω, μᾶλλον δὲ ἀθλιώτερον, καὶ ἡ παρὰ τῶν πολλῶν δόξα, τὸ δυσκαταγώνιστον τοῦτο καὶ τυραννικὸν πάθος ἡμῖν ἐσχημάτισεν· ὄψιν γὰρ ἔχει μόνην λαμπράν, τὰ δὲ ἔνδον αὐτῆς οὐκ ἔτι κενὰ μόνον, ἀλλὰ καὶ ἀτιμίας ἀνάμεστα, καὶ ὠμῆς γέμει τῆς τυραννίδος.

Πόθεν οὖν τίκτεται τοῦτο τὸ πάθος, οὕτως ἄλογον ὄν, καὶ ἡδονὴν οὐκ ἔχον, φησί; Πόθεν; Οὐχ ἑτέρωθεν, ἀλλ' ἢ ἀπὸ ψυχῆς ταπεινῆς καὶ εὐτελοῦς· οὐ γάρ ἔστι τὸν ὑπὸ δόξης ἁλόντα μέγα τι καὶ νεανικὸν ἐννοῆσαι ταχέως, ἀλλ' αἰσχρὸν αὐτὸν εἶναι δεῖ, καὶ εὐτελῆ, καὶ ἄτιμον, καὶ μικρόν· ὁ γὰρ δι' ἀρετὴν μὲν μηδὲν ποιῶν, ἵνα δὲ ἀνδράσιν ἀρέσκῃ μηδενὸς ἀξίοις λόγου, καὶ πανταχοῦ τὴν ἐκείνων ψῆφον τιθέμενος τὴν ἐσφαλμένην καὶ πλανωμένην, πῶς ἂν ἄξιος εἴη τινός;

Σκόπει δέ. Εἴ τις αὐτὸν ἔροιτο· Σὺ δὲ τί νομίζεις εἶναι τοὺς πολλούς; εὔδηλον ὅτι ῥαθύμους καὶ ἠμελημένους ἐρεῖ. Τί δέ; Ἕλοιτο ἂν γενέσθαι κατ' ἐκείνους; εἴ τις αὐτὸν ἔροιτο πάλιν, οὐκ ἄν μοι δοκεῖ θελῆσαι γενέσθαι. Πῶς οὖν οὐκ ἔσχατος γέλως τὴν τούτων δόξαν θηρεύειν, ὧν οὐκ ἂν ἕλοιο γενέσθαι παραπλήσιός ποτε;

6. Εἰ δὲ λέγοις, ὅτι πολλοὶ καὶ συνεστηκότες τινές εἰσι,

ἐννοῶ τὴν ἐκ μέρους τῶν πολλῶν δόξαν, ἀλλὰ νομίζουν μὲν ὅτι τὴν ἀπολαμβάνουν, δὲν τὴν ἀπολαμβάνουν ὅμως, ἐπειδὴ τὸ πρᾶγμα αὐτὸ δὲν εἶναι δόξα.

Δι' αὐτὸ καὶ δὲν λέγεται δόξα τὸ πάθος αὐτό, ἀλλὰ πρᾶγμα κενὸν ἀπὸ δόξαν, πολὺ ὀρθῶς δὲ καὶ οἱ παλαιοὶ ὅλοι τὸ ὠνόμασαν κενοδοξίαν. Διότι εἶναι ἐντελῶς κενή, χωρὶς νὰ ἔχῃ μέσα της τίποτε τὸ ἐξαίρετον καὶ ἔνδοξον. Καὶ ὅπως τὰ προσωπεῖα, φαίνονται μὲν ὅτι εἶναι ὡραῖα καὶ ἀξιαγάπητα, μέσα ὅμως εἶναι κενά, δι' αὐτὸ καὶ μολονότι εἶναι ὡραιότερα ἀπὸ τὰ ἀληθινὰ πρόσωπα, ποτὲ δὲν κατάφεραν κανέναν νὰ τὰ ἐρωτευθῇ· ἔτσι, ἢ μᾶλλον χειρότερα, καὶ ἡ δόξα τῶν πολλῶν, μᾶς ἐδημιούργησεν αὐτὸ τὸ δυσπολέμητον καὶ τυραννικὸν πάθος. Διότι μόνον ὄψιν ἐντυπωσιακὴν ἔχει, ἐνῷ τὰ ἐσωτερικά της δὲν εἶναι πλέον μόνον κενά, ἀλλὰ πλήρη ἀτιμίας καὶ γεμᾶτα ἀπὸ σκληρὰν τυραννίαν.

Ἀπὸ ποῦ λοιπὸν γεννᾶται αὐτὸ τὸ πάθος, ἀφοῦ εἶναι τόσον παράλογον καὶ δὲν προκαλεῖ ἡδονήν, λέγει; Ἀπὸ ποῦ; Ὄχι ἀπὸ ἀλλοῦ, ἀλλὰ ἀπὸ ψυχὴν χαμερπῆ καὶ εὐτελῆ. Διότι δὲν εἶναι δυνατόν, αὐτὸς ποὺ θὰ κυριευθῇ ἀπὸ τὸ πάθος τῆς δόξης, νὰ σκεφθῇ εὐκόλως κάτι τὸ ὑψηλὸν καὶ ρωμαλέον, ἀλλὰ πρέπει νὰ εἶναι αἰσχρὸς καὶ εὐτελὴς καὶ ἄτιμος καὶ μικρός. Διότι αὐτὸς ὁ ὁποῖος δὲν κάνει μὲν τίποτε διὰ τὴν ἀρετήν, ἐνῷ διὰ νὰ ἀρέσῃ εἰς ἀνθρώπους, οἱ ὁποῖοι δὲν εἶναι κανενὸς λόγου ἄξιοι, λαμβάνει παντοῦ ὑπ' ὄψιν τὴν ἐσφαλμένην καὶ πεπλανημένην γνώμην, πῶς εἶναι δυνατὸν νὰ ἀποδειχθῇ ἄξιος διὰ κάτι;

Πρόσεξε δέ. Ἐὰν κάποιος τὸν ἐρωτοῦσεν· ἐσὺ τί νομίζεις ὅτι εἶναι οἱ πολλοί; Εἶναι φανερὸν ὅτι θὰ τοὺς ἀποκαλέσῃ νωθροὺς περιφρονημένους. Τί λοιπόν; Θὰ ἐπροτιμοῦσες νὰ γίνῃς ὡσὰν ἐκείνους; Ἐὰν τὸν ἐρωτοῦσε πάλιν κανείς, δὲν νομίζω ὅτι θὰ ἤθελε νὰ γίνῃ. Πῶς λοιπὸν δὲν εἶναι καταγέλαστον νὰ ἐπιδιώκῃς τὴν δόξαν ἐκείνων, τῶν ὁποίων δὲν θὰ ἐπροτιμοῦσες νὰ γίνῃς ὅμοιος;

6. Ἐὰν δὲ προβάλλῃς τὴν δικαιολογίαν ὅτι εἶναι πολ-

διὰ τοῦτο μάλιστα αὐτῶν καταφρονεῖν ἐχρῆν. Εἰ γάρ, καθ' ἑαυτοὺς ὄντες, εἰσὶν εὐκαταφρόνητοι, ὅταν πολλοὶ γένωνται, μειζόνως τοῦτο συμβήσεται· ἡ γὰρ τῶν καθ' ἕκαστον ἄνοια, συλλεγέντων ὁμοῦ, μείζων ὑπὸ τοῦ πλήθους αὐξηθεῖσα γίνεται. Διὸ καὶ καθ' ἕνα μὲν αὐτῶν εἰ λάβοι, ποτὲ ἄν τις διορθώσειεν· ὁμοῦ δὲ ὄντας, οὐκ ἂν δυνηθείη ῥαδίως διὰ τὸ τὴν ἄνοιαν ἐπιτείνεσθαι, καὶ δίκην θρεμμάτων ἄγεσθαι, καὶ πανταχοῦ ταῖς παρ' ἀλλήλων ἕπεσθαι δόξαις.

Ταύτης οὖν, εἰπέ μοι, τῆς παρὰ τῶν πολλῶν ἀντιποιήσεσθε δόξης; Μή, δέομαι καὶ ἀντιβολῶ· τοῦτο γὰρ πάντα ἄνω καὶ κάτω πεποίηκε· τοῦτο πλεονεξίαν ἔτεκε, βασκανίαν, κατηγορίαν, ἐπιβουλάς· τοῦτο τοὺς οὐδὲν ἠδικημένους κατὰ τῶν οὐδὲν ἠδικηκότων ὁπλίζει καὶ ἐκθηριοῖ. Καὶ οὔτε φιλίαν οἶδεν ὁ τούτῳ τῷ νοσήματι περιπεσών, οὐ συνηθείας μέμνηται, οὐκ αἰδεῖσθαι οὐδένα ὅλως ἐπίσταται, ἀλλὰ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας τὰ καλά, πρὸς πάντας ἐκπεπολέμωται, ἄστατος, ἄστοργος ὤν.

Καὶ τὸ μὲν τῆς ὀργῆς πάθος, εἰ καὶ αὐτὸ τυραννικόν τί ἐστι καὶ ἀφόρητον, ἀλλ' οὐκ ἀεὶ διενοχλεῖν εἴωθεν, ἀλλ' ὅταν ἔχῃ τοὺς παροξύνοντας μόνον, τὸ δὲ τῆς κενοδοξίας διὰ παντός, καὶ οὐκ ἔστι καιρός, ὡς εἰπεῖν, ἐν ᾧ λῆξαι δυνήσεται, μὴ λογισμοῦ κωλύοντος αὐτὴν καὶ καταστέλλοντος, ἀλλ' ἀεὶ πάρεστιν, οὐ μόνον ἀναπείθουσα ἁμαρτάνειν, ἀλλά, κἂν τύχωμέν τι κατορθοῦντες, καὶ τοῦτο ἁφαρπάζουσα τῶν χειρῶν, ἔστι δὲ ὅτε οὐδὲ ἀφιεῖσα τὴν ἀρχὴν κατορθῶσαι. Εἰ δὲ τὴν πλεονεξίαν ὁ Παῦλος εἰδωλολατρείαν καλεῖ, τὴν ταύτης μητέρα

λοὶ καὶ ὡρισμένοι συνδεδεμένοι μεταξύ των, δι' αὐτὸ ἀκριβῶς πρέπει νὰ τοὺς περιφρονοῦμεν. Διότι ἐὰν μεμονωμένοι εἶναι ἀξιοκαταφρόνητοι, ὅταν γίνωνται πολλοί, αὐτὸ συμβαίνει εἰς πολὺ μεγαλύτερον βαθμόν. Διότι ἡ ἀνοησία τοῦ καθενός, ὅταν συγκεντρώνωνται ὅλοι μαζί, γίνεται μεγαλυτέρα αὐξανομένη ἀπὸ τὸ πλῆθος. Δι' αὐτὸ καὶ ἐὰν κανεὶς παραλάβῃ τὸν καθένα ἀπὸ αὐτοὺς χωριστά, θὰ ἠμποροῦσε κάποτε νὰ τὸν διορθώσῃ· ἐνῷ ὅταν εἶναι μαζὺ δὲν θὰ ἠμπορέσῃ νὰ τοὺς διορθώσῃ εὔκολα, ἐπειδὴ ἡ ἀνοησία ἐπαυξάνεται καὶ ἄγονται ὡσὰν ἀγέλη ζώων καὶ ἐπιδιώκουν παντοῦ τὰς μεταξύ των δόξας.

Αὐτὴν λοιπόν, εἰπέ μου, τὴν δόξαν τῶν πολλῶν ἐπιδιώκετε; Μή, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω. Διότι αὐτὸ τὰ ἔκανε ὅλα ἄνω κάτω. Αὐτὸ ἐγέννησε τὴν πλεονεξίαν, τὸν φθόνον, τὴν ἐπίκρισιν, τὰς σκευωρίας. Αὐτὸ ὁπλίζει καὶ ἐξαγριώνει ἐκείνους ποὺ δὲν ἔχουν εἰς τίποτε ἀδικηθῆ ἐναντίον ἐκείνων ποὺ δὲν διέπραξαν καμμίαν ἀδικίαν. Καὶ οὔτε φιλίαν γνωρίζει ἐκεῖνος ποὺ θὰ περιπέσῃ εἰς αὐτὸ τὸ νόσημα, οὔτε ἔθιμα ἐνθυμεῖται, οὔτε γενικὰ νὰ σέβεται κανένα γνωρίζει. Ἀλλὰ ἀφοῦ ἀπέβαλεν ἀπὸ τὴν ψυχήν του ὅλα τὰ καλά, μάχεται ἐναντίον ὅλων καὶ εἶναι ἀσταθὴς καὶ ἄστοργος.

Καὶ τὸ μὲν πάθος τῆς ὀργῆς, μολονότι καὶ αὐτὸ εἶναι κάτι τὸ τυραννικὸν καὶ ἀφόρητον, ἀλλ' ὅμως δὲν συνηθίζει νὰ ἐνοχλῆ πάντοτε, παρὰ μόνον ὅταν ὑπάρχουν ἐκεῖνοι ποὺ τὸ ἐρεθίζουν. Τὸ πάθος τῆς κενοδοξίας ὅμως ἐνοχλεῖ συνεχῶς καὶ δὲν ὑπάρχει στιγμή, οὕτως εἰπεῖν, κατὰ τὴν ὁποίαν θὰ ἠμπορέσῃ νὰ παύσῃ, ἐὰν δὲν τὴν ἐμποδίσῃ καὶ τὴν συγκρατήσῃ ὁ λογισμός, ἀλλὰ εἶναι συνεχῶς παροῦσα καὶ ὄχι μόνον μᾶς μεταπείθει νὰ ἁμαρτάνωμεν, ἀλλὰ καὶ ἂν συμβῇ νὰ ἔχωμεν κατορθώσῃ κάτι καὶ αὐτὸ μᾶς τὸ ἁρπάζει ἀπὸ τὰ χέρια. Ὑπάρχουν δὲ περιπτώσεις κατὰ τὰς ὁποίας δὲν μᾶς ἀφήνει ἀπὸ τὴν ἀρχὴν νὰ τὸ κατορθώσωμεν. Ἐὰν δὲ ὁ Παῦλος ὀνομάζει τὴν πλεονεξίαν εἰδω-

καὶ ῥίζαν καὶ πηγήν, τὴν κενοδοξίαν λέγω, τί δίκαιον ὀνομάσαι; οὐδὲ γὰρ προσηγορίαν τῆς κακίας ἀξίαν ἔστιν εὑρεῖν.

Ἀνανήψωμεν τοίνυν, ἀγαπητοί, καὶ τὸ πονηρὸν ἀποδυσώμεθα τοῦτο ἱμάτιον, καὶ διαρρήξωμεν καὶ ἀποτέμωμεν, καὶ γενώμεθά ποτε ἐλεύθεροι τὴν ἐλευθερίαν τὴν ἀληθῆ, καὶ λάβωμεν αἴσθησιν τῆς εὐγενείας τῆς παρὰ τοῦ Θεοῦ δεδομένης ἡμῖν· καταφρονήσωμεν τῆς τῶν πολλῶν δόξης· οὐδὲν γὰρ οὕτω καταγέλαστον καὶ ἄτιμον, ὡς τοῦτο τὸ πάθος· οὐδὲν οὕτως αἰσχύνης γέμον καὶ πολλῆς ἀδοξίας. Καὶ τοῦτο πολλαχόθεν ἴδοι τις ἄν, ὅτι τὸ μὲν δόξης ἐρᾶν ἀδοξία, δόξα δὲ ὄντως τὸ ταύτης ὑπερορᾶν, καὶ μηδένα αὐτῆς ποιεῖσθαι λόγον, ἀλλὰ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἅπαντα καὶ λέγειν καὶ ποιεῖν. Οὕτω γὰρ δυνησόμεθα καὶ μισθὸν λαβεῖν παρὰ τοῦ τὰ ἡμέτερα ὁρῶντος ἀκριβῶς, ὅταν αὐτῷ μόνῳ ἀρκώμεθα θεατῇ.

Τί γὰρ ἡμῖν καὶ ἑτέρων ὀφθαλμῶν δεῖ, τοῦ τιμᾶν μέλλοντος ἡμᾶς ὁρῶντος ἀεὶ τὰ γινόμενα παρ᾽ ἡμῶν; Πῶς δὲ οὐκ ἄτοπον, τὸν μὲν οἰκέτην πάντα, ὅσαπερ ἂν ποιῇ, εἰς ἀρέσκειαν τοῦ δεσπότου ποιεῖν, καὶ μηδὲν πλέον ἐπιζητεῖν τῆς θεωρίας τῆς τούτου, μηδὲ ἑτέρους ὀφθαλμοὺς ἐφέλκεσθαι πρὸς τὴν πρᾶξιν, κἂν μεγάλοι οἱ θεωροῦντες ὦσιν, ἀλλ᾽ ἓν μόνον σκοπεῖν, ὅπως ὁ δεσπότης θεάσηται, ἡμᾶς δὲ τοιοῦτον ἔχοντας Κύριον, ἑτέρους ἐπιζητεῖν θεατὰς τοὺς ὠφελῆσαι μὲν οὐδέν, βλάψαι δὲ ἐκ τῆς θεωρίας δυναμένους, καὶ κενῶσαι πάντα τὸν πόνον ἡμῖν;

Μή, παρακαλῶ· ἀλλ᾽ ὅθεν ἔχομεν τοὺς μισθοὺς λαβεῖν,

---

24. Ἐφ. 5, 5.

λολατρίαν[24], τὴν μητέρα αὐτῆς καὶ ρίζαν καὶ πηγήν, ἐννοῶ τὴν κενοδοξίαν, πῶς πρέπει νὰ τὴν ὀνομάσωμεν; Διότι δὲν εἶναι δυνατὸν νὰ εὕρωμεν ὀνομασίαν ἀνταξίαν τῆς κακίας αὐτῆς.

Ἂς συνέλθωμεν λοιπόν, ἀγαπητοί, καὶ ἂς ἀποδυθῶμεν αὐτὸ τὸ πονηρὸν ἔνδυμα καὶ ἂς τὸ σχίσωμεν καὶ ἂς τὸ κομματιάσωμεν καὶ ἂς γίνωμεν κάποτε ἐλεύθεροι, μὲ τὴν ἀληθινὴν σημασίαν τῆς ἐλευθερίας, καὶ ἂς συναισθανθῶμεν τὴν εὐγένειαν ἡ ὁποία μᾶς ἔχει δοθῆ ἀπὸ τὸν Θεόν. Ἂς περιφρονήσωμεν τὴν δόξαν τῶν πολλῶν. Διότι τίποτε δὲν εἶναι τόσον καταγέλαστον καὶ ἄτιμον, ὅσον τὸ πάθος αὐτό. Τίποτε δὲν εἶναι γεμᾶτον μὲ τόσην αἰσχύνην καὶ πολλὴν ἀδοξίαν. Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ τὸ διαπιστώσῃ κανεὶς ἀπὸ πολλὰς πλευράς, ὅτι ὁ ἔρως τῆς δόξης εἶναι ἀδοξία, δόξα δὲ πραγματικὴ εἶναι νὰ τὴν περιφρονοῦμεν καὶ νὰ μὴ κάνωμεν καθόλου λόγον περὶ αὐτῆς, ἀλλὰ νὰ λέγωμεν καὶ νὰ πράττωμεν τὰ πάντα· ὅπως ἀρέσει εἰς τὸν Θεόν. Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ λάβωμεν καὶ ἀνταμοιβὴν ἀπὸ ἐκεῖνον ὁ ὁποῖος βλέπει τὰς πράξεις μας μὲ ἀκρίβειαν, ὅταν δηλαδὴ ἀρκούμεθα εἰς αὐτὸν μόνον ὡς θεατήν.

Διότι τί μᾶς χρειάζονται καὶ ἄλλοι ὀφθαλμοί, ἀφοῦ ἐκεῖνος ποὺ πρόκειται νὰ μᾶς τιμήσῃ βλέπει συνεχῶς ὅλα ὅσα κάνομεν; Δὲν εἶναι δὲ παράλογον ὁ μὲν δοῦλος ὅλα ὅσα κάμνει νὰ τὰ κάμνῃ διὰ νὰ ἀρέσῃ εἰς τὸν κύριόν του, καὶ νὰ μὴ ἐπιδιώκῃ τίποτε περισσότερον ἀπὸ τὴν παρατήρησιν ἐκείνου, οὔτε νὰ προσπαθῇ νὰ ἑλκύσῃ ἄλλους ὀφθαλμοὺς πρὸς τὴν πρᾶξιν του, ἔστω καὶ ἂν αὐτοὶ ποὺ βλέπουν εἶναι μεγάλοι, ἀλλὰ ἕνα μόνον νὰ ἐξετάζῃ, πῶς νὰ τὸν ἰδῇ ὁ κύριός του, ἐνῷ ἐμεῖς οἱ ὁποῖοι ἔχομεν τόσον σπουδαῖον Κύριον, νὰ ἐπιζητοῦμεν ἄλλους θεατάς, οἱ ὁποῖοι ἐνῷ δὲν ἠμποροῦν νὰ μᾶς ὠφελήσουν εἰς τίποτε, ἠμποροῦν ὅμως νὰ μᾶς βλάψουν βλέποντες καὶ νὰ ἀδειάσουν ἐπάνω μας ὅλον τὸν πόνον;

Μή, σᾶς παρακαλῶ· ἀλλὰ ἐκεῖ ἀπὸ ὅπου θὰ λάβωμεν

τοῦτον καλῶμεν ἐπαινέτην τῶν γινομένων, τοῦτον θεατήν. Μηδὲν ἡμῖν καὶ ἀνθρωπίνοις ὀφθαλμοῖς ἔστω· εἰ γὰρ ἐθέλοιμεν καὶ ταύτης ἐπιτυχεῖν τῆς δόξης, τότε αὐτῆς ἐπιτευξόμεθα, ὅταν τὴν παρὰ τοῦ Θεοῦ ζητῶμεν μόνην· «τοὺς γὰρ δοξάζοντάς με δοξάσω», φησί. Καὶ ὥσπερ χρημάτων τότε μάλιστα εὐποροῦμεν, ὅταν καταφρονῶμεν αὐτῶν, καὶ τὸν παρὰ Θεοῦ ζητῶμεν πλοῦτον μόνον, («Ζητεῖτε» γάρ, φησί, «τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν»), οὕτω καὶ ἐπὶ τῆς δόξης, ὅταν ἡμῖν λοιπὸν ἀκίνδυνος ᾗ δόσις ᾖ καὶ ἡ τῶν χρημάτων καὶ ἡ τῆς δόξης, τότε αὐτὴν ἐπιδαψιλεύσεται ὁ Θεός. Ἀκίνδυνος δὲ τότε ἐστίν, ὅταν ἡμῶν μὴ κρατῇ, μηδὲ περιγίνηται, μηδὲ ὡς δούλοις αὐτὴ ἐπιτάττῃ, ἀλλ' ὡς δεσπόταις καὶ ὡς ἐλευθέροις παραγίνηται· διὰ γὰρ τοῦτο οὐδὲ βούλεται αὐτῶν ἡμᾶς ἐρᾶν, ἵνα μὴ κρατώμεθα παρ' αὐτῶν. Κἂν τοῦτο κατορθώσωμεν, δίδωσιν ἡμῖν αὐτὰ μετὰ πολλῆς τῆς δαψιλείας.

Τί γὰρ Παύλου λαμπρότερον, εἰπέ μοι, τοῦ λέγοντος· «Οὐ ζητοῦμεν παρὰ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων»; τί δὲ εὐπορώτερον τοῦ μηδὲν ἔχοντος, καὶ πάντα κατέχοντος; Ὅταν γάρ, ὅπερ ἔφην, μὴ κρατώμεθα ὑπ' αὐτῶν, τότε αὐτῶν κρατήσομεν, τότε αὐτὰ ληψόμεθα. Εἰ τοίνυν ἐπιθυμοῦμεν ἐπιτυχεῖν δόξης, φεύγωμεν δόξαν· οὕτω γὰρ δυνησόμεθα, τοῦ Θεοῦ τοὺς νόμους ἀνύσαντες, τυχεῖν καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

25. Α΄ Βασ. 2, 30.
26. Ματθ. 6, 33.
27. Α΄ Θεσσ. 2, 6.

τὴν ἀνταμοιβήν, αὐτὸν ἂς καλοῦμεν νὰ ἐπαινέσῃ ὅσα πράττομεν, αὐτὸν νὰ ζητοῦμεν θεατήν. Ἂς μὴ χρειαζώμεθα καὶ ἀνθρωπίνους ὀφθαλμούς. Διότι ἐὰν θέλωμεν νὰ ἐπιτύχωμεν καὶ αὐτὴν τὴν δόξαν, θὰ τὴν ἐπιτύχωμεν τότε μόνον, ὅταν ἐπιζητοῦμεν μόνον τὴν δόξαν τοῦ Θεοῦ. «Διότι αὐτοὺς ποὺ μὲ δοξάζουν θὰ τοὺς δοξάσω»[25], λέγει. Καὶ ὅπως τότε ἔχομεν χρήματα πολλά, ὅταν τὰ περιφρονοῦμεν, καὶ ζητοῦμεν μόνον τὸν πλοῦτον τοῦ Θεοῦ (διότι λέγει· «ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς χορηγηθοῦν»)[26], ἔτσι καὶ προκειμένου περὶ τῆς δόξης, ὅταν ἡ παροχὴ θὰ μᾶς εἶναι ἀκίνδυνος, τόσων τῶν χρημάτων ὅσον καὶ τῆς δόξης, τότε θὰ μᾶς τὴν χορηγήσῃ μὲ ἀφθονίαν ὁ Θεός. Εἶναι δὲ ἀκίνδυνος τότε, ὅταν δὲν μᾶς κυριεύῃ, οὔτε μᾶς νικᾷ, οὔτε μᾶς διατάσσῃ ὡσὰν δούλους. Δι' αὐτὸ ἄλλως τε δὲν θέλει νὰ τὰ ἐπιθυμοῦμεν διακαῶς, διὰ νὰ μὴ ὑποταγῶμεν εἰς αὐτά. Καὶ ὅταν τὸ κατορθώσωμεν αὐτό, τότε μᾶς τὰ δίδει μὲ μεγάλην ἀφθονίαν.

Διότι τί εἶναι λαμπρότερον τοῦ Παύλου ὁ ὁποῖος λέγει· «Δὲν ζητοῦμεν τιμὰς ἀπὸ τοὺς ἀνθρώπους, οὔτε ἀπὸ σᾶς, οὔτε ἀπὸ ἄλλους»;[27] Τί δὲ εἶναι περισσότερον εὔπορον ἀπὸ ἐκεῖνον ὁ ὁποῖος δὲν ἔχει τίποτε καὶ τὰ ἔχει ὅλα;[28] Διότι, ὅταν, ὅπως εἶπα, δὲν κυριαρχούμεθα ἀπὸ αὐτά, τότε θὰ γίνωμεν κύριοι αὐτῶν, τότε θὰ τὰ ἀποκτήσωμεν. Ἐὰν λοιπὸν ἐπιθυμοῦμεν νὰ ἀποκτήσωμεν δόξαν, ἂς ἀποφεύγωμεν τὴν δόξαν· διότι ἔτσι θὰ ἠμπορέσωμεν, ἀφοῦ ἐκτελέσωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, νὰ ἐπιτύχωμεν καὶ τὰ ἐδῶ ἀγαθὰ καὶ αὐτὰ ποὺ μᾶς ὑπεσχέθη, μὲ τὴν χάριν τοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

28. Β' Κορ. 6, 10.

ΟΜΙΛΙΑ Δ'.

'Ιω. 1, 1.

«Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν».

1. Τοῖς ἄρτι τῶν παίδων εἰσαγομένοις πρὸς τὰ μαθήματα οὔτε πολλὰ ἐφεξῆς ἐπιτιθέασιν οἱ διδάσκαλοι τὰ φορτία, οὔτε εἰσάπαξ τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ βραχέα, καὶ τὰ αὐτὰ πολλάκις ἐνηχοῦσιν αὐτοῖς, ὥστε αὐτῶν ῥαδίως ἐντεθῆναι τῇ διανοίᾳ τὰ λεγόμενα, ἀλλὰ μὴ ἐκ προοιμίων δυσχεράναντας αὐτοὺς πρὸς τὸ πλῆθος καὶ τὸ τῆς μνήμης δυσκάθεκτον ὀκνηροτέρους γενέσθαι περὶ τὴν συλλογὴν τῶν δοθέντων, νάρκης τινὸς αὐτοῖς ἀπὸ τῆς δυσκολίας ἐγγινομένης.

Τοῦτο δὴ καὶ αὐτὸς κατασκευάσαι βουλόμενος, καὶ τὸν πόνον ὑμῖν ποιῆσαι κοῦφον, κατὰ μικρὸν ἀπολαμβάνων τὰ ἐν τῇ θείᾳ ταύτῃ τραπέζῃ, εἰς τὰς ὑμετέρας οὕτως ἐνίημι ψυχάς. Διὸ καὶ τῶν αὐτῶν ἅψομαι πάλιν ῥημάτων, οὐχ ὥστε τὰ αὐτὰ πάλιν εἰπεῖν, ἀλλ' ὥστε τὰ λείποντα προσθεῖναι μόνον. Φέρε οὖν τὸν λόγον ἐπὶ τὰ προοίμια πάλιν ἀνάγωμεν.

«Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν». Τίνος ἕνεκεν, τῶν ἄλλων ἁπάντων Εὐαγγελιστῶν ἀπὸ τῆς οἰκονομίας ἀρξαμένων, (καὶ γὰρ ὁ Ματθαῖός φησι· «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυΐδ»· καὶ ὁ Λουκᾶς τὰ κατὰ τὴν Μαρίαν ἡμῖν ἐν ἀρχῇ διηγεῖται· καὶ ὁ Μᾶρκος δὲ ὁμοίως τοῖς αὐτοῖς ἐνδιατρίβει λόγοις, τὴν κατὰ τὸν Βαπτιστὴν ἱστορίαν ἐντεῦθεν ὑφαίνων), ὁ Ἰωάννης τοῦτο μὲν

ΟΜΙΛΙΑ Δ'.

'Ιω. 1, 1.

«Είς τὴν ἀρχὴν ὑπῆρχεν ὁ Λόγος καὶ ὁ Λόγος ἦτο κοντὰ εἰς τὸν Θεόν».

1. Εἰς τὰ παιδιὰ τὰ ὁποῖα διὰ πρώτην φορὰν προσέρχονται εἰς τὰ μαθήματα, οἱ διδάσκαλοι οὔτε βαρέα φορτία φορτώνουν ἀπὸ τὴν ἀρχήν, οὔτε τὸ κάθε πρᾶγμα τὸ διδάσκουν μίαν μόνον φοράν. 'Αντιθέτως μάλιστα καὶ ὀλίγην ὕλην τὰ ἀναθέτουν καὶ τὰ ἴδια πράγματα τὰ ἐπαναλαμβάνουν πολλὲς φορὲς εἰς αὐτά, διὰ νὰ ἐντυπωθοῦν εὔκολα εἰς τὸ μυαλόν τους ὅσα διδάσκονται, ἀλλὰ καὶ διὰ νὰ μὴ δυσκολευθοῦν ἐξ ἀρχῆς ἀπὸ τὴν πολλὴν ὕλην καὶ τὴν ἀδυναμίαν τῆς ἐκμαθήσεώς της καὶ γίνουν ὀκνηρότερα εἰς τὴν ἀφομοίωσιν τῶν προσφερομένων, περιπίπτοντα τρόπον τινὰ εἰς νάρκην ἐξ αἰτίας τῆς δυσκολίας.

Αὐτὸ ἀκριβῶς θέλων νὰ κάμω καὶ ἐγὼ καὶ νὰ καταστήσω τὸν κόπον σας ἐλαφρότερον, παίρνοντας μικρὰ τεμάχια ἀπὸ τὴν θεϊκὴν αὐτὴν τράπεζαν τὰ εἰσάγω εἰς τὰς ψυχάς σας. Δι' αὐτὸ θὰ ἀναφερθῶ καὶ πάλιν εἰς τὰ ἴδια λόγια, ὄχι διὰ νὰ σᾶς εἰπῶ καὶ πάλιν τὰ ἴδια πράγματα, ἀλλὰ μόνον διὰ νὰ συμπληρώσω ὅσα ἐλλείπουν. Ἂς ἀναφερθῶμεν λοιπὸν καὶ πάλιν εἰς τὸ προοίμιον.

«Εἰς τὴν ἀρχὴν τῆς δημιουργίας ὑπῆρχεν ὁ Λόγος, καὶ ὁ Λόγος ἦτο πλησίον τοῦ Θεοῦ». Διατί ἆρά γε, ἐνῷ οἱ ἄλλοι εὐαγγελισταὶ ἀρχίζουν μὲ τὴν ἐξιστόρησιν τῆς θείας οἰκονομίας (διότι ὁ μὲν Ματθαῖος λέγει· «Βιβλίον γενεαλογικὸν τοῦ 'Ιησοῦ Χριστοῦ, ἀπογόνου τοῦ Δαβίδ», ὁ δὲ Λουκᾶς μᾶς ἐξιστορεῖ εἰς τὴν ἀρχὴν ὅλα ὅσα ἀφοροῦν τὴν Μαρίαν καὶ ὁ Μᾶρκος κατὰ παρόμοιον τρόπον περιορίζεται εἰς τὰ ἴδια, ἀναφέρων τὴν ἱστορίαν τοῦ Βαπτιστοῦ), ὁ 'Ιωάννης αὐτὸ

ἐν βραχεῖ καὶ μετὰ ταῦτα ἠνίξατο, εἰπών· «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο», τὰ δὲ ἄλλα πάντα παραδραμὼν (τὴν σύλληψιν, τὸν τόκον, τὴν ἀνατροφήν, τὴν αὔξησιν), εὐθέως περὶ τῆς ἀϊδίου γεννήσεως ἡμῖν διηγεῖται; Τί ποτ᾽ οὖν ἐστι τὸ αἴτιον τούτων, ἤδη πρὸς ὑμᾶς ἐρῶ.

Τῶν λοιπῶν Εὐαγγελιστῶν τὸ πλέον ἐν τοῖς κατὰ σάρκα διατριψάντων λόγοις, δέος ἦν τοῦ μή τινας διὰ τοῦτο χαμαιπετεῖς ὄντας τούτοις ἐναπομεῖναι μόνοις τοῖς δόγμασιν· ὃ καὶ Παῦλος ἔπαθεν ὁ Σαμοσατεύς. Ἐκ ταύτης τοίνυν ἀνάγων τῆς χαμαιζηλίας τοὺς μέλλοντας ἐμπεσεῖσθαι, καὶ εἰς τὸν οὐρανὸν ἀνέλκων, εἰκότως ἄνωθεν καὶ ἐκ τῆς ὑπάρξεως τῆς ἀϊδίου ποιεῖται τῆς διηγήσεως τὴν ἀρχήν· τοῦ μὲν γὰρ Ματθαίου ἀπὸ Ἡρώδου τοῦ βασιλέως, τοῦ Λουκᾶ δὲ ἀπὸ Τιβερίου τοῦ Καίσαρος, τοῦ δὲ Μάρκου ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου πρὸς τὴν διήγησιν εἰσβαλόντων, πάντα ταῦτα ἀφεὶς οὗτος, ἀνωτέρω παντὸς ἄνεισι χρόνου τε καὶ αἰῶνος, ἐκεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν ἀκοντίζων πρὸς τὸ «ἐν ἀρχῇ ἦν», καὶ οὐκ ἀφιεὶς στῆναί που, οὐδὲ ὅρον τιθείς, καθάπερ ἐκεῖνοι, τὸν Ἡρώδην καὶ τὸν Τιβέριον καὶ τὸν Ἰωάννην.

Ὃ δὲ ἄξιον μετὰ τούτων θαυμάσαι, ἐκεῖνο μάλιστα εἰπεῖν ἔστιν, ὅτι οὔτε οὗτος, πρὸς τὸν ὑψηλότερον ἑαυτὸν λόγον ἀφιείς, τῆς οἰκονομίας ἠμέλησεν, οὔτε ἐκεῖνοι τὴν περὶ ταύτης ἐσπουδακότες διήγησιν, τὴν προαιώνιον ἐσίγησαν ὕπαρξιν. Καὶ μάλα εἰκότως· ἓν γὰρ ἦν τὸ Πνεῦμα τὸ κινοῦν τὰς ἁπάντων ψυχάς· διὸ καὶ πολλὴν περὶ τὴν ἀπαγγελίαν ἐπεδείξαντο τὴν ὁμόνοιαν·

Σὺ δέ, ἀγαπητέ, «Λόγον» ἀκούσας, μηδέποτε ἀνάσχῃ τῶν λεγόντων ἔργον αὐτὸν εἶναι, ἀλλὰ μηδὲ τῶν ἁπλῶς λόγον αὐτὸν εἶναι νομιζόντων· πολλοὶ μὲν γὰρ οἱ τοῦ Θεοῦ

1. Ἐπίσκοπος Ἀντιοχείας τῶν μέσων τοῦ 3ου αἰ. μ.Χ. ὁ ὁποῖος ἐδίδασκεν ὅτι ὁ Ἰησοῦς Χριστὸς ἦτο κοινὸς ἄνθρωπος ἴδιος μὲ ἡμᾶς καὶ ὅτι εἰς αὐτὸν «ἐνώκησεν» ὁ Λόγος ὡς εἰς ναόν.

μὲν μὲ πολὺ συντομίαν, καὶ μάλιστα μετὰ ἀπὸ αὐτά, τὸ ὑπαινίσσεται ἁπλῶς λέγων «καὶ ὁ Λόγος ἔγινεν ἄνθρωπος», καὶ ἀφοῦ ἀποσιωπᾷ ὅλα τὰ ἄλλα, τὴν σύλληψιν, τὴν γέννησιν, τὴν ἀνατροφήν, τὴν ἀνάπτυξιν, μᾶς ὁμιλεῖ ἀμέσως περὶ τῆς ἀιδίου γεννήσεως; Ποῖον λοιπὸν εἶναι τὸ αἴτιον αὐτῶν θὰ σᾶς εἰπῶ τώρα.

Ἐπειδὴ οἱ ἄλλοι εὐαγγελισταὶ ἀφιέρωσαν τὸ μεγαλύτερον μέρος ἀναφερόμενοι εἰς τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ, ὑπῆρχε φόβος μήπως ὡρισμένοι προσκεκολλημένοι εἰς τὰ ταπεινά, ἐξ αἰτίας αὐτοῦ παραμείνουν μόνον εἰς αὐτὰ τὰ δόγματα, πρᾶγμα τὸ ὁποῖον ἔπαθε καὶ ὁ Παῦλος ὁ Σαμοσατεύς[1]. Διὰ νὰ ἀνυψώσῃ λοιπὸν ἀπὸ αὐτὴν τὴν χαμαιζηλίαν ἐκείνους ποὺ ἐπρόκειτο νὰ πέσουν εἰς αὐτὴν καὶ νὰ τοὺς ἀνεβάσῃ εἰς τὸν οὐρανόν, πολὺ λογικὰ ἀρχίζει τὴν ἐξιστόρησιν ἀπὸ ἐπάνω καὶ ἀπὸ τὴν ἀίδιον ὕπαρξιν. Διότι ἀφοῦ ὁ μὲν Ματθαῖος ἀπὸ τὸν βασιλέα Ἡρώδην, ὁ Λουκᾶς ἀπὸ τὸν καίσαρα Τιβέριον, ὁ δὲ Μᾶρκος ἀπὸ τὴν βάπτισιν τοῦ Ἰωάννου εἰσέρχονται εἰς τὴν ἐξιστόρησιν, αὐτός, ἀφοῦ ἄφησεν ὅλα αὐτά, ἀνυψώνεται ὑπεράνω παντὸς χρόνου καὶ αἰῶνος, ἐξακοντίζων ἐκεῖ τὴν σκέψιν τῶν ἀκροατῶν του, εἰς τὸ «ὑπῆρχεν εἰς τὴν ἀρχὴν τῆς δημιουργίας», χωρὶς νὰ τοὺς ἀφήνῃ νὰ σταματήσουν κάπου, οὔτε νὰ τοὺς θέτῃ ὅρια, ὅπως ἐκεῖνοι, τὸν Ἡρώδην καὶ τὸν Τιβέριον καὶ τὸν Ἰωάννην.

Ἐκεῖνο δὲ ποὺ μαζὶ μὲ αὐτὰ εἶναι ἄξιον θαυμασμοῦ, εἶναι νὰ τονισθῇ κυρίως τοῦτο, ὅτι οὔτε αὐτός, ποιούμενος λόγον περὶ τοῦ ὑψηλοτέρου ἑαυτοῦ του, παρημέλησε τὴν θείαν οἰκονομίαν, οὔτε οἱ ἄλλοι εὐαγγελισταί, ἀσχολούμενοι μὲ τὴν διήγησιν αὐτῆς, ἀπεσιώπησαν τὴν προαιώνιον ὕπαρξιν· καὶ πολὺ φυσικά. Διότι ἕνα ἦτο τὸ Πνεῦμα τὸ ὁποῖον ἐκινοῦσε τὰς ψυχὰς ὅλων. Δι' αὐτὸ καὶ κατὰ τὴν ἔκθεσιν τῶν γεγονότων δείχνουν μεγάλην ταυτότητα σκέψεως.

Σὺ δέ, ἀγαπητέ, ὅταν ἀκούῃς τὴν λέξιν Λόγος, νὰ μὴ ἀνεχθῇς ποτὲ ἐκείνους ποὺ λέγουν ὅτι εἶναι ἔργον, ἀλλὰ οὔτε καὶ ἐκείνους οἱ ὁποῖοι νομίζουν ὅτι εἶναι ἁπλοῦς λόγος.

λόγοι, οὓς καὶ ἄγγελοι ποιοῦσιν, ἀλλ' οὐδεὶς ἐκείνων τῶν λόγων Θεός, ἀλλ' ἐκεῖνοι μὲν ἅπαντες προφητεῖαι καὶ προστάγματα, (οὕτω γὰρ ἔθος τῇ Γραφῇ καλεῖν τοὺς νόμους τοῦ Θεοῦ καὶ τὰ ἐπιτάγματα, καὶ τὰς προφητείας· διὸ καὶ ἐπάγει, λέγων περὶ τῶν ἀγγέλων· «Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ»)· οὗτος δὲ ὁ Λόγος οὐσία τίς ἐστιν ἐνυπόστατος, ἐξ αὐτοῦ προελθοῦσα ἀπαθῶς τοῦ Πατρός· τοῦτο γάρ, ὡς ἔφθην εἰπών, διὰ τῆς τοῦ Λόγου προσηγορίας ἐδήλωσεν.

Ὥσπερ οὖν τὸ «ἐν ἀρχῇ ἦν ὁ Λόγος» τὸ ἀίδιον δηλοῖ, οὕτω τὸ «οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν» τὸ συναΐδιον ἡμῖν ἐνέφηνεν. Ἵνα γὰρ μή, ἀκούσας ὅτι «ἐν ἀρχῇ ἦν ὁ Λόγος», ἀίδιον μὲν νομίσῃς, πρεσβυτέραν δὲ διαστήματί τινι τοῦ Πατρὸς τὴν ζωὴν ὑποπτεύσῃς καὶ αἰῶνι πλείονι, καὶ τῷ Μονογενεῖ δῷς ἀρχήν, ἐπήγαγε τὸ ὅτι «ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ἦν», οὕτως ἀΐδιος, ὡς αὐτὸς ὁ Πατήρ· οὐ γὰρ ἦν ἔρημος οὐδέ ποτε τοῦ Λόγου, ἀλλ' ἀεὶ Θεὸς πρὸς Θεὸν ἦν, ἐν ὑποστάσει μέντοι ἰδίᾳ.

Πῶς οὖν, φησίν, εἶπεν ὅτι «ἐν τῷ κόσμῳ ἦν», εἴ γε πρὸς τὸν Θεὸν ἦν; Ὅτι καὶ πρὸς τὸν Θεὸν ἦν, καὶ ἐν τῷ κόσμῳ ἦν· οὐδαμοῦ γὰρ περατοῦται, οὔτε ὁ Πατήρ, οὔτε ὁ Υἱός· «Εἰ γὰρ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας», «καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός», οὐδὲ τῆς οὐσίας εὔδηλον ὅτι ἀρχή τις χρονική.

Ἤκουσας ὅτι «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»; Τί νοεῖς ἀπὸ τῆς ἀρχῆς ταύτης; Εὔδηλον ὅτι τὸ πρὸ πάντων γενέσθαι αὐτὰ τῶν ὁρατῶν. Οὕτω καὶ περὶ τοῦ Μονογενοῦς ἀκούων, ὅτι «ἐν ἀρχῇ ἦν», πρὸ πάντων αὐ-

1. Ψαλμ. 102, 20.
2. Ψαλμ. 144, 3.
3. Ψαλμ. 146, 5.
4. Γεν. 1, 1.

Διότι πολλοὶ εἶναι οἱ λόγοι τοῦ Θεοῦ, τοὺς ὁποίους ἐκτελοῦν καὶ οἱ ἄγγελοι, ἀλλὰ κανεὶς ἀπὸ ἐκείνους τοὺς λόγους δὲν εἶναι Θεός. Ὅλοι ἐκεῖνοι οἱ λόγοι εἶναι προφητεῖαι καὶ προστάγματα (διότι ἔτσι συνηθίζει ἡ ἁγία Γραφὴ νὰ ἀποκαλῇ τοὺς νόμους τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς καὶ τὰς προφητείας, δι' αὐτὸ καὶ ὅταν ὁμιλῇ περὶ τῶν ἀγγέλων προσθέτει· «Εἶναι δυνατοὶ εἰς ἰσχύν, ἐκτελοῦντες τὸν λόγον αὐτοῦ»)[1]. Ἐνῷ αὐτὸς ὁ Λόγος εἶναι μία οὐσία ὑπαρκτή, ἡ ὁποία προῆλθεν ἀμετάτρεπτος ἀπὸ τὸν ἴδιον τὸν Πατέρα. Διότι, ὅπως ἀνέφερα ἤδη, δηλώνεται μὲ τὴν ὀνομασίαν Λόγος.

Ὅπως λοιπὸν τὸ «εἰς τὴν ἀρχὴν ὑπῆρχεν ὁ Λόγος» φανερώνει τὸ αἰώνιον, ἔτσι τὸ «αὐτὸς ἦτο ἀπὸ τὴν ἀρχὴν τῆς δημιουργίας κοντὰ εἰς τὸν Θεόν», μᾶς φανερώνει τὸ συναιώνιον. Διότι, διὰ νὰ μὴ νομίσῃς, ὅταν ἀκούῃς «εἰς τὴν ἀρχὴν τῆς δημιουργίας ὑπῆρχεν ὁ Λόγος», ὅτι εἶναι μὲν αἰώνιος, ἀλλὰ ὑποθέσῃς ὅτι ἡ ζωὴ τοῦ Πατρὸς εἶναι μεγαλυτέρα κατὰ κάποιο χρονικὸν διάστημα καὶ περισσοτέρους αἰῶνας, καὶ δώσῃς εἰς τὸν Μονογενῆ Υἱὸν ἀρχήν, ἐπρόσθεσε τὸ ὅτι «ἦτο εἰς τὴν ἀρχὴν τῆς δημιουργίας κοντὰ εἰς τὸν Θεόν», δηλαδὴ τόσον αἰώνιος, ὅσον καὶ ὁ ἴδιος ὁ Πατήρ. Διότι δὲν ἦτο ποτὲ χωρὶς τὸν Λόγον, ἀλλὰ πάντοτε ἦτο Θεὸς κοντὰ εἰς Θεόν, ἀλλὰ εἰς χωριστὴν ὕπαρξιν.

Πῶς λοιπόν, λέγει, εἶπεν ὅτι «ἦτο εἰς τὸν κόσμον», ἐὰν ἦτο κοντὰ εἰς τὸν Θεόν; Τὸ εἶπεν ἐπειδὴ καὶ κοντὰ εἰς τὸν Θεὸν εὑρίσκετο καὶ εἰς τὸν κόσμον ἦτο. Διότι πουθενὰ δὲν τελειώνει, τόσον ὁ Πατὴρ ὅσον καὶ ὁ Υἱός. Καὶ «ἐὰν δὲν ὑπάρχῃ τέρμα εἰς τὴν μεγαλωσύνην του»[2] καὶ «ἡ σύνεσίς του δὲν εἶναι δυνατὸν νὰ μετρηθῇ»[3], εἶναι ὁλοφάνερον ὅτι οὔτε τῆς οὐσίας του ὑπάρχει ἀρχὴ χρονική.

Ἤκουσες ὅτι «εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»;[4] Πῶς ἐννοεῖς τὴν ἀρχὴν αὐτήν; Ὁπωσδήποτε ὅτι αὐτὰ ἔγιναν πρὶν ἀπὸ ὅλα τὰ ὁρατά. Κατὰ τὸν ἴδιον τρόπον, ἀκούων καὶ περὶ τοῦ Μονογενοῦς ὅτι «ὑπῆρχεν εἰς τὴν ἀρχήν», νὰ ἐννοῇς ὅτι ὑπάρχει πρὶν ἀπὸ

τὸν νόει τῶν νοητῶν καὶ πρὸ τῶν αἰώνων. Εἰ δὲ λέγοι τις «Καὶ πῶς ἔστιν Υἱὸν ὄντα, μὴ νεώτερον εἶναι τοῦ Πατρός; τὸ γὰρ ἔκ τινος ὂν ἀνάγκη πᾶσα ὕστερον εἶναι τοῦ ἐξ οὗ ἐστιν», ἐροῦμεν, ὅτι μάλιστα μὲν ταῦτα λογισμῶν ἀνθρωπίνων ἐστί, καὶ ὁ τοῦτο ζητῶν, καὶ ἕτερα τούτων ἀτοπώτερα ζητήσει, καὶ οὐδὲ τῇ ἀκοῇ τὰ τοιαῦτα παραδέχεσθαι ἔδει· περὶ Θεοῦ γὰρ νῦν ἡμῖν ὁ λόγος ἐστίν, οὐ περὶ τῆς τῶν ἀνθρώπων φύσεως, ὑποκειμένης τῇ τῶν λογισμῶν τούτων ἀκολουθίᾳ τε καὶ ἀνάγκῃ. Πλὴν ἀλλ' ὑπὲρ πληροφορίας τῶν ἀσθενεστέρων καὶ πρὸς ταῦτα ἐροῦμεν.

2. Εἰπὲ γάρ μοι· «Τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ἐκπηδᾷ τῆς τοῦ ἡλίου φύσεως, ἢ ἄλλοθέν ποθεν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ καὶ τὰς αἰσθήσεις πεπηρωμένον, ὅτι ἐξ αὐτῆς. Ἀλλ' ὅμως καὶ ἐξ αὐτοῦ ὂν τοῦ ἡλίου τὸ ἀπαύγασμα, οὐκ ἄν ποτε ὕστερον εἶναι φαίημεν τῆς ἡλιακῆς φύσεως, ἐπειδὴ μηδὲ χωρὶς ἀπαυγάσματος ἥλιος ἐφάνη ποτέ. Εἰ δὲ ἐπὶ τῶν σωμάτων τούτων τῶν ὁρατῶν καὶ αἰσθητῶν, καὶ ἔκ τινος ὄν, καὶ οὐχ ὕστερον ἐξ οὗ ἐστιν ἐφάνη τι ὄν, τί ἀπιστεῖς ἐπὶ τῆς ἀοράτου καὶ ἀρρήτου φύσεως; Τὸ αὐτὸ δὴ τοῦτό ἐστιν οὕτως, ὡς ἐκείνῃ τῇ οὐσίᾳ πρέπον ἦν· διά γάρ τοι τοῦτο καὶ ὁ Παῦλος αὐτὸν οὕτως ἐκάλεσε, καὶ τὸ ἐξ αὐτοῦ καὶ τὸ συναΐδιον παριστῶν.

Τί δέ; εἰπέ μοι, οὐχ οἱ αἰῶνες δι' αὐτοῦ γεγόνασιν ἅπαντες καὶ διάστημα ἅπαν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ παραπαίοντα. Οὐκοῦν οὐδὲν μέσον Υἱοῦ καὶ Πατρός. Εἰ δὲ οὐδέν, οὐχ ὕστερος, ἀλλὰ συναΐδιος· τὸ γὰρ «πρὸ» καὶ τὸ «μετὰ» χρόνων εἰσὶν ἔννοιαι δηλωτικαί· χωρὶς γὰρ

5. Ἑβρ. 1, 3.

ὅλα τὰ νοητὰ καὶ πρὶν ἀπὸ τοὺς αἰῶνας. Ἐὰν δὲ κανεὶς ἰσχυρίζεται· καὶ πῶς εἶναι δυνατόν, ἐνῷ εἶναι Υἱὸς νὰ μὴ εἶναι νεώτερος τοῦ Πατρός, ἀφοῦ ἐκεῖνο ποὺ προέρχεται ἀπὸ κάποιο ἄλλο εἶναι ὁπωσδήποτε μεταγενέστερον ἀπὸ ἐκεῖνο ἐκ τοῦ ὁποίου προέρχεται; Θὰ ἀπαντήσωμεν ὅτι αὐτὰ εἶναι συμπεράσματα κατ' ἐξοχὴν τῶν ἀνθρωπίνων συλλογισμῶν, καὶ ἐκεῖνος ὁ ὁποῖος ἀπαιτεῖ αὐτό, θὰ ἀπαιτήσῃ καὶ ἄλλα πιὸ ἄτοπα ἀπὸ αὐτά. Οὔτε ἄλλως τε ἡ ἀκοὴ τὰ παραδέχεται αὐτά. Ἀλλὰ εἰς ἡμᾶς ἐδῶ γίνεται λόγος περὶ τοῦ Θεοῦ καὶ ὄχι περὶ τῆς φύσεως τῶν ἀνθρώπων, ἡ ὁποία ὑπόκειται εἰς τὴν συνέπειαν καὶ ἀναγκαιότητα τῶν συλλογισμῶν αὐτῶν. Ἀλλὰ χάριν τῆς πληροφορήσεως τῶν ἀσθενεστέρων εἰς τὴν πίστιν, θὰ ὁμιλήσωμεν καὶ περὶ αὐτῶν.

2. Εἰπέ μου λοιπόν· ἡ λάμψις τοῦ ἡλίου προέρχεται ἀπὸ τὴν ἰδίαν τὴν φύσιν τοῦ ἡλίου ἢ ἀπὸ κάπου ἀλλοῦ; Πρέπει ὁπωσδήποτε νὰ ὁμολογήσῃ, ὅποιος δὲν ἔχει τὰς αἰσθήσεις βλαμμένας, ὅτι προέρχεται ἀπὸ αὐτήν. Ἐν τούτοις, ἂν καὶ ἡ λάμψις προέρχεται ἀπὸ τὸν ἴδιον τὸν ἥλιον, δὲν θὰ ἠμπορούσαμεν ποτὲ νὰ ἰσχυρισθῶμεν ὅτι εἶναι μεταγενεστέρα τῆς ἡλιακῆς φύσεως, διότι ποτὲ δὲν ἐφάνη ἥλιος χωρὶς λάμψιν. Ἐὰν δὲ εἰς τὰ σώματα αὐτὰ τὰ ὁρατὰ καὶ αἰσθητὰ ὑπάρχῃ κάτι ποὺ προέρχεται ἀπὸ κάποιο ἄλλο καὶ δὲν εἶναι μεταγενέστερον ἐκείνου ἀπὸ τὸ ὁποῖον προέρχεται, διατί ἀπιστεῖς διὰ τὴν ἀόρατον καὶ ἀπερίγραπτον φύσιν; Τὸ ἴδιον ἀκριβῶς συμβαίνει καὶ ἐδῶ καθ' ὅμοιον τρόπον, ὅπως ἁρμόζει εἰς τὴν οὐσίαν ἐκείνην. Δι' αὐτὸ ἄλλως τε καὶ ὁ Παῦλος τὸν ὠνόμασεν ἔτσι (ἥλιον), διὰ νὰ ἐκφράσῃ τὸ ὅτι προέρχεται ἀπὸ αὐτὸν καὶ ὅτι εἶναι συναΐδιος ἐκείνου[5].

Ἐξ ἄλλου εἰπέ μου· δὲν ἐδημιουργήθησαν ὅλοι οἱ αἰῶνες καὶ κάθε διάστημα χρονικὸν δι' αὐτοῦ; Ὁπωσδήποτε θὰ τὸ ὁμολογήσῃ ὅποιος δὲν παραπαίει. Ἑπομένως τίποτε δὲν ὑπάρχει μεταξὺ τοῦ Υἱοῦ καὶ τοῦ Πατρός. Ἐὰν δὲ δὲν ὑπάρχῃ τίποτε, δὲν εἶναι μεταγενέστερος, ἀλλὰ συναΐδιος. Διότι τὸ «πρὸ» καὶ τὸ «μετὰ» εἶναι ἔννοιαι ποὺ φανερώνουν

αἰῶνος ἢ χρόνου οὐκ ἂν δυνηθείη τις ταῦτα νοῆσαι τὰ ῥήματα· Χρόνων δὲ καὶ αἰώνων ἀνώτερος ὁ Θεός. Εἰ δὲ ὅλως τοῦ Υἱοῦ φῂς ἀρχὴν κατειληφέναι, ὅρα μὴ καὶ τὸν Πατέρα ὑπὸ ἀρχὴν ἀναγκασθῇς ἀγαγεῖν κατὰ τοῦτον τὸν λόγον καὶ τὸν λογισμόν, πρεσβυτέραν μέν, ἀρχὴν δὲ ὅμως· εἰπὲ γάρ μοι, οὐχ ὅρον τινὰ καὶ ἀρχὴν προστιθεὶς τῷ Υἱῷ, καὶ οὕτω προϊὼν ἀπ' αὐτῆς ἐπὶ τὸ ἄνω, τὸν Πατέρα προεῖναι λέγεις; Εὔδηλον ὅτι.

Εἰπὲ οὖν μοι, πόσον ὁ Πατὴρ προϋπάρχει; ἄν τε γὰρ ὀλίγον, ἄν τε πολὺ διάστημα εἴπῃς, ὑπὸ τὴν ἀρχὴν τοῦ Πατέρα ἤγαγες· μετρήσας γὰρ εὔδηλον ὅτι τὸ μέσον, οὕτως ὀλίγον ἐρεῖς ἢ πολύ· μετρῆσαι δὲ οὐκ ἂν γένοιτο, μὴ ἑκατέρωθεν οὔσης ἀρχῆς. Ὥστε καὶ τῷ Πατρὶ δέδωκας ἀρχήν, τό γε εἰς σὲ ἧκον, καὶ οὐκ ἔσται λοιπὸν οὐδὲ ὁ Πατὴρ ἄναρχος καθ' ὑμᾶς. Ὁρᾷς ὅτι τὸ παρὰ τοῦ Σωτῆρος λεχθὲν ἀληθές ἐστι, καὶ πανταχοῦ τὴν δύναμιν ἐνδείκνυται τὴν αὐτοῦ τὸ ῥῆμα; Ποῖον δὴ τοῦτο; «Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα».

Καὶ οἶδα μὲν πολλοῖς ἀκατάληπτον ὂν τὸ λεχθέν· διὸ πολλαχοῦ καὶ τὰ ἀπὸ τῶν λογισμῶν ἀναβαλλόμεθα κινεῖν, ὅτι οὔτε παρακολουθεῖν αὐτοῖς ὁ λοιπὸς δύναιτ' ἂν δῆμος, οὔτε, εἰ παρακολουθήσειεν, ἔχει τι βέβαιον καὶ ἀσφαλές· «λογισμοὶ» γὰρ «ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν». Ἡδέως δ' ἂν κἀκεῖνο ἐροίμην τοὺς ἀντιλέγοντας ἡμῖν, τί ποτέ ἐστι τὸ παρὰ τῷ Προφήτῃ λεγόμενον, τὸ «ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται»; Εἰ γὰρ νεώτερος τοῦ Πατρὸς ὁ Υἱός, πῶς φησι· «Μετ' ἐμὲ οὐκ ἔσται»; Ἆρα οὖν ἀναιρήσετε καὶ αὐτοῦ τοῦ

6. Ἰω. 5, 23.
7. Σοφ. Σολ. 9, 14.
8. Ἠσ. 43, 10.

χρόνον, καὶ χωρὶς αἰῶνα καὶ χρόνον δὲν ἠμπορεῖ νὰ κατανοήσῃ κανεὶς τὰς λέξεις αὐτάς. Ὁ Θεὸς ὅμως εἶναι ἀνώτερος ἀπὸ χρόνους καὶ αἰῶνας. Ἐὰν δὲ γενικῶς ἰσχυρίζεσαι ὅτι κάποια ἀρχὴ κατέλαβε τὸν Υἱόν, πρόσεξε μήπως μὲ αὐτὸν τὸν συλλογισμὸν καὶ τὴν ἀναλογίαν ἀναγκασθῇς νὰ ὑπαγάγῃς καὶ τὸν Πατέρα ὑπὸ ἀρχήν, μεγαλυτέραν βέβαια, ὁπωσδήποτε ὅμως ἀρχήν. Διότι εἰπέ μου· προσθέτων κάποιον χρονικὸν περιορισμὸν καὶ ἀρχὴν εἰς τὸν Υἱὸν καὶ προχωρῶν μὲ τὸν τρόπον αὐτὸν ἀπὸ τὴν ἀρχὴν αὐτὴν πρὸς τὰ ἄνω, δὲν ἰσχυρίζεσαι ὅτι προέρχεται καὶ ὁ Πατήρ; Ὁπωσδήποτε.

Εἰπέ μου λοιπόν, πόσον προϋπάρχει ὁ Πατήρ; Διότι εἴτε εἰπεῖς ὀλίγον διάστημα εἴτε πολύ, ὑποτάσσεις τὸν Πατέρα εἰς ἀρχήν. Διότι εἶναι φανερὸν ὅτι ἀφοῦ μετρήσεις τὸ διάστημα ποὺ ἐμεσολάβησεν θὰ ἀπαντήσῃς ἐὰν ἐμεσολάβησεν ὀλίγον ἢ πολύ. Ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ μετρήσῃς ἐὰν δὲν ὑπάρχῃ καὶ ἀπὸ τὰς δύο πλευρὰς ἀρχή. Ὥστε, ὅσον ἐξαρτᾶται ἀπὸ σὲ δίδεις καὶ εἰς τὸν Πατέρα ἀρχήν, καὶ ἑπομένως δὲν εἶναι οὔτε ὁ Πατὴρ ἄναρχος κατὰ τὴν γνώμην σας. Βλέπεις ὅτι αὐτὸ ποὺ ἐλέχθη ἀπὸ τὸν Σωτῆρα εἶναι ἀληθινὸν καὶ ὅτι ὁ λόγος αὐτὸς δείχνει εἰς ὅλας τὰς περιπτώσεις τὴν δύναμίν του; Ποῖον δὲ εἶναι αὐτό; «Ἐκεῖνος ποὺ δὲν τιμᾷ τὸν Υἱόν, δὲν τιμᾷ τὸν Πατέρα»[6].

Καί, εἶναι ἀλήθεια, γνωρίζω πολλοὺς εἰς τοὺς ὁποίους εἶναι ἀκατάληπτον αὐτὸ ποὺ ἐλέχθη, δι' αὐτὸ εἰς πολλὰς περιπτώσεις ἀποφεύγομεν νὰ ἀνακινήσωμεν θέματα συλλογισμῶν, διότι οὔτε νὰ τοὺς παρακολουθήσῃ ἠμπορεῖ τὸ πολὺ πλῆθος, οὔτε καὶ ἂν τοὺς παρακολουθήσῃ θὰ ἀποκομίσῃ κάτι τὸ βέβαιον καὶ σίγουρον, ἀφοῦ «οἱ συλλογισμοὶ τῶν ἀνθρώπων εἶναι δειλοὶ καὶ αἱ ἐπίνοιαι αὐτῶν ἐπισφαλεῖς»[7]. Εὐχαρίστως δὲ θὰ ἀνέφερα εἰς ὅσους διαφωνοῦν μὲ ἡμᾶς καὶ τοῦτο, τί σημαίνει αὐτὸ ποὺ λέγει ὁ προφήτης «πρὶν ἀπὸ ἐμὲ δὲν ὑπῆρξεν ἄλλος Θεὸς καὶ μετὰ ἀπὸ ἐμὲ δὲν ὑπάρχει ἄλλος»;[8] Διότι ἐὰν ὁ Υἱὸς εἶναι νεώτερος τοῦ Πατρός, πῶς λέγει ὅτι «μετὰ ἀπὸ ἐμὲ δὲν ὑπάρχει»; Μήπως ἀπορρίπτε-

Μονογενοῦς τὴν οὐσίαν; Ἀνάγκη γὰρ ἢ τοῦτο τολμᾶν, ἢ μίαν παραδέξασθαι τὴν θεότητα ἐν ἰδίᾳ ὑποστάσει Πατρὸς καὶ Υἱοῦ. Ποῦ δὲ ὅλως τὸ «πάντα δι' αὐτοῦ ἐγένετο» ἀληθές; εἰ γάρ ἐστιν αἰὼν αὐτοῦ πρεσβύτερος, πῶς ἂν τὸ πρὸ αὐτοῦ δι' αὐτοῦ γεγενημένον εἴη;

Ὁρᾶτε εἰς ὅσην τόλμαν αὐτούς, ἅπαξ παρακινηθείσης τῆς ἀληθείας, ὁ λόγος ἐξήγαγε; διὰ τί γὰρ οὐκ εἶπεν ὁ Εὐαγγελιστής, ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, καθάπερ περὶ πάντων ὁ Παῦλος ἀποφαίνεται, λέγων οὕτως· «Ὁ καλέσας τὰ μὴ ὄντα ὡς ὄντα», ἀλλ' «ἐν ἀρχῇ ἦν» φησί; τοῦτο γὰρ ἐναντίον ἐκείνῳ. Καὶ μάλα εἰκότως· Θεὸς γὰρ οὔτε γίνεται, οὔτε ἔχει τι πρεσβύτερον, ἀλλὰ ταῦτα Ἑλλήνων ῥήματα.

Εἰπὲ δή μοι κἀκεῖνο· τὸν κτίστην τῶν ἔργων οὐχὶ ἀσυγκρίτως ὑπερέχειν εἴποις ἄν; Ὅταν οὖν αὐτοῖς ὅμοιον ᾖ τὸ ἐξ οὐκ ὄντων, ποῦ ἡ ἀσύγκριτος ὑπεροχή; Τί δέ ἐστιν ὅλως τὸ «ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα», καί, «ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός»; Εἰ γὰρ ὁ Υἱὸς μὴ εἴη τῆς αὐτῆς οὐσίας, ἕτερός ἐστι Θεός· καὶ εἰ μὴ συναΐδιος, ἔστι μετ' αὐτόν· καὶ εἰ μὴ ἐκ τῆς οὐσίας προῆλθεν, εὔδηλον ὅτι ἐγένετο. Εἰ δὲ λέγοιεν πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων ταῦτα εἰρῆσθαι, πῶς οὐ συγχωροῦσι πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων λέγειν τὸν μόνον ἀληθινὸν Θεόν;

Εἰ δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων εἴρηται τοῦτο, πῶς ἑρμηνεύσεις τὴν ῥῆσιν ἅπασαν; «Μετ' ἐμὲ» γάρ, φησίν, «οὐκ ἔσται ἄλλος Θεός». Οὐκ ἐκβάλλων τὸν Υἱὸν τοῦτό φησιν, ἀλλ' ὅτι Θεὸς εἰδωλικὸς μετ' ἐμὲ οὐκ ἔστιν· οὐχ ὅτι Υἱὸς οὐκ ἔστι· Ναί, φησί. Τί οὖν; καὶ τὸ «ἔμπρο-

9. Ρωμ. 4, 17.
10. Ἠσ. 41, 4.
11. Ἠσ. 43, 10.

τε καὶ τὴν οὐσίαν τοῦ Μονογενοῦς; Διότι κατ' ἀνάγκην ἢ θὰ ἀποτολμήσετε αὐτό, ἢ θὰ παραδεχθῆτε μίαν τὴν θεότητα μὲ ἰδιαιτέραν ὑπόστασιν Πατρὸς καὶ Υἱοῦ. Τότε πῶς ἐπαληθεύεται τὸ «ὅλα ἐδημιουργήθησαν δι' αὐτοῦ»; Διότι ἐὰν ὑπάρχῃ αἰὼν μεγαλύτερος ἀπὸ αὐτόν, πῶς συμβαίνει αὐτὸ ποὺ εἶναι πρὶν ἀπὸ αὐτὸν νὰ ἔχῃ γίνει ἀπὸ αὐτόν;

Βλέπετε εἰς ποῖον παραλογισμὸν τοὺς ὡδήγησεν ἡ λογικὴ ἅπαξ καὶ διεταράχθη ἡ ἀλήθεια; Διατί ἄλλωστε δὲν εἶπεν ὁ εὐαγγελιστὴς ὅτι ἔγινεν ἐκ τοῦ μηδενός, ὅπως ὁμιλεῖ δι' ὅλα ὁ Παῦλος λέγων τὰ ἑξῆς· «Αὐτὸς ποὺ ἔφερεν εἰς τὴν ὕπαρξιν ἐκεῖνα ποὺ δὲν ὑπῆρχαν»[9], ἀλλὰ λέγει «ὑπῆρχεν εἰς τὴν ἀρχήν», πρᾶγμα ἀντίθετον πρὸς ἐκεῖνο; Ἦτο πολὺ φυσικόν, ἀφοῦ ὁ Θεὸς οὔτε δημιουργεῖται, οὔτε ἔχει τίποτε μεγαλύτερόν του. Ἀλλὰ αὐτὰ εἶναι λόγια τῶν ἐθνικῶν.

Εἰπέ μου ὅμως καὶ τὸ ἑξῆς· δὲν νομίζεις ὅτι ὁ κτίστης ὑπερέχει ἀσυγκρίτως ἀπὸ τὰ ἔργα; Ὅταν λοιπὸν εἰς αὐτὰ εἶναι ὅμοιον τὸ «ἐκ τοῦ μηδενός», ποῦ εὑρίσκεται ἡ ἀσύγκριτος ὑπεροχή; Τί σημαίνει δὲ τὸ «ἐγὼ εἶμαι πρῶτος, ἐγὼ καὶ μετὰ ἀπὸ αὐτά»[10], καὶ τὸ «πρὶν ἀπὸ ἐμένα δὲν ὑπῆρξεν ἄλλος Θεός»;[11] Διότι ἐὰν ὁ Υἱὸς δὲν εἶναι τῆς αὐτῆς οὐσίας, εἶναι ἄλλος Θεὸς καὶ ἐὰν δὲν εἶναι συναΐδιος, ὑπάρχει μετὰ ἀπὸ αὐτόν. Ἐὰν πάλιν δὲν προῆλθεν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, εἶναι φανερὸν ὅτι ἐδημιουργήθη. Ἐὰν δὲ ἰσχυρίζωνται, ὅτι αὐτὰ ἐλέχθησαν πρὸς ἀντιδιαστολὴν ἀπὸ τὰ εἴδωλα, διατί δὲν δέχονται, πρὸς ἀντιδιαστολὴν ἀπὸ τὰ εἴδωλα, νὰ ὁμολογοῦν τὸν μόνον ἀληθινὸν Θεόν;

Ἐὰν πάλιν δεχθῶμεν ὅτι αὐτὸ ἐλέχθη πρὸς ἀντιδιαστολὴν ἀπὸ τὰ εἴδωλα, πῶς ἑρμηνεύεις ὁλόκληρον τὸ ρητόν; Διότι «μετὰ ἀπὸ ἐμένα», λέγει, «δὲν ὑπάρχει ἄλλος Θεός». Δὲν τὸ λέγει αὐτὸ διὰ νὰ ἀποκλείσῃ τὸν Υἱόν, ἀλλὰ ὅτι μετὰ ἀπὸ ἐμὲ δὲν ὑπάρχει θεὸς εἰδωλολατρικός, καὶ ὄχι ὅτι δὲν ὑπάρχει Υἱός. Ναί, λέγει. Ἀλλὰ τότε καί τό· «Πρὶν ἀπὸ ἐμένα δὲν ὑπῆρξεν ἄλλος Θεός», πρέπει νὰ τὸ ἐκλάβῃς ἔτσι.

σθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς» οὕτως ἐκλήψῃ, ὅτι εἰδωλικὸς μὲν οὐκ ἐγένετο, ἐγένετο δ' οὖν ὅμως Υἱὸς ἔμπροσθεν αὐτοῦ; Καὶ ποῖος ἂν τοῦτο δαίμων εἴποι; οὐδὲ γὰρ αὐτὸν οἶμαι τὸν διάβολον τοῦτο ἐρεῖν.

Ἄλλως δέ, εἰ οὐκ ἔστι συναΐδιος τῷ Πατρί, πῶς ἄπειρον αὐτοῦ τὴν ζωὴν ἐρεῖς; εἰ γὰρ ἀρχὴν ἄνωθεν ἔχει, κἂν ἀτελεύτητος ᾖ, ἄπειρος ὅμως οὐκ ἐστι· τὸ γὰρ ἄπειρον ἑκατέρωθεν ἄπειρον εἶναι χρή. Ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· «Μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, τό τε ἄναρχον καὶ ἀτελεύτητον δεικνὺς ταύτῃ. Ὥσπερ γὰρ τοῦτο οὐκ ἔχει πέρας, οὕτως οὐδὲ ἐκεῖνο· οὔτε γὰρ ἐνταῦθα τέλος, οὔτε ἐκεῖ ἀρχή.

3. Πῶς δέ, καὶ ἡ ζωὴ ὤν, ἦν ποτε, ὅτε οὐκ ἦν; τὴν γὰρ ζωὴν ἀεί τε εἶναι, καὶ ἀνάρχως εἶναι, καὶ ἀτελευτήτως πάντες ἂν ὁμολογήσαιεν, εἴ περ ὄντως εἴη ζωή, ὥσπερ οὖν καὶ ἔστιν. Εἰ δὲ ἔστιν, ὅτε οὐκ ἔστι, πῶς ἂν εἴη ζωὴ τῶν ἄλλων, αὐτή ποτε οὐκ οὖσα; Πῶς οὖν, φησίν, ἀρχὴν ἔθηκεν ὁ Ἰωάννης εἰπών· «Ἐν ἀρχῇ ἦν»; Τῷ «ἐν ἀρχῇ» προσέσχες καὶ τῷ «ἦν», εἰπέ μοι, καὶ τὸ «ὁ Λόγος ἦν» οὐκ ἐννοεῖς; Τί δέ, ὅταν περὶ τοῦ Πατρὸς ὁ Προφήτης λέγῃ· «Ἀπὸ τοῦ αἰῶνος», καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ»; ἆρα, ὅρους αὐτῷ τιθείς, οὕτω φησίν; Οὐδαμῶς, ἀλλὰ τὸ ἀΐδιον δηλῶν. Οὕτω τοίνυν καὶ ἐνταῦθα νόει· οὐ γάρ, ὅρους τιθείς, τοῦτο εἴρηκεν· οὐδὲ γὰρ εἶπεν· «Ἀρχὴν ἔσχεν», ἀλλ' «ἐν ἀρχῇ ἦν», διὰ τοῦ «ἦν» παραπέμπων σε ἐπὶ τὸ ἄναρχον ἐννοεῖν τὸν Υἱόν.

Ἀλλ' ἰδού, φησίν, ὁ Πατὴρ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, εἴρηται, ὁ δὲ Υἱὸς χωρὶς ταύτης. Τί οὖν, ὅταν ὁ Ἀπόστολος λέγῃ· «Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»· καὶ πάλιν, «Ὁ ὢν ἐπὶ πάντων Θεός»;

---

12. Ἑβρ. 7, 3.
13. Ψαλμ. 89, 2.
14. Τίτ. 2, 3.
15. Ρωμ. 9, 5.

ὅτι εἰδωλολατρικὸς μὲν θεὸς δὲν ὑπῆρξεν, ὑπῆρξεν ὅμως ὁ Υἱὸς πρὶν ἀπὸ αὐτόν; Ποῖος δαίμων θὰ ἠμποροῦσε νὰ τὸ ἰσχυρισθῇ αὐτό; Διότι νομίζω ὅτι οὔτε ὁ διάβολος ὁ ἴδιος δὲν τὸ λέγει αὐτό.

Ἐξ ἄλλου, ἐὰν δὲν εἶναι συναΐδιος μὲ τὸν Πατέρα, πῶς θὰ εἴπῃς τὴν ζωήν του ἄπειρον; Διότι ἐὰν ἔχῃ ἀρχὴν ἄνωθεν, καὶ ἂν ἀκόμη εἶναι ἀθάνατος, δὲν εἶναι πάντως ἄπειρος. Διότι τὸ ἄπειρον πρέπει νὰ εἶναι ἄπειρον καὶ ἀπὸ τὰς δύο πλευράς. Αὐτὸ ἄλλωστε δηλώνει καὶ ὁ Παῦλος ὅταν λέγῃ ὅτι «οὔτε ἀρχὴν ἡμερῶν, οὔτε τέλος ζωῆς ἔχει»[12], δεικνύων μὲ αὐτὰ καὶ τὸ ἄναρχον καὶ τὸ ἀτελεύτητον. Διότι, ὅπως αὐτὸ δὲν ἔχει πέρας, ἔτσι οὔτε ἐκεῖνο· οὔτε εἰς αὐτὸ ὑπάρχει τέλος, οὔτε εἰς ἐκεῖνο ἀρχή.

3. Πῶς ἐπίσης γίνεται ὥστε ἐνῷ εἶναι ζωὴ νὰ ὑπάρχῃ χρονικὸν σημεῖον κατὰ τὸ ὁποῖον νὰ μὴ ὑπῆρχε; Διότι ὅλοι παραδέχονται ἀσφαλῶς, ὅτι ἡ ζωὴ καὶ πάντοτε ὑπάρχει καὶ εἶναι χωρὶς ἀρχὴν καὶ τέλος, ἐὰν βεβαίως πράγματι εἶναι ζωή, ὅπως καὶ εἶναι. Ἐὰν δὲ ὑπάρχῃ χρονικὸν σημεῖον κατὰ τὸ ὁποῖον δὲν ὑπάρχει, πῶς θὰ εἶναι ζωὴ τῶν ἄλλων, ἀφοῦ ἡ ἰδία κάποτε δὲν ὑπῆρχε; Πῶς λοιπόν, ἰσχυρίζεται, ὁ Ἰωάννης ἔθεσεν ἀρχὴν λέγων «ἐν ἀρχῇ ἦτο»; Ἐπρόσεξες τὸ «ἐν ἀρχῇ» καὶ τὸ «ἦν», εἰπέ μου, καὶ δὲν ἐννοεῖς τὸ «ὁ Λόγος ἦν»; Τότε τί σημαίνει, ὅταν ὁ προφήτης λέγῃ περὶ τοῦ Πατρὸς «ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ ὑπάρχεις»;[13] Μήπως ὁμιλεῖ ἔτσι θέτων περιορισμοὺς εἰς αὐτόν; Ὁπωσδήποτε ὄχι· ἀλλὰ φανερώνει τὸ ἀΐδιον. Ἔτσι λοιπὸν πρέπει νὰ ἐννοήσῃς καὶ αὐτὸ ἐδῶ. Διότι δὲν τὸ εἶπε θέτων ὅρια· οὔτε ἄλλωστε εἶπεν ὅτι εἶχεν ἀρχήν, ἀλλὰ «ἐν ἀρχῇ ἦν». Μὲ τὸ «ἦν» δὲ σοῦ ὑποδεικνύει ὅτι πρέπει νὰ ἐννοήσῃς τὸν Υἱὸν ἄναρχον.

Ἀλλὰ νά, λέγει, ὁ Πατὴρ ἀναφέρεται μὲ τὴν προσθήκην τοῦ ἄρθρου, ἐνῷ ὁ Υἱὸς χωρὶς αὐτήν. Τί σημαίνει λοιπὸν ὅταν ὁ Ἀπόστολος λέγῃ «τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[14], καὶ «ὁ ὢν ἐπὶ πάντων Θεός»;[15]

ἰδοὺ γὰρ ἐνταῦθα χωρὶς τοῦ ἄρθρου τοῦ Υἱοῦ ἐμνημόνευσε. Ποιεῖ δὲ τοῦτο καὶ ἐπὶ τοῦ Πατρός. Τοῖς γοῦν Φιλιππησίοις ἐπιστέλλων, οὕτω φησίν· «Ὅς, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»· καὶ Ρωμαίοις δὲ πάλιν· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ».

Ἄλλως τε καὶ περιττὸν ἦν ἐνταῦθα αὐτὸ προστεθῆναι, ἄνω συνεχῶς προστεθὲν τῷ λόγῳ· ὥσπερ γὰρ περὶ τοῦ Πατρὸς λέγων, φησί· «Πνεῦμα ὁ Θεός», καὶ οὐκ ἐπειδὴ τῷ Πνεύματι τὸ ἄρθρον οὐ πρόσκειται, οὐκ ἀθετοῦμεν διὰ τοῦτο τὸ ἀσώματον τοῦ Θεοῦ, οὕτω καὶ ἐνταῦθα καὶ μὴ πρόσκειται τῷ Υἱῷ τὸ ἄρθρον, οὐ διὰ τοῦτο ἥττων Θεὸς ὁ Υἱός.

Τί δήποτε; Θεὸν γὰρ καὶ Θεὸν εἰπών, οὐκ ἐμφαίνει τι μέσον ἡμῖν τῆς θεότητος ταύτης, ἀλλὰ καὶ τοὐναντίον· προειπὼν γάρ· «Καὶ Θεὸς ἦν ὁ Λόγος», ἵνα μὴ νομίσῃ τις ἐλάττονα εἶναι τὴν θεότητα τοῦ Υἱοῦ, εὐθέως αὐτοῦ καὶ τὰ γνωριστικὰ τῆς γνησίας τίθησι θεότητος, τό τε ἀΐδιον ἀναλαβών. «Οὗτος γὰρ ἦν», φησίν, «ἐν ἀρχῇ πρὸς τὸν Θεόν»· καὶ τὸ δημιουργικὸν προστιθείς· «Πάντα γὰρ δι᾿ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν»· ὃ μάλιστα καὶ ὁ Πατὴρ αὐτοῦ διὰ τῶν προφητῶν ἁπανταχοῦ τῆς οὐσίας τῆς αὐτοῦ γνωριστικὸν εἶναί φησι. Καὶ συνεχῶς τοῦτο τῆς ἀποδείξεως τὸ εἶδος περιστρέφουσιν οἱ προφῆται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ πρὸς τὴν τῶν εἰδώλων ἀγωνιζόμενοι δόξαν· «Θεοὶ» γάρ, φησίν, «οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν»· καὶ πάλιν· «Ἐγὼ τῇ χειρί μου ἐξέτεινα τὸν οὐρανόν»· καί, δεικνὺς θεότητος εἶναι δηλωτικόν, πανταχοῦ αὐτὸ τίθησιν·

Αὐτὸς δὲ ὁ Εὐαγγελιστὴς οὐδὲ τούτοις ἠρκέσθη τοῖς ῥή-

16. Φιλ. 2, 6.
17. Ρωμ. 1, 7.
18. Ἰω. 4, 24.
19. Ἰερ. 10, 11.

ὅπου ἀναφέρει τὸν Υἱὸν χωρὶς ἄρθρον; Αὐτὸ τὸ κάμνει καὶ εἰς τὸν Πατέρα. Γράφων λοιπὸν πρὸς τοὺς Φιλιππησίους ὁμιλεῖ ὡς ἑξῆς· «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»[16], καὶ πρὸς τοὺς Ρωμαίους ἐπίσης· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ»[17].

Ἄλλωστε ἦτο καὶ περιττὸν νὰ προστεθῇ αὐτὸ ἐδῶ, ἀφοῦ εἶχε τεθῇ κατ' ἐπανάληψιν πιὸ ἐπάνω εἰς τὸν λόγον. Διότι, ὅπως ὅταν ὁμιλῇ περὶ τοῦ Πατρὸς καὶ λέγει «Πνεῦμα ὁ Θεός»[18], δὲν ἀρνούμεθα τὸ ἀσώματον τοῦ Θεοῦ ἐπειδὴ δὲν προστίθεται εἰς τὸ Πνεῦμα τὸ ἄρθρον, ἔτσι καὶ ἐδῶ, ἔστω καὶ ἂν δὲν προστίθεται εἰς τὸν Υἱὸν τὸ ἄρθρον, δὲν εἶναι ἕνεκα τούτου κατώτερος Θεὸς ὁ Υἱός.

Ποίαν σημασίαν ἔχει αὐτὸ ἐπὶ τέλους; Διότι ἀναφέρων Θεὸν καὶ Θεὸν δὲν μᾶς φανερώνει καμμίαν διαφορὰν εἰς τὴν θεότητα αὐτήν, ἀντιθέτως μάλιστα· ἐπειδὴ εἶπε προηγουμένως «καὶ Θεὸς ἦτο ὁ Λόγος», διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ἡ θεότης τοῦ Υἱοῦ εἶναι κατωτέρα, ἀναφέρει ἀμέσως καὶ τὰ χαρακτηριστικὰ τῆς γνησίας θεότητος, συμπεριλαμβάνων καὶ τὸ ἀίδιον, διότι λέγει· «Αὐτὸς ἦτο εἰς τὴν ἀρχὴν κοντὰ εἰς τὸν Θεόν», προσθέτων καὶ τὸ δημιουργικόν· διότι «ὅλα ἐδημιουργήθησαν δι' αὐτοῦ καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε ἀπὸ ὅσα ἔχουν γίνει». Αὐτὸ ἄλλωστε καὶ ὁ Πατὴρ του παντοῦ εἰς τοὺς προφήτας λέγει ὅτι ἀποτελεῖ χαρακτηριστικὸν τῆς οὐσίας του. Οἱ προφῆται μάλιστα ἐπανέρχονται συνεχῶς εἰς αὐτὸ τὸ εἶδος τῆς ἀποδείξεως. Καὶ ὄχι ἔτσι ἁπλῶς, ἀλλὰ ὅταν πολεμοῦν τὴν τιμὴν τῶν εἰδώλων. Διότι λέγει· «Θεοὶ οἱ ὁποῖοι δὲν ἐδημιούργησαν τὸν οὐρανὸν καὶ τὴν γῆν πρέπει νὰ καταστραφοῦν»[19], καὶ «Ἐγὼ μὲ τὸ χέρι μου ἅπλωσα τὸν οὐρανόν»[20]. Τὸ ἀναφέρει δὲ παντοῦ αὐτὸ διὰ νὰ δείξῃ ὅτι εἶναι δηλωτικὸν τῆς θεότητος.

Ὁ εὐαγγελιστὴς αὐτὸς μάλιστα δὲν ἠρκέσθη εἰς αὐτὰ

20. Ἠσ. 44, 24.

μασιν, ἀλλὰ καὶ ζωὴν αὐτὸν ἐκάλεσε καὶ φῶς. Εἰ τοίνυν ἀεὶ μετὰ τοῦ Πατρὸς ἦν, εἰ πάντα αὐτὸς ἐδημιούργησε, εἰ πάντα αὐτὸς παρήγαγε καὶ συγκροτεῖ (τοῦτο γὰρ διὰ τῆς ζωῆς ἠνίξατο), εἰ πάντα φωτίζει, τίς οὕτως ἀνόητος, ὡς εἰπεῖν τὸν Εὐαγγελιστὴν διὰ τούτων ἐσπουδακέναι ἐλάττωσιν θεότητος εἰσηγήσασθαι, δι' ὧν μάλιστα ἰσότητα καὶ ἀπαραλλαξίαν ἐνδείξασθαι δυνατόν ἐστι; Μὴ δὴ συγχέωμεν τὴν κτίσιν μετὰ τοῦ κτίσαντος, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι «Ἐσεβάσθησαν τῇ κτίσει παρὰ τὸν κτίσαντα». Εἰ γὰρ καὶ περὶ οὐρανῶν λέγοιεν τοῦτο εἰρῆσθαι, ἀλλ' ὅμως ἐν τῷ περὶ τούτων λόγῳ παντελῶς ἀπεῖπε τὸ μὴ δεῖν κτίσει λατρεύειν, ὡς Ἑλληνικὸν ὄν.

4. Μὴ τοίνυν ταύτῃ ὑποβάλωμεν αὐτοὺς τῇ ἀρᾷ. Διὰ τοῦτο ἦλθεν ὁ τοῦ Θεοῦ Υἱός, ἵνα ταύτης ἡμᾶς ἀπαλλάξῃ τῆς λατρείας· διὰ τοῦτο δούλου μορφὴν ἔλαβεν, ἵνα τῆς δουλείας ἐλευθερώσῃ ταύτης· διὰ τοῦτο ἐνεπτύσθη, διὰ τοῦτο ἐρραπίσθη, διὰ τοῦτο θάνατον ὑπέμεινε τὸν ἐπονείδιστον. Μὴ δὴ ταῦτα πάντα ἀνόνητα ποιῶμεν, μηδὲ πάλιν ἐπὶ τὴν προτέραν ἐπανερχώμεθα ἀσέβειαν, μᾶλλον δὲ ἐπὶ πολλῷ χαλεπωτέραν· οὐ γάρ ἐστιν ἴσον τῇ κτίσει λατρεύειν, καὶ αὐτὸν τὸν Δημιουργὸν εἰς κτίσεως κατάγειν εὐτέλειαν, τό γε εἰς ἡμᾶς ἧκον· αὐτὸς γὰρ μένει τοιοῦτος ὤν, οἷός ἐστι· «Σὺ γὰρ ὁ αὐτὸς εἶ», φησί, «καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι».

Δοξάζωμεν οὖν αὐτόν, ὥσπερ παρελάβομεν παρὰ τῶν πατέρων· δοξάζωμεν αὐτὸν καὶ διὰ πίστεως καὶ δι' ἔργων· οὐδὲν γὰρ ὄφελος ἡμῖν εἰς σωτηρίαν δογμάτων ὑγιῶν, διεφθαρμένης ἡμῖν τῆς ζωῆς. Διὸ ρυθμίσωμεν αὐτὴν πρὸς τὸ τῷ Θεῷ δοκοῦν, αἰσχρότητος ἁπάσης, ἀδικίας, πλεονεξίας πόρρω καθιστῶντες ἑαυτούς, ὡς ξένοι καὶ παρεπίδημοι, καὶ

21. Ρωμ. 1, 25.
22. Ψαλμ. 81, 28.

μόνον τὰ λόγια, ἀλλὰ τὸν ὠνόμασε καὶ ζωὴν καὶ φῶς. Ἐὰν λοιπὸν ἦτο πάντοτε μαζὶ μὲ τὸν Πατέρα, ἐὰν ὅλα τὰ ἐδημιούργησεν αὐτός, ἐὰν ὅλα αὐτὸς τὰ παρήγαγε καὶ τὰ συνθέτῃ (διότι αὐτὸ ὑπαινίσσεται μὲ τὴν ζωήν), ἐὰν ὅλα τὰ φωτίζῃ, ποῖος εἶναι τόσον ἀνόητος ὥστε νὰ ἰσχυρισθῇ ὅτι μὲ ὅλα αὐτὰ ὁ εὐαγγελιστὴς ἐπεχείρησε νὰ εἰσηγηθῇ μείωσιν τῆς θεότητος, ἐνῷ ἀντιθέτως μὲ αὐτὰ εἶναι δυνατὸν νὰ ἀποδείξῃ ὅτι εἶναι ἴσος καὶ ἀπαράλλακτος; Ἂς μὴ συγχέωμεν λοιπὸν τὴν κτίσιν μὲ τὸν κτίστην, διὰ νὰ μὴ ἀκούσωμεν καὶ ἡμεῖς ὅτι «ἀπέδωσαν σεβασμὸν εἰς τὴν κτίσιν καὶ ὄχι εἰς τὸν κτίστην»[21]. Διότι μολονότι αὐτὸ ἐλέχθη περὶ τῶν οὐρανῶν, ἐν τούτοις εἰς τὸν περὶ αὐτῶν λόγον τὸ ἀπηγόρευσε τελείως, τὸ ὅτι δηλαδὴ δὲν πρέπει νὰ λατρεύωμεν τὴν κτίσιν, ἐπειδὴ εἶναι εἰδωλολατρικόν.

4. Ἂς μὴ θέσωμεν τοὺς ἑαυτούς μας λοιπὸν κάτω ἀπὸ αὐτὴν τὴν κατάραν. Δι' αὐτὸ ἦλθεν ὁ Υἱὸς τοῦ Θεοῦ, διὰ νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ αὐτὴν τὴν λατρείαν. Δι' αὐτὸ προσέλαβε μορφὴν δούλου, διὰ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ αὐτὴν τὴν δουλείαν. Δι' αὐτὸ ὑπέστη ἐμπτυσμούς, δι' αὐτὸ ἐρραπίσθη, δι' αὐτὸ ὑπέμεινε τὸν ἐπονείδιστον θάνατον. Ἂς μὴ κάνωμεν ὅλα αὐτὰ ἀνωφελῆ, ἂς μὴ ἐπανερχώμεθα πάλιν εἰς τὴν προηγουμένην ἀσέβειαν, ἢ μᾶλλον εἰς πολὺ χειροτέραν. Διότι δὲν εἶναι ἴσον τὸ νὰ λατρεύωμεν τὴν κτίσιν καὶ τὸ νὰ ὑποβιβάζωμεν τὸν Δημιουργὸν εἰς τὴν εὐτέλειαν τῆς κτίσεως, ὅσον βέβαια ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Διότι αὐτὸς μένει ἀμετάβλητος ὅπως εἶναι. «Σύ», λέγει, «εἶσαι ἴδιος καὶ τὰ ἔτη σου δὲν θὰ ἐκλείψουν»[22].

Ἂς τὸν δοξάζωμεν λοιπὸν ὅπως ἐδιδάχθημεν ἀπὸ τοὺς πατέρας. Ἂς τὸν δοξάζωμεν καὶ μὲ τὴν πίστιν καὶ μὲ τὰ ἔργα. Διότι δὲν μᾶς ὀφελοῦν καθόλου εἰς τὴν σωτηρίαν τὰ ὑγιῆ δόγματα, ὅταν ἔχωμεν διεφθαρμένην ζωήν. Δι' αὐτὸ ἂς τὴν ρυθμίσωμεν ὅπως ἀρέσει εἰς τὸν Θεόν, ἀπομακρύνοντες τοὺς ἑαυτούς μας ἀπὸ κάθε αἰσχρότητα, ἀδικία καὶ πλεονεξία, ὡς ξένοι ποὺ εἴμεθα καὶ παρεπίδημοι καὶ ἄσχετοι μὲ τὰ

τῶν ἐνταῦθα ἀλλότριοι. Κἂν χρήματά τις ἔχῃ πολλὰ καὶ κτήματα, οὕτως αὐτοῖς κεχρήσθω, ὡς πάροικος καὶ μικρὸν ὕστερον αὐτῶν ἀποστησόμενος καὶ ἑκὼν καὶ ἄκων.

Κἂν ἠδικημένος τις ᾖ παρά τινος, μὴ ἀθάνατα ὀργιζέσθω, μᾶλλον δὲ μηδὲ πρόσκαιρα· μιᾶς γὰρ ἡμῖν πλέον οὐκ ἔδωκεν ὁ Ἀπόστολος ἡμέρας τῇ ὀργῇ καταχρήσασθαι· «Ὁ ἥλιος», γάρ, φησί, «μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». Καὶ εἰκότως· ἀγαπητὸν γὰρ καὶ ἐν οὕτω βραχεῖ καιρῷ μηδὲν γενέσθαι ἀηδές. Εἰ δὲ καὶ ἡ νὺξ καταλάβοι, δεινότερα γίνεται τὰ γεγενημένα, μυρίου πυρὸς ἀπὸ τῆς μνήμης ἡμῖν συλλεγομένου, καὶ κατὰ σχολὴν πικρότερον ἡμῶν ἐξεταζόντων αὐτά.

Πρὶν οὖν τῆς ὀλεθρίας ταύτης ἐπιλαβέσθαι σχολῆς, καὶ σφοδροτέραν ἀνάψαι τὴν πυράν, κελεύει προκαταλαμβάνειν καὶ σβεννύναι τὸ δεινόν· ὀξὺ γὰρ τὸ πάθος ἐστὶ τῆς ὀργῆς, καὶ φλογὸς ἁπάσης ὀξύτερον. Διὸ πολλοῦ δεῖ τοῦ τάχους ἡμῖν εἰς τὸ προκαταλαβεῖν τὴν φλόγα, καὶ μὴ συγχωρῆσαι πρὸς ὕψος ἀρθῆναι· καὶ γὰρ πολλῶν οὕτως αἴτιον γίνεται κακῶν τὸ νόσημα τοῦτο. Οἰκίας γοῦν ὁλοκλήρους ἀνέτρεψε, καὶ συνηθείας ἀρχαίας διέλυσε, καὶ τραγῳδίας ἀπαραμυθήτους εἰργάσατο ἐν βραχεῖ καὶ ἀκαριαίῳ χρόνῳ· «Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ», φησί.

Μὴ τοίνυν ἀχαλίνωτον ἐῶμεν τὸ θηρίον, ἀλλὰ κημὸν αὐτῷ πάντοθεν σφοδρόν, τοῦ δικαστηρίου τοῦ μέλλοντος τὸν φόβον, ἐμβάλλωμεν. Ὅταν σε λυπήσῃ φίλος, ἢ καὶ παροξύνῃ τις τῶν οἰκείων, ἐννόησον τὰ ἡμαρτημένα σοι εἰς Θεόν, καὶ ὅτι τῇ πρὸς ἐκεῖνον ἐπιεικείᾳ πρᾳότερον σαυτῷ καθιστᾷς τὸ δικαστήριον ἐκεῖνο, («ἄφετε», γάρ, φησί, «καὶ ἀφεθήσεται ὑμῖν»), καὶ ταχέως δραπετεύσει τὸ πάθος. Πρὸς τούτοις κἀκεῖνο σκόπησον, εἴ ποτε, εἰς ἀγριότητα ἐξενεχθείς,

---

23. Ἐφ. 4, 26.
24. Σοφ. Σειρ. 1, 22.
25. Λουκᾶ 6, 37.

ὅσα ὑπάρχουν ἐδῶ. Καὶ ἂν κανεὶς ἔχῃ χρήματα πολλὰ καὶ κτήματα, ἂς τὰ χρησιμοποιῇ ἔτσι, ὡσὰν νὰ εἶναι προσωρινὸς καὶ πρόκειται ὕστερα ἀπὸ ὀλίγον νὰ τὰ ἀποχωρισθῇ εἴτε τὸ θέλει εἴτε ὄχι.

Καὶ ἂν κανεὶς εἶναι ἀδικημένος ἀπὸ κάποιον, ἂς μὴ ὀργίζεται ἀμετάκλητα, ἢ μᾶλλον οὔτε πρόσκαιρα. Διότι ὁ Ἀπόστολος δὲν μᾶς ἐπιτρέπει νὰ κάνωμεν κατάχρησιν τῆς ὀργῆς περισσότερον ἀπὸ μίαν ἡμέραν. «Ὁ ἥλιος», λέγει, «νὰ μὴ δύῃ εἰς τὴν ὀργήν σας»[23]. Καὶ πολὺ ὀρθῶς· διότι εἶναι καλὸν καὶ εἰς τὸ βραχὺ αὐτὸ διάστημα νὰ μὴ γίνῃ τίποτε τὸ δυσάρεστον. Ἐνῷ ἐὰν μᾶς προλάβῃ ἡ νύκτα, γίνονται χειρότερα τὰ ὅσα συνέβησαν, διότι εἰς τὴν μνήμην μας συγκεντρώνεται πλῆθος φωτιᾶς καὶ κατὰ τὴν διάρκειαν τῆς σχόλης μας τὰ ἐξετάζομεν πιὸ σκληρά.

Πρὶν λοιπὸν νὰ φθάσωμεν εἰς τὴν ὀλεθρίαν αὐτὴν σχόλην καὶ ἀνάψῃ πιὸ ἰσχυρὰ ἡ φωτιὰ μᾶς παραγγέλλει νὰ προλαμβάνωμεν καὶ νὰ σβήνωμεν τὸ κακόν. Διότι τὸ πάθος τῆς ὀργῆς εἶναι ἔντονον καὶ πιὸ διαπεραστικὸν ἀπὸ τὴν φωτιάν. Δι' αὐτὸ μᾶς χρειάζεται μεγάλη ταχύτης, ὥστε νὰ προλάβωμεν τὴν φλόγα καὶ νὰ μὴ τὴν ἀφήσωμεν νὰ φουντώσῃ. Διότι ἔτσι τὸ πάθος αὐτὸ γίνεται αἴτιον πολλῶν κακῶν. Καὶ ὁλοκλήρους οἰκίας κατέστρεψε, καὶ παλαιὰς συνηθείας κατήργησε καὶ ἀπαρηγορήτους τραγωδίας ἐπροκάλεσε μέσα εἰς σύντομον καὶ ἐλάχιστον χρονικὸν διάστημα. Διότι «τὸ πάθος τοῦ θυμοῦ του εἶναι ἡ καταστροφή του», λέγει[24].

Ἂς μὴ ἀφήνωμεν λοιπὸν τὸ θηρίον ἀχαλίνωτον, ἀλλὰ ἂς τοῦ φορέσωμεν φίμωτρον δυνατὸν ἀπὸ παντοῦ, τὸν φόβον τοῦ μελλοντικοῦ δικαστηρίου. Ὅταν σὲ λυπήσῃ ἕνας φίλος, ἢ σὲ ἐξοργίσῃ κάποιος ἀπὸ τοὺς συγγενεῖς, σκέψου τὰς ἁμαρτίας ποὺ ἔκαμες εἰς τὸν Θεὸν καὶ ὅτι μὲ τὴν ἐπιείκειάν σου πρὸς ἐκεῖνον κάμνεις τὸ δικαστήριον ἐκεῖνο πιὸ ἐπιεικὲς ἐναντίον σου, ἀφοῦ λέγει· «Συγχωρήσετε καὶ θὰ συγχωρηθῆτε»[25], καὶ ἀμέσως θὰ φύγῃ τὸ πάθος. Ἐπὶ πλέον σκέψου καὶ τοῦτο, ἐὰν ποτὲ ἐξηγριώθης καὶ συνεκράτησες τὸν ἑαυ-

ἐκράτησας σαυτοῦ καὶ εἴ ποτε παρεσύρης ὑπὸ τοῦ πάθους, καὶ ἀμφοτέρους παράβαλε τοὺς καιρούς, καὶ ἐντεῦθεν πολλὴν λήψῃ διόρθωσιν.

Εἰπὲ γάρ μοι· «Πότε σαυτὸν ἐπήνεσας, ἡνίκα ἡττήθης, ἢ ὅτε ἐκράτησας; Οὐχὶ τότε σφοδρῶς μὲν ἐγκαλοῦμεν ἑαυτοῖς καὶ αἰσχυνόμεθα, καὶ μηδενὸς ἐλέγχοντος ἡμᾶς, καὶ πολὺ τὸ τῆς μετανοίας ἡμῖν ἐπεισέρχεται καὶ ῥημάτων ἕνεκεν καὶ πραγμάτων; ὅταν δὲ περιγενώμεθα, καὶ τρυφῶμεν καὶ γαυρούμεθα, ὡς νενικηκότες; Νίκη γὰρ ἐπὶ τῆς ὀργῆς οὐ τὸ τοῖς ἴσοις ἀμύνασθαι, (ἐσχάτη γὰρ αὕτη ἧττά ἐστιν) ἀλλὰ τὸ πράως ἐνεγκεῖν, παθόντα κακῶς καὶ ἀκούσαντα· τοῦτο γάρ ἐστι τὸ πλέον σχεῖν, οὐ τὸ ποιῆσαι, ἀλλὰ τὸ παθεῖν κακῶς.

Μὴ τοίνυν λέγε ὀργιζόμενος· Πάντως ἀνταναιρῶ κἀγώ, πάντως ἐπεξελεύσομαι, μηδὲ πρὸς τοὺς παραιτοῦντας νικᾶν ἀντέτεινε, λέγων· Οὐκ ἀνέξομαι, ἵνα μου καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. Οὐ γὰρ δή ποτέ σου καταγελάσεται, ἀλλ' ὅταν ἐπεξέλθῃς· εἰ δὲ καὶ τότε καταγελάσεται, ὡς ἀνόητος τοῦτο πείσεται. Σὺ δὲ μὴ ζήτει νικῶν τὴν παρὰ τῶν ἀνοήτων δόξαν, ἀλλ' ἀποχρῶσαν νόμιζε αὐτὴν ἔχειν παρὰ τῶν νοῦν ἐχόντων.

Ἀλλὰ γὰρ τί σοι μικρὸν καὶ ταπεινὸν καθίζω θέατρον, ἐξ ἀνθρώπων αὐτὸ συντιθείς; Πρὸς τὸν Θεὸν εὐθέως ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσεται. Τὸν δὲ παρ' ἐκείνου θαυμαζόμενον οὐ δεῖ παρὰ τῶν ἀνθρώπων τιμὴν ἐπιζητεῖν· Ἡ μὲν γὰρ καὶ πρὸς χάριν πολλάκις καὶ πρὸς ἀπέχθειαν ἑτέρων γίνεται, καὶ κέρδος ἤνεγκεν οὐδέν, ἡ δὲ παρὰ τοῦ Θεοῦ ψῆφος ταύτης ἀπήλλακται τῆς ἀνωμαλίας, καὶ πολλὴν φέρει τῷ θαυμαζομένῳ τὴν ὠφέλειαν. Τοῦον οὖν τὸν ἔπαινον διώκωμεν.

5. Βούλει μαθεῖν πόσον τὸ ὀργίζεσθαι κακόν; Παράστηθι μαχομένοις ἐν ἀγορᾷ ἑτέροις. Ἐν γὰρ σαυτῷ τὴν ἀ-

τόν σου, καὶ ἐὰν ἄλλοτε παρεσύρθης ἀπὸ τὸ πάθος· σύγκρινε καὶ τὰς δύο περιπτώσεις καὶ θὰ διορθωθῇς πολὺ ἀπὸ αὐτό.

Διότι εἰπέ μου· πότε ἐπῄνεσες τὸν ἑαυτόν σου, ὅταν ἡττήθης, ἢ ὅταν ἐνίκησες; Δὲν κατηγοροῦμεν πολὺ τοὺς ἑαυτούς μας καὶ δὲν ἐντρεπόμεθα καὶ χωρὶς νὰ μᾶς ἐλέγχῃ κανείς, καὶ μετανοοῦμεν σκληρὰ καὶ διὰ τὰ λόγια μας καὶ διὰ τὰ ἔργα μας; Ἐνῷ ὅταν ἐπιβαλλώμεθα, καὶ ἐπαιρόμεθα καὶ καυχησιολογοῦμεν ὡς νικηταί; Διότι νίκη εἰς περίπτωσιν ὀργῆς δὲν εἶναι τὸ νὰ ἀμυνθῇς ἀνταποδίδων τὰ ἴσα (αὐτὸ εἶναι ἡ πιὸ μεγάλη ἧττα), ἀλλὰ τὸ νὰ ὑπομείνῃς μὲ πραότητα ὅσα κακὰ ἔπαθες καὶ ἤκουσες. Διότι αὐτὸ σημαίνει νὰ ὑπερέχῃς, ὄχι τὸ νὰ κάμῃς, ἀλλὰ τὸ νὰ ὑποστῇς κακά.

Μὴ λέγῃς λοιπὸν ὅταν ὀργίζεσαι θὰ τὸν ἐκδικηθῶ καὶ ἐγὼ ὁπωσδήποτε, θὰ τὸν τιμωρήσω δίχως ἄλλο. Οὔτε πρὸς ἐκείνους ποὺ σὲ προτρέπουν νὰ νικήσῃς νὰ ἀνταπαντᾷς λέγων· δὲν θὰ ἀνεχθῶ νὰ φύγῃ ὁ τάδε ἀφοῦ μὲ περιγελάσῃ. Διότι δὲν θὰ σὲ περιγελάσῃ ποτὲ παρὰ μόνον ὅταν τοῦ ἀνταποδώσῃς τὰ ἴσα. Ἐὰν δὲ καὶ τότε σὲ περιγελάσῃ, θὰ τὸ κάμῃ αὐτὸ ὡς ἀνόητος. Σὺ δὲ νὰ μὴ ἐπιζητῇς μὲ τὴν νίκην τὴν δόξαν ἐκ μέρους τῶν ἀνοήτων, ἀλλὰ νὰ θεωρῇς ἀπαραίτητον νὰ τὴν ἀποσπᾷς ἐκ μέρους τῶν νουνεχῶν.

Ἀλλὰ μήπως σὲ τοποθετῶ εἰς μικρὸν καὶ ἀσήμαντον θέατρον, ἐπειδὴ τὸ συνθέτω ἀπὸ ἀνθρώπους; Στρέψε ἀμέσως τὸ βλέμμα σου πρὸς τὸν Θεὸν καὶ θὰ σὲ ἐπαινέσῃ ἐκεῖνος. Ὅποιος δὲ θαυμάζεται ἀπὸ ἐκεῖνον, δὲν πρέπει νὰ ἐπιζητῇ δόξαν ἀπὸ τοὺς ἀνθρώπους. Διότι αὐτὴ μὲν πολλὰς φορὰς γίνεται πρὸς χάριν ἄλλων ἢ καὶ πρὸς ἀποστροφήν, καὶ δὲν φέρει κανένα κέρδος. Ἐνῷ ἡ ἀπόφασις τοῦ Θεοῦ εἶναι ἀπηλλαγμένη ἀπὸ αὐτὴν τὴν ἀνωμαλίαν καὶ ἀποφέρει μεγάλην ὠφέλειαν εἰς ἐκεῖνον ὁ ὁποῖος θαυμάζεται. Αὐτὸν λοιπὸν τὸν ἔπαινον ἂς ἐπιδιώκωμεν.

5. Θέλεις νὰ μάθῃς πόσον κακὸν πρᾶγμα εἶναι ἡ ὀργή; Νὰ παραστῇς εἰς τὴν ἀγορὰν ὅταν φιλονεικοῦν ἄλλοι. Διότι εἰς τὸν ἑαυτόν σου δὲν θὰ ἠμπορέσῃς εὔκολα νὰ ἴδῃς τὴν

σχημοσύνην οὐ δυνήσῃ ῥᾳδίως ἰδεῖν, ἐσκοτωμένῳ καὶ μεθύοντι τῷ λογισμῷ, ἀλλά, ὅταν καθαρεύσῃς τοῦ πάθους, τότε ἐν ἄλλοις θεώρει τὰ σά, τῆς κρίσεώς σοι μὴ διεφθαρμένης. Θέα δέ μοι τοὺς περιρρέοντας ὄχλους τοὺς θυμουμένους, καθάπερ μαινομένους εἰς τὸ μέσον ἀσχημονοῦντας.

Ὅταν γὰρ περὶ τὸ στῆθος ὁ θυμὸς ζέσας διανιστῆται καὶ ἀγριαίνῃ, πῦρ πνέει τὸ στόμα, πῦρ ἀφιᾶσιν οἱ ὀφθαλμοί, οἰδεῖ πάντοθεν ἡ ὄψις, ἀτάκτως αἱ χεῖρες ἐκτείνονται, καταγελάστως πηδῶσιν οἱ πόδες, καὶ ἐνάλλονται τοῖς κατέχουσι, καὶ μαινομένων οὐδὲν διεστήκασι, πρὸς ταῦτα πάντα ἀναισθητοῦντες, ἀλλ' οὐδὲ τῶν ἀγρίων ὄνων, λακτίζοντες, δάκνοντες. Ὄντως ἀνὴρ θυμώδης οὐκ εὐσχήμων.

Εἶτα, μετὰ τὸν πολὺν γέλωτα τοῦτον, ἀναχωρήσαντες οἴκαδε, καὶ πρὸς ἑαυτοὺς ἐπανελθόντες, μείζονα ἔχουσι τὴν ὀδύνην καὶ πολὺ τὸ δέος, ἐννοοῦντες ἄρα τίνες οἱ παρόντες ἦσαν, ἡνίκα ὠργίζοντο. Καθάπερ γὰρ οἱ παραπαίοντες τοὺς παρόντας ἀγνοοῦντες, ὅταν σωφρονήσωσι, τότε ταῦτα λογίζονται· «Ἆρα μὴ φίλοι, ἆρα μὴ πολέμιοι καὶ ἐχθροὶ οἱ θεασάμενοι; καὶ γὰρ ὁμοίως ὑπὲρ ἀμφοτέρων δεδοίκασι· τῶν μέν, ὡς καταγνωσομένων καὶ μείζονα ποιησόντων τὴν αἰσχύνην, τῶν δέ, ὡς ἐφησθησομένων. Ἂν δὲ καὶ πληγὰς τείναντες τύχωσιν ἀλλήλοις, χαλεπώτερον τὸ δέος, οἷον μή τι τῶν χαλεπωτάτων συμβαίη περὶ τὸν παθόντα, ἢ πυρετὸς ἀκολουθήσας ἐπενέγκοι θάνατον, ἢ οἴδημα ἀναστὰν δυσίατον εἰς τὸν περὶ τῶν ἐσχάτων καταστήσῃ κίνδυνον.

Καὶ τί γάρ μοι μάχης ἔδει; τί δὲ ὕβρεων καὶ φιλονεικίας; ἀπόλοιτο τὰ καὶ τά. Καὶ πᾶσι καταρρῶνται τοῖς πράγμασι λοιπὸν τοῖς ἐπικήροις τούτοις, καὶ παρασχοῦσιν αὐτοῖς τὴν ἀρχήν. Οἱ δὲ ἀλογώτεροι καὶ δαίμονας πονηροὺς καὶ ὥραν αἰτιῶνται κακὴν τῶν γεγενημένων. Ἀλλ' οὐκ ἔστιν

ἀπρέπειαν, ἀφοῦ τὸ λογικόν σου θὰ εἶναι τυφλωμένον καὶ μεθυσμένον. Ἐνῷ, ὅταν εἶσαι καθαρὸς ἀπὸ τὸ πάθος, τότε βλέπεις εἰς τοὺς ἄλλους τὰ ἰδικά σου, χωρὶς ἡ κρίσις σου νὰ εἶναι ἐπηρεασμένη. Κάνε μου δὲ τὴν χάριν νὰ ἰδῇς τὰ πλήθη ποὺ μαζεύονται τριγύρω καὶ τοὺς ὠργισμένους νὰ ἀσχημονοῦν εἰς τὸ μέσον, ὡσὰν νὰ εἶναι μαινόμενοι.

Διότι ὅταν ὁ θυμὸς βράζων εἰς τὸ στῆθος ἀναπηδᾷ καὶ ἐξαγριώνεται, τότε τὸ στόμα βγάζει φωτιάν, οἱ ὀφθαλμοὶ πετοῦν φλόγας, φουσκώνει παντοῦ τὸ πρόσωπον, τὰ χέρια ἁπλώνονται ἀτάκτως, τὰ πόδια πηδοῦν κατὰ τρόπον καταγέλαστον καὶ τινάσσονται εἰς τοὺς κατόχους των καὶ δὲν διαφέρουν καθόλου ἀπὸ τοὺς μαινομένους, μὴ αἰσθανόμενοι ὅλα αὐτά, ἀλλὰ καὶ ἀπὸ τοὺς ἀγρίους ὄνους, ἀφοῦ λακτίζουν καὶ δαγκώνουν. Πράγματι ὁ θυμωμένος ἄνδρας δὲν εἶναι εὐπρεπής.

Ἔπειτα, μετὰ τὴν τόσην γελιοποίησιν, ἀφοῦ μεταβοῦν εἰς τὰς οἰκίας των καὶ συνέλθουν, αἰσθάνονται μεγαλύτερον πόνον καὶ πολὺν φόβον, σκεπτόμενοι ποῖοι τάχα νὰ ἦσαν οἱ παρόντες κατὰ τὴν ἐκδήλωσιν τῆς ὀργῆς των. Διότι ὅπως οἱ παραφρονοῦντες οἱ ὁποῖοι ἀγνοοῦν ποῖοι εἶναι παρόντες, ὅταν συνέλθουν τότε σκέπτονται αὐτά. Μήπως ἆρά γε ἦσαν φίλοι, μήπως ἆρά γε ἦσαν ἐχθροὶ καὶ πολέμιοι αὐτοὶ ποὺ μὲ εἶδαν; Διότι ἐξ ἴσου φοβοῦνται καὶ τοὺς δύο· αὐτοὺς μέν, ἐπειδὴ θὰ τοὺς περιφρονήσουν καὶ θὰ κάμουν μεγαλυτέραν τὴν ἐντροπήν των, τοὺς ἄλλους δέ, ἐπειδὴ θὰ χαιρεκακήσουν. Ἐὰν δὲ συμβῇ νὰ ἔχουν ἀνταλλάξει μεταξύ των καὶ κτυπήματα, ὁ φόβος εἶναι χειρότερος, μήπως συμβῇ τίποτε τὸ πολὺ κακὸν εἰς τὸν παθόντα, ἢ μήπως ἐπακολουθήσῃ πυρετὸς καὶ ἐπιφέρῃ θάνατον, ἢ μήπως δημιουργηθῇ πρήξιμον δυσκολοθεράπευτον καὶ ὁδηγήσει εἰς σοβαρὸν κίνδυνον.

Καί λέγουν· τί μοῦ ἐχρειάζετο τὸ μάλωμα; Τί μοῦ ἐχρειάζοντο αἱ ὕβρεις καὶ αἱ φιλονεικίαι; Νὰ χαθοῦν, καὶ τὰ λοιπά. Καὶ καταριοῦνται ὅλα αὐτὰ τὰ πράγματα τὰ φθαρτὰ ποὺ τοὺς ἔδωσαν τὴν ἀφορμήν. Οἱ πιὸ ἀνόητοι μάλιστα μέμ-

ὥρας κακῆς, (οὐδὲ γάρ ἐστιν ὥρα κακή ποτε) οὐδὲ δαίμονος ταῦτα πονηροῦ, ἀλλὰ τῆς πονηρίας τῶν ἑαλωκότων· οὗτοι γὰρ καὶ τοὺς δαίμονας ἐπισπῶνται, καὶ πάντα ἑαυτοῖς ἐπάγουσι τὰ δεινά.

'Αλλ' οἰδαίνει, φησίν, ἡ καρδία, καὶ ταῖς ὕβρεσι δάκνεται; Οἶδα κἀγώ· διὰ γὰρ τοῦτο τοὺς κρατοῦντας τοῦ δεινοῦ τούτου θηρίου θαυμάζω· ἂν γὰρ θέλωμεν, δυνατὸν διακρούσασθαι τὸ πάθος. Διὰ τί γὰρ ἀρχόντων ἡμᾶς ὑβριζόντων, τοῦτο μὴ πάσχομεν; ἆρ' οὐχ ὅτι φόβος ἀντίρροπος ἕστηκε τοῦ πάθους, ἡμᾶς ἐκδειματῶν, καὶ οὐδὲ φῦναι τὴν ἀρχὴν συγχωρῶν; Διὰ τί δὲ καὶ οἱ οἰκέται, παρ' ἡμῶν ὑβριζόμενοι μυρία, σιγῇ πάντα φέρουσιν; ἆρ' οὐχ ὅτι καὶ αὐτοὶ τὸν αὐτὸν αὐτοῖς ἐπικείμενον ἔχουσι δεσμόν;

Σὺ δὲ μὴ μόνον ἐννοήσῃς τὸν παρὰ τοῦ Θεοῦ φόβον, ἀλλ' ὅτι σε καὶ αὐτὸς ὁ Θεὸς ὑβρίζει τότε ὁ κελεύων σιγᾶν, καὶ πάντα οἴσεις πράως. Καὶ εἰπὲ πρὸς τὸν ἐπιόντα· Τί σοι πάθω; ἄλλος μου κατέχει καὶ τὴν δεξιὰν καὶ τὴν γλῶτταν, καὶ γενήσεται καὶ σοὶ κἀκείνῳ φιλοσοφίας ὑπόθεσις τὸ ῥῆμα. Νῦν δὲ ἀνθρώπων μὲν ἕνεκεν καὶ τὰ ἀφόρητα φέρομεν, καὶ πρὸς τοὺς ὑβρικότας λέγομεν πολλάκις· Ὁ δεῖνά με ὕβρισεν, οὐ σύ, ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲ ταύτην ἕξομεν τὴν εὐλάβειαν; Καὶ ποία ἡμῖν ἔσται συγγνώμη;

Εἴπωμεν καὶ πρὸς τὴν ἡμετέραν ψυχήν· Ὁ Θεὸς ἡμᾶς ὑβρίζει νῦν, ὁ κατέχων ἡμῶν τὰς χεῖρας· μὴ σκιρτῶμεν, μηδὲ ἔστω ὁ Θεὸς ἀνθρώπων ἀτιμότερος ἡμῖν. 'Εφρίξατε πρὸς τὸ ῥῆμα; 'Αλλ' οὐχὶ πρὸς τὰ ῥήματα βούλομαι μόνον, ἀλλὰ καὶ πρὸς τὴν πρᾶξιν φρίττειν ὑμᾶς· ἐκέλευσε γὰρ ὁ Θεὸς ῥαπιζομένους μὴ μόνον φέρειν, ἀλλὰ καὶ παρέχειν ἑ-

φονται τοὺς πονηροὺς δαίμονας καὶ τὴν κακὴν ὥραν δι' ὅσα ἔγιναν. Αὐτὰ ὅμως δὲν εἶναι ἐνέργειαι κακῆς ὥρας, διότι δὲν ὑπάρχει ποτὲ κακὴ ὥρα, οὔτε πονηροῦ δαίμονος, ἀλλὰ τῆς πονηρίας αὐτῶν ποὺ ἔχουν κυριευθῆ ἀπὸ τὸ πάθος. Διότι αὐτοὶ προσελκύουν καὶ τοὺς δαίμονας καὶ προκαλοῦν ὅλα τὰ δεινὰ εἰς τοὺς ἑαυτούς των.

Ἀλλὰ μήπως ἰσχυρίζεται ὅτι φουσκώνει ἡ καρδιὰ καὶ δαγκώνεται μὲ τὰς ὕβρεις; Τὸ γνωρίζω καὶ ἐγώ· δι' αὐτὸ καὶ θαυμάζω ὅσους συγκρατοῦν τὸ φοβερὸν αὐτὸ θηρίον. Διότι ἐὰν θέλωμεν εἶναι δυνατὸν νὰ ἀπομακρύνωμεν τὸ πάθος. Διατί ἄλλωστε δὲν πάσχομεν τὸ ἴδιον ὅταν μᾶς ὑβρίζουν ἄρχοντες; Δὲν εἶναι διότι ὑπάρχει φόβος ἰσοδύναμος πρὸς τὸ πάθος, ὁ ὁποῖος μᾶς τρομάζει καὶ δὲν ἐπιτρέπει οὔτε τὴν ἀφορμὴν νὰ ἐμφανισθῇ; Διατί ἆρά γε καὶ οἱ δοῦλοι ὅταν ὑβρίζωνται ἀπὸ ἡμᾶς πάρα πολύ, ὑπομένουν τὰ πάντα μὲ σιωπήν; Δὲν εἶναι ἐπειδὴ καὶ αὐτοὶ ἔχουν τὸν ἴδιον φόβον διὰ τὸν ἑαυτόν των;

Σὺ δὲ μὴ σκεφθῇς μόνον τὸν φόβον τοῦ Θεοῦ, ἀλλὰ ὅτι τὴν στιγμὴν ἐκείνην σὲ ὑβρίζει καὶ ὁ ἴδιος ὁ Θεός, ὁ ὁποῖος παραγγέλλει νὰ σιωπῶμεν, καὶ τότε θὰ τὰ ὑπομείνῃς ὅλα μὲ πραότητα. Καὶ εἰπὲ εἰς ἐκεῖνον ὁ ὁποῖος σοῦ ἐπιτίθεται· τί νὰ σοῦ κάμω; Ἄλλος μοῦ κρατεῖ τὴν δεξιὰν καὶ τὴν γλῶσσαν· καὶ ὁ λόγος αὐτὸς θὰ γίνῃ καὶ εἰς σὲ καὶ εἰς ἐκεῖνον ἀφορμὴ συγκρατήσεως. Τώρα ἐπίσης, χάριν ἀνθρώπων καὶ τὰ ἀνυπόφορα ὑποφέρομεν καὶ πολλὰς φορὰς λέγομεν πρὸς ἐκείνους ποὺ μᾶς ὕβρισαν· ὁ τάδε μὲ ὕβρισεν, ὄχι σύ. Ἀπέναντι τοῦ Θεοῦ λοιπὸν δὲν θὰ δείξωμεν οὔτε αὐτὸν τὸν σεβασμόν; Τότε ποία συγγνώμη θὰ μᾶς δοθῇ;

Ἂς εἴπωμεν καὶ πρὸς τὴν ψυχήν μας· τώρα ὁ Θεὸς μᾶς ὑβρίζει, αὐτὸς ποὺ κρατεῖ τὰ χέρια μας· ἂς μὴ ἀναπηδῶμεν, οὔτε νὰ εἶναι ὁ Θεὸς πιὸ ἄτιμος ἀπὸ τοὺς ἀνθρώπους εἰς ἡμᾶς. Ἐφρίξατε δι' αὐτὸ ποὺ εἶπα; Θέλω ὅμως νὰ φρίττετε ὄχι μόνον μὲ τὰ λόγια ἀλλὰ καὶ μὲ τὰς πράξεις. Διότι ὁ Θεὸς διέταξεν ὄχι μόνον νὰ ὑπομένωμεν ὅταν ραπιζώμεθα,

αυτοὺς πρὸς τὸ χεῖρόν τι παθεῖν. Ἡμεῖς δὲ μετὰ τοσαύτης σφοδρότητος ἐναντιούμεθα, ὡς μὴ μόνον μὴ παρέχειν ἑαυτοὺς εἰς τὸ κακῶς παθεῖν, ἀλλὰ καὶ ἀμύνασθαι, πολλάκις δὲ καὶ ἄρχειν χειρῶν ἀδίκων, καὶ ἐλαττοῦσθαι νομίζειν, ἂν μὴ πράξωμεν τὰ αὐτά. Καὶ γὰρ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι καὶ νικᾶν οἰόμεθα, τὴν ἐσχάτην ἧτταν ἡττώμενοι, καί, κείμενοι κάτω, καὶ μυρίας δεχόμενοι πληγὰς παρὰ τοῦ διαβόλου, κρατεῖν αὐτοῦ νομίζομεν.

Διό, παρακαλῶ, μάθωμεν τίς τῆς νίκης ταύτης ὁ τρόπος, καὶ τοῦτο μετίωμεν τοῦ τρόπου τὸ εἶδος. Τὸ γὰρ παθεῖν κακῶς, τοῦτό ἐστι τὸ στεφανοῦσθαι. Εἰ τοίνυν βουλόμεθα καὶ ἡμεῖς ἀναρρηθῆναι παρὰ τοῦ Θεοῦ, μὴ τὸν τῶν ἔξωθεν ἀγώνων, ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ νόμον φυλάττωμεν ἐν τοῖς παλαίσμασι τούτοις, καὶ τὸ πάντα φέρειν μετὰ μακροθυμίας· οὕτω γὰρ καὶ τῶν παλαιόντων περιγινώμεθα, καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ἀλλὰ νὰ προσφερώμεθα νὰ ὑποστῶμεν καὶ χειρότερα. Ἐνῷ ἐμεῖς μὲ τόσην δύναμιν ἐναντιωνόμεθα, μὲ ἀποτέλεσμα ὄχι μόνον νὰ μὴ προσφέρωμεν τοὺς ἑαυτοὺς διὰ νὰ πάθωμεν κάτι χειρότερον, ἀλλὰ καὶ ἀμυνόμεθα, πολλὰς φορὰς δὲ καὶ ἀρχόμεθα χειρῶν ἀδίκων καὶ νομίζομεν ὅτι θὰ μειωθῶμεν ἐὰν δὲν ἀνταποδώσωμεν τὰ ἴδια. Διότι αὐτὸ εἶναι τὸ τρομερόν, ὅτι νομίζομεν ὅτι νικῶμεν, ἐνῷ ὑφιστάμεθα τὴν μεγαλυτέραν ἧτταν καὶ εἴμεθα ἐξηπλωμένοι κάτω, καὶ ἐνῷ δεχόμεθα μύρια κτυπήματα ἀπὸ τὸν διάβολον, νομίζομεν ὅτι κυριαρχοῦμεν εἰς αὐτόν.

Δι' αὐτό, παρακαλῶ, ἂς μάθωμεν ποῖος εἶναι ὁ τρόπος τῆς νίκης αὐτῆς καὶ ἂς ἐπιδιώκωμεν αὐτὸ τὸ εἶδος τοῦ τρόπου. Διότι τὸ νὰ ὑποστῶμεν κάτι ἀδίκως, αὐτὸ εἶναι στεφάνωμα. Ἐὰν λοιπὸν θέλωμεν καὶ ἐμεῖς νὰ ἀνακηρυχθῶμεν ἀπὸ τὸν Θεόν, ὄχι τὸν νόμον τῶν κοσμικῶν ἀγώνων, ἀλλὰ τὸν νόμον τοῦ Θεοῦ νὰ φυλάσσωμεν εἰς τὰ ἀγωνίσματα αὐτὰ καὶ νὰ τὰ ὑπομένωμεν ὅλα μὲ μακροθυμίαν. Διότι ἔτσι καὶ τοὺς συναγωνιστάς μας θὰ καταβάλωμεν καὶ τὰ ἐδῶ καὶ τὰ ὑπεσχημένα ἀγαθὰ θὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει εἰς τὸν Πατέρα μαζὶ μὲ τὸ ἅγιον Πνεῦμα δόξα, δύναμις, τιμὴ τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Ε΄.

'Ιω. 1, 3

«*Πάντα δι᾿ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν*».

1. Μωϋσῆς μέν, ἀρχόμενος τῆς ἱστορίας καὶ τῆς συγγραφῆς τῆς ἐν τῇ Παλαιᾷ, περὶ τῶν αἰσθητῶν ἡμῖν διαλέγεται, καὶ ταῦτα ἀπαριθμεῖται διὰ πολλῶν, («Ἐν ἀρχῇ» γάρ, φησίν, «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»), εἶτα ἐπάγει ὅτι καὶ φῶς ἐγένετο, καὶ δεύτερος οὐρανός, καὶ ἀστέρων φύσις, καὶ παντοδαπὰ γένη ζώων, καὶ τὰ ἄλλα πάντα, ἵνα μὴ καθ᾿ ἕκαστον ἐπεξιόντες παρέλκωμεν.

Ὁ δὲ Εὐαγγελιστὴς οὗτος, ἅπαντα συντεμών, ἐν ῥήματι περιλαμβάνει ἐκεῖνά τε καὶ τὰ ἐκείνων ἀνώτερα· εἰκότως, ἅτε καὶ γνώριμα ὄντα τοῖς ἀκούουσι, καὶ ἐπὶ μείζονα ἐπειγόμενος ὑπόθεσιν, καὶ πᾶσαν τὴν πραγματείαν ἐνστησάμενος οὐ περὶ τῶν ἔργων, ἀλλὰ περὶ τοῦ Δημιουργοῦ καὶ πάντα παραγαγόντος εἰπεῖν. Διά τοι τοῦτο ἐκεῖνος μέν, καίτοι γε τὸ ἔλαττον μέρος τῆς κτίσεως ἀπολαβὼν (οὐδὲν γὰρ ἡμῖν περὶ τῶν ἀοράτων διελέχθη δυνάμεων), τούτοις ἐνδιατρίβει, οὗτος δέ, ἅτε πρὸς αὐτὸν σπεύδων τὸν Ποιητὴν ἀνελθεῖν, εἰκότως ἅπαντα παρατρέχει, καὶ ταῦτα καὶ τὰ ἐκείνῳ σεσιγημένα ἑνὶ καὶ βραχεῖ λόγῳ περιλαβών, τῷ «πάντα δι᾿ αὐτοῦ ἐγένετο».

Καὶ ἵνα μὴ νομίσῃς πάντα ἐκεῖνα λέγειν μόνον αὐτὸν τὰ καὶ Μωϋσεῖ εἰρημένα, ἐπάγει, ὅτι «καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε»· τουτέστι, τῶν γενητῶν κἂν ὁρατόν τι ᾖ, κἂν νοητόν, οὐδὲν χωρὶς τῆς τοῦ Υἱοῦ δυνάμε-

---

1. Γεν. 1, 1.

ΟΜΙΛΙΑ Ε΄.

'Ιω. 1, 3

«Ὅλα ἔγιναν δι' αὐτοῦ καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε ἀπὸ ὅσα ἔγιναν».

1. Ὁ μὲν Μωϋσῆς ὅταν ἄρχιζε τὴν ἱστορίαν καὶ τὴν συγγραφὴν ποὺ ὑπάρχει εἰς τὴν Παλαιὰν Διαθήκην, μᾶς ὁμιλεῖ περὶ τῶν αἰσθητῶν πραγμάτων καὶ αὐτὰ ἀπαριθμεῖ διὰ μακρῶν. «Εἰς τὴν ἀρχὴν», λέγει, «ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[1]. Ἔπειτα προσθέτει ὅτι ἐδημιουργήθη καὶ τὸ φῶς καὶ δεύτερος οὐρανὸς καὶ ἡ φύσις τῶν ἀστέρων καὶ τὰ διάφορα γένη τῶν ζώων καὶ ὅλα τὰ ἄλλα, διὰ νὰ μὴ ἐπιμηκύνωμεν τὸν λόγον ἀναφέροντες τὸ καθένα χωριστά,

Ὁ εὐαγγελιστὴς αὐτὸς ὅμως, ἀφοῦ τὰ ἐσυντόμευσεν ὅλα, περιέλαβεν εἰς τὸν λόγον του καὶ ἐκεῖνα καὶ τὰ ἀνώτερα ἐκείνων. Πολὺ ὀρθῶς, ἀφοῦ καὶ γνωστὰ ἦσαν εἰς τοὺς ἀκροατάς του καὶ ἐβιάζετο νὰ φθάσῃ εἰς σπουδαιότερον θέμα καὶ παρουσιάζων τὴν ὅλην πραγματείαν του, δὲν ὁμιλεῖ περὶ τῶν ἔργων ἀλλὰ περὶ τοῦ Δημιουργοῦ ὁ ὁποῖος παρήγαγε τὰ πάντα. Ἀκριβῶς δι' αὐτὸ ἐκεῖνος μέν, ἂν καὶ περιέλαβε τὸ μικρότερον μέρος τῆς κτίσεως (διότι τίποτε δὲν μᾶς εἶπε περὶ τῶν ἀοράτων δυνάμεων) ἀσχολεῖται μὲ αὐτά. Αὐτὸς δέ, ἐπειδὴ βιάζεται νὰ ἀνέβῃ πρὸς τὸν Ποιητήν, εὐλόγως τὰ παρατρέχει ὅλα, καὶ αὐτὰ καὶ ὅσα ἀποσιωπᾷ ἐκεῖνος, ἀφοῦ τὰ περιέλαβεν εἰς μίαν σύντομον φράσιν· «Ὅλα ἐδημιουργήθησαν δι' αὐτοῦ».

Καὶ διὰ νὰ μὴ νομίσῃς ὅτι ἀναφέρει ὅλα ἐκεῖνα τὰ ὁποῖα ἔχουν λεχθῆ καὶ ἀπὸ τὸν Μωϋσῆν, προσθέτει ὅτι «καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε ἀπὸ ὅλα ὅσα ἔγιναν». Δηλαδὴ ἀπὸ τὰ δημιουργήματα, εἴτε ὁρατὸν εἶναι κάτι, εἴτε νοη-

ως εἰς τὸ εἶναι παρήχθη. Οὐ γὰρ δὴ τὴν τελείαν στιγμὴν τῷ «οὐδὲ ἕν», ἐπιθήσομεν κατὰ τοὺς αἱρετικούς· ἐκεῖνοι γάρ, βουλόμενοι τὸ Πνεῦμα κτιστὸν εἰπεῖν, φασίν· «Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν». Ἀλλ' οὕτως ἀπερινόητον γίνεται τὸ λεγόμενον.

Πρῶτον μὲν γὰρ οὐδὲ καιρὸς ἦν ἐνταῦθα τοῦ Πνεύματος ἐπιμνησθῆναι· εἰ δὲ καὶ ἐβούλετο, τίνος ἕνεκεν οὕτως ἀσαφῶς αὐτὸ τέθεικε; πόθεν γὰρ δῆλον, ὅτι περὶ τοῦ Πνεύματος τοῦτο εἴρηται; Ἄλλως δὲ εὑρήσομεν κατὰ τὸν λόγον τοῦτον οὐ τὸ Πνεῦμα, ἀλλ' αὐτὸν τὸν Υἱὸν δι' ἑαυτοῦ γινόμενον. Ἀλλὰ διανάστητε, ὥστε μὴ διαφυγεῖν ὑμᾶς τὸ λεγόμενον, καὶ φέρε κατὰ τὸν ἐκείνων τέως ἀναγνῶμεν τρόπον· οὕτω γὰρ ἡμῖν φανερώτερον τὸ ἄτοπον ἔσται· «Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν».

Τὸ Πνεῦμά φασιν εἰρῆσθαι τὴν ζωήν. Ἀλλ' ἡ ζωὴ αὕτη καὶ φῶς εὑρίσκεται· ἐπάγει γάρ· «Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων». Οὐκοῦν κατ' αὐτοὺς τὸ φῶς τῶν ἀνθρώπων ἐνταῦθα τὸ Πνεῦμα λέγει. Τί οὖν; Ὅταν ἐπάγῃ, καὶ λέγῃ, ὅτι «Ἐγένετο ἄνθρωπος παρὰ τοῦ Θεοῦ ἀπεσταλμένος, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός», ἀνάγκη περὶ τοῦ Πνεύματος αὐτοὺς λέγειν καὶ τοῦτο εἰρῆσθαι· ὃν γὰρ ἄνω Λόγον εἶπε, τοῦτον προϊὼν καὶ Θεόν, καὶ ζωήν, καὶ φῶς ὀνομάζει· ζωὴ γὰρ ἦν, φησίν, ὁ Λόγος οὗτος, καὶ ἡ ζωὴ αὕτη φῶς ἦν.

Εἰ τοίνυν ὁ Λόγος ἡ ζωή, ὁ δὲ Λόγος οὗτος καὶ ἡ ζωὴ σὰρξ ἐγένετο, ἡ ζωὴ ἐγένετο σάρξ, (τουτέστιν ὁ Λόγος), καὶ αὐτῆς ἐθεασάμεθα τὴν δόξαν, ὡς Μονογενοῦς παρὰ Πατρός. Ἂν τοίνυν τὸ Πνεῦμα λέγωσιν ἐνταῦθα τὴν ζωὴν εἰρῆσθαι, ὅρα πόσα ἕψεται τὰ ἄτοπα· ἔσται γὰρ αὐτὸ σαρκωθέν, οὐχ ὁ Υἱός· ἔσται μονογενὴς Υἱὸς τὸ Πνεῦμα.

τόν, τίποτε δὲν παρήχθη χωρὶς τὴν δύναμιν τοῦ Υἱοῦ· διότι ἐμεῖς δὲν τοποθετοῦμεν τὴν τελείαν εἰς τὸ «οὐδὲ ἕν», ὅπως οἱ αἱρετικοί. Ἐκεῖνοι ἐπειδὴ θέλουν νὰ χαρακτηρίσουν τὸ Πνεῦμα κτιστόν, λέγουν· «ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν». Ἔτσι ὅμως γίνεται ἀκατανόητον αὐτὸ τὸ ὁποῖον λέγεται.

Ἐν πρώτοις δὲν ἦτο καιρὸς νὰ ἀναφέρῃ ἐδῶ τὸ Πνεῦμα. Ἀλλὰ καὶ ἐὰν ἤθελε, διατί τὸ ἔθεσε μὲ τόσην ἀσάφειαν; Διότι ἀπὸ ποῦ γίνεται φανερὸν ὅτι αὐτὸ ἐλέχθη περὶ τοῦ Πνεύματος; Ἐξ ἄλλου κατὰ τὴν ἰδίαν λογικὴν ἠμποροῦμεν νὰ ἐννοήσωμεν ὅτι ὄχι τὸ Πνεῦμα, ἀλλὰ ὁ ἴδιος ὁ Υἱὸς δημιουργεῖται διὰ τοῦ ἑαυτοῦ του. Ἀλλὰ σηκωθῆτε, διὰ νὰ μὴ σᾶς διαφύγῃ αὐτὸ ποὺ λέγεται, καὶ ἂς ἀναγνώσωμεν τὸ χωρίον σύμφωνα μὲ τὸν ἰδικόν τους τρόπον· διότι ἔτσι θὰ γίνῃ εἰς ἡμᾶς περισσότερον φανερὸν τὸ ἄτοπον· ἤτοι «ὃ γένονεν, ἐν αὐτῷ ζωὴ ἦν».

Ἰσχυρίζονται ὅτι ζωὴ ὀνομάζεται τὸ Πνεῦμα. Ἀλλὰ ἡ ζωὴ αὐτὴ χαρακτηρίζεται καὶ φῶς, ἀφοῦ προσθέτει· «καὶ ἡ ζωὴ ἦτο τὸ φῶς τῶν ἀνθρώπων». Σύμφωνα μὲ αὐτοὺς λοιπὸν φῶς τῶν ἀνθρώπων ἐδῶ ὀνομάζει τὸ Πνεῦμα. Ἑπομένως, ὅταν προσθέτῃ καὶ λέγῃ, ὅτι «ἐνεφανίσθη ἄνθρωπος ἀπεσταλμένος ἀπὸ τὸν Θεόν, διὰ νὰ μαρτυρήσῃ περὶ τοῦ φωτός», ὁπωσδήποτε θὰ ἰσχυρίζωνται ὅτι περὶ τοῦ Πνεύματος ἐλέχθη καὶ τοῦτο. Ἐκεῖνον ὅμως ποὺ πιὸ ἐπάνω ὠνόμασε Λόγον, αὐτὸν παρακάτω τὸν ὀνομάζει καὶ Θεὸν καὶ ζωὴν καὶ φῶς. Διότι λέγει ὅτι ὁ Λόγος αὐτὸς ἦτο ζωὴ καὶ ἡ ζωὴ αὐτὴ ἦτο φῶς.

Ἐὰν λοιπὸν ὁ Λόγος εἶναι ἡ ζωή, αὐτὸς δὲ ὁ Λόγος καὶ ἡ ζωὴ ἔγινεν ἄνθρωπος, ἡ ζωὴ ἔγινεν ἄνθρωπος, δηλαδὴ ὁ Λόγος, καὶ αὐτῆς τὴν δόξαν εἴδαμεν, ὡς Μονογενοῦς ἀπὸ τὸν Πατέρα. Ἐὰν λοιπὸν λέγουν ὅτι ζωὴ ἐδῶ ὠνομάσθη τὸ Πνεῦμα κύτταξε πόσα ἄτοπα θὰ ἀκολουθήσουν. Διότι τότε αὐτὸ θὰ εἶναι ποὺ ἐσαρκώθη καὶ ὄχι ὁ Υἱὸς καὶ θὰ εἶναι Μονογενὴς Υἱὸς τὸ Πνεῦμα.

Εἰ δὲ μὴ τοῦτο, εἰς ἕτερον πάλιν ἀτοπώτατον, τοῦτο φεύγοντες, ἐμπεσοῦνται, οὕτως ἀναγινώσκοντες· εἰ γὰρ δὴ ὁμολογήσαιεν, ὅτι περὶ τοῦ Υἱοῦ εἴρηται, καὶ μὴ στίξαιεν μηδὲ ἀναγνοῖεν ὥσπερ ἡμεῖς, αὐτὸν ἀφ' ἑαυτοῦ τὸν Υἱὸν γεγενῆσθαι ἐροῦσιν. Εἰ δὲ ἡ ζωὴ ὁ Λόγος, ὃ δὲ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν, αὐτὸς ἐν αὐτῷ καὶ δι' ἑαυτοῦ γέγονε κατὰ τὴν ἀνάγνωσιν ταύτην.

Εἶτά τινα εἰπὼν ἐν τῷ μέσῳ ἐπήγαγε· «Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός». Ἰδοὺ καὶ μονογενὴς Υἱὸς εὑρίσκεται κατὰ τὴν ἀνάγνωσιν τῶν ταῦτα λεγόντων τὸ Πνεῦμα τὸ ἅγιον· περὶ γὰρ αὐτοῦ πᾶσα αὐτῷ αὕτη ἡ διήγησις εἴρηται. Ὁρᾶτε, ὅταν ἐκκυλισθῇ ὁ λόγος τῆς ἀληθείας ποῦ παρατρέπεται, καὶ πόσα τίκτει τὰ ἄτοπα;

Τί οὖν; οὐκ ἔστι τὸ Πνεῦμα φῶς; φησί. Ἔστι μὲν φῶς, ἀλλ' ἐνταῦθα οὐ περὶ τούτου εἴρηται· ἐπεὶ καὶ ὁ Θεὸς λέγεται Πνεῦμα, τουτέστιν ἀσώματος, ἀλλ' οὐ πάντως, εἴ που Πνεῦμα εἴρηται, ὁ Θεὸς δηλοῦται. Καὶ τί θαυμάζεις, εἰ περὶ τοῦ Πατρὸς τοῦτό φαμεν; οὐδὲ γὰρ ἐπὶ τοῦ Παρακλήτου τοῦτο εἴποιμεν ἄν, ὅτι, εἴ που Πνεῦμα, πάντως ὁ Παράκλητος δηλοῦται· καίτοι γε τοῦτο αὐτοῦ μάλιστα γνωριστικόν ἐστιν ὄνομα, ἀλλ' οὐ πάντως, εἴ που Πνεῦμα, ὁ Παράκλητος· καὶ γὰρ καὶ ὁ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία λέγεται, ἀλλ' οὐ πάντως, εἴ που Θεοῦ δύναμις καὶ σοφία, ὁ Χριστός. Οὕτω δὴ καὶ ἐνταῦθα, εἰ καὶ φωτίζει τὸ Πνεῦμα, ὅμως νῦν οὐ περὶ αὐτοῦ φησιν ὁ Εὐαγγελιστής.

Ἀλλ' ὅταν αὐτοὺς τούτων ἀποκλείσωμεν τῶν ἀτόπων, οἱ δὲ πάλιν, πανταχοῦ σπουδάζοντες κατὰ τῆς ἀληθείας ἑστάναι, λέγουσιν, ἔτι τῆς αὐτῆς ἀναγνώσεως ἐχόμενοι· «Ὃ γέ-

Ἐὰν ὅμως δὲν δέχωνται αὐτό, ἀποφεύγοντες αὐτὸ περιπίπτουν εἰς ἄλλο πάλιν μεγαλύτερον ἀτόπημα ἀναγινώσκοντες κατ' αὐτὸν τὸν τρόπον τὸ χωρίον. Διότι ἐὰν ὁμολογήσουν ὅτι περὶ τοῦ Υἱοῦ ἔχει λεχθῆ, ἀλλὰ δὲν τὸ στίξουν οὔτε τὸ ἀναγνώσουν ὅπως ἐμεῖς, τότε δέχονται ὁ Υἱὸς ἐδημιουργήθη ἀπὸ τὸν ἑαυτόν του. Ἐὰν δὲ ἡ ζωὴ εἶναι ὁ Λόγος, ἐκεῖνο δὲ τὸ ὁποῖον ἔγινεν ἦτο μέσα του ζωή, αὐτὸς μέσα εἰς τὸν ἑαυτόν του καὶ διὰ τοῦ ἑαυτοῦ του ἔγινε σύμφωνα μὲ τὴν ἀνάγνωσιν αὐτήν.

Ἔπειτα, ἀφοῦ εἶπε μερικὰ ἐνδιαμέσως, ἐπρόσθεσε· «καὶ εἴδομεν τὴν δόξα του, δόξαν ὡς Μονογενοῦς Υἱοῦ ἀπὸ τὸν Πατέρα». Νὰ λοιπὸν ποὺ καὶ Μονογενὴς Υἱὸς γίνεται, σύμφωνα μὲ τὴν ἀνάγνωσιν ἐκείνων ποὺ ἰσχυρίζονται αὐτά, τὸ ἅγιον Πνεῦμα. Διότι εἰς αὐτὸ ἀναφέρεται ὅλη αὐτοῦ ἡ διήγησις. Βλέπετε ποῦ φθάνει ὁ λόγος, ὅταν ἐκτραπῇ ἀπὸ τὴν ἀλήθειαν, καὶ πόσα ἄτοπα γεννᾷ;

Τί λοιπόν, δὲν εἶναι, λέγει, τὸ Πνεῦμα φῶς; Εἶναι βεβαίως φῶς, ἀλλὰ ἐδῶ δὲν γίνεται λόγος περὶ αὐτοῦ. Διότι καὶ ὁ Θεὸς λέγεται Πνεῦμα, δηλαδὴ ἀσώματος, ἀλλ' ὅμως ὅπου ἀναφέρεται τὸ Πνεῦμα δὲν δηλοῦται ὁπωσδήποτε ὁ Θεός. Καὶ διατί ἀπορεῖς ἐὰν τὸ λέγωμεν αὐτὸ διὰ τὸν Πατέρα; Διότι οὔτε καὶ διὰ τὸν Παράκλητον θὰ τὸ ἐλέγαμεν αὐτό, ὅτι δηλαδὴ ὅπου ἀναφέρεται τὸ Πνεῦμα δηλοῦται ὁπωσδήποτε ὁ Παράκλητος, ἂν καὶ αὐτὸ εἶναι τὸ κατ' ἐξοχὴν χαρακτηριστικόν του ὄνομα. Πάντως ὅπου ἀναφέρεται τὸ Πνεῦμα δὲν νοεῖται ὁ Παράκλητος. Διότι καὶ ὁ Χριστὸς λέγεται Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἀλλὰ ὅπου ἀναφέρεται ἡ δύναμις καὶ ἡ σοφία τοῦ Θεοῦ δὲν νοεῖται ὁπωσδήποτε ὁ Χριστός. Τὸ ἴδιον συμβαίνει καὶ ἐδῶ. Μολονότι φωτίζει καὶ τὸ Πνεῦμα, ὅμως τώρα δὲν ὁμιλεῖ περὶ αὐτοῦ ὁ εὐαγγελιστής.

Ἀλλὰ καὶ ὅταν τοὺς ἀποκλείσωμεν ἀπὸ αὐτὰ τὰ ἄτοπα, αὐτοὶ πάλιν ἐπιδιώκοντες παντοῦ νὰ στραφοῦν κατὰ τῆς ἀληθείας, ἰσχυρίζονται ὅτι ἐπιμένουν ἀκόμη εἰς τὴν ἀ-

γονεν, ἐν αὐτῷ ζωὴ ἦν»· τουτέστιν, «ὃ γέγονε ζωὴ ἦν». Τί οὖν; Καὶ τὰ Σοδομηνῶν πάθη, καὶ ὁ κατακλυσμός, καὶ ἡ γέεννα, καὶ μυρία ὅσα τοιαῦτα; Ἀλλὰ περὶ δημιουργίας ὁ λόγος ἡμῖν, φησί. Μάλιστα μὲν οὖν κἀκεῖνα δημιουργίας ἐστίν. Ἀλλ' ἵνα ἐκ περιουσίας τὸν λόγον αὐτῶν ἐλέγξωμεν, ἐρώμεθα αὐτούς· Τὸ ξύλον, εἰπέ μοι, ζωή; καὶ ὁ λίθος, ζωή, τὰ ἄψυχα ταῦτα καὶ ἀκίνητα; ἀλλ' ὁ ἄνθρωπος ὅλον ζωή; Καὶ τίς ἂν τοῦτο εἴποι; Οὐ γὰρ αὐτοζωὴ ὁ ἄνθρωπος, ἀλλὰ ζωῆς δεκτικός·

2. Ὅρα δὲ πάλιν κἀνταῦθα τὸ ἄτοπον· κατὰ γὰρ τὴν αὐτὴν ἀκολουθίαν καὶ ἐνταῦθα τὸν λόγον προάξομεν, ὥστε μαθεῖν τὴν ἄνοιαν αὐτῶν κἀντεῦθεν. Οὕτω γὰρ οὐδαμῶς οὐδὲν ἁρμόττοντα λέγουσι τῷ Πνεύματι· ὅταν γὰρ ἐκπέσωσιν ἐκεῖθεν, ἀνθρώποις αὐτὰ περιάπτουσιν, ἃ τοῦ Πνεύματος ἐνόμισαν ἀξίως εἰρῆσθαι. Πλὴν ἀλλὰ καὶ οὕτως αὐτὴν ἐξετάσωμεν τὴν ἀνάγνωσιν.

Ζωὴ ἡ κτίσις λέγεται νῦν· οὐκοῦν καὶ φῶς ἡ αὐτή· καὶ περὶ αὐτῆς ἦλθε μαρτυρήσων ὁ Ἰωάννης. Διὰ τί οὖν μὴ καὶ αὐτός ἐστι φῶς; «οὐκ ἦν γὰρ ἐκεῖνος τὸ φῶς», φησί, καίτοι καὶ αὐτὸς τῆς κτίσεως ἦν. Πῶς οὖν οὐκ ἔστιν οὗτος φῶς; πῶς δὲ «ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο», ἡ κτίσις ἐν τῇ κτίσει ἦν, καὶ ἡ κτίσις διὰ τῆς κτίσεως γέγονε; πῶς δὲ «καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω»; τὴν κτίσιν ἡ κτίσις οὐκ ἔγνω; «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι».

Ἀλλ' ἅλις τοῦ γέλωτος· ὑμῖν γὰρ ἀφίημι λοιπὸν ἐπεξελθεῖν τῇ τῶν λόγων τούτων τερατείᾳ, ἵνα μὴ αὐτοὶ τοῦτο δόξωμεν προῃρῆσθαι, τὸ γελωτοποιεῖν ἁπλῶς, καὶ τὸν χρόνον

νάγνωσιν αὐτήν· «ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν», δηλαδὴ ὅ,τι ἐδημιουργήθη ἦτο ζωή. Ὥστε λοιπὸν καὶ τὰ πάθη τῶν Σοδομιτῶν καὶ ὁ κατακλυσμὸς καὶ ἡ γέεννα καὶ μύρια ἄλλα παρόμοια; Ἀλλὰ ὁ λόγος εἰς ἡμᾶς εἶναι περὶ τῆς δημιουργίας, λέγει. Καὶ ἐκεῖνα ὅμως εἶναι ἔργα τῆς δημιουργίας. Ἀλλὰ διὰ νὰ ἐλέγξωμεν ἐκ τῶν πραγμάτων τὸν λόγον των, τοὺς ἐρωτῶμεν· τὸ ξύλον, εἰπέ μου, εἶναι ζωή; Καὶ ὁ λίθος εἶναι ζωή, αὐτὰ τὰ ἄψυχα καὶ ἀκίνητα; Καὶ ὁ ἄνθρωπος ὁλόκληρος εἶναι ζωή; Καὶ ποῖος θὰ ἠμποροῦσε νὰ τὸ ἰσχυρισθῇ αὐτό; Διότι ὁ ἄνθρωπος δὲν εἶναι αὐτοζωή, ἀλλὰ δεκτικὸς ζωῆς.

2. Κύτταξε δὲ πάλιν καὶ ἐδῶ τὸ ἄτοπον· καθόσον θὰ συνεχίσωμεν καὶ ἐδῶ τὸν λόγον σύμφωνα μὲ τὸν ἴδιον συλλογισμόν, διὰ νὰ μάθωμεν τὴν μωρίαν των καὶ ἀπὸ αὐτά, διότι δυστυχῶς δὲν λέγουν τίποτε ἀπὸ ὅσα ἁρμόζουν εἰς τὸ Πνεῦμα. Διότι ἀφοῦ ἐκπέσουν ἀπὸ ἐκεῖ ἀποδίδουν εἰς τοὺς ἀνθρώπους ἐκεῖνα τὰ ὁποῖα δικαιωματικὰ νομίζουν ὅτι λέγονται περὶ τοῦ Πνεύματος. Ἀλλὰ ἂς ἐξετάσωμεν καὶ ἀπὸ τὴν ἄποψιν αὐτὴν τὴν ἀνάγνωσιν ποὺ προτείνουν.

Ζωὴ τώρα λέγεται ἡ κτίσις. Ἑπομένως ἡ ἰδία εἶναι καὶ φῶς καὶ ἄρα περὶ αὐτῆς ἦλθε νὰ μαρτυρήσῃ ὁ Ἰωάννης. Ἀλλὰ διατί δὲν εἶναι καὶ αὐτὸς φῶς; «Δὲν ἦτο ἐκεῖνος τὸ φῶς», λέγει, μολονότι καὶ αὐτὸς ἀνήκεν εἰς τὴν κτίσιν. Πῶς λοιπὸν δὲν ἦτο ἐκεῖνος φῶς; Πῶς δὲ «ἦτο εἰς τὸν κόσμον καὶ ὁ κόσμος ἐδημιουργήθη δι' αὐτοῦ»; Ἡ κτίσις εὑρίσκετο μέσα εἰς τὴν κτίσιν καὶ ἡ κτίσις ἐδημιουργήθη διὰ τῆς κτίσεως; Καὶ πῶς «ὁ κόσμος δὲν τὸν ἀνεγνώρισε»; Ἡ κτίσις δὲν ἀνεγνώρισε τὴν κτίσιν; «Ὅσοι ὅμως τὸν ἐδέχθησαν, ἔδωκεν εἰς αὐτοὺς τὸ δικαίωμα νὰ γίνουν τέκνα Θεοῦ».

Ἀλλὰ εἶναι ἀρκετὸν τὸ γέλιο. Ἀφήνω δὲ εἰς ἐσᾶς νὰ ἐρευνήσετε περαιτέρω τὴν τερατολογίαν τῶν λόγων αὐτῶν, διὰ νὰ μὴ δώσωμεν τὴν ἐντύπωσιν ὅτι αὐτὸ ἐπιδιώκομεν ἐμεῖς, ἁπλῶς νὰ τοὺς γελοιοποιήσωμεν, καὶ δαπα-

εἰκῇ παραναλώσωμεν. Εἰ γὰρ μήτε περὶ τοῦ Πνεύματος ταῦτα εἴρηται, (ὥσπερ οὖν οὐδὲ εἴρηται, καθὼς ἀποδέδεικται), μήτε περὶ τῆς κτίσεως, ἔχοιντο δὲ ἔτι τῆς αὐτῆς ἀναγνώσεως, τὸ πάντων ἀτοπώτερον ἐκεῖνο ἕψεται, ὅπερ ἔμπροσθεν εἰρήκαμεν, τὸ τὸν Υἱὸν δι' ἑαυτοῦ γεγενῆσθαι· εἰ γὰρ τὸ φῶς τὸ ἀληθινὸν ὁ Υἱός ἐστι, τὸ δὲ φῶς τοῦτο ζωὴ ἦν, ἡ δὲ ζωὴ γέγονεν ἐν αὐτῷ, ἀνάγκη πᾶσα τοῦτο συνενεχθῆναι κατὰ τὴν ἐκείνων ἀνάγνωσιν. Διό, ταύτην ἀφέντες, ἐπὶ τὴν νενομισμένην ἔλθωμεν ἀνάγνωσίν τε καὶ ἐξήγησιν.

Τίς δέ ἐστιν αὕτη; Τὸ μέχρι τοῦ «ὃ γέγονεν» ἀναπαῦσαι τὸν λόγον· εἶτα ἀπὸ τῆς ἑξῆς λέξεως ἄρξασθαι, τῆς λεγούσης· «Ἐν αὐτῷ ζωὴ ἦν». Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι· «Χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἕν, ὃ γέγονεν». Εἴ τι γέγονε τῶν γενητῶν, φησίν, οὐκ ἐγένετο χωρὶς αὐτοῦ. Ὁρᾷς πῶς τῇ βραχείᾳ ταύτῃ προσθήκῃ πάντα διωρθώσατο τὰ ὑφορμοῦντα ἄτοπα; τῷ γὰρ ἐπαγαγεῖν ὅτι «Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», καὶ προσθεῖναι «ὃ γέγονε», τά τε νοητὰ περιέλαβε, καὶ τὸ Πνεῦμα ὑπεξεῖλεν.

Ἐπειδὴ γὰρ εἶπεν ὅτι «πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», ἵνα μή τις εἴπῃ· Οὐκοῦν, εἰ πάντα δι' αὐτοῦ, καὶ τὸ Πνεῦμα γέγονε, τῆς προσθήκης ἐδεήθη ταύτης· Ἐγὼ γάρ, φησίν, εἴ τι γενητόν ἐστι, τοῦτο εἶπον δι' αὐτοῦ γεγενῆσθαι, κἂν ἀόρατον ᾖ, κἂν ἀσώματον, κἂν ἐν τοῖς οὐρανοῖς· διὰ τοῦτο οὐχ ἁπλῶς εἶπον πάντα, ἀλλ' εἴ τι γέγονε, τουτέστι, τὰ γενητά. Τὸ δὲ Πνεῦμα οὐ γενητόν.

Εἶδες διδασκαλίαν ἠκριβωμένην; Ἀνέμνησε τῆς δημιουργίας τῶν αἰσθητῶν, (προλαβὼν γὰρ αὐτὰ Μωϋσῆς ἐδίδαξεν), εἶτα ἐκεῖθεν προκόψαντας ἐπὶ τὰ ὑψηλότερα ἀγαγών,

νήσωμεν ἀσκόπως τὸν χρόνον. Διότι ἐὰν οὔτε περὶ τοῦ Πνεύματος λέγωνται αὐτὰ (ὅπως πράγματι δὲν λέγονται, καθὼς ἀπεδείχθη), οὔτε περὶ τῆς κτίσεως, ἐξακολουθοῦν ὅμως ἀκόμη νὰ ἐπιμένουν εἰς αὐτὴν τὴν ἀνάγνωσιν, τότε ἐξάγεται τὸ πιὸ ἄτοπον ἐκεῖνο συμπέρασμα, τὸ ὁποῖον προηγουμένως εἴπαμεν, ὅτι ὁ Υἱὸς ἐδημιουργήθη διὰ τοῦ ἑαυτοῦ του! Διότι, ἐὰν τὸ φῶς τὸ ἀληθινὸν εἶναι ὁ Υἱός, τὸ δὲ φῶς ἦτο ζωή, ἡ δὲ ζωὴ ἔγινεν ἐντὸς αὐτοῦ, αὐτὸ ἐξάγεται ἀπαραιτήτως σύμφωνα μὲ τὴν ἰδικήν των ἀνάγνωσιν. Δι' αὐτό, ἀφοῦ ἀφήσωμεν αὐτήν, ἂς ἔλθωμεν εἰς τὴν παραδεδεγμένην ἀνάγνωσιν καὶ ἐξήγησιν.

Ποία δὲ εἶναι αὐτή; Τὸ νὰ σταματήσωμεν τὸν λόγον μέχρι τοῦ «ὃ γέγονεν». Ἔπειτα νὰ ἀρχίσωμεν ἀπὸ τὴν ἑξῆς φράσιν ἡ ὁποία λέγει· «ἐν αὐτῷ ζωὴ ἦν». Διότι αὐτὸ τὸ ὁποῖον λέγει αὐτὸ καὶ εἶναι «χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε ἀπὸ ὅσα ἔγιναν». Ὁ,τιδήποτε τῶν κτιστῶν ἐδημιουργήθη, λέγει, δὲν ἐδημιουργήθη χωρὶς αὐτόν. Βλέπεις ὅτι μὲ τὴν σύντομον αὐτὴν προσθήκην, προλαμβάνει ὅλα τὰ ἄτοπα ποὺ ὑπεισέρχονται; Διότι μὲ τὸ νὰ ἀναφέρῃ ὅτι «χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε» καὶ νὰ προσθέσῃ «ὅ,τι ἔγινε», καὶ ὅλα τὰ νοητὰ τὰ συμπεριέλαβε καὶ τὸ Πνεῦμα τὸ ἐξῄρεσεν.

Διότι, ἐπειδὴ εἶπεν ὅτι «ὅλα ἐδημιουργήθησαν δι' αὐτοῦ καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε», διὰ νὰ μὴ εἴπῃ κανείς· ἑπομένως, ἐὰν ὅλα ἔγιναν δι' αὐτοῦ, ἔγινε καὶ τὸ Πνεῦμα, δι' αὐτὸ ἐχρειάσθη τὴν προσθήκην αὐτήν. Διότι ἐγώ, λέγει, ὅ,τι εἶναι κτιστόν, αὐτὸ εἶπα ὅτι ἐδημιουργήθη δι' αὐτοῦ, εἴτε εἶναι ἀόρατον, εἴτε εἶναι ἀσώματον, εἴτε εὑρίσκεται εἰς τοὺς οὐρανούς. Δι' αὐτὸ δὲν εἶπα γενικῶς ὅλα, ἀλλὰ ὅ,τι ἔγινε, δηλαδὴ τὰ κτιστά. Ἐνῷ τὸ Πνεῦμα δὲν εἶναι κτιστόν.

Βλέπεις διδασκαλίαν ἀκριβολόγον; Ὑπέμνησε τὴν δημιουργίαν τῶν αἰσθητῶν, ἐπειδὴ εἶχε προλάβει νὰ τὰ διδάξῃ ὁ Μωϋσῆς καὶ ἀφοῦ ἐπροωδεύσαμεν ἀπὸ ἐκεῖ μᾶς ὡδη-

(τὰ ἀσώματα λέγω καὶ τὰ ἀόρατα), ὑπεξεῖλε τῆς κτίσεως ἁπάσης τὸ Πνεῦμα τὸ ἅγιον. Οὕτω καὶ Παῦλος, ἀπὸ τῆς χάριτος ταύτης ἐμπνεόμενος, ἔλεγεν· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα». Καὶ ὅρα πάλιν καὶ ἐνταῦθα τὴν αὐτὴν ἀκρίβειαν. Τὸ γὰρ αὐτὸ Πνεῦμα ταύτην ἐκίνει τὴν ψυχήν. Ἵνα γὰρ μήτε ὑπεξέλῃ τις τῶν γενητῶν τι τῆς τοῦ Θεοῦ δημιουργίας διὰ τὸ ἀόρατα αὐτὰ εἶναι, μήτε τούτοις ἐγκαταμίξῃ τὸν Παράκλητον παραδραμὼν καὶ αὐτὸς τὰ αἰσθητὰ πᾶσι γνώριμα, τὰ ἐν τοῖς οὐρανοῖς ἀπαριθμεῖται, λέγων· «Εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι». Τὸ γὰρ «εἴτε», ἐφ' ἑκάστου κείμενον, οὐδὲν ἄλλο ἡμῖν ἐμφαίνει, ἢ τοῦτο, τὸ «Πάντα δι' αὐτοῦ ἐγένετο», καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν».

Εἰ δὲ τὸ «διὰ» νομίζεις ἐλαττώσεως εἶναι, ἄκουσον αὐτοῦ λέγοντος· «Σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί»· ὃ περὶ τοῦ Πατρὸς ὡς δημιουργοῦ εἴρηται, τοῦτο περὶ τοῦ Υἱοῦ λέγων, οὐκ ἂν εἰπών, εἰ μὴ ὡς περὶ δημιουργοῦ, ἀλλ' οὐχ ὑπουργοῦντός τινι τὴν δόξαν εἶχε. Εἰ δὲ ἐνταῦθα τὸ «δι' αὐτοῦ» εἴρηται, δι' οὐδὲν ἕτερον τέθειται, ἀλλ' ἵνα μὴ ἀγέννητον ὑποπτεύσῃ τις τὸν Υἱόν. Ἐπεί, ὅτι κατὰ τὸ τῆς δημιουργίας ἀξίωμα οὐδὲν ἔλαττον ἔχει τοῦ Πατρός, ἄκουσον αὐτοῦ λέγοντος· «Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ».

Εἰ μὲν οὖν περὶ τοῦ Υἱοῦ καὶ ἐν τῇ Παλαιᾷ τό, «Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας», εἴρηται, σαφὲς τὸ τῆς δημιουργίας ἀξίωμα· εἰ δὲ περὶ τοῦ Πατρὸς τοῦτο τὸν Προφήτην εἰρηκέναι λέγεις, τὸν δὲ Παῦλον τῷ Υἱῷ προσνενεμηκέναι τὸ περὶ ἐκείνου λεχθέν, καὶ οὕτω τὸ αὐτὸ γί-

---

2. Κολ. 1, 16.
3. Αὐτόθι.
4. Ψαλμ. 81, 26 καὶ Ἑβρ. 1, 12.
5. Ἰω. 5, 21.

γησεν εἰς τὰ ὑψηλότερα, τὰ ἀσώματα ἐννοῶ καὶ τὰ ἀόρατα, καὶ ἐξῄρεσεν ἀπὸ ὅλην τὴν κτίσιν τὸ ἅγιον Πνεῦμα. Ἔτσι καὶ ὁ Παῦλος ἐμπνεόμενος ἀπὸ τὴν χάριν αὐτὴν ἔλεγεν ὅτι «δι' αὐτοῦ ἐκτίσθησαν ὅλα»[2]. Κύτταξε πάλιν καὶ ἐδῶ τὴν ἰδίαν ἀκρίβειαν· διότι τὸ ἴδιον Πνεῦμα ἐκινοῦσε καὶ αὐτὴν τὴν ψυχήν. Διὰ νὰ μὴ ἐξαιρέσῃ κανεὶς τίποτε τὸ κτιστὸν ἀπὸ τὴν δημιουργίαν τοῦ Θεοῦ, ἐπειδὴ αὐτὰ εἶναι ἀόρατα, οὔτε νὰ ἀναμίξῃ μὲ αὐτὰ τὸν Παράκλητον, ἀφοῦ ἀντιπαρῆλθε καὶ αὐτὸς τὰ αἰσθητὰ καὶ εἰς ὅλους γνωστά, ἀπαριθμεῖ ὅσα ὑπάρχουν εἰς τοὺς οὐρανοὺς λέγων· «εἴτε θρόνος, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι»[3]. Διότι τὸ «εἴτε» εὑρισκόμενον εἰς κάθε ἕνα, δὲν μᾶς φανερώνει τίποτε ἄλλο παρὰ τοῦτο, τό· «ὅλα ἔγιναν δι' αὐτοῦ, καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε ἀπὸ ὅσα ἔγιναν».

Ἐὰν δὲ τὸ «διὰ» νομίζῃς ὅτι εἶναι δηλωτικὸν μειώσεως, ἄκουσε τὸν ἴδιον ὁ ὁποῖος λέγει· «Σύ, Κύριε, εἰς τὴν ἀρχὴν τῆς δημιουργίας ἐθεμελίωσες τὴν γῆν καὶ ἔργα τῶν χειρῶν σου εἶναι οἱ οὐρανοί»[4]. Αὐτὸ τὸ ὁποῖον λέγεται διὰ τὸν Πατέρα ὡς δημιουργόν, αὐτὸ λέγει καὶ διὰ τὸν Υἱὸν καὶ δὲν θὰ τὸ ἔλεγεν, παρὰ μόνον ἐφ' ὅσον πρόκειται περὶ δημιουργοῦ, καὶ ὄχι ἐὰν εἶχε τὴν δόξαν ὑπηρετῶν εἰς κάποιον. Ἐὰν δὲ ἐδῶ λέγεται τὸ «δι' αὐτοῦ», διὰ κανένα ἄλλον λόγον δὲν τίθεται, παρὰ μόνον διὰ νὰ μὴ ὑποψιασθῇ κανεὶς τὸν Υἱὸν ἀγέννητον. Ὅτι δὲ ὡς πρὸς τὸ ἀξίωμα τῆς δημιουργίας δὲν ἔχει τίποτε τὸ ὑποδεέστερον ἀπὸ τὸν Πατέρα, ἄκουσε αὐτὸν ὁ ὁποῖος λέγει· «Ὅπως ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ἐκείνους ποὺ θέλει τοὺς ζωοποιεῖ»[5].

Ἐὰν μὲν λοιπὸν καὶ εἰς τὴν Παλαιὰν Διαθήκην τὸ «εἰς τὴν ἀρχὴν τῆς δημιουργίας σύ, Κύριε, ἐθεμελίωσες τὴν γῆν» ἐλέχθη διὰ τὸν Υἱόν, εἶναι σαφὲς τὸ ἀξίωμα τῆς δημιουργίας. Ἐὰν δὲ ἰσχυρίζεσαι ὅτι διὰ τὸν Πατέρα τὸ εἶπεν αὐτὸ ὁ προφήτης, καὶ ὅτι ὁ Παῦλος ἀπένειμεν εἰς τὸν Υἱὸν αὐτὸ ποὺ ἐλέχθη δι' ἐκεῖνον, πάλιν τὸ ἴδιον εἶναι.

νεται πάλιν· οὐδὲ γὰρ ἂν καὶ τῷ Υἱῷ πρέπειν αὐτὸ ὁ Παῦλος ἐνομοθέτησεν, εἰ μὴ σφόδρα ἐθάρρει ὅτι τὰ τῆς ἀξίας ὁμότιμα ἦν· καὶ γὰρ ἦν τόλμης ἐσχάτης τὰ τῇ ἀσυγκρίτῳ πρέποντα φύσει ἐπὶ τὴν ἐλάττω καὶ ἀποδέουσαν ἐκείνης ἀγαγεῖν.

3. Ἀλλ' οὔτε ἐλάττων ἐστίν, οὔτε ἀποδέει τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱός. Διό περ οὐ ταῦτα μόνον ἐθάρρησεν εἰπεῖν ὁ Παῦλος περὶ αὐτοῦ, ἀλλὰ καὶ ἕτερα τοιαῦτα· τὸ γὰρ «ἐξ οὗ» ῥῆμα, ὅπερ ὡς ἄξιόν τινα μόνου τοῦ Πατρὸς ἀπονέμεις κλῆρον, καὶ περὶ τοῦ Υἱοῦ φησιν, οὕτω λέγων· «Ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον αὔξει εἰς τὴν αὔξησιν τοῦ Θεοῦ.

Καὶ οὐκ ἀρκεῖται τούτῳ μόνῳ, ἀλλὰ καὶ ἑτέρωθεν ὑμῖν ἀποφράττει τὰ στόματα, τὸ «δι' οὗ» τοῦτο, ὅπερ ἐλαττώσεως εἶναι λέγεις, τῷ Πατρὶ προσνέμων· «Πιστὸς γὰρ ὁ Θεός», φησί, «δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ»· καὶ πάλιν, «Διὰ τοῦ θελήματος αὐτοῦ»· καὶ ἀλλαχοῦ, «Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα».

Ὥστε οὐ τῷ Υἱῷ μόνῳ τό, «ἐξ οὗ», ἀλλὰ καὶ τῷ Πνεύματι προσνενέμηται· καὶ γὰρ τῷ Ἰωσὴφ ὁ ἄγγελος ἔλεγε· «Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου»· ὥσπερ οὖν καὶ τὸ «ἐν ᾧ», τοῦ Πνεύματος ὄν, οὐκ ἀπαξιοῖ καὶ τῷ Θεῷ προσνέμειν ὁ Προφήτης, οὕτω λέγων· «Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν». Καὶ ὁ Παῦλος, «δεόμενος», φησίν, «εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς». Καὶ ἐπὶ τοῦ Χριστοῦ δὲ πάλιν τοῦτο τίθησι, λέγων· «Ἐν Χριστῷ Ἰησοῦ». Καὶ ὅλως πολλάκις καὶ συνεχέστερον εὕροιμεν ἂν μεθισταμένας ταύτας τὰς λέξεις· ταῦτα δὲ οὐκ ἂν συνέβη, μὴ πανταχοῦ τῆς αὐτῆς οὐσίας ὑποκειμένης.

---

6. Κολ. 2, 19.
7. Α' Κορ. 1, 9.
8. Ἐφ. 1, 1.
9. Ρωμ. 11, 36.
10. Ματθ. 1, 20.
11. Ψαλμ. 59, 14.
12. Ρωμ. 1, 10.

Διότι ὁ Παῦλος δὲν θὰ ἐνομοθέτει ὅτι ἁρμόζει αὐτὸ καὶ εἰς τὸν Υἱόν, ἐὰν δὲν ἐπίστευεν ἀκράδαντα ὅτι ὡς πρὸς τὴν ἀξίαν ἦσαν ὁμότιμα. Ἦτο ἄλλωστε πολὺ μεγάλη τόλμη, ὅσα ἀνήκουν εἰς τὴν ἀσύγκριτον φύσιν, νὰ τὰ ἀποδώσῃ εἰς τὴν κατωτέραν καὶ ὑποδεεστέραν ἐκείνης.

3. Ἀλλὰ οὔτε κατώτερος εἶναι, οὔτε ὑπολείπεται τῆς οὐσίας τοῦ Πατρὸς ὁ Υἱός. Δι' αὐτὸ ὄχι μόνον αὐτὰ ἐτόλμησε νὰ εἰπῇ περὶ αὐτοῦ ὁ Παῦλος, ἀλλὰ καὶ ἄλλα παρόμοια. Διότι τὴν φράσιν «ἐξ οὗ», τὴν ὁποίαν θεωρεῖς ὡσὰν κάποιο προσὸν ἰσάξιον τοῦ Πατρὸς μόνον, τὴν χρησιμοποιεῖ καὶ διὰ τὸν Υἱὸν λέγων· «ἀπὸ τὸν ὁποῖον ὅλον τὸ σῶμα τρεφόμενον καὶ συνδεόμενον μὲ τὰς ἀρθρώσεις καὶ τὰ νεῦρα αὐξάνει μὲ αὔξησιν ποὺ δίδει ὁ Θεός»[6].

Καὶ δὲν ἀρκεῖται εἰς αὐτὸ μόνον, ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ σᾶς φράσσει τὰ στόματα, ἀποδίδων εἰς τὸν Πατέρα τὸ «δι' οὗ» αὐτό, τὸ ὁποῖον ἐκλαμβάνεις ὡς μειωτικόν. «Ἀξιόπιστος», λέγει, «εἶναι ὁ Θεὸς διὰ τοῦ ὁποίου εἴσθε καλεσμένοι εἰς ἐπικοινωνίαν μὲ τὸν Υἱόν του»[7]. Καὶ πάλιν· «Διὰ τοῦ θελήματος αὐτοῦ»[8]. Καὶ ἀλλοῦ· «Διότι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἀνήκουν τὰ πάντα»[9].

Ὥστε ὄχι μόνον εἰς τὸν Υἱὸν ἀποδίδεται τὸ «ἐξ οὗ», ἀλλὰ καὶ εἰς τὸ Πνεῦμα· καθόσον ὁ ἄγγελος ἔλεγεν εἰς τὸν Ἰωσήφ· «Μὴ φοβηθῇς νὰ πάρῃς μαζί σου τὴν Μαριὰμ τὴν γυναῖκα σου, διότι αὐτὸ ποὺ θὰ γεννήσῃ προέρχεται ἐκ τοῦ ἁγίου Πνεύματος»[10]. Καθὼς ἐπίσης καὶ τὸ «ἐν ᾧ», ἐνῷ ἀνήκει εἰς τὸ Πνεῦμα, δὲν ἀπαξιοῖ ὁ προφήτης νὰ τὸ ἀποδώσῃ καὶ εἰς τὸν Θεὸν λέγων τὰ ἑξῆς· «ἐν τῷ Θεῷ θὰ ἐπιδείξωμεν δύναμιν»[11]. Καὶ ὁ Παῦλος λέγει· «Παρακαλῶ μήπως κάποτε θὰ ἔχω τὴν εὐτυχίαν μὲ τὸ θέλημα τοῦ Θεοῦ νὰ ἔλθω εἰς ἐσᾶς»[12]. Ἀλλὰ καὶ εἰς τὸν Χριστὸν ἐπίσης τὸ χρησιμοποιεῖ αὐτὸ λέγων· «ἐν Χριστῷ Ἰησοῦ». Καὶ γενικὰ πολλὰς φορὰς καὶ συνεχῶς θὰ ἠμπορούσαμεν νὰ εὕρωμεν τὰς λέξεις αὐτὰς νὰ ἐναλλάσσωνται. Αὐτὸ δὲ δὲν θὰ συνέβαινεν ἐὰν δὲν ὑπῆρχε παντοῦ ἡ ἰδία οὐσία.

Ἵνα δὲ τὸ «πάντα δι' αὐτοῦ ἐγένετο» μὴ περὶ τῶν σημείων ὑποπτεύσῃς νῦν λέγεσθαι, (περὶ γὰρ τούτων οἱ λοιποὶ διελέχθησαν Εὐαγγελισταί), ἐπάγει μετὰ ταῦτα, λέγων· «Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο», ἀλλ' οὐ τὸ Πνεῦμα· οὐδὲ γὰρ τῶν γενητῶν τοῦτο, ἀλλὰ τῶν ὑπὲρ τὴν κτίσιν ἅπασαν.

Ἀλλὰ τέως ἐχώμεθα τῶν ἑξῆς· εἰπὼν γὰρ περὶ τῆς δημιουργίας ὁ Ἰωάννης, οἷον, ὅτι «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν», ἐπάγει καὶ τὸν περὶ τῆς προνοίας λόγον, «ἐν αὐτῷ ζωὴ ἦν», λέγων. Καὶ γάρ, ἵνα μηδεὶς ἀπιστήσῃ, πῶς τὰ τοσαῦτα καὶ τηλικαῦτα δι' αὐτοῦ γέγονεν, ἐπήγαγεν ὅτι «ἐν αὐτῷ ζωὴ ἦν». Καθάπερ οὖν ἐπὶ τῆς πηγῆς, τῆς τικτούσης ἀβύσσους, ὅσον ἂν ἀφέλῃς, οὐδὲν ἠλάττωσας τὴν πηγήν, οὕτω καὶ ἐπὶ τῆς ἐνεργείας τοῦ Μονογενοῦς, ὅσα ἂν πιστεύσῃς παρῆχθαι δι' αὐτῆς καὶ πεποιῆσθαι, οὐδὲν ἐλάττων αὕτη γέγονε. Μᾶλλον δέ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, τὸ τοῦ φωτὸς ἐρῶ, ὃ καὶ αὐτὸς ἐπήγαγεν εὐθέως, εἰπών· «Καὶ ἡ ζωὴ ἦν τὸ φῶς». Ὥσπερ οὖν τὸ φῶς, ὅσας ἂν φωτίσῃ μυριάδας, οὐδὲν εἰς τὴν οἰκείαν ἐλαττοῦται λαμπρότητα, οὕτω καὶ ὁ Θεὸς καὶ πρὸ τοῦ ἐργάσασθαι καὶ μετὰ τὸ ποιῆσαι ὁμοίως ἀνελλιπὴς μένει, μηδὲν ἐλαττούμενος, μηδὲ ἀτονῶν ἐκ τῆς δημιουργίας τῆς πολλῆς· ἀλλά, κἂν μυρίους δέῃ γενέσθαι κόσμους τοιούτους, κἂν ἀπείρους, ὁ αὐτὸς μένει πᾶσιν ἀρκῶν οὐ πρὸς τὸ παραγαγεῖν αὐτοὺς μόνον, ἀλλὰ καὶ πρὸς τὸ συγκρατῆσαι μετὰ τὴν δημιουργίαν αὐτούς· τὸ γὰρ τῆς ζωῆς ὄνομα ἐνταῦθα οὐ τῆς δημιουργίας μόνον ἐστίν, ἀλλὰ καὶ τῆς προνοίας τῆς κατὰ τὴν διαμονήν.

Καὶ τὸν περὶ τῆς ἀναστάσεως δὲ λόγον προκαταβάλλεται ἡμῖν, καὶ τῶν θαυμαστῶν τούτων εὐαγγελίων ἄρχεται· τῆς γὰρ ζωῆς παραγενομένης πρὸς ἡμᾶς, λέλυται τοῦ θα-

Διὰ νὰ μὴ ὑποψιασθῇς δὲ ὅτι τὸ «πάντα δι' αὐτοῦ ἐγένετο» λέγεται τώρα διὰ τὰ θαύματα (καθόσον περὶ αὐτῶν ὡμίλησαν οἱ ἄλλοι εὐαγγελισταί), προσθέτει μετὰ ἀπὸ αὐτὰ καὶ τὰ ἑξῆς· «Εἰς τὸν κόσμον ἦτο καὶ ὁ κόσμος δι' αὐτοῦ ἔγινεν», ὄχι ὅμως καὶ τὸ Πνεῦμα· αὐτὸ ἐξ ἄλλου δὲν ἦτο ἀπὸ τὰ κτιστά, ἀλλ' ὑπεράνω ὅλης τῆς κτίσεως.

Ἀλλ' ἂς συνεχίσωμεν παρακάτω. Ἀφοῦ ὁ Ἰωάννης ὡμίλησε περὶ τῆς δημιουργίας, ἤτοι ὅτι «ὅλα ἐδημιουργήθησαν δι' αὐτοῦ καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε ἀπὸ ὅσα ἔγιναν», κάμνει λόγον καὶ περὶ τῆς προνοίας, λέγων ὅτι «εἰς αὐτὸν ὑπῆρχε ζωή». Διότι, διὰ νὰ μὴ ἀμφισβητήσῃ κανεὶς πῶς ἐδημιουργήθησαν δι' αὐτοῦ αὐτὰ τὰ τόσον μεγάλα καὶ τόσον σπουδαῖα, ἐπρόσθεσεν ὅτι «εἰς αὐτὸν ὑπῆρχε ζωή». Ὅπως λοιπόν, ἀπὸ τὴν πηγὴν ἡ ὁποία ἀναβλύζει θαλάσσας, ὅσον ὕδωρ καὶ ἂν ἀντλήσῃς δὲν τὴν ἐλαττώνεις, ἔτσι καὶ εἰς τὴν ἐνέργειαν τοῦ Μονογενοῦς, ὅσα καὶ ἂν παραδεχθῇς ὅτι ἔγιναν καὶ παρήχθησαν δι' αὐτῆς, αὐτὴ δὲν ἠλαττώθη καθόλου. Μᾶλλον δέ, διὰ νὰ χρησιμοποιήσω πιὸ γνωστὸν παράδειγμα, θὰ εἰπῶ διὰ τὸ φῶς, τὸ ὁποῖον καὶ αὐτὸς ἐπρόσθεσεν ἀμέσως λέγων· «Καὶ ἡ ζωὴ ἦτο τὸ φῶς». Ὅπως λοιπὸν τὸ φῶς ὅσας μυριάδας καὶ ἂν φωτίσῃ δὲν χάνει καθόλου τὴν λάμψιν του, ἔτσι καὶ ὁ Θεὸς καὶ πρὶν νὰ ἐργασθῇ καὶ μετὰ τὴν δημιουργίαν, παραμένει καθ' ὅμοιον τρόπον ἀνελλιπής, χωρὶς νὰ ἐλαττώνεται καθόλου, οὔτε νὰ ἀτονῇ ἀπὸ τὴν μεγάλην δημιουργίαν. Ἀλλὰ καὶ ἂν χρειασθῇ νὰ γίνουν μύριοι κόσμοι τέτοιοι, ἀκόμη καὶ ἄπειροι, παραμένει ὁ ἴδιος καὶ ἐπαρκεῖ εἰς ὅλους, ὄχι μόνον διὰ νὰ τοὺς παραγάγῃ, ἀλλὰ καὶ νὰ τοὺς διατηρήσῃ μετὰ τὴν δημιουργίαν. Διότι τὸ ὄνομα τῆς ζωῆς ἐδῶ δὲν εἶναι δηλωτικὸν μόνον τῆς δημιουργίας, ἀλλὰ καὶ τῆς προνοίας διὰ τὴν συντήρησιν.

Ἀλλὰ μᾶς προαναφέρει καὶ τὸν λόγον τῆς ἀναστάσεως καὶ ἀρχίζει τὰ θαυμάσια αὐτὰ χαρμόσυνα μηνύματα. Διότι ἀφοῦ ἡ ζωὴ ἦλθε εἰς ἡμᾶς, κατηργήθη ἡ δύναμις τοῦ θα-

νάτου τὸ κράτος, καί, τοῦ φωτὸς λάμψαντος ἡμῖν, οὐκ ἔτι τὸ σκότος ἐστίν, ἀλλὰ μένει διὰ παντὸς ἐν ἡμῖν τὸ ζῆν, καὶ θάνατος αὐτοῦ περιγενέσθαι οὐ δύναται. Ὥστε, ὃ περὶ τοῦ Πατρὸς εἴρηται, καὶ περὶ τούτου κυρίως ἂν λεχθείη, ὅτι «Ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν». Ὁ καὶ Παῦλος δηλῶν, ἔλεγεν· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, ἐν αὐτῷ συνέστηκε». Διὸ καὶ ῥίζα καὶ θεμέλιος εἴρηται.

Ὅταν δὲ ἀκούσῃς ὅτι «ἐν αὐτῷ ζωὴ ἦν», μὴ σύνθετον ὑπολάβῃς· καὶ γὰρ προϊὼν καὶ περὶ τοῦ Πατρός φησιν· «Ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν». Ἀλλ' ὥσπερ τὸν Πατέρα οὐκ ἂν εἴποις διὰ τοῦτο συγκεῖσθαι, οὕτω μηδὲ τὸν Υἱόν· καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν, ὅτι «φῶς ἐστιν ὁ Θεός»· καὶ πάλιν, ὅτι «φῶς οἰκεῖ ἀπρόσιτον». Ταῦτα δὲ πάντα εἴρηται, οὐχ ἵνα σύνθεσιν ὑπολάβωμεν, ἀλλ' ἵνα κατὰ μικρὸν ἀναχθῶμεν πρὸς τὸ τῶν δογμάτων ὕψος.

Ἐπειδὴ γὰρ οὐκ ἂν εὐκόλως ἐνόησέ τις τῶν πολλῶν, πῶς ἐστιν αὐτοῦ ἐνυπόστατος ἡ ζωή, πρότερον μὲν ἐκεῖνο εἶπε τὸ ταπεινότερον, ἔπειτα δὲ παιδευθέντας πρὸς τὸ ὑψηλότερον ἄγει· ὁ γὰρ εἰπὼν ὅτι «ἔδωκεν αὐτῷ ζωὴν ἔχειν», οὗτος πάλιν φησίν· «Ἐγώ εἰμι ἡ ζωή», καὶ πάλιν· «Ἐγώ εἰμι τὸ φῶς». Καὶ ποταπόν, εἰπέ μοι, τοῦτο τὸ φῶς; Οὐ τοιοῦτον αἰσθητόν, ἀλλὰ νοητόν, τὴν ψυχὴν φωτίζον αὐτήν. Ἐπειδὴ γὰρ μέλλει λέγειν ὁ Χριστός, ὅτι «Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν», διὰ τοῦτο προλαβὼν ἐνταῦθα ὁ Εὐαγγελιστὴς ἔφησεν, ὅτι αὐτός ἐστιν ὁ φωτίζων, ἵνα, κἂν περὶ τοῦ Πατρὸς ἀκούσῃς τι τοιοῦτον, μὴ τοῦ Πατρὸς εἶναι λέγῃς αὐτὸ μόνον, ἀλλὰ καὶ τοῦ Υἱοῦ· «Πάντα» γάρ, φησίν, «ὅσα ἔχει ὁ Πατήρ μου, ἐμά ἐστι».

13. Πρ. 17, 28.
14. Κολ. 1, 16-17.
15. Ἰω. 5, 26.
16. Α´ Τιμ. 6, 16.
17. Ἰω. 14, 6.
18. Ἰω. 8, 12.
19. Ἰω. 6, 44.
20. Ἰω. 16, 15.

νάτου καὶ ἀφοῦ ἔλαμψε τὸ φῶς εἰς ἡμᾶς, δὲν ὑπάρχει πλέον τὸ σκότος, ἀλλὰ μένει διαπαντὸς μέσα μας ἡ ζωὴ καὶ ὁ θάνατος δὲν ἠμπορεῖ νὰ τὴν καταβάλῃ. Ὥστε ἐκεῖνο ποὺ ἐλέχθη διὰ τὸν Πατέρα θὰ ἠμποροῦσε νὰ λεχθῇ καὶ εἰς τὴν περίπτωσιν αὐτήν, ὅτι «μέσα εἰς αὐτὸν ζῶμεν καὶ κινούμεθα καὶ ὑπάρχομεν»[13]. Αὐτὸ τὸ ἐδήλωσε καὶ ὁ Παῦλος ὅταν ἔλεγεν ὅτι «δι᾽ αὐτοῦ ἐδημιουργήθησαν τὰ πάντα καὶ ὅλα δι᾽ αὐτοῦ συγκρατοῦνται εἰς τὴν ζωήν»[14].

Ὅταν δὲ ἀκούῃς ὅτι «ἐν αὐτῷ ζωὴ ἦν» μὴ τὸ ἐκλαμβάνῃς σύνθετον, διότι καθὼς προχωρεῖ ὁμιλεῖ καὶ διὰ τὸν Πατέρα· «Ὅπως ὁ Πατὴρ ἔχει ζωὴν μέσα του, ἔτσι ἔδωσε καὶ εἰς τὸν Υἱὸν νὰ ἔχῃ μέσα του ζωήν»[15]. Ὅπως ὅμως δὲν θὰ ἠμποροῦσες νὰ εἰπῇς ἐξ αἰτίας αὐτοῦ ὅτι ὁ Πατὴρ εἶναι σύνθετος, ἔτσι οὔτε καὶ ὁ Υἱός. Διότι καὶ ἀλλοῦ λέγει ὅτι «ὁ Θεὸς εἶναι φῶς» καὶ πάλιν ὅτι «κατοικεῖ φῶς ἀπρόσιτον»[16]. Ὅλα αὐτὰ δὲ λέγονται ὄχι διὰ νὰ ὑποθέσωμεν σύνθεσιν, ἀλλὰ διὰ νὰ ἀνέβωμεν σιγὰ - σιγὰ εἰς τὸ ὕψος τῶν δογμάτων.

Διότι ἐπειδὴ κάποιος ἀπὸ τοὺς πολλοὺς δὲν θὰ ἠμποροῦσε νὰ ἀντιληφθῇ πῶς ἡ ζωή του εἶναι ἐνυπόστατος, ἀνέφερεν εἰς τὴν ἀρχὴν ἐκεῖνο τὸ ὑποδεέστερον καὶ ἀφοῦ ἐδιδάχθημεν ἐκεῖνο μᾶς ὁδηγεῖ πρὸς τὰ ὑψηλότερα. Διότι ἐκεῖνος ποὺ εἶπεν ὅτι «ἔδωκεν εἰς αὐτὸν νὰ ἔχῃ μέσα του ζωήν», αὐτὸς πάλιν λέγει «ἐγώ εἰμι ἡ ζωὴ»[17] καὶ «ἐγώ εἰμι τὸ φῶς»[18]. Καὶ τί εἴδους εἶναι, εἰπέ μου, αὐτὸ τὸ φῶς; Δὲν εἶναι αἰσθητόν, ἀλλὰ νοητόν, τὸ ὁποῖον φωτίζει τὴν ἰδίαν τὴν ψυχήν. Διότι ἐπειδὴ πρόκειται νὰ εἰπῇ ὁ Χριστός, ὅτι «κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ κοντά μου, ἐὰν δὲν τὸν ἑλκύσῃ ὁ Πατήρ»[19], δι᾽ αὐτὸ προλαμβάνει ἐδῶ ὁ εὐαγγελιστὴς καὶ λέγει ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ φωτίζει, εἰς τρόπον ὥστε καὶ ὅταν ἀκούσῃς κάτι τέτοιο διὰ τὸν Πατέρα, νὰ μὴ νομίσῃς ὅτι αὐτὸ ἀνήκει μόνον εἰς τὸν Πατέρα, ἀλλὰ καὶ εἰς τὸν Υἱόν. Διότι «ὅλα ὅσα ἔχει ὁ Πατήρ μου, λέγει, εἶναι ἰδικά μου»[20].

Πρῶτον μὲν οὖν περὶ τῆς δημιουργίας ἡμᾶς ἐδίδαξεν, ἔπειτα λέγει καὶ τὰ κατὰ ψυχὴν ἀγαθά, ἅπερ παρέσχεν ἡμῖν ἐλθών, καὶ δι' ἑνὸς ῥήματος ᾐνίξατο αὐτὰ ὁ Εὐαγγελιστής, εἰπών· «Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων». Καὶ οὐκ εἶπεν· Ἦν τὸ φῶς τῶν Ἰουδαίων, ἀλλὰ καθόλου «τῶν ἀνθρώπων». Οὐδὲ γὰρ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ Ἕλληνες πρὸς ταύτην ἦλθον τὴν γνῶσιν, καὶ κοινὸν ἅπασι προὔκειτο τοῦτο τὸ φῶς. Τίνος δὲ ἕνεκεν οὐχὶ καὶ τοὺς ἀγγέλους προσέθηκεν, ἀλλὰ «τῶν ἀνθρώπων εἶπεν; Ὅτι νῦν αὐτῷ περὶ τῆς φύσεως ταύτης ὁ λόγος ἐστί, καὶ τούτοις ἦλθεν εὐαγγελιζόμενος τὰ ἀγαθά. «Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει». Σκοτίαν καὶ τὸν θάνατον καὶ τὴν πλάνην φησί· τὸ μὲν γὰρ φῶς τοῦτο τὸ αἰσθητὸν οὐκ ἐν τῇ σκοτίᾳ φαίνει, ἀλλ' ἐκείνης χωρίς, τὸ δὲ κήρυγμα μεταξὺ τῆς πλάνης κρατούσης ἔλαμψε, κἀκείνην ἠφάνισε. Καὶ ἐν τῷ θανάτῳ γενόμενος αὐτός, οὕτως αὐτοῦ περιεγένετο, ὡς καὶ τοὺς ἤδη προκατεχομένους ἀναγαγεῖν. Ἐπεὶ οὖν οὔτε ὁ θάνατος αὐτοῦ περιεγένετο, οὔτε ἡ πλάνη, ἀλλ' ἔστι φαιδρὸν πανταχοῦ, καὶ λάμπει μετὰ τῆς οἰκείας ἰσχύος, διὰ τοῦτό φησι· «Καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε». Καὶ γάρ ἐστιν ἀκαταγώνιστον, οὐκ ἐμφιλοχωροῦν ταῖς μὴ φωτισθῆναι βουλομέναις ψυχαῖς.

4. Εἰ δὲ μὴ πάντας εἷλε, μή σε τοῦτο θορυβείτω· οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ βουλήσει καὶ γνώμῃ προσάγεται ἡμᾶς ὁ Θεός. Μὴ δὴ τὰς θύρας ἀποκλείσῃς τῷ φωτὶ τούτῳ, καὶ πολλῆς ἀπολαύσῃ τῆς τρυφῆς. Παραγίνεται δὲ τοῦτο τὸ φῶς διὰ πίστεως, καὶ παραγενόμενον καταλάμπει λοιπὸν μετὰ πολλῆς τῆς δαψιλείας τὸν ὑποδεξάμενον· κἂν βίον αὐτῷ παρέχῃς καθαρόν, μένει διηνεκῶς ἐνοικοῦν ἔνδον· «Ὁ γὰρ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ πρὸς αὐτόν, φησί, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα».

---

21. Ἰω. 14, 23.

Κατὰ πρῶτον λοιπὸν μᾶς ἐδίδαξε περὶ τῆς δημιουργίας. Ἔπειτα ἀναφέρει καὶ τὰ ἀγαθὰ τῆς ψυχῆς, τὰ ὁποῖα μᾶς ἐχάρισεν ὅταν ἦλθε, αὐτὸ δὲ τὸ ὑπαινίχθη ὁ εὐαγγελιστὴς μὲ μίαν φράσιν λέγων· «Καὶ ἡ ζωὴ ἦτο τὸ φῶς τῶν ἀνθρώπων». Δὲν εἶπεν· ἦτο τὸ φῶς τῶν Ἰουδαίων, ἀλλὰ γενικὰ τῶν «ἀνθρώπων». Διότι δὲν προσῆλθαν πρὸς τὴν γνῶσιν μόνον οἱ Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ Ἕλληνες, καὶ τὸ φῶς αὐτὸ ἦτο κοινὸν εἰς ὅλους. Διατί ὅμως δὲν ἐπρόσθεσε καὶ τοὺς ἀγγέλους, ἀλλὰ εἶπε «τῶν ἀνθρώπων»; Διότι τώρα αὐτὸς περὶ τῆς φύσεως αὐτῆς κάμνει λόγον καὶ χάριν αὐτῶν ἦλθε νὰ διακηρύξῃ τὰ ἀγαθά.

«Καὶ τὸ φῶς φέγγει εἰς τὸ σκότος». Σκότος ὀνομάζει καὶ τὸν θάνατον καὶ τὴν πλάνην. Διότι τὸ αἰσθητὸν αὐτὸ φῶς δὲν φέγγει εἰς τὸ σκότος, ἀλλὰ χωρὶς ἐκεῖνο. Ἐνῷ τὸ κήρυγμα ἔλαμψε μέσα εἰς τὴν πλάνην ἡ ὁποία κυριαρχοῦσε καὶ ἐκείνην ἐξηφάνισε. Καὶ εἰς τὸν θάνατον ὅταν ἦλθεν ὁ ἴδιος, τόσον ἐκυριάρχησεν εἰς αὐτόν, ὥστε νὰ ἀνεβάσῃ καὶ ἐκείνους ποὺ ἤδη κατείχοντο ἀπὸ πρίν. Ἐπειδὴ λοιπὸν οὔτε ὁ θάνατος ἐκυριάρχησαν οὔτε ἡ πλάνη, ἀλλὰ εἶναι λαμπερὸν παντοῦ καὶ φωτίζει μὲ τὴν ἰδικήν του δύναμιν, διὰ τοῦτο λέγει· «καὶ τὸ σκότος δὲν τὸ ἐπεσκίασε». Διότι εἶναι ἀκαταγώνιστον, χωρὶς νὰ ὑπεισέρχεται εἰς τὰς ψυχὰς αἱ ὁποῖαι δὲν θέλουν νὰ φωτισθοῦν.

4. Ἐὰν δὲ δὲν ἐκυρίευσεν ὅλους, αὐτὸ νὰ μὴ σὲ θορυβῇ. Διότι ὁ Θεὸς δὲν μᾶς προσελκύει μὲ ἐξαναγκασμὸν καὶ βίαν, ἀλλὰ μὲ τὴν θέλησιν καὶ τὴν προαίρεσιν. Μὴ κλείσῃς λοιπὸν τὰς θύρας εἰς τὸ φῶς αὐτὸ καὶ θὰ ἀπολαύσῃς μεγάλην εὐχαρίστησιν. Ἔρχεται δὲ τὸ φῶς αὐτὸ μὲ τὴν πίστιν καὶ ὅταν ἔλθῃ φωτίζει μὲ πολλὴν ἀφθονίαν αὐτὸν ποὺ τὸ ὑποδέχεται. Καὶ ἐὰν τοῦ προσφέρῃς βίον καθαρὸν μένει διαρκῶς καὶ κατοικεῖ μέσα σου· «Διότι ἐκεῖνος ποὺ μὲ ἀγαπᾷ, λέγει, θὰ τηρήσῃ τὰς ἐντολάς μου καὶ θὰ ἔλθωμεν ἐγὼ καὶ ὁ Πατὴρ εἰς αὐτὸν καὶ θὰ κατοικήσωμεν μαζί του»[21].

Ὥσπερ οὖν ἡλιακῆς ἀκτῖνος ἀπολαύειν ὡς χρὴ οὐκ ἔνι, μὴ διανοίγοντα τοὺς ὀφθαλμούς, οὕτως οὐδὲ ταύτης μετασχεῖν τῆς λαμπρότητος δαψιλῶς, μὴ σφόδρα ἀναπετάσαντα τὸ τῆς ψυχῆς ὄμμα, καὶ ὀξυδερκὲς αὐτὸ πάντοθεν κατασκευάσαντα. Πῶς δὲ γίνεται τοῦτο; Ὅταν πάντων ἐκκαθάρωμεν τῶν παθῶν τὴν ψυχήν· ἡ γὰρ ἁμαρτία σκότος ἐστί, καὶ σκότος βαθύ, καὶ δῆλον ἐκ τοῦ ἀσυνειδήτως καὶ λανθανόντως πράσσειν αὐτήν. «Πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς»· καί, «Τὰ κρυφῇ γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν».

Καθάπερ οὖν ἐν σκότῳ οὐ φίλον, οὐκ ἐχθρόν τις οἶδεν, ἀλλὰ πάσας ἀγνοεῖ τῶν πραγμάτων τὰς φύσεις, οὕτω καὶ ἐν τῇ ἁμαρτίᾳ· καὶ γὰρ ὁ πλεονεκτῆσαι βουλόμενος οὐ διαιρεῖ τὸν φίλον ἀπὸ τοῦ πολεμίου, καὶ ὁ βασκαίνων καὶ τὸν σφόδρα ᾠκειωμένον ὡς ἐχθρὸν ὁρᾷ, καὶ ὁ ἐπιβουλεύων ὁμοίως πρὸς πάντας ἐκπεπολέμωται, καὶ ἁπλῶς ἅπας ὁ τὴν ἁμαρτίαν ποιῶν τῶν μεθυόντων οὐδὲν διενήνοχε καὶ μαινομένων πρὸς τὸ τῶν πραγμάτων μὴ ἐπιγνῶναι τὴν φύσιν· Καὶ καθάπερ ἐν νυκτὶ καὶ ξύλον, καὶ μόλυβδον, καὶ σίδηρον, καὶ ἄργυρον, καὶ χρυσόν, καὶ λίθον τίμιον, πάντα ὁμοίως ὁρῶμεν, τοῦ διακρίνοντος αὐτὰ φωτὸς οὐ παρόντος, οὕτω καὶ ὁ βίον ἀκάθαρτον ἔχων οὐκ οἶδε τῆς σωφροσύνης τὴν ἀρετήν, οὐ τῆς φιλοσοφίας τὸ κάλλος· ἐν γὰρ σκότῳ, καθάπερ ἔφθην εἰπών, κἂν λίθοι κέωνται τίμιοι, τὸ κάλλος οὐκ ἐμφαίνουσιν οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἄγνοιαν τῶν ὁρώντων.

Οὐ τοῦτο δὲ μόνον ἡμῖν τὸ δεινὸν τοῖς ἐν ἁμαρτίαις οὖσι συμβαίνει, ἀλλ᾽ ὅτι καὶ φόβῳ συζῶμεν διηνεκεῖ· καὶ καθάπερ οἱ διὰ νυκτὸς ἀσελήνου βαδίζοντες τρέμουσι, κἂν μηδεὶς ὁ

22. Ἰω. 3, 20.
23. Ἐφ. 5, 12.

῞Οπως λοιπὸν δὲν εἶναι δυνατὸν νὰ ἀπολαύσῃς τὴν ἀκτῖνα τοῦ ἡλίου ὅπως πρέπει χωρὶς νὰ ἀνοίξῃς καλὰ τοὺς ὀφθαλμούς, ἔτσι οὔτε νὰ συμμετάσχῃς εἰς αὐτὴν τὴν λαμπρότητα μὲ ἀφθονίαν εἶναι δυνατόν, χωρὶς νὰ ἀνοίξῃς καλὰ τὸν ὀφθαλμὸν τῆς ψυχῆς καὶ νὰ τὸ κάνῃς νὰ βλέπῃ μὲ ὀξυδέρκειαν παντοῦ. Πῶς γίνεται αὐτό; ῞Οταν καθαρίσωμεν τὴν ψυχὴν ἀπὸ ὅλα τὰ πάθη. Διότι ἡ ἁμαρτία εἶναι σκότος καὶ σκότος βαθύ. Αὐτὸ δὲ εἶναι φανερὸν ἀπὸ τὸ ὅτι ἐνεργεῖ χωρὶς συνείδησιν καὶ ἀπαρατηρήτως, ἀφοῦ «ὅποιος κάνει κακὰ ἔργα μισεῖ τὸ φῶς καὶ δὲν ἔρχεται εἰς τὸ φῶς»[22] καὶ «ὅσα γίνονται κρυφὰ εἶναι ἐντροπὴ καὶ νὰ τὰ ἀναφέρῃ κανείς»[23].

῞Οπως λοιπὸν εἰς τὸ σκότος οὔτε τὸν φίλον οὔτε τὸν ἐχθρὸν γνωρίζει κανείς, ἀλλὰ ἀγνοεῖ ὅλας τὰς φύσεις τῶν πραγμάτων, ἔτσι συμβαίνει καὶ μὲ τὴν ἁμαρτίαν. ῎Αλλωστε ἐκεῖνος ποὺ θέλει νὰ γίνῃ πλεονέκτης, δὲν διακρίνει τὸν φίλον ἀπὸ τὸν πολέμιον, ὁ συκοφάντης καὶ τὸν πιὸ φίλον του τὸν βλέπει ὡς ἐχθρόν, ὁ δὲ ἐπίβουλος γίνεται ἐχθρὸς καθ' ὅμοιον τρόπον μὲ ὅλους, καὶ γενικὰ καθένας ποὺ κάνει ἁμαρτίαν, δὲν διαφέρει καθόλου ἀπὸ αὐτοὺς ποὺ μεθύουν καὶ μαίνονται, διότι δὲν ἔχει ἐπίγνωσιν τῆς φύσεως τῶν πραγμάτων. Καὶ ὅπως κατὰ τὴν νύκτα καὶ τὸ ξύλον καὶ τὸν μόλυβδον καὶ τὸν σίδηρον καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν καὶ τὸν πολύτιμον λίθον, ὅλα τὰ βλέπομεν ἴδια, ἐφ' ὅσον δὲν ὑπάρχει τὸ φῶς ποὺ κάμνει νὰ τὰ διακρίνωμεν, ἔτσι καὶ αὐτὸς ποὺ ἔχει ἀκάθαρτον βίον, δὲν γνωρίζει τὸ χάρισμα τῆς σωφροσύνης, οὔτε τῆς ἐγκαρτερήσεως τὴν ὡραιότητα. Διότι εἰς τὸ σκότος, ὅπως εἶπα προηγουμένως, καὶ πολύτιμοι λίθοι ἂν ὑπάρχουν, δὲν φανερώνουν τὴν ὀμορφιάν των, ὄχι ἐξ αἰτίας τῆς φύσεώς των, ἀλλὰ ἀπὸ τὴν ἄγνοιαν αὐτῶν ποὺ τοὺς βλέπουν.

Καὶ δὲν συμβαίνει μόνον αὐτὸ τὸ κακὸν εἰς ἡμᾶς οἱ ὁποῖοι εὑρισκόμεθα εἰς ἁμαρτίας, ἀλλὰ ζῶμεν καὶ μὲ διαρκῆ φόβον. Καὶ ὅπως τρέμουν ἐκεῖνοι ποὺ βαδίζουν μέσα εἰς

φοβῶν παρῇ, οὕτω καὶ οἱ τὴν ἁμαρτίαν ἐργαζόμενοι θαρρεῖν οὐκ ἔχουσι, κἂν μηδεὶς ὁ ἐλέγχων ᾖ, ἀλλὰ πάντα δεδοίκασι, καὶ ὑποπτεύουσιν, ὑπὸ τοῦ συνειδότος κεντούμενοι, καὶ πάντα αὐτοῖς δέους καὶ ἀγωνίας ἐστὶ μεστά, πάντα περιβλέπονται, πάντα φοβοῦνται.

Φύγωμεν τοίνυν τὴν οὕτως ὀδυνηρὰν ζωήν· καὶ γὰρ μετὰ τὴν ὀδύνην ταύτην θάνατος ἕψεται, θάνατος ἀθάνατος· οὐδὲ γάρ ἐστι τῆς ἐκεῖ κολάσεως τέλος· καὶ ἐνταῦθα δὲ τῶν παραπαιόντων οὐδὲν διενηνόχασιν οἱ πράγματα ὀνειροπολοῦντες οὐχ ὑφεστῶτα· καὶ γὰρ δοκοῦσι πλουτεῖν οὐ πλουτοῦντες, καὶ νομίζουσι τρυφᾶν οὐ τρυφῶντες, καὶ οὐ πρότερον αἰσθάνονται τῆς ἀπάτης ὡς χρὴ ταύτης, ἕως ἂν τῆς μανίας ἀπαλλαγῶσιν, ἕως ἂν τὸν ὕπνον ἀποτινάξωνται.

Διὸ νήφειν καὶ ἐγρηγορέναι πᾶσιν ὁ Παῦλος παρακελεύεται, καὶ ὁ Χριστὸς τὰ αὐτὰ πάλιν. Ὁ νήφων καὶ ἐγρηγορῶς, κἂν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ, ταχέως αὐτὴν ἀποκρούεται· ὁ δὲ καθεύδων καὶ ἐξεστηκὼς οὐκ αἰσθάνεται πῶς ὑπ' αὐτῆς κατέχεται. Μὴ τοίνυν καθεύδωμεν· οὐ γὰρ νυκτὸς ὁ καιρός, ἀλλ' ἡμέρας. «Ὡς ἐν ἡμέρᾳ» τοίνυν «εὐσχημόνως περιπατήσωμεν». Οὐδὲν γὰρ ἁμαρτίας ἀσχημονέστερον. Ἔλαττον κακὸν εἰς ἀσχημοσύνης λόγον γυμνούς, ἢ ἁμαρτάνοντας ἢ πλημμελοῦντας περιέρχεσθαι· ἐκεῖνο μὲν γὰρ οὐ τοσοῦτον ἔγκλημα, (πολλάκις γὰρ καὶ ἀπὸ πενίας γένοιτ' ἄν), τοῦ δὲ ἁμαρτάνοντος οὐδὲν αἰσχρότερον καὶ ἀτιμότερον.

Ἐννοήσωμεν οὖν τοὺς εἰς δικαστήριον ἀπιόντας ἁρπαγῆς ἕνεκα καὶ πλεονεξίας, πῶς αἰσχροὶ καὶ καταγέλαστοι φαίνονται, πάντα ἀναισχυντοῦντες, ψευδόμενοι καὶ ἰταμευό-

---

24. Ρωμ. 13, 13.

νύκτα ἀσέληνον, ἔστω καὶ ἂν δὲν ὑπάρχῃ κανεὶς ποὺ νὰ τοὺς φοβίζῃ, ἔτσι καὶ αὐτοὶ ποὺ κάνουν τὴν ἁμαρτίαν, δὲν ἠμποροῦν νὰ ἀναθαρρήσουν, ἔστω καὶ ἂν δὲν ὑπάρχῃ κανεὶς ποὺ νὰ τοὺς ἐλέγχῃ. Ἀντιθέτως φοβοῦνται τὰ πάντα καὶ τὰ ὑποπτεύονται τυπτόμενοι ὑπὸ τῆς συνειδήσεως καὶ ὅλα δι' αὐτοὺς εἶναι γεμᾶτα φόβον καὶ ἀγωνίαν, ὅλα τὰ ἐξετάζουν μὲ ἀγωνίαν, ὅλα τὰ φοβοῦνται.

Ἂς ἀποφύγωμεν λοιπὸν τὴν τόσον ὀδυνηρὰν ζωήν. Διότι μετὰ τὴν ὀδύνην αὐτὴν ἀκολουθεῖ θάνατος, θάνατος αἰώνιος. Διότι τῆς ἐκεῖ τιμωρίας δὲν ὑπάρχει τέλος. Ἀλλὰ καὶ ἐδῶ δὲν διαφέρουν καθόλου ἀπὸ τοὺς μεθυσμένους ἐκεῖνοι ποὺ ποθοῦν διακαῶς πράγματα ποὺ δὲν ὑπάρχουν. Διότι νομίζουν ὅτι πλουτίζουν ἐνῷ δὲν πλουτίζουν καὶ νομίζουν ὅτι εὐχαριστοῦνται ἐνῷ δὲν εὐχαριστοῦνται καὶ δὲν ἀντιλαμβάνονται τὴν πλάνην των αὐτὴν ὅπως πρέπει μέχρις ὅτου ἀπαλλαγοῦν ἀπὸ τὴν πλάνην, μέχρις ὅτου ἀποτινάξουν τὸν ὕπνον.

Δι' αὐτὸ ὁ Παῦλος παραγγέλει νὰ εἴμεθα νηφάλιοι καὶ ἄγρυπνοι ὅλοι, καὶ ὁ Χριστὸς τὰ ἴδια ἐπίσης. Ὁ νηφάλιος καὶ ἄγρυπνος, καὶ ἐὰν ἀκόμη κυριευθῇ ἀπὸ τὴν ἁμαρτίαν, γρήγορα τὴν ἀποκρούει. Ἐνῷ ὁ κοιμισμένος καὶ ἔξαλλος δὲν ἀντιλαμβάνεται ὅτι κυριαρχεῖται ἀπὸ αὐτήν.

Ἂς μὴ κοιμώμεθα λοιπόν· διότι δὲν εἶναι περίοδος νυκτὸς ἀλλὰ ἡμέρας· «Ἂς εἶναι ἡ συμπεριφορά μας σεμνὴ ὅπως ὅταν εἶναι ἡμέρα»[24], διότι δὲν ὑπάρχει πιὸ ἄσχημον πρᾶγμα ἀπὸ τὴν ἁμαρτίαν. Εἶναι μικρότερον κακὸν εἰς ἀσχημοσύνην νὰ κυκλοφορῶμεν γυμνοί, παρὰ ἁμαρτάνοντες καὶ πλανώμενοι. Διότι ἐκεῖνο μὲν δὲν εἶναι καὶ τόσον ἐγκληματικόν, ἀφοῦ πολλὰς φορὰς θὰ ἠμποροῦσε νὰ γίνῃ καὶ ἀπὸ πενίαν, ἐνῷ ἀπὸ τὸν ἁμαρτάνοντα δὲν ὑπάρχει πιὸ αἰσχρὸν καὶ πιὸ ἄτιμον πρᾶγμα.

Ἂς σκεφθῶμεν ἐκείνους ποὺ μεταβαίνουν εἰς τὸ δικαστήριον ἐξ αἰτίας κλοπῆς καὶ πλεονεξίας, πόσον αἰσχροὶ καὶ καταγέλαστοι φαίνονται μὲ τὸ νὰ κάμνουν κάθε εἶδους

μενοι. Ἡμεῖς δὲ οὕτως ἐσμὲν ἐλεεινοὶ καὶ ταλαίπωροι, ὡς ἱμάτιον μὲν μὴ ἂν ὑπομεῖναι ἁπλῶς περιβαλέσθαι καὶ διεστραμμένως, ἀλλά, κἂν ἕτερον ἴδωμεν τοῦτο πάσχοντα, διορθοῦσθαι, πάντων δὲ καὶ ἡμῶν καὶ τῶν πλησίον κατὰ κεφαλῆς περιπατούντων, μηδὲ ἐπαισθάνεσθαι.

Τί γὰρ αἰσχρότερον, εἰπέ μοι, ἀνδρός, πρὸς γυναῖκα πόρνην εἰσιόντος; τί δὲ ὑβριστοῦ; τί δὲ λοιδόρου καὶ βασκάνου καταγελαστότερον γένοιτ' ἄν; πόθεν οὖν οὐ δοκεῖ ταῦτα οὕτως εἶναι αἰσχρά, ὡς τὸ γυμνοὺς περιπατεῖν; Ἀπὸ τῆς συνηθείας μόνης· τοῦτο μὲν γὰρ οὐδεὶς οὐδέποτε ἑκὼν ἔπαθεν, ἐκεῖνο δὲ ἅπασιν ἀεὶ τολμᾶται μετὰ ἀδείας. Ἐπεί, εἴ τις εἰς ἀγγέλων πλῆθος ἦλθε, παρ' οἷς οὐδὲν οὐδέποτε τοιοῦτον ἐγένετο, εἶδεν ἂν τότε ἀκριβῶς τὸν πολὺν γέλωτα· Καὶ τί λέγω πλῆθος ἀγγέλων; Ἐν γὰρ τοῖς βασιλείοις αὐτοῖς τοῖς παρ' ἡμῖν, εἴ τις ἂν πόρνην εἰσαγαγὼν χρῷτο αὐτῇ, ἢ μέθῃ οἴνου κατασχεθείη, ἢ ἄλλο τι τοιοῦτον ἀσχημονήσειε, τὴν ἐσχάτην δίδωσι δίκην. Εἰ δὲ ἐν βασιλείοις οὐκ ἀνεκτὸν τὰ τοιαῦτα τολμᾶν, πολλῷ μᾶλλον, τοῦ πανταχοῦ βασιλέως παρόντος καὶ τὰ γινόμενα θεωμένου, ἂν τοιαῦτα τολμῶμεν, τὴν ἐσχάτην ὑποστησόμεθα κόλασιν.

Διό, παρακαλῶ, πολλὴν ἐν τῷ βίῳ τὴν ἡσυχίαν ἐπιδειξώμεθα, πολλὴν τὴν καθαρότητα· καὶ γὰρ ἔχομεν βασιλέα, πάντα ὁρῶντα διηνεκῶς τὰ ἡμέτερα. Ἵν' οὖν ἡμᾶς ἀεὶ τοῦτο δαψιλῶς φωτίζῃ τὸ φῶς, ἐπισπασώμεθα ταύτην τὴν ἀκτῖνα· οὕτω γὰρ καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀπολαύσομεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀναισχυντίαν, νὰ ψεύδωνται καὶ νὰ ἀποθρασύνωνται. Ἐμεῖς ὅμως εἴμεθα τόσον ἐλεεινοὶ καὶ ἄθλιοι, ὥστε ἐνῷ ὄχι μόνον ἁπλῶς δὲν ἀνεχόμεθα νὰ φορέσωμεν τὸ ἔνδυμά μας ἀνάποδα, ἀλλὰ καὶ ἂν ἰδοῦμεν ἄλλον νὰ τὸ ἔχῃ πάθει τὸν διορθώνομεν, τὸ ὅτι ὅμως ὅλοι καὶ ἐμεῖς καὶ οἱ γύρω μας περιπατοῦμεν μὲ τὴν κεφαλὴν πρὸς τὰ κάτω οὔτε τὸ αἰσθανόμεθα.

Διότι, εἰπέ μου, τί εἶναι πιὸ αἰσχρὸν ἀπὸ ἄνδρα ὁ ὁποῖος πηγαίνει εἰς γυναῖκα πόρνην; Καὶ τί θὰ ἠμποροῦσε νὰ γίνῃ πιὸ καταγέλαστον ἀπὸ τὸν ὑβριστήν, τὸν βλάσφημον καὶ τὸν συκοφάντην; Ἀπὸ τί λοιπὸν δὲν θεωροῦνται τόσον αἰσχρά, ὅσον τὸ νὰ περιπατῇ κανεὶς γυμνός; Μόνον ἀπὸ τὴν συνήθειαν. Διότι αὐτὸ μὲν κανεὶς ποτὲ δὲν τὸ ἔκανε θεληματικά, ἐνῷ ἐκεῖνο ἀπὸ ὅλους πάντοτε ἀποτολμᾶται ἐλευθέρως. Διότι, ἐὰν κανεὶς ἤρχετο εἰς πλῆθος ἀγγέλων, εἰς τοὺς ὁποίους δὲν συνέβη ποτέ κάτι παρόμοιον, θὰ διεπίστωνε τότε μὲ ἀκρίβειαν πόσον καταγέλαστον εἶναι.

Ἀλλὰ διατί λέγω πλῆθος ἀγγέλων; Ἐὰν κανεὶς εἰς τὰ ἀνάκτορα αὐτὰ τὰ ἰδικά μας φέρῃ μίαν πόρνην καὶ τὴν χρησιμοποιήσῃ, ἢ ἐὰν κυριευθῇ ἀπὸ μέθην οἴνου, ἢ κάνῃ κάποιαν ἄλλην ἀσχημοσύνην, θὰ τιμωρηθῇ αὐστηρά. Ἐὰν δὲ δὲν εἶναι ἀνεκτὸν νὰ γίνωνται αὐτὰ εἰς τὰ ἀνάκτορα, πολὺ περισσότερον αὐστηρὰ θὰ τιμωρηθῶμεν ὅταν διαπράττωμεν παρομοίας πράξεις ἐπὶ παρουσίᾳ τοῦ βασιλέως τοῦ παντὸς ὁ ὁποῖος βλέπει ὅσα γίνονται.

Δι᾿ αὐτὸ παρακαλῶ νὰ ἐπιδείξωμεν πολλὴν φρονιμάδα εἰς τὸν βίον μας καὶ πολλὴν καθαρότητα. Διότι ἔχομεν βασιλέα ὁ ὁποῖος παρακολουθεῖ τὰς πράξεις μας διαρκῶς. Διὰ νὰ μᾶς φωτίζῃ λοιπὸν πάντοτε μὲ ἀφθονίαν τὸ φῶς, ἂς προσελκύσωμεν αὐτὴν τὴν ἀκτῖνα. Διότι ἔτσι καὶ τὰ ἐδῶ ἀγαθὰ θὰ ἀπολαύσωμεν καὶ τὰ μελλοντικὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἁρμόζει ἡ δόξα μαζὶ μὲ τὸ ἅγιον Πνεῦμα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΣΤ΄.

'Ιω. 1, 6-8

«Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης».

Διαλεχθεὶς περὶ τοῦ Θεοῦ Λόγου τὰ κατεπείγοντα ἐν προοιμίοις ἡμῖν, ὁδῷ καὶ τάξει προβαίνων, καὶ ἐπὶ τὸν τοῦ Λόγου κήρυκα, τὸν ὁμώνυμον αὐτοῦ τὸν Ἰωάννην, ἔρχεται λοιπόν. Σὺ δὲ ἀκούων, ὅτι παρὰ Θεοῦ ἀπεστάλη, μηδὲν λοιπὸν ἀνθρώπινον εἶναι νόμιζε τῶν λεγομένων παρ' ἐκείνου· οὐ γὰρ τὰ αὐτοῦ, ἀλλὰ τὰ τοῦ πέμψαντος ἅπαντα φθέγγεται. Διὸ καὶ ἄγγελος προσηγόρευται· ἀγγέλου δὲ ἀρετὴ τὸ μηδὲν ἴδιον εἰπεῖν. Τὸ δὲ «ἐγένετο» ἐνταῦθα οὐ τῆς εἰς τὸ εἶναι παρόδου δηλωτικόν, ἀλλὰ τῆς ἀποστολῆς ἐστιν αὐτῆς. Τὸ γάρ, «Ἐγένετο ἀπεσταλμένος παρὰ Θεοῦ», ἀντὶ τοῦ ἀπεστάλη παρὰ Θεοῦ».

Πῶς οὖν τό, «Ἐν μορφῇ Θεοῦ ὑπάρχων», οὐ περὶ τῆς πρὸς τὸν Πατέρα ἀπαραλλαξίας εἰρῆσθαί φασι διὰ τὸ μὴ προσκεῖσθαι τὸ ἄρθρον; Ἰδοὺ γὰρ καὶ ἐνταῦθα οὐδαμοῦ τὸ ἄρθρον πρόσκειται. Ἆρ' οὖν οὐ περὶ τοῦ Πατρὸς εἴρηται; Τί οὖν ἐροῦμεν τῷ Προφήτῃ, λέγοντι ὅτι «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου»; Τὸ μὲν «ἐμοῦ» καὶ «σοῦ» δύο προσώπων ἐστὶ δηλωτικόν.

«Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός». Τί τοῦτο; ὁ δοῦλος τῷ Δεσπότῃ μαρτυρεῖ, ἴσως εἴποι τις ἄν; Ὅταν οὖν μὴ μόνον ὑπὸ τοῦ δούλου μαρτυρούμενον αὐτόν, ἀλλὰ καὶ παραγινόμενον ἴδῃς πρὸς αὐτόν, καὶ

1. Φιλ. 2, 6.
2. Μαλαχίου 3, 1 καὶ Μάρκου 1, 1.

ΟΜΙΛΙΑ ΣΤ΄.

Ἰω. 1, 6-8

«Ἐνεφανίσθη ἄνθρωπος ἀπεσταλμένος ἀπὸ τὸν Θεόν, τοῦ ὁποίου τὸ ὄνομα ἦτο Ἰωάννης».

Ἀφοῦ ἀνέφερεν εἰς τὸ προοίμιον ὅσα ἦσαν κατεπείγοντα δι' ἡμᾶς περὶ τοῦ Θεοῦ Λόγου, προχωρῶν εἰς τὴν ὁδὸν καὶ τὴν τάξιν ἔρχεται καὶ εἰς τὸν κήρυκα τοῦ Λόγου, τὸν συνώνυμόν του Ἰωάννην. Σὺ ὅμως ὅταν ἀκούῃς ὅτι ἀπεστάλη ἀπὸ τὸν Θεὸν μὴ νομίζῃς ὅτι τίποτε ἀπὸ ὅσα λέγει ἐκεῖνος εἶναι ἀνθρώπινον. Διότι δὲν ὁμιλεῖ πράγματα ἰδικά του, ἀλλὰ ἐκείνου ὁ ὁποῖος τὸν ἀπέστειλε, δι' αὐτὸ ἄλλωστε καὶ προσαγορεύεται ἄγγελος. Τὸ προσὸν δὲ τοῦ ἀγγέλου εἶναι ὅτι δὲν λέγει τίποτε τὸ ἰδικόν του. Τὸ «ἐγένετο» πάλιν ἐδῶ δὲν εἶναι δηλωτικὸν τῆς ἐμφανίσεώς του ἀλλὰ τῆς ἀποστολῆς του αὐτῆς, διότι τὸ «ἐγένετο ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ», ἐτέθη ἀντὶ τοῦ ἀπεστάλη ἀπὸ τὸν Θεόν.

Πῶς λοιπὸν τὸ «ἐν μορφῇ Θεοῦ ὑπάρχων»[1] ἰσχυρίζονται ὅτι δὲν ἐλέχθη διὰ νὰ δηλώσῃ τὸ ἀπαράλλακτον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, ἐπειδὴ δὲν τίθεται καὶ τὸ ἄρθρον; Νὰ ποὺ καὶ ἐδῶ πουθενὰ δὲν τίθεται τὸ ἄρθρον. Ἑπομένως δὲν ἐλέχθη περὶ τοῦ Πατρός; Τί θὰ ὑποθέσωμεν λοιπὸν ὅταν ὁ προφήτης λέγῃ· «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὶν ἀπὸ σέ, ὁ ὁποῖος θὰ προετοιμάσῃ τὸν δρόμον σου»[2]; Τὸ μὲν «ἐμοῦ» καὶ «σοῦ» εἶναι δηλωτικὰ δύο προσώπων.

«Αὐτὸς ἦλθε χάριν μαρτυρίας, διὰ νὰ μαρτυρήσῃ διὰ τὸ φῶς». Τί σημαίνει αὐτό; Ὁ δοῦλος μαρτυρεῖ διὰ τὸν δεσπότην; ἴσως εἰπῇ κανείς. Ὅταν ὅμως τὸν ἰδῇς ὄχι μόνον νὰ μαρτυρῆται ἀπὸ τὸν δοῦλον, ἀλλὰ καὶ νὰ ἔρχεται καὶ

μετὰ Ἰουδαίων βαπτιζόμενον ὑπ᾽ αὐτοῦ, ἆρ᾽ οὐ μᾶλλον ἐκστήσῃ καὶ διαπορήσεις; Ἀλλ᾽ οὐ χρὴ ταράττεσθαι, οὐδὲ θορυβεῖσθαι, ἀλλ᾽ ἐκπλήττεσθαι τὴν ἄφατον ἀγαθότητα. Ἂν δὲ ἐπιμένῃ τις ἔτι ἰλιγγιῶν καὶ θορυβούμενος, ἐρεῖ καὶ πρὸς αὐτὸν τοῦτο, ὃ καὶ πρὸς Ἰωάννην εἶπεν· «Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην». Εἰ δὲ καὶ ἐπὶ πλεῖον ταραχθείη, πάλιν ἐρεῖ, ἃ πρὸς τοὺς Ἰουδαίους ἔφησε, καὶ πρὸς αὐτόν, ὅτι «Παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω».

Εἰ τοίνυν μὴ δεῖται τῆς μαρτυρίας ταύτης, τίνος ἕνεκεν ἀπεστάλη παρὰ Θεοῦ ὁ Ἰωάννης; Οὐχ ὡς αὐτοῦ δεομένου μαρτυρίας, (τοῦτο γὰρ τῆς ἐσχάτης βλασφημίας ἐστίν), ἀλλὰ διὰ τί; Αὐτὸς ὁ Ἰωάννης διδάσκει, λέγων· «Ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ». Καὶ αὐτὸς δὲ ὁ Χριστὸς εἰπών, ὅτι «Παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω», ἵνα μὴ δόξῃ παρὰ τοῖς ἀνοήτοις ἑαυτῷ περιπίπτειν, νῦν μὲν λέγων· «Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ», τὸν γὰρ Ἰωάννην ἐδήλου· νῦν δὲ λέγων· «Παρὰ ἀνθρώπου τὴν μαρτυρίαν οὐ λαμβάνω», ἐπήγαγε τὴν λύσιν ταχέως, εἰπών· «Ἀλλὰ ταῦτα λέγω δι᾽ ὑμᾶς, ἵνα σωθῆτε»· ὡσανεὶ ἔλεγεν· Ὅτι μὲν Θεός εἰμι, καὶ Θεοῦ γνήσιος Υἱός, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀκηράτου καὶ μακαρίας, καὶ οὐδενὸς δέομαι τοῦ μαρτυρήσαντος. Κἂν γὰρ μηδεὶς ἐθέλῃ τοῦτο ποιεῖν, οὐδὲν ἐγὼ παρὰ τοῦτο εἰς τὴν φύσιν ἠλάττωμαι τὴν ἐμήν. Ἐπειδὴ δὲ τῆς σωτηρίας μοι μέλει τῆς τῶν πολλῶν, τούτου χάριν εἰς τοῦτο κατέβην ταπεινότητος, ὡς καὶ ἀνθρώπῳ τὴν μαρτυρίαν ἐπιτρέψαι τὴν ἐμήν. Διὰ γὰρ τὸ χαμαίζηλον καὶ ἀσθενὲς τῶν Ἰουδαίων, οὕτως εὐληπτοτέρα αὐτοῖς καὶ εὐκολωτέρα ἔμελλεν ἡ εἰς αὐτὸν γίνεσθαι πίστις.

---

3. Ματθ. 3, 15.
4. Ἰω. 5, 34.
5. Ἰω. 5, 32.

νὰ βαπτίζεται ἀπὸ αὐτὸν μαζὶ μὲ τοὺς Ἰουδαίους, δὲν θὰ ἐκπλαγῇς καὶ δὲν θὰ ἀπορήσῃς περισσότερον; Δὲν πρέπει ὅμως νὰ ταράσσεσαι οὔτε νὰ θορυβῆσαι, ἀλλὰ νὰ θαυμάζῃς τὴν ἀπερίγραπτον ἀγαθότητα. Ἐὰν δὲ κανεὶς ἐπιμένῃ ἀκόμη νὰ τρομάζῃ καὶ νὰ θυροβῆται, θὰ εἰπῇ καὶ εἰς ἐκεῖνον αὐτὸ ποὺ εἶπε καὶ πρὸς τὸν Ἰωάννην· «Ἄφησέ τα αὐτὰ πρὸς τὸ παρόν· διότι ἔτσι εἶναι πρέπον εἰς ἡμᾶς, νὰ ἐκτελέσωμεν κάθε ἐντολήν»[3]. Ἐὰν δὲ ταραχθῇ περισσότερον, πάλιν θὰ τοῦ εἰπῇ αὐτὰ ποὺ εἶπεν εἰς τοὺς Ἰουδαίους καὶ αὐτόν, ὅτι «ἀπὸ ἄνθρωπον μαρτυρίαν δὲ δέχομαι»[4].

Ἐφ' ὅσον λοιπὸν δὲν ἔχει ἀνάγκην τῆς μαρτυρίας αὐτῆς, διατί ἀπεστάλη ὁ Ἰωάννης ἀπὸ τὸν Θεόν; Ὄχι ἐπειδὴ αὐτὸς εἶχε ἀνάγκην μαρτυρίας (αὐτὸ ἀποτελεῖ ἐσχάτην βλασφημίαν), ἀλλὰ τότε διατί; Αὐτὸ τὸ διδάσκει ὁ Ἰωάννης ὅταν λέγῃ· «Διὰ νὰ πιστεύσουν ὅλοι δι' αὐτοῦ». Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Χριστὸς ὅταν εἶπεν ὅτι «δὲν δέχομαι μαρτυρίαν ἀπὸ ἄνθρωπον», διὰ νὰ μὴ νομισθῇ ἀπὸ τοὺς ἀνοήτους ὅτι ἀντιφάσκει πρὸς τὸν ἑαυτόν του, ἄλλοτε μὲν λέγων· «Ἄλλος εἶναι ἐκεῖνος ποὺ μαρτυρεῖ δι' ἐμὲ καὶ γνωρίζω ὅτι ἡ μαρτυρία του εἶναι ἀληθινή»[5], ἐννοοῦσε δὲ τὸν Ἰωάννην, ἄλλοτε δὲ «δὲν δέχομαι μαρτυρίαν ἀπὸ ἄνθρωπον», ἐπρόσθεσε καὶ τὴν λύσιν λέγων· «ἀλλὰ αὐτὰ τὰ λέγω δι' ἐσᾶς, διὰ νὰ σωθῆτε»· ὡσὰν νὰ τοὺς ἔλεγεν ὅτι εἶμαι Θεὸς καὶ γνήσιος Υἱὸς τοῦ Θεοῦ καὶ ἀπὸ ἐκείνην τὴν ἄσπιλον καὶ μακαρίαν οὐσίαν καὶ δὲν ἔχω ἀνάγκην ἀπὸ κανένα νὰ μαρτυρήσῃ. Διότι καὶ ἐὰν κανεὶς δὲν θελήσῃ νὰ τὸ κάνῃ αὐτό, ἐγὼ δὲν μειώνομαι καθόλου εἰς τὴν φύσιν μου ἕνεκα τούτου. Ἀλλ' ἐπειδὴ ἐνδιαφέρομαι διὰ τὴν σωτηρίαν τῶν πολλῶν, δι' αὐτὸ ἔφθασα εἰς τέτοιο σημεῖον ταπεινώσεως, ὥστε νὰ ἐπιτρέψω καὶ εἰς ἄνθρωπον νὰ μαρτυρήσῃ δι' ἐμέ. Διότι, ἐξ αἰτίας τῆς ταπεινότητος καὶ τῆς ἀσθενείας τῶν Ἰουδαίων, μὲ τὸν τρόπον αὐτὸν θὰ ἐγίνετο ἡ πίστις αὐτῶν πρὸς ἐκεῖνον περισσότερον εὐπρόσδεκτος καὶ εὔκολος.

Ὥσπερ οὖν σάρκα περιεβάλετο, ἵνα μή, γυμνῇ τῇ θεότητι προσβαλών, ἅπαντας ἀπολέσῃ, οὕτω καὶ κήρυκα ἄνθρωπον ἐξέπεμψεν, ἵνα, τῆς συγγενοῦς ἀκούοντες φωνῆς, εὐκολώτερον οἱ τότε ἀκούοντες προσέρχωνται. Ἐπεί, ὅτι γε τῆς ἐκείνου οὐδὲν ἐδεῖτο μαρτυρίας, ἤρκει δεῖξαι μόνον ἑαυτὸν ὅστις ἦν γυμνῇ τῇ οὐσίᾳ, καὶ καταπλήξασθαι πάντας. Ἀλλὰ τοῦτο οὐκ ἐποίησε, δι' ὅπερ ἔφθην εἰπών· πάντας γὰρ ἂν ἠφάνισε, μηδενὸς δυναμένου τὴν ἀπρόσιτον ἐκείνην τοῦ φωτὸς προσβολὴν ἐνεγκεῖν.

Διὰ τοῦτο καὶ σάρκα, καθάπερ ἔφθην εἰπών, ὑπέδυ, καὶ ἑνὶ τῶν ἡμετέρων ὁμοδούλων ἐγχειρίζει τὴν μαρτυρίαν· ἐπειδὴ πάντα πρὸς τὴν τῶν ἀνθρώπων ἐπραγματεύσατο σωτηρίαν, οὐ πρὸς τὴν ἀξίαν μόνον τὴν ἑαυτοῦ, ἀλλὰ καὶ πρὸς τὸ εὐπαράδεκτον καὶ ὠφέλιμον τοῖς ἀκούουσιν ὁρῶν. Ὅπερ οὖν καὶ αὐτὸς αἰνιττόμενος, ἔλεγε· «Ταῦτα λέγω δι' ὑμᾶς, ἵνα σωθῆτε». Καὶ ὁ Εὐαγγελιστὴς δέ, τὰ αὐτὰ τῷ Δεσπότῃ φθεγγόμενος, μετὰ τὸ εἰπεῖν· «Ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός», ἐπήγαγεν· «Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ», μονονουχὶ λέγων· Μὴ νομίσῃς ὅτι διὰ τοῦτο μαρτυρήσων ἦλθεν ὁ Βαπτιστὴς Ἰωάννης, ἵνα τῷ Δεσπότῃ προσθῇ εἰς ἀξιοπιστίας λόγον· οὐ διὰ τοῦτο, ἀλλ' ἵνα οἱ ὁμόφυλοι πιστεύσωσι δι' αὐτοῦ·

Ὅτι γάρ, ταύτην προανελεῖν τὴν ὑποψίαν σπεύδων, τοῦτο εἴρηκε, καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον· ἐπήγαγε γάρ· «Οὐκ ἦν ἐκεῖνος», λέγων, «τὸ φῶς». Εἰ δὲ μὴ πρὸς τὴν ὑπόνοιαν ταύτην ἱστάμενος ἐπανέλαβε τοῦτο, παρεῖλκεν ἁπλῶς τὸ λεγόμενον, καὶ ταυτολογία μᾶλλον, ἢ σαφήνεια διδασκαλίας ἦν. Εἰπὼν γάρ, ὅτι ἀπεστάλη, «Ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός», τί πάλιν λέγει· «Οὐκ ἦν ἐκεῖνος τὸ φῶς»; Οὐχ ἁπλῶς, οὐδὲ μάτην, ἀλλ', ἐπειδὴ ὡς τὰ πολλὰ παρ' ἡμῖν μείζων ὁ μαρ-

Ὅπως λοιπὸν περιεβλήθη σάρκα, διὰ νὰ μὴ μᾶς ἔλθῃ μὲ γυμνὴν τὴν θεότητα καὶ μᾶς ἐξαφανίσῃ ὅλους, ἔτσι ἀπέστειλε καὶ ἄνθρωπον κήρυκα, ὥστε ἀκούοντες οἱ τότε ἀκροαταὶ τὴν συγγενικὴν φωνήν του νὰ προσέρχωνται. Διότι, ὅτι δὲν εἶχεν ἀνάγκην τῆς μαρτυρίας ἐκείνου, ἦτο ἀρκετὸν νὰ δείξῃ τὸν ἑαυτόν του μόνον, ὅπως εἶναι μὲ γυμνὴν τὴν οὐσίαν, καὶ νὰ τοὺς καταπλήξῃ ὅλους. Ἀλλὰ δὲν τὸ ἔκανεν αὐτό, δι' αὐτὸ ποὺ εἶπα ἤδη· διότι θὰ τοὺς ἐξηφάνιζεν ὅλους, ἀφοῦ κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ ἀντέξῃ ἐκείνην τὴν ἀπλησίαστον ἐμφάνισιν τοῦ φωτός.

Δι' αὐτὸ καὶ σάρκα, ὅπως εἶπα ἤδη, ἐφόρεσε καὶ μὲ κάποιον ἀπὸ τοὺς ἰδικούς μας ὁμοδούλους μᾶς παρέχει τὴν μαρτυρίαν. Ἐπειδὴ ὅλα τὰ ἔκανε διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἀπέβλεπεν ὄχι μόνον εἰς τὴν ἰδικήν του ἀξίαν, ἀλλὰ καὶ εἰς τὸ νὰ εἶναι ὅσα λέγονται εὐπρόσδεκτα καὶ ὠφέλιμα εἰς τοὺς ἀκροατάς. Αὐτὸ ἄλλωστε τὸ ὑπαινίσσετο καὶ ὁ ἴδιος ὅταν ἔλεγεν· «Αὐτὰ τὰ λέγω δι' ἐσᾶς, διὰ νὰ σωθῆτε». Ἀλλὰ καὶ ὁ εὐαγγελιστὴς ἀναφέρων τὰ ἴδια μὲ τὸν Δεσπότην, ἀφοῦ εἶπε «διὰ νὰ μαρτυρήσῃ περὶ τοῦ φωτός», ἐπρόσθεσε· «διὰ νὰ πιστεύσουν ὅλοι δι' αὐτοῦ», ὡσὰν νὰ ἔλεγε· μὴ νομίσῃς ὅτι ὁ Ἰωάννης ὁ Βαπτιστὴς ἦλθε διὰ νὰ προσθέσῃ κάτι εἰς ἀξιοπιστίαν χάριν τοῦ Δεσπότου. Δὲν ἦλθε δι' αὐτό, ἀλλὰ διὰ νὰ πιστεύσουν δι' αὐτοῦ οἱ συνάνθρωποί του.

Διότι, ὅτι τὸ εἶπεν αὐτὸ διὰ νὰ προλάβῃ νὰ ἀνασκευάσῃ αὐτὴν τὴν ὑποψίαν, εἶναι φανερὸν καὶ ἀπὸ τὰ παρακάτω, ὅπου λέγει· «δὲν ἦτο ἐκεῖνος τὸ φῶς». Ἐὰν τὸ ἔλεγεν αὐτὸ χωρὶς νὰ ἔχῃ κατὰ νοῦν τὴν ὑποψίαν αὐτήν, ἦτο περιττὸν ἐντελῶς αὐτὸ ποὺ λέγεται καὶ ταυτολογία, παρὰ διασάφησις τῆς διδασκαλίας του. Διότι ἀφοῦ εἶπεν ὅτι ἀπεστάλη «διὰ νὰ μαρτυρήσῃ περὶ τοῦ φωτός», διατί ἐπαναλαμβάνει πάλιν «δὲν ἦτο ἐκεῖνος τὸ φῶς»; Ὄχι μόνον ὅμως δὲν τὸ ἔκανε ματαίως, ἀλλ' ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον εἰς ἡμᾶς ὁ μαρτυρῶν εἶναι ἀνώτερος ἀπὸ τὸν μαρτυρούμε-

τυρῶν τοῦ μαρτυρουμένου, καὶ ἀξιοπιστότερος πολλάκις εἶναι δοκεῖ, ἵνα μή τις καὶ ἐπὶ τοῦ Ἰωάννου τοῦτο ὑποπτεύσῃ, ἐκ προοιμίων εὐθέως τὴν πονηρὰν ταύτην ὑποψίαν ἀναιρεῖ, καί, πρόρριζον αὐτὴν ἀνασπάσας, δείκνυσι τίς μὲν οὗτος ὁ μαρτυρῶν, τίς δὲ ἐκεῖνος ὁ μαρτυρούμενος, καὶ ὅσον τὸ μέσον τοῦ τε μαρτυρουμένου καὶ τοῦ μαρτυροῦντός ἐστι. Καὶ τοῦτο ποιήσας, καὶ δείξας αὐτοῦ τὴν ἀσύγκριτον ὑπεροχήν, οὕτω μετὰ ἀδείας λοιπὸν καὶ τῷ λειπομένῳ ἐπεξέρχεται λόγῳ· καὶ εἴ τι τῶν ἀτόπων ἦν ταῖς τῶν ἀνοητοτέρων ὑφορμοῦν διανοίαις, τοῦτο ἐκ μέσου μετὰ ἀκριβείας ἄρας, οὕτως ἅπασι μετ' εὐκολίας λοιπὸν καὶ ἀκωλύτως τὸν τῆς διδασκαλίας ἐφεξῆς ἐνίησι λόγον.

Εὐξώμεθα δὴ λοιπὸν μετὰ τῆς τῶν νοημάτων τούτων ἀποκαλύψεως, καὶ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ βίον ἡμῖν γενέσθαι καθαρὸν καὶ πολιτείαν λαμπράν· ἐπειδὴ τούτων ὄφελος οὐδέν, ἔργων μὴ παρόντων ἡμῖν ἀγαθῶν. Κἂν γὰρ ἅπασαν τὴν πίστιν ἔχωμεν καὶ τὴν τῶν Γραφῶν κατανόησιν, τῆς δὲ ἀπὸ τοῦ βίου προστασίας ὦμεν ἔρημοι καὶ γυμνοί, οὐδὲν τὸ κωλύον εἰς τὸ τῆς γεέννης ἀπενεχθῆναι πῦρ, καὶ εἰς ἄπειρον ὑπὸ τῆς ἀσβέστου κατακαίεσθαι φλογός· Ὥσπερ γὰρ οἱ τὰ ἀγαθὰ πράξαντες ἀναστήσονται εἰς ζωὴν αἰώνιον, οὕτως οἱ τὰ ἐναντία τετολμηκότες εἰς αἰώνιον κόλασιν καὶ πέρας οὐδέποτε ἔχουσαν.

Διὸ πᾶσαν ἐπιδειξώμεθα σπουδήν, ὥστε μὴ τὸ γενόμενον ἡμῖν ἀπὸ τῆς ὀρθῆς πίστεως κέρδος διαφθεῖραι τῇ τῶν ἔργων φαυλότητι, ἀλλὰ καὶ ἐντεῦθεν εὐδοκιμήσαντες μετὰ παρρησίας ἰδεῖν τὸν Χριστόν. Ταύτης γὰρ ἴσον οὐδὲν τῆς μακαριότητος εἴη πότ' ἄν. Γένοιτο δὲ πάντας, ἐπιτυχόντας τῶν εἰρημένων, εἰς δόξαν Θεοῦ πάντα πράττειν, ᾧ ἡ δόξα ἅμα τῷ Μονογενεῖ Υἱῷ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νον καὶ θεωρεῖται πολλὲς φορὲς πιὸ ἀξιόπιστος, διὰ νὰ μὴ ὑποθέσῃ κανεὶς τὸ ἴδιον καὶ διὰ τὸν Ἰωάννην, ἀμέσως ἀπὸ τὴν ἀρχὴν ἀνασκευάζει αὐτὴν τὴν ὑπόνοιαν καί, ἀφοῦ τὴν ἔκοψεν ἀπὸ τὴν ρίζαν, δείχνει ποῖος εἶναι αὐτὸς ποὺ δίνει τὴν μαρτυρίαν καὶ ποῖος εἶναι αὐτὸς ποὺ μαρτυρεῖται καὶ ποία εἶναι ἡ ἀπόστασις μεταξὺ μαρτυρουμένου καὶ μάρτυρος. Καὶ ἀφοῦ τὸ ἔκανεν αὐτὸ καὶ ἔδειξε τὴν ἀσύγκριτον ὑπεροχήν του, τότε συνεχίζει ἐλεύθερα τὸν ὑπόλοιπον λόγον. Καὶ ἀφοῦ ἀφῄρεσε μὲ προσοχήν, κάθε τι ἄτοπον ποὺ ὑπεισήρχετο εἰς τὰς διανοίας τῶν ἀνοητοτέρων, τότε μὲ εὐκολίαν πλέον καὶ ἀκωλύτως ἐμβάλλει εἰς ὅλους τὸν ὑπόλοιπον λόγον τῆς διδασκαλίας.

Ἂς προσευχηθῶμεν λοιπόν, μαζὶ μὲ τὴν ἀποκάλυψιν τῶν νοημάτων αὐτῶν καὶ τὴν ὀρθότητα τῶν δογμάτων, νὰ ἔχωμεν καὶ βίον καθαρὸν καὶ πολιτείαν λαμπράν, διότι αὐτὰ δὲν μᾶς παρέχουν κανένα ὄφελος, ἐὰν δὲν ἔχωμεν ἔργα ἀγαθά. Διότι καὶ ἂν ἀκόμη ἔχωμεν ὅλην τὴν πίστιν καὶ τὴν κατανόησιν τῶν Γραφῶν, ἀλλὰ εἴμεθα ἐστερημένοι καὶ γυμνοὶ ἀπὸ τὴν προστασίαν τοῦ βίου, τίποτε δὲν μᾶς ἐμποδίζει νὰ ὁδηγηθῶμεν εἰς τὸ πῦρ τῆς γεέννης καὶ νὰ καιώμεθα αἰωνίως εἰς τὴν ἄσβεστον φλόγα. Διότι ὅπως ἐκεῖνοι ποὺ ἔπραξαν ἔργα ἀγαθά, θὰ ἀναστηθοῦν διὰ νὰ ζήσουν αἰωνίως, ἔτσι καὶ ὅσοι ἔκαναν τὰ ἀντίθετα, θὰ ὁδηγηθοῦν εἰς κόλασιν ἡ ὁποία εἶναι αἰωνία καὶ δὲν ἔχει τέλος.

Δι' αὐτὸ ἂς δείξωμεν κάθε προθυμίαν, εἰς τρόπον ὥστε τὸ κέρδος ποὺ ἔχομεν ἀπὸ τὴν ὀρθὴν πίστιν, νὰ μὴ καταστρέψωμεν μὲ τὴν φαυλότητα τῶν ἔργων, ἀλλ' ἀντιθέτως, ἀφοῦ εὐδοκιμήσωμεν καὶ εἰς τὸν τομέα αὐτόν, νὰ ἀντικρύσωμεν τὸν Χριστὸν μὲ θάρρος. Διότι ποτὲ τίποτε δὲν εἶναι ἰσάξιον αὐτῆς τῆς εὐτυχίας. Εἴθε δὲ ὅλοι ἀφοῦ ἐπιτύχωμεν ὅσα ἐλέχθησαν, νὰ κάνωμεν τὰ πάντα πρὸς δόξαν Θεοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα μαζὶ μὲ τὸν Μονογενῆ του Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ΄.

'Ιω. 1, 9

«Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον».

1. Διὰ τοῦτο, ὦ πολυπόθητα τέκνα, κατὰ μέρος ὑμᾶς τοῖς ἀπὸ τῶν Γραφῶν ἑστιῶμεν νοήμασι, καὶ οὐκ ἀθρόον πάντα ἐκχέομεν, ἵνα ῥᾳδία τῶν ἀεὶ καταβαλλομένων ὑμῖν ἡ φυλακὴ γένηται. Καὶ γὰρ ἐπὶ τῆς οἰκοδομίας ὁ μέν, μηδέπω τῶν προτέρων λίθων σφιγγέντων, ἑτέρους ἐπιθεὶς σαθρὸν ἅπαντα καὶ εὐκατάβλητον ὑφαίνει τὸν τοῖχον, ὁ δὲ ἀναμένων πρότερον παγῆναι τὸν χάλικα, καὶ οὕτω τὸ λεῖπον κατὰ μικρὸν ἐπιτιθεὶς μετὰ ἀσφαλείας ἅπασαν ἀπαρτίζει τὴν οἰκίαν, οὐκ ὀλιγοχρόνιόν τινα οὐδὲ εὐδιάλυτον, ἀλλὰ βεβαίαν κατασκευάζων αὐτήν

Τούτους καὶ ἡμεῖς μιμούμεθα τοὺς οἰκοδόμους, καὶ κατὰ τὸν αὐτὸν τρόπον τὰς ὑμετέρας οἰκοδομοῦμεν ψυχάς· καὶ γὰρ δεδοίκαμεν, μή ποτε, τῆς προτέρας καταβολῆς νεοπαγοῦς ὑπαρχούσης, ἡ τῶν δευτέρων ἐπιθήκη θεωρημάτων καὶ τοῖς προτέροις λυμήνηται, τῆς διανοίας οὐκ ἀρκούσης ἅπαντα ὁμοῦ κατασχεῖν.

Τί τοίνυν ἐστὶ τὸ σήμερον ἡμῖν ἀναγνωσθέν; «Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐπειδὴ γὰρ ἄνω, περὶ τοῦ Ἰωάννου διαλεγόμενος, ἔλεγεν ὅτι ἦλθεν «ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός», καὶ ὅτι νῦν ἀπεστάλη, ἵνα μή τις, ταῦτα ἀκούων, διὰ τὴν τοῦ μαρτυροῦντος πρόσφατον παρουσίαν καὶ περὶ τοῦ μαρτυρουμένου τοιαύτην τινὰ ὑπόνοιαν λάβῃ, ἀνήγαγε τὴν διάνοιαν, καὶ πρὸς τὴν ἐπέκεινα πάσης ἀρχῆς παρέπεμψεν ὕπαρξιν, τὴν οὐδαμοῦ λήγουσαν, οὐδὲ ἱσταμένην.

ΟΜΙΛΙΑ Ζ΄.

'Ιω. 1, 9

«Ἦτο τὸ ἀληθινὸν φῶς, τὸ ὁποῖον φωτίζει κάθε ἄνθρωπον ποὺ ἔρχεται εἰς τὸν κόσμον».

1. Δι' αὐτό, πολυπόθητα παιδιά μου, σᾶς προσφέρομεν πρὸς ἑστίασιν ἀποσπασματικὰ τὰ νοήματα τῶν Γραφῶν καὶ δὲν τὰ παρέχομεν ὅλα μαζί, διὰ νὰ εἶναι εὔκολος πάντοτε ἡ τήρησις αὐτῶν ποὺ σᾶς δίδομεν. Διότι καὶ εἰς τὴν τοιχοδομίαν, ἐκεῖνος ποὺ χωρὶς νὰ ἔχουν στερεωθῆ οἱ προηγούγενοι λίθοι προσθέτει ἄλλους, κάνει ἑτοιμόρροπον καὶ εὐκολογκρέμιστον ὅλον τὸν τοῖχον. Ἐνῷ ἐκεῖνος ποὺ περιμένει πρῶτα νὰ παγώσῃ τὸ ἀμμοχάλικον καὶ ἔπειτα τοποθετεῖ σιγὰ - σιγὰ τὸ ὑπόλοιπον, τελειώνει μὲ ἀσφάλειαν ὁλόκληρον τὴν οἰκίαν καὶ τὴν κάνει ὄχι δι' ὀλίγα μόνον χρόνια, οὔτε ἑτοιμόρροπον, ἀλλὰ σταθεράν.

Αὐτοὺς ἂς μιμούμεθα καὶ ἐμεῖς τοὺς οἰκοδόμους καὶ ἂς οἰκοδομοῦμεν μὲ τὸν ἴδιον τρόπον τὰς ψυχάς σας. Διότι φοβούμεθα μήπως ἡ προσθήκη νέων διδαγμάτων, ἐνῷ ἡ προηγουμένη διδασκαλία εἶναι ἀκόμη νωπή, καταστρέψῃ καὶ τὰ προηγούμενα, ἐπειδὴ ἡ διάνοια δὲν ἀντέχῃ νὰ τὰ συγκρατήσῃ ὅλα μαζί.

Ποῖον λοιπὸν εἶναι τὸ σημερινὸν ἀνάγνωσμα; «Ἦτο τὸ φῶς τὸ ἀληθινόν, ποὺ φωτίζει κάθε ἄνθρωπον ὁ ὁποῖος ἔρχεται εἰς τὸν κόσμον». Ἐπειδὴ πιὸ ἐπάνω, ὁμιλῶν περὶ τοῦ Ἰωάννου, ἔλεγεν ὅτι ἦλθε «διὰ νὰ μαρτυρήσῃ περὶ τοῦ φωτὸς» καὶ ὅτι τώρα ἀπεστάλη, διὰ νὰ μὴ σχηματίσῃ κανεὶς τὴν γνώμην ὅτι καὶ ὁ μαρτυρούμενος εἶναι πρόσφατος, ἕνεκα τῆς προσφάτου παρουσίας τοῦ μαρτυροῦντος, ἀνέβασεν ὑψηλὰ τὴν σκέψιν καὶ τὴν παρέπεμψεν εἰς τὴν πέρα πάσης ἀρχῆς ὕπαρξιν, ἡ ὁποία πουθενὰ δὲν τελειώνει οὔτε σταματᾷ

Καὶ πῶς ἔνι τοῦτο, φησίν, Υἱὸν ὄντα, ἔχειν; Περὶ Θεοῦ διαλεγόμεθα καὶ τὸ πῶς ἐρωτᾷς; καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις; Εἶτα, ἂν μέν σε ἔρηταί τις· Πῶς δὲ ἡμῶν ἀτελεύτητον ἕξουσιν αἱ ψυχαὶ τὴν ζωὴν καὶ τὰ σώματα μετὰ ταῦτα; καταγελάσῃ τῆς πεύσεως, ὡς οὐκ ἂν ἀνθρωπίνης διανοίας ὂν τὰ τοιαῦτα ζητεῖν, ἀλλὰ δεῖν πιστεύειν μόνον καὶ μὴ περιεργάζεσθαι τὸ εἰρημένον, ἀρκοῦσαν ἔχοντα ἀπόδειξιν τοῦ λεχθέντος τὴν δύναμιν τοῦ εἰρηκότος· ἂν δὲ τὸν ψυχὰς καὶ σώματα ἐργασάμενον, καὶ τῆς κτίσεως ἁπάσης ἀσυγκρίτως ὑπερέχοντα ἄναρχον εἶναι φῶμεν, τὸν τρόπον ἡμᾶς ἀπαιτήσεις;

Καὶ τίς ἂν ταῦτα καθεστηκυίας εἶναι φαίη ψυχῆς; τίς δὲ ὑγιαίνοντος λογισμοῦ; Ἤκουσας, ὅτι «Ἦν τὸ φῶς τὸ ἀληθινόν». Τί φιλονεικεῖς εἰκῇ καὶ μάτην ὑπερακοντίσαι τῷ λογισμῷ τὴν ἄπειρον ταύτην ζωήν; Οὐδὲ γὰρ οἷόν τε. Τί ζητεῖς τὰ ἀζήτητα; τί περιεργάζῃ τὰ ἀκατάληπτα; τί ἐρευνᾷς τὰ ἀνεξερεύνητα; Κατανόησον τῶν ἡλιακῶν ἀκτίνων τὴν ῥίζαν αὐτήν· ἀλλ' οὐ δυνήσῃ, καὶ ὅμως οὐκ ἀγανακτεῖς, οὐδὲ δυσχεραίνεις ἐπὶ τῇ ἀσθενείᾳ. Πῶς οὖν ἐν τοῖς μείζοσι τολμηρὸς γέγονας καὶ προπετής;

Ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης, ὁ ἀπὸ τῆς σάλπιγγος ἠχῶν τῆς πνευματικῆς, τὸ «ἦν» ἀκούσας παρὰ τοῦ Πνεύματος, οὐδὲν ἐπεζήτησε πλέον· σὺ δέ, ὁ τῆς χάριτος ἀμοιρῶν τῆς ἐκείνου, καὶ ὁ ἀπὸ τῶν δειλῶν φθεγγόμενος λογισμῶν, ὑπερβῆναι τὸ μέτρον τῆς ἐκείνου γνώσεως φιλονεικεῖς; Διὰ τοῦτο τοιγαροῦν οὐδὲ πρὸς τὸ μέτρον τῆς ἐκείνου γνώσεως ἀφικέσθαι δυνήσῃ·

Τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μεθοδεία· ἐξάγει μὲν τῶν παρὰ τοῦ Θεοῦ δοθέντων ὅρων ἡμῖν τοὺς πειθομένους αὐτῷ, ὡς ἐπὶ πολλῷ μείζοσιν, ὅταν δέ, ταῖς ἐλπίσι ταύταις δελεάσας, ἐκβάλῃ τῆς τοῦ Θεοῦ χάριτος, τότε λοιπὸν οὐ

Καὶ πῶς εἶναι τοῦτο δυνατόν, λέγει, νὰ ἔχῃ ὑπάρχοντα Υἱόν; Περὶ Θεοῦ ὁμιλοῦμεν καὶ ἐρωτᾷς πῶς; Καὶ δὲν φοβεῖσαι, οὔτε φρίττεις; Ἔπειτα, ἐὰν μὲν σὲ ἐρωτήσῃ κανείς, πῶς αἱ ψυχαί μας θὰ ἔχουν αἰώνιον ζωὴν καὶ κατόπιν καὶ τὰ σώματά μας, θὰ γελάσῃς μὲ τὴν ἐρώτησιν, καθόσον αὐτὰ δὲν εἶναι νὰ τὰ ἀναζητῇ ἡ ἀνθρωπίνη διάνοια, ἀλλὰ πρέπει νὰ τὰ πιστεύῃ μόνον καὶ νὰ μὴ περιεργάζεται αὐτὸ ποὺ ἐλέχθη, καὶ νὰ θεωρῇ ἀρκετὴν ἀπόδειξιν αὐτοῦ τὴν δύναμιν ἐκείνου ποὺ τὸ εἶπεν. Ἐὰν ὅμως εἰποῦμεν ἐκεῖνον ὁ ὁποῖος ἐδημιούργησε τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ ὁ ὁποῖος ὑπερέχει ἀσυγκρίτως ὁλοκλήρου τῆς κτίσεως, ὅτι εἶναι ἄναρχος, θὰ μᾶς ζητήσῃς ἀποδείξεις;

Καὶ ποῖος θὰ ἔλεγεν ὅτι αὐτὰ εἶναι πράγματα ἰσορροπημένης ψυχῆς; Ποῖος δὲ ὅτι εἶναι ὑγιοῦς λογικοῦ; Ἤκουσες ὅτι «ἦτο τὸ φῶς τὸ ἀληθινόν». Διατί ἀγωνίζεσαι ἄδικα καὶ μάταια νὰ ξεπεράσῃς μὲ τὸ λογικόν σου αὐτὴν τὴν ἄπειρον ζωήν, πρᾶγμα ποὺ δὲν εἶναι δυνατόν; Διατί ζητεῖς τὰ ἀζήτητα; Διατί περιεργάζεσαι τὰ ἀκατάληπτα; Διατί ἐρευνᾷς τὰ ἀνεξερεύνητα; Προσπάθησε νὰ κατανοήσῃς τὴν ρίζαν τῶν ἡλιακῶν ἀκτίνων· δὲν θὰ ἠμπορέσῃς. Καὶ ὅμως δὲν ἀγανακτεῖς, οὔτε δυσανασχετεῖς διὰ τὴν ἀδυναμίαν αὐτήν. Διατί λοιπὸν γίνεσαι αὐθάδης καὶ θρασὺς εἰς τὰ ἀνώτερα;

Ὁ υἱὸς τῆς βροντῆς Ἰωάννης, ὁ ὁποῖος ὁμιλεῖ ἐμπνεόμενος ἀπὸ τὴν πνευματικὴν σάλπιγγα, ὅταν ἤκουσε τὸ «ἦν» ἀπὸ τὸ Πνεῦμα, δὲν ἐζήτησε νὰ μάθῃ τίποτε περισσότερον. Σὺ δὲ ὁ ὁποῖος εἶσαι ἄμοιρος τῆς χάριτος ἐκείνου, καὶ ὁ ὁποῖος ὁμιλεῖς κινούμενος ἀπὸ δειλοὺς συλλογισμούς, πασχίζεις νὰ ὑπερβῇς τὸ μέτρον τῆς γνώσεως ἐκείνου; Δι' αὐτὸ ἀκριβῶς καὶ δὲν θὰ ἠμπορέσῃς νὰ φθάσῃς οὔτε τὸ μέτρον τῆς γνώσεως ἐκείνου.

Διότι τέτοια εἶναι ἡ μέθοδος τοῦ διαβόλου. Βγάζει ἐκείνους ποὺ πείθονται εἰς αὐτὸν ἀπὸ τὰ ὅρια ποὺ μᾶς ἐδόθησαν ἀπὸ τὸν Θεόν, δῆθεν διὰ πολὺ ἀνώτερα, καὶ ὅταν, ἀφοῦ μᾶς δελεάσῃ μὲ τὰς ἐλπίδας αὐτάς, μᾶς βγάλῃ ἔξω

μόνον οὐδὲν πλέον προσδίδωσι, (πῶς γάρ, διάβολος ὤν;), ἀλλ' οὐδὲ εἰς τὰ πρότερα, ἔνθα ἀσφαλῶς καὶ βεβαίως διατρίβομεν, ἀφίησιν ἐπανελθεῖν, ἀλλὰ πανταχοῦ περιάγει πλανωμένους, καὶ οὐκ ἔχοντας οὐδαμοῦ στῆναι. Οὕτω καὶ τὸν πρωτόπλαστον ἐκ τῆς τοῦ παραδείσου διαγωγῆς ἐποίησεν ἐκπεσεῖν· προσδοκίᾳ γὰρ μείζονος γνώσεως καὶ τιμῆς φυσήσας αὐτόν, καὶ τῶν τότε ὑπαρχόντων αὐτῷ μετὰ ἀδείας ἐξέβαλεν. Οὐ γὰρ μόνον ἰσόθεος οὐ γέγονε, καθὼς ὑπισχνεῖτο αὐτῷ, ἀλλὰ καὶ εἰς τὴν τοῦ θανάτου τυραννίδα ἐξέπεσεν, οὐ μόνον οὐδὲν πλέον ἀπὸ τῆς τοῦ ξύλου βρώσεως προσλαβών, ἀλλὰ καὶ τῆς γνώσεως, ἧς εἶχεν, οὐ μικρὸν ἀπολέσας, ἐλπίδι πλείονος γνώσεως.

Τό τε γὰρ αἰσχύνεσθαι καὶ καταδύεσθαι ἐπὶ τῇ γυμνότητι τότε αὐτῷ προσεγένετο, πρὸ τῆς ἀπάτης ἀνωτέρω ταύτης ὄντι τῆς αἰσχύνης. Αὐτό τε γὰρ τὸ ὁρᾶν ἑαυτὸν γυμνὸν ὄντα, καὶ δεῖσθαι λοιπὸν τῆς ἀπὸ τῶν ἱματίων περιβολῆς, καὶ ἕτερα αὐτῷ πλείονα ἐντεῦθεν ἐφύη πάθη τότε. Ὅπερ ἵνα μὴ καὶ ἡμεῖς πάθωμεν, πειθώμεθα, τῷ Θεῷ, καὶ μένωμεν ἐν οἷς αὐτὸς ἡμῖν προσέταξε, καὶ μηδὲν περαιτέρω πολυπραγμονῶμεν, ἵνα μὴ καὶ τῶν ἤδη δοθέντων ἡμῖν ἐκπέσωμεν ἀγαθῶν, καθάπερ καὶ οὗτοι πεπόνθασι. Τῆς γὰρ ἀνάρχου ζωῆς ἀρχὴν ἐπιζητοῦντες εὑρεῖν, καὶ ἅπερ ἠδύναντο ἔχειν ἀπώλεσαν. Οὔτε γὰρ τὸ ζητούμενον εὗρον, (οὐδὲ γάρ ἐστι δυνατόν), καὶ τῆς ὑγιοῦς περὶ τοῦ Μονογενοῦς ἐξέπεσον πίστεως.

Ἀλλ' ἡμεῖς μὴ μεταίρωμεν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, ἀλλ' εἴκωμεν πανταχοῦ τοῖς τοῦ Πνεύματος νόμοις, καί, ἀκούοντες ὅτι «Ἦν τὸ φῶς τὸ ἀληθινόν», μηδὲν πλέον ἐπιζητῶμεν εὑρεῖν· οὐδὲ γὰρ ἔνι ταύτην ὑπερβῆναι τὴν ῥῆσιν. Εἰ μὲν γὰρ ὡς ἄνθρωπος ἐγέννα, ἀνάγκη

ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, τότε ὄχι μόνον δὲν μᾶς προσθέτει τίποτε περισσότερον, (διότι πῶς θὰ ἠμποροῦσεν ἀφοῦ εἶναι διάβολος), ἀλλὰ οὔτε μᾶς ἐπιτρέπει νὰ ἐπιστρέψωμεν εἰς τὰ προηγούμενα, ὅπου ἐζούσαμεν μὲ ἀσφάλειαν καὶ βεβαιότητα, ἀλλὰ μᾶς περιφέρει πλανωμένους παντοῦ, χωρὶς νὰ ἔχωμεν ποῦ νὰ σταθῶμεν. Ἔτσι ἔκανε καὶ τὸν πρωτόπλαστον νὰ ἐκπέσῃ ἀπὸ τὴν ζωὴν τοῦ παραδείσου. Διότι, ἀφοῦ τὸν ἐξηπάτησε μὲ τὴν προσδοκίαν μεγαλυτέρας γνώσεως καὶ τιμῆς, τὸν ἀπεγύμνωσεν ἔπειτα μὲ εὐκολίαν καὶ ἀπὸ ἐκεῖνα ποὺ εἶχε. Διότι ὄχι μόνον ἰσόθεος δὲν ἔγινεν, ὅπως τοῦ ὑπέσχετο, ἀλλὰ ὑπετάγη καὶ εἰς τὴν τυραννίαν τοῦ θανάτου. Καὶ ὄχι μόνον δὲν ἐπῆρε τίποτε περισσότερον ἀπὸ τὴν βρῶσιν τοῦ δένδρου, ἀλλὰ ἔχασε καὶ μέγα μέρος ἀπὸ τὴν γνῶσιν ποὺ εἶχε, μὲ τὴν ἐλπίδα τῆς περισσοτέρας γνώσεως.

Διότι τότε ἤρχισε νὰ ἐντρέπεται καὶ νὰ κρύβεται ἐξ αἰτίας τῆς γυμνότητός του, ἐνῷ πρὶν ἀπὸ τὴν ἀπάτην ἦτο ἀνώτερος ἀπὸ τὴν αἰσχύνην αὐτήν. Διότι καὶ τὸ γεγονὸς αὐτὸ ὅτι ἔβλεπε τὸν ἑαυτόν του ποὺ ἦτο γυμνὸς καὶ κατ' ἀκολουθίαν ὅτι ἔχει ἀνάγκην νὰ φορέσῃ ἐνδύματα, καὶ πολλὰ ἄλλα τοῦ ἀνεφύησαν τότε πάθη ἐξ αἰτίας αὐτοῦ. Διὰ νὰ μὴ πάθωμεν τὸ ἴδιον καὶ ἐμεῖς, ἂς ἔχωμεν πεποίθησιν εἰς τὸν Θεὸν καὶ ἂς ἐπιμένωμεν εἰς ὅσα ἐκεῖνος μᾶς διέταξε καὶ νὰ μὴ πολυπραγμονῶμεν περισσότερον, διὰ νὰ μὴ χάσωμεν καὶ τὰ ἀγαθὰ ποὺ ἤδη μᾶς ἔχουν δοθῆ, ὅπως ἔπαθαν καὶ αὐτοί. Διότι ἐνῷ ἐζητοῦσαν νὰ εὕρουν τὴν ἀρχὴν τῆς ἀνάρχου ζωῆς, ἔχασαν καὶ αὐτὰ ποὺ ἠμποροῦσαν νὰ ἔχουν, ἀφοῦ οὔτε αὐτὸ ποὺ ἐζητοῦσαν εὑρῆκαν (διότι δὲν εἶναι δυνατόν), ἀλλὰ καὶ ἐξέπεσαν ἀπὸ τὴν ὀρθὴν πίστιν περὶ τοῦ Μονογενοῦς.

Ἀλλὰ ἐμεῖς ἂς μὴ μετατοπίζωμεν τὰ αἰώνια ὅρια, τὰ ὁποῖα ἐτοποθέτησαν οἱ πατέρες μας, ἀλλὰ ἂς μένωμεν σταθεροὶ εἰς τοὺς νόμους τοῦ Πνεύματος, καὶ ἀκούοντες ὅτι «ἦτο τὸ φῶς τὸ ἀληθινόν», ἂς μὴ ἐπιζητῶμεν νὰ εὕρωμεν τίποτε περισσότερον. Ἄλλωστε δὲν εἶναι δυνατὸν νὰ ξεπερά-

μέσον εἶναί τι τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου· ἐπειδὴ δὲ ἀρρήτως καὶ ὡς Θεῷ πρέπον ἐστί, τοῦ «πρὸ» καὶ τοῦ «μετὰ» ἀναχώρει· τῶν χρόνων γὰρ ταῦτα ὀνόματα· ὁ δὲ Υἱὸς καὶ τῶν αἰώνων πάντων ἐστὶ ποιητής.

2. Οὐκοῦν οὐ πατήρ, φησίν, ἀλλ' ἀδελφός. Ποία ἀνάγκη; εἰπέ μοι. Εἰ μὲν γὰρ καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἐξ ἑτέρας ἐλέγομεν εἶναι ῥίζης, καλῶς ἂν ταῦτα ἔφης τότε. Εἰ δὲ ταύτην μὲν φεύγομεν τὴν ἀσέβειαν, λέγομεν δὲ τὸν μὲν Πατέρα πρὸς τὸ ἄναρχον εἶναι, μηδὲ γεγεννῆσθαι, τὸν δὲ Υἱὸν ἄναρχον εἶναι, γεγεννημένον δὲ ἐκ τοῦ Πατρός, ποία ἀνάγκη ἐκ τῆς ἐννοίας ταύτης τὸν ἀσεβῆ λόγον ἐκεῖνον ἐπεισελθεῖν; Οὐδεμία· ἀπαύγασμα γάρ ἐστι· τὸ δὲ ἀπαύγασμα συνεπινοεῖται τῇ φύσει, ἧς ἐστιν ἀπαύγασμα. Διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος τοῦτον οὕτως ἐκάλεσεν, ἵνα μηδὲν μέσον ὑποπτεύσῃς Πατρὸς καὶ Υἱοῦ.

Τοῦτο μὲν οὖν τούτου δηλωτικόν, τὸ δὲ ἐφεξῆς τοῦ ὑποδείγματος, τὴν ὑφορμοῦσαν τοῖς ἀνοήτοις ἀτοπίαν διορθοῦται. Μὴ γάρ, ἐπειδὴ ἀπαύγασμα, φησίν, ἤκουσας, τῆς ἰδίας αὐτὸν ἀπεστερῆσθαι νομίσῃς ὑποστάσεως. Ἀσεβὲς γὰρ τοῦτο, καὶ τῆς τῶν Σαβελλιανῶν καὶ τῶν ἀπὸ Μαρκέλλου μανίας. Ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἐν ἰδίᾳ αὐτὸν ὑποστάσει εἶναί φαμεν.

Διὰ τοῦτο, εἰπὼν αὐτὸν ἀπαύγασμα, ἐπήγαγεν, ὅτι «Καὶ χαρακτὴρ ἐστι τῆς ὑποστάσεως αὐτοῦ», ἵνα τὴν ἰδίαν ὑπόστασιν δηλώσῃ καὶ τῆς αὐτῆς ὄντα αὐτὸν οὐσίας, ἧς ἐστι καὶ χαρακτήρ. Οὐ γὰρ ἀρκεῖ μιᾷ λέξει, καθάπερ ἔφθην εἰπών, τὰ περὶ Θεοῦ παραστῆσαι δόγματα τοῖς ἀνθρώποις· ἀλλὰ ἀγαπητόν, ἄν, πολλὰ συμφορήσαντες, ἐξ ἑκάστου τὸ πρέπον ἐπιλεξώμεθα· οὕτω γὰρ δυνησόμεθα τῆς ἀξίας ἐφικέ-

1. Ἑβρ. 1, 3.

σωμεν αὐτὴν τὴν μαρτυρίαν. Διότι, ἐὰν μὲν ἐγεννοῦσεν ὡς ἄνθρωπος, εἶναι ἀπαραίτητον νὰ ὑπάρχῃ κάποια ἀπόστασις μεταξὺ ἐκείνου ποὺ γεννᾷ καὶ ἐκείνου ποὺ γεννᾶται. Ἐπειδὴ ὅμως πρόκειται περὶ γεννήσεως ἀρρήτου καὶ ὅπως ἁρμόζει εἰς Θεόν, παραιτήσου ἀπὸ τὸ «πρὸ» καὶ τὸ «μετά», διότι αὐταὶ αἱ λέξεις ἀναφέρονται εἰς τοὺς χρόνους, ἐνῷ ὁ Υἱὸς εἶναι δημιουργὸς καὶ ὅλων τῶν αἰώνων.

2. Ἑπομένως, λέγει, δὲν εἶναι Πατὴρ ἀλλὰ ἀδελφός. Ποῖος ὁ λόγος, εἰπέ μου; Διότι ἐὰν ἐλέγαμεν ὅτι καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς προέρχονται ἀπὸ ἄλλην ρίζαν, τότε καλῶς θὰ ἠμποροῦσες νὰ τὸ ἰσχυρισθῇς αὐτό. Ἐφ' ὅσον ὅμως ἀποφεύγομεν αὐτὴν τὴν ἀσέβειαν καὶ λέγομεν ὅτι ὁ μὲν Πατὴρ εἶναι ἄναρχος καὶ δὲν ἔχει γεννηθῆ, ὁ δὲ Υἱὸς εἶναι ἄναρχος καὶ ἔχει γεννηθῆ ἀπὸ τὸν Πατέρα, ποῖος ὁ λόγος ἀπὸ τὴν διατύπωσιν αὐτὴν νὰ ἐξαχθῇ τὸ συμπέρασμα ἐκεῖνο; Κανείς. Διότι εἶναι ἀπαύγασμα· καὶ τὸ ἀπαύγασμα συνυπονοεῖται μαζὶ μὲ τὴν φύσιν τῆς ὁποίας ἀποτελεῖ ἀπαύγασμα. Δι' αὐτὸ ἄλλωστε καὶ ὁ Παῦλος τὸν ὠνόμασεν ἔτσι, διὰ νὰ μὴ ὑποθέσῃς ὅτι ὑπάρχει ἀπόστασις μεταξὺ Πατρὸς καὶ Υἱοῦ.

Αὐτὸ μὲν λοιπὸν εἶναι δηλωτικὸν αὐτοῦ. Ἐπὶ πλέον ὅμως τὸ παράδειγμα διορθώνει τὸν παραλογισμὸν ὁ ὁποῖος εἰσορμᾷ εἰς τοὺς ἀνοήτους. Διότι, λέγει, μὴ νομίσῃς ὅτι, ἐπειδὴ ἤκουσες ὅτι εἶναι ἀπαύγασμα, ἔχει στερηθῆ καὶ τῆς ἰδικῆς του ὑποστάσεως. Διότι εἶναι ἀσεβὲς καὶ προέρχεται ἀπὸ τὴν μανίαν τῶν Σαβελλιανῶν καὶ τῶν ὀπαδῶν τοῦ Μαρκέλλου. Ἐμεῖς ὅμως δὲν πιστεύομεν ἔτσι, ἀλλὰ λέγομεν ὅτι ὁ Υἱὸς ἔχει καὶ εἰς ἰδιαιτέραν ὑπόστασιν.

Δι' αὐτὸ ὅταν τὸν ὠνόμασεν «ἀπαύγασμα», ἐπρόσθεσεν ὅτι εἶναι «καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»[1], διὰ νὰ φανερώσῃ τὴν ἰδιαιτέραν καὶ ὅτι εἶναι καὶ αὐτὸς τῆς ἰδίας οὐσίας, τῆς ὁποίας εἶναι χαρακτήρ. Διότι, ὅπως εἶπα ἤδη, δὲν εἶναι ἀρκετὸν νὰ παραστήσῃ εἰς τοὺς ἀνθρώπους τὰς περὶ τοῦ Θεοῦ ἀληθείας μὲ μίαν λέξιν. Ἀλλ' εἶναι ἀρκετόν, ἐάν, ἀφοῦ συλλέξωμεν πολλά, διαλέξωμεν ἀπὸ τὸ κα-

σθαι δοξολογίας· ἀξίας δὲ λέγω κατὰ τὴν ἡμετέραν δύναμιν. Εἰ γάρ τις πρὸς αὐτὴν τὴν ὄντως ἀξίαν εἰπεῖν δύνασθαι νομίζοι, καὶ φιλονεικοίη, λέγων οὕτως εἰδέναι τὸν Θεόν, ὡς αὐτὸς οἶδεν ἑαυτόν, οὗτος μάλιστά ἐστιν ὁ τὸν Θεὸν ἀγνοῶν.

Ταῦτ᾽ οὖν εἰδότες, μένωμεν κατέχοντες μετὰ ἀσφαλείας ἃ παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου καὶ μηδὲν περαιτέρω περιεργαζώμεθα. Δύο γὰρ τοῖς ταύτην νοσοῦσι τὴν νόσον περιέσται τὰ δεινά, τό τε εἰκῇ ταλαιπωρεῖσθαι, ζητοῦντας ἅπερ εὑρεῖν οὐ δυνατόν· τό τε παροξύναι τὸν Θεόν, τοὺς παρ᾽ αὐτοῦ τεθέντας ὅρους ἀνατρέπειν ἐπιχειροῦντας. Ὅσην δὲ τοῦτο κινεῖ τὴν ὀργήν, οὐδὲν δεῖ παρ᾽ ἡμῶν μαθεῖν, πάντας εἰδότας ὑμᾶς.

Διό, τῆς ἀπονοίας αὐτῶν ἀφέμενοι, τρέμωμεν αὐτοῦ τοὺς λόγους, ἵνα διηνεκῶς ἡμᾶς τειχίζῃ· «Ἐπὶ τίνα γὰρ ἐπιβλέψω», φησίν, «ἀλλ᾽ ἢ ἐπὶ τὸν πρᾶον καὶ ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;». Ἀφέντες τοίνυν τὴν ὀλεθρίαν ταύτην πολυπραγμοσύνην, συντρίψωμεν τὰς καρδίας, πενθήσωμεν τὰ ἡμαρτημένα ἡμῖν, καθὼς προσέταξεν ὁ Χριστός, κατανυγῶμεν ἐπὶ τοῖς πλημμεληθεῖσιν ἡμῖν, ἀναλογισώμεθα μετὰ ἀκριβείας τὰ κατὰ τὸν ἔμπροσθεν ἡμῖν ἅπαντα τολμηθέντα χρόνον, σπουδάσωμεν αὐτὰ ἀποτρίψασθαι παντοδαπῶς. Πολλὰς γὰρ εἰς τοῦτο ὁ Θεὸς ἀνέῳξεν ἡμῖν ὁδούς. «Λέγε γὰρ σύ», φησί, «πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς»· καὶ πάλιν· «Εἶπα· Τὴν ἀνομίαν μου ἐξαγορεύσω κατ᾽ ἐμοῦ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας σου». Οὐδὲ γὰρ μικρὸν ἡμῖν συντελεῖ πρὸς τὸ μειῶσαι τῶν ἁμαρ-

2. Ἠσ. 66, 2.
3. Ἠσ. 43, 26.
4. Ψαλμ. 31, 5.

θένα ἐκεῖνο τὸ ὁποῖον ἁρμόζει. Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ φθάσωμεν εἰς τὴν ὀρθὴν πίστιν. Ὀρθὴν δὲ ἐννοῶ, κατὰ τὴν ἰδικήν μας δύναμιν. Διότι ἐὰν κανεὶς νομίζῃ καὶ ἀγωνίζεται νὰ κατανοήσῃ τὴν πραγματικὴν οὐσίαν τοῦ Θεοῦ, αὐτὸς ἰσχυριζόμενος ὅτι γνωρίζει τὸν Θεόν, ὅπως ἐκεῖνος γνωρίζει τὸν ἑαυτόν του, αὐτὸς εἶναι πρὸ πάντων ὁ ὁποῖος ἀγνοεῖ τὸν Θεόν.

Ἔχοντες λοιπὸν αὐτὰ ὑπ' ὄψιν μας ἂς ἐπιμένωμεν νὰ κατέχωμεν μὲ σταθερότητα αὐτὰ ποὺ μᾶς παρέδωσαν ἐκεῖνοι ποὺ ἔγιναν ἐξ ἀρχῆς αὐτόπται μάρτυρες καὶ ὑπηρέται τοῦ Λόγου καὶ νὰ μὴ πολυπραγμονοῦμεν περισσότερον. Διότι δύο κακὰ εὑρίσκουν αὐτοὺς οἱ ὁποῖοι πάσχουν ἀπὸ αὐτὴν τὴν νόσον· καὶ τὸ ὅτι ἀδίκως ταλαιπωροῦνται, ἀναζητοῦντες πράγματα τὰ ὁποῖα εἶναι ἀδύνατον νὰ εὕρουν, καὶ τὸ ὅτι ἐξοργίζουν τὸν Θεόν, ἐπιχειροῦντες νὰ ἀνατρέψουν τὰ ὅρια τὰ ὁποῖα ἔθεσεν ἐκεῖνος. Πόσην δὲ ὀργὴν προκαλεῖ αὐτό, δὲν εἶναι ἀνάγκη νὰ τὸ μάθετε ἀπὸ ἡμᾶς, ἀφοῦ τὸ γνωρίζετε ὅλοι σας.

Δι' αὐτὸ ἀφοῦ ἐγκαταλείψωμεν τὴν παραφροσύνην αὐτῶν, ἂς φοβούμεθα τοὺς λόγους του, διὰ νὰ μᾶς περιφρουρῇ διαρκῶς. Διότι λέγει· «ποῖον νὰ προσέξω, ἐὰν ὄχι τὸν πρᾶον καὶ ταπεινὸν καὶ ἥσυχον καὶ αὐτὸν ὁ ὁποῖος φοβεῖται τοὺς λόγους μου;»[2]. Ἀφοῦ ἀφήσωμεν λοιπὸν αὐτὴν τὴν ὀλεθρίαν πολυπραγμοσύνην, ἂς ταπεινώσωμεν τὰς καρδίας, ἂς πενθήσωμεν διὰ τὰς ἁμαρτίας μας, ὅπως μᾶς παρήγγειλεν ὁ Χριστός, ἂς λυπηθῶμεν βαθειὰ δι' ὅσα πλημμελήματα ἐπράξαμεν, ἂς ἀναλογισθῶμεν λεπτομερῶς ὅσα ἀπετολμήσαμεν ὅλον τὸν χρόνον ποὺ ἐπέρασεν, ἂς φροντίσωμεν νὰ τὰ ἐξαλείψωμεν ἐντελῶς. Διότι ὁ Θεὸς μᾶς ἄνοιξε πολλοὺς δρόμους πρὸς τοῦτο. «Ὁμολόγησε», λέγει, «σὺ πρῶτος τὰς ἁμαρτίας σου διὰ νὰ δικαιωθῇς»[3]· καὶ ἀλλοῦ· «Ἐγὼ θὰ ἐξομολογηθῶ τὰς ἀνομίας ποὺ μὲ βαραίνουν καὶ σὺ θὰ συγχωρήσῃς τὴν ἀσέβειαν τῆς καρδίας μου»[4]. Διότι δὲν συντελεῖ ὀλίγον εἰς τὸ νὰ μειώσωμεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἢ

τημάτων τὸ μέγεθος ἡ συνεχὴς αὐτῶν κατηγορία καὶ μνήμη.

Ἔστι καὶ ἑτέρα ταύτης ἐνεργεστέρα ὁδός, τὸ μηδενὶ τῶν εἰς ἡμᾶς ἡμαρτηκότων μνησικακεῖν, τὸ πᾶσι τοῖς εἰς ἡμᾶς πλημμεληθεῖσι συγχωρεῖν τὰ πλημμελήματα.

Βούλει καὶ τρίτην μαθεῖν; Ἄκουσον τοῦ Δανιὴλ λέγοντος· «Διὸ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων».

Ἔστι δὲ καὶ ἑτέρα μετὰ ταύτης, ἡ τῶν εὐχῶν συνέχεια, καὶ τὸ προσεδρεύειν μετὰ καρτερίας ταῖς πρὸς τὸν Θεὸν ἐντεύξεσι. Φέρει τινὰ παραμυθίαν ἡμῖν οὐ μικρὰν καὶ λύσιν τῶν ἡμαρτημένων καὶ νηστεία ὁμοίως, ὅταν μετὰ τῆς εἰς ἑτέρους φιλανθρωπίας γίνηται, καὶ σβέννυσι τὸ σφοδρὸν τῆς ὀργῆς τοῦ Θεοῦ· «Πῦρ γὰρ φλογιζόμενον σβέσει ὕδωρ, καὶ ἐλεημοσύναις ἀποκαθαίρονται ἁμαρτίαι».

Ταύτας τοίνυν πάσας ὁδεύωμεν τὰς ὁδούς. Ἂν γὰρ ἐν τούτοις ὦμεν διὰ παντός, ἂν εἰς ταῦτα τὴν σχολὴν ἀναλίσκωμεν, οὐ μόνον τὰ παρελθόντα ἀπονιψόμεθα πλημμελήματα, ἀλλὰ καὶ εἰς τὸ μέλλον τὰ μέγιστα κερδανοῦμεν. Οὐ γὰρ παρέξομεν τῷ διαβόλῳ σχολὴν προσβάλλειν ἡμῖν, οὔτε εἰς ῥαθυμίαν βίου, οὔτε εἰς τὴν ὀλεθρίαν περιεργίαν. Καὶ γὰρ καὶ ταῦτα μετὰ τῶν ἄλλων, καὶ ἐντεῦθεν τὰς ἀνοήτους ζητήσεις καὶ τὰς λογομαχίας τὰς ἐπιβλαβεῖς ἐπάγει, ἐκ τοῦ σχολάζοντας ὁρᾶν καὶ ἀργοῦντας, καὶ μηδεμίαν τῆς κατὰ τὸν βίον ἀρετῆς πρόνοιαν προηγουμένους.

Ἀλλ' ἡμεῖς αὐτῷ ταύτην τὴν παρείσδυσιν ἀποφράξωμεν, γρηγορήσωμεν, νήψωμεν, ἵνα, ἐν τῷ βραχεῖ τούτῳ χρόνῳ καμόντες ὀλίγα, τῶν ἀθανάτων ἐν τοῖς ἀπείροις αἰῶσι τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

5. Δαν. 4, 24.
6. Σοφ. Σειρ. 3, 30

συνεχὴς ὁμολογία καὶ ὑπόμνησις αὐτῶν.

Ὑπάρχει ὅμως καὶ ἄλλη ὁδὸς πιὸ ἀποτελεσματικὴ ἀπὸ αὐτήν, τὸ νὰ μὴ κρατῶμεν κακίαν εἰς κανέναν ἀπὸ αὐτοὺς οἱ ὁποῖοι μᾶς ἔβλαψαν, τὸ νὰ συγχωροῦμεν τὰ ἁμαρτήματα ὅλων ἐκείνων οἱ ὁποῖοι μᾶς ἔκαναν κακόν.

Θέλεις νὰ μάθῃς καὶ τρίτην ὁδόν; Ἄκουσε τὸν Δανιὴλ ὁ ὁποῖος λέγει· «Δι' αὐτὸ ἀπαλλάξου ἀπὸ τὰς ἁμαρτίας σου μὲ ἐλεημοσύνας καὶ ἀπὸ τὰς ἀνομίας σου μὲ εὐσπλαγχνίαν πρὸς τοὺς πτωχούς»[5].

Ὑπάρχει ὅμως καὶ ἄλλη μαζὶ μὲ αὐτήν, ἡ διαρκὴς προσευχὴ καὶ ἡ μετὰ καρτερίας ἐπιμονὴ εἰς τὰς συνεντεύξεις μὲ τὸν Θεόν. Ἀκόμη καὶ ἡ νηστεία μᾶς φέρνει μεγάλην παρηγορίαν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν μας, ὅταν γίνεται μὲ συμπάθεια πρὸς τοὺς ἄλλους, καὶ καταπραΰνει τὴν σφοδρότητα τῆς ὀργῆς τοῦ Θεοῦ. Διότι «τὴν ἀναμμένην φωτιὰν τὴν σβήνει τὸ ὕδωρ, καὶ αἱ ἁμαρτίαι καθαρίζονται μὲ ἐλεημοσύνας»[6].

Αὐτὰς ὅλας λοιπὸν τὰς ὁδοὺς ἂς βαδίζωμεν. Διότι ἐὰν εὑρισκώμεθα πάντοτε εἰς αὐτάς, ἐὰν εἰς αὐτὰ καταναλίσκωμεν τὸν ἐλεύθερον χρόνον μας, ὄχι μόνον θὰ ἀποπλύνωμεν τὰ προηγούμενα ἁμαρτήματα, ἀλλὰ καὶ εἰς τὸ μέλλον θὰ ὠφεληθῶμεν πάρα πολύ. Διότι δὲν θὰ δώσωμεν εἰς τὸν διάβολον χρόνον διὰ νὰ μᾶς προσβάλῃ, οὔτε μὲ τὴν ραθυμίαν, οὔτε μὲ τὴν ὀλεθρίαν περιέργειαν. Διότι καὶ αὐτὰ εἶναι μαζὶ μὲ τὰ ἄλλα, καὶ ἀπὸ αὐτὰ μᾶς ὁδηγεῖ εἰς ἀνοήτους συζητήσεις καὶ ἐπιβλαβεῖς λογομαχίας, ἐπειδὴ μᾶς βλέπει νὰ εἴμεθα ἀργόσχολοι καὶ νὰ μὴ καταβάλλωμεν καμμίαν φροντίδα διὰ τὸν ἐνάρετον βίον.

Ἀλλὰ ἐμεῖς ἂς τοῦ φράξωμεν αὐτὴν τὴν παρείσφρησιν, ἂς ἐπαγρυπνῶμεν, ἂς εἴμεθα νηφάλιοι, εἰς τρόπον ὥστε, μὲ ὀλίγον κόπον εἰς τὸν σύντομον αὐτὸν χρόνον, νὰ ἐπιτύχωμεν τὰ ἀθάνατα ἀγαθὰ εἰς τοὺς ἀπείρους αἰῶνας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἁρμόζει δόξα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Η΄.

Ἰω. 1, 9-10.

«Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον».

1. Οὐδὲ γὰρ κωλύει καὶ τήμερον τῶν αὐτῶν ἅψασθαι ῥημάτων, ἐπειδὴ πρώην ὑπὸ τῆς τῶν δογμάτων ἐξηγήσεως καὶ ἐκωλύθημεν ἅπασι τοῖς ἀναγνωσθεῖσιν ἐπεξελθεῖν.

Ποῦ τοίνυν εἰσὶν οἱ μὴ λέγοντες αὐτὸν ἀληθινὸν Θεόν; ἐνταῦθα μὲν γὰρ φῶς ἀληθινὸν εἴρηται, ἑτέρωθι δὲ αὐτοαλήθεια καὶ αὐτοζωή. Ἐλλ' ἐκείνῳ μὲν τῷ λόγῳ, ὅταν ἐκεῖ γενώμεθα, σαφέστερον ἐπεξελευσόμεθα, κατὰ δὲ τὸ παρὸν ἀναγκαῖον τέως ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν· Εἰ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, πῶς ἀφώτιστοι μεμενήκασι τοσοῦτοι; οὐ γὰρ δὴ πάντες ἐπέγνωσαν τοῦ Χριστοῦ τὸ σέβας.

Πῶς οὖν φωτίζει πάντα ἄνθρωπον; Τό γε εἰς αὐτὸν ἧκον. Εἰ δέ τινες, ἑκόντες τοὺς τῆς διανοίας ὀφθαλμοὺς μύσαντες, μὴ βούλοιντο παραδέξασθαι τοῦ φωτὸς τούτου τὰς ἀκτῖνας, οὐ παρὰ τὴν τοῦ φωτὸς φύσιν ἡ σκότωσις ἐκείνοις, ἀλλὰ παρὰ τὴν κακουργίαν τῶν ἑκοντὶ ἀποστερούντων ἑαυτοὺς τῆς δωρεᾶς. Ἡ μὲν γὰρ χάρις εἰς πάντας ἐκκέχυται, οὐκ Ἰουδαῖον, οὐχ Ἕλληνα, οὐ βάρβαρον, οὐ Σκύθην, οὐκ ἐλεύθερον, οὐ δοῦλον, οὐκ ἄνδρα, οὐ γυναῖκα, οὐ πρεσβύτην, οὐ νέον ἀποστρεφομένη· πάντας δὲ ὁμοίως προσιεμένη, καὶ μετὰ τῆς ἴσης καλοῦσα τιμῆς.

ΟΜΙΛΙΑ Η΄.

'Ιω. 1, 9-10.

«Ἦτο τὸ φῶς τὸ ἀληθινόν, τὸ ὁποῖον φωτίζει κάθε ἄνθρωπον ποὺ ἔρχεται εἰς τὸν κόσμον».

1. Τίποτε δὲν μᾶς ἐμποδίζει καὶ σήμερα νὰ ἀσχοληθῶμεν μὲ τὰ ἴδια λόγια, ἐπειδὴ τὴν προηγουμένην ἠμποδίσθημεν ἀπὸ τὴν ἑρμηνείαν τῶν δογματικῶν ἀληθειῶν νὰ διεξέλθωμεν ὅλα τὰ ἀναγνωσθέντα.

Ποῦ εἶναι λοιπὸν ὅσοι ἰσχυρίζονται ὅτι δὲν εἶναι ἀληθινὸς Θεός; Διότι ἐδῶ ὀνομάζεται φῶς ἀληθινόν, ἐνῷ ἀλλοῦ αὐτοαλήθεια καὶ αὐτοζωή. 'Αλλὰ ἐκείνας μὲν τὰς λέξεις ὅταν φθάσωμεν ἐκεῖ θὰ τὰς ἐξηγήσωμεν σαφέστερα· ἐπὶ τοῦ παρόντος ὅμως εἶναι ἀναγκαῖον νὰ εἴπωμεν πρῶτον εἰς τὴν ἀγάπην σας τοῦτο, ἐὰν φωτίζῃ κάθε ἄνθρωπον ὁ ὁποῖος ἔρχεται εἰς τὸν κόσμον, πῶς ἔμειναν ἀφώτιστοι τόσον πολλοί; Διότι δὲν ἐγνώρισαν ὅλοι καλῶς τὸν σεβασμὸν τοῦ Χριστοῦ.

Πῶς λοιπὸν φωτίζει κάθε ἄνθρωπον; Ὅσον ἐξαρτᾶται ἀπὸ αὐτόν. 'Εὰν δὲ μερικοὶ μὲ τὴν θέλησίν των κλείνουν τοὺς ὀφθαλμοὺς τῆς διανοίας καὶ δὲν θέλουν νὰ παραδεχθοῦν τὰς ἀκτῖνας αὐτοῦ τοῦ φωτός, ὁ σκοτισμός των δὲν ὀφείλεται εἰς τὴν φύσιν τοῦ φωτός, ἀλλὰ εἰς τὴν πανουργίαν ἐκείνων οἱ ὁποῖοι θεληματικὰ ἀποστεροῦν τοὺς ἑαυτούς των τῆς δωρεᾶς. Διότι ἡ μὲν χάρις ἐκχύνεται πρὸς ὅλους, χωρὶς νὰ ἀποστρέφεται οὔτε τὸν 'Ιουδαῖον, οὔτε τὸν Ἕλληνα, οὔτε τὸν βάρβαρον, οὔτε τὸν Σκύθην, οὔτε τὸν ἐλεύθερον, οὔτε τὸν δοῦλον, οὔτε τὸν ἄνδρα, οὔτε τὴν γυναῖκα, οὔτε τὸν ἡλικιωμένον, οὔτε τὸν νέον. Ὅλους δὲ τοὺς προσδέχεται κατὰ τὸν ἴδιον τρόπον καὶ τοὺς καλεῖ μὲ τὴν ἰδίαν τιμήν.

Οἱ δὲ οὐκ ἐθέλοντες ἀπολαῦσαι τῆς δωρεᾶς ταύτης ἑαυτοῖς δίκαιοι ταύτην ἂν εἶεν λογίσασθαι τὴν πήρωσιν. Ὅταν γάρ, τῆς εἰσόδου πᾶσιν ἀνεῳγμένης, καὶ μηδενὸς τοῦ κωλύοντος ὄντος, ἐθελοκακοῦντές τινες ἔξω μένωσι, παρ᾽ οὐδένα ἕτερον, ἀλλ᾽ ἢ παρὰ τὴν οἰκείαν πονηρίαν ἀπόλλυνται μόνον.

«Ἐν τῷ κόσμῳ ἦν»· ἀλλ᾽ οὐχ ὡς τοῦ κόσμου σύγχρονος, ἄπαγε. Διὰ γὰρ τοῦτο ἐπήγαγε· «Καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο»· διὰ τούτου σε πάλιν ἀνάγων ἐπὶ τὴν προαιώνιον ὕπαρξιν τοῦ Μονογενοῦς. Ὁ γὰρ ἀκούσας ὅτι ἔργον αὐτοῦ τόδε τὸ πᾶν, κἂν σφόδρα ἀναίσθητος ᾖ, κἂν ἐχθρός, κἂν πολέμιος τῆς δόξης τοῦ Θεοῦ, πάντως καὶ ἑκὼν καὶ ἄκων ἀναγκασθήσεται πρὸ τῶν ἔργων ὁμολογῆσαι τὸν Ποιητήν.

Ὅθεν μοι καὶ θαυμάζειν ἔπεισιν ἀεὶ τὴν Παύλου τοῦ Σαμοσατέως μανίαν, πῶς πρὸς τὴν οὕτω φανερὰν ἀλήθειαν ἀντιβλέψαι ἐτόλμησε, καὶ ἑκὼν ἑαυτὸν κατεκρήμνισεν. Οὐδὲ γὰρ ἀγνοῶν, ἀλλὰ καὶ σφόδρα εἰδὼς ἡμάρτανε, ταὐτὸν παθὼν τοῖς Ἰουδαίοις. Καθάπερ γὰρ ἐκεῖνοι, πρὸς ἀνθρώπους ὁρῶντες, τὸ τῆς πίστεως προὔδωκαν ὑγιές, εἰδότες μὲν ὅτι αὐτός ἐστιν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ δὲ τοὺς ἄρχοντας οὐχ ὁμολογοῦντες, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται, οὕτω καὶ τοῦτον, γυναικί τινι χαριζόμενον, τὴν σωτηρίαν φασὶν ἀποδόσθαι τὴν ἑαυτοῦ.

Δεινὸν γάρ, ὄντως δεινὸν τῆς κενοδοξίας ἡ τυραννίς, καὶ σοφῶν ὀφθαλμοὺς ἐκτυφλοῦν ἱκανόν, ὅταν μὴ νήφωσιν. Εἰ γὰρ ἡ δωροδοκία τοῦτο ἰσχύει, πολλῷ μᾶλλον τὸ ταύτης βιαιότερον πάθος. Διὰ τοῦτο καὶ Ἰουδαίοις ἔλεγεν ὁ Χριστός· «Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;».

---

1. Ἰω. 5, 44.

Ὅσοι δὲ δὲν θέλουν νὰ ἀπολαύσουν αὐτὴν τὴν δωρεάν, θὰ ἦσαν δίκαιοι ἐὰν κατελόγιζαν εἰς τὸν ἑαυτόν των αὐτὴν τὴν τύφλωσιν. Διότι ὅταν ἡ εἴσοδος εἶναι εἰς ὅλους ἀνοικτὴ καὶ δὲν ὑπάρχῃ κανεὶς ποὺ νὰ παρεμποδίζῃ τὴν εἴσοδον, ἀπὸ θεληματικὴν κακίαν μένουν ἔξω μερικοί, ἀπὸ κανέναν ἄλλον, ἀλλὰ μόνον ἀπὸ τὴν ἰδικήν των πονηρίαν χάνονται.

«Εἰς τὸν κόσμον ἦτο», ἀλλὰ ὄχι ὡς σύγχρονος τοῦ κόσμου, πρὸς Θεοῦ. Δι' αὐτὸ ἄλλωστε ἐπρόσθεσε· «Καὶ ὁ κόσμος ἐδημιουργήθη δι' αὐτοῦ». Μὲ αὐτὸ σὲ ἐπαναφέρει πάλιν εἰς τὴν προαιώνιον ὕπαρξιν τοῦ Μονογενοῦς. Διότι ἐκεῖνος ποὺ ἀκούει ὅτι αὐτὸ ἐδῶ τὸ σύμπαν εἶναι ἔργον αὐτοῦ, καὶ ἂν ἀκόμη εἶναι τελείως ἀναίσθητος ἢ ἐχθρὸς ἢ ἀντίπαλος τῆς δόξης τοῦ Θεοῦ, ὁπωσδήποτε εἴτε τὸ θέλει εἴτε ὄχι θὰ ἀναγκασθῇ ἐκ τῶν ἔργων νὰ ὁμολογήσῃ τὸν ποιητήν.

Δι' αὐτὸ καὶ μοῦ ἔρχεται διαρκῶς νὰ ἀπορῶ τὴν μανίαν τοῦ Παύλου τοῦ Σαμοσατέως, πῶς ἐτόλμησε νὰ παρερμηνεύσῃ αὐτὴν τὴν τόσον φανερὰν ἀλήθειαν καὶ νὰ κατακρημνίσῃ θεληματικὰ τὸν ἑαυτόν του. Διότι δὲν ἔσφαλεν ἀπὸ ἄγνοιαν, ἀλλ' ἀντιθέτως ἐγνώριζε πολὺ καλά, καὶ ἔπαθε τὸ ἴδιον μὲ τοὺς Ἰουδαίους. Διότι, ὅπως ἐκεῖνοι, ἀποβλέποντες πρὸς ἀνθρώπους, ἐπρόδωσαν τὴν ἀληθινὴν πίστιν, γνωρίζοντες μὲν ὅτι αὐτὸς εἶναι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἀλλὰ ἐξ αἰτίας τοῦ φόβου τῶν ἀρχόντων μὴ ὁμολογοῦντες, διὰ νὰ μὴ γίνουν ἀποσυνάγωγοι, ἔτσι καὶ αὐτὸς λέγουν ὅτι ἐπρόδωσε τὴν πίστιν του πρὸς χάριν κάποιας γυναικός.

Εἶναι πράγματι πολὺ φοβερὰ ἡ τυραννία τῆς κενοδοξίας, ἱκανὴ νὰ τυφλώσῃ καὶ τῶν σοφῶν τοὺς ὀφθαλμούς, ὅταν δὲν εἶναι νηφάλιοι. Διότι ἐὰν αὐτὸ τὸ κατορθώνει ἡ δωροδοκία, πολὺ περισσότερον τὸ κατορθώνει τὸ πάθος ποὺ εἶναι πιὸ βίαιον ἀπὸ αὐτήν. Δι' αὐτὸ καὶ ἔλεγεν ὁ Χριστὸς εἰς τοὺς Ἰουδαίους· «Πῶς ἠμπορεῖτε νὰ ἔχετε πίστιν, ἀφοῦ δέχεσθε τιμὰς ὁ ἕνας ἀπὸ τὸν ἄλλον καὶ δὲν ζητεῖτε τὴν τιμὴν ποὺ προέρχεται ἀπὸ τὸν μόνον Θεόν;»[1].

«Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω». Ἐνταῦθα κόσμον τὸ πλῆθός φησι, τὸ διεφθαρμένον καὶ τοῖς γηΐνοις προσιετηκὸς πράγμασι, τὸν χυδαῖον, καὶ ταραχώδη, καὶ ἀνόητον λαόν. Ὡς οἵ γε τοῦ Θεοῦ φίλοι καὶ θαυμαστοὶ πάντες, αὐτὸν ἐπέγνωσαν καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας. Καὶ περὶ μὲν τοῦ πατριάρχου καὶ αὐτὸς ὀνομαστί φησιν ὁ Χριστός, ὅτι «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη». Καὶ περὶ τοῦ Δαυῒδ δέ, Ἰουδαίους ἐλέγχων, ἔλεγε· «Πῶς οὖν Δαυῒδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου;».

Καὶ πολλαχοῦ, πρὸς ἐκείνους ἱστάμενος, Μωϋσέως μέμνηται· περὶ δὲ τῶν λοιπῶν προφητῶν ὁ Ἀπόστολος· πάντας γὰρ τοὺς προφήτας ἀπὸ Σαμουὴλ ἐγνωκέναι φησὶν ὁ Πέτρος αὐτόν, καὶ τὴν παρουσίαν αὐτοῦ πόρρωθεν προαναφωνεῖν, οὕτω λέγων· «Καὶ πάντες οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας». Τῷ δὲ Ἰακὼβ καὶ τῷ πατρὶ τῷ τούτου, ὥσπερ οὖν καὶ τῷ πάππῳ, καὶ ἐφάνη καὶ διελέχθη, καὶ πολλὰ καὶ μεγάλα ὑπέσχετο δώσειν ἀγαθά, ἅπερ οὖν καὶ εἰς ἔργον ἐξήνεγκε.

Πῶς οὖν, φησίν, αὐτὸς ἔλεγε· «Πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν». Ἆρα γὰρ οὐ μετέσχον τῆς γνώσεως τῆς εἰς αὐτόν; Πάνυ μὲν οὖν· καὶ τοῦτο καὶ ἀπὸ τῆς ῥήσεως ταύτης, ἀφ᾽ ἧς νομίζουσί τινες αὐτοὺς ἀπεστερῆσθαι, πειράσομαι ποιῆσαι φανερόν· «Πολλοὶ» γάρ, φησίν, «ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε». Ὥστε ᾔδεσαν αὐτὸν ἥξοντα εἰς ἀνθρώπους, καὶ οἰκονομήσοντα, ἅπερ καὶ ᾠκονόμησεν· οὐ γὰρ ἄν, εἰ μὴ ᾔδεσαν, ἐπεθύμησαν· οὐδεὶς γάρ, ὧν μηδὲ ἔννοιαν ἔχει, τούτων λαβεῖν ἐπιθυμίαν δυνήσεται.

2. Ἰω. 8, 56.
3. Ματθ. 22, 43-44.
4. Πρ. 3, 24.
5. Λουκᾶ 10, 24.

«Καὶ ὁ κόσμος δὲν τὸν ἀνεγνώρισεν». Ἐδῶ κόσμον ὀνομάζει τὸ πλῆθος τὸ διεστραμμένον καὶ προσκεκολλημένον εἰς τὰ γήϊνα πράγματα, τὸν ἄγροῖκον καὶ ταραχώδη καὶ ἀνόητον λαόν. Καθόσον οἱ φίλοι τοῦ Θεοῦ καὶ ἐξαίρετοι ὅλοι τὸν ἀνεγνώρισαν καὶ πρὶν ἀπὸ τὴν ἐνσάρκωσίν του. Καὶ περὶ μὲν τοῦ πατριάρχου καὶ ὁ ἴδιος ὁ Χριστὸς λέγει ὀνομαστικῶς ὅτι «ὁ Ἀβραὰμ ὁ πατέρας σας, ᾐσθάνθη ἀγαλλίασιν διότι ἐπρόκειτο νὰ ἴδῃ τὴν ἡμέραν μου· καὶ τὴν εἶδε καὶ ἐχάρηκε»[2]. Περὶ δὲ τοῦ Δαβὶδ ἐλέγχων τοὺς Ἰουδαίους ἔλεγε· «Πῶς λοιπὸν ὁ Δαβίδ, ἐμπνευσμένος ἀπὸ τὸ Πνεῦμα, τὸν ὀνομάζει Κύριον λέγων· εἶπεν ὁ Κύριος εἰς τὸν Κύριόν μου, κάθισε εἰς τὰ δεξιά μου;»[3].

Καὶ εἰς πολλὰ σημεῖα, ἀντικρούων αὐτούς, ὑπενθυμίζει τὸν Μωϋσῆ. Περὶ δὲ τῶν ἄλλων προφητῶν ὁμιλεῖ ὁ Ἀπόστολος. Διότι ὁ Πέτρος λέγει ὅτι ὅλοι οἱ προφῆται ἀπὸ τὸν Σαμουὴλ τὸν ἀνεγνώρισαν καὶ προεφήτευσαν ἀπὸ πολὺ ἐνωρὶς τὴν ἔλευσίν του. Λέγει τὰ ἑξῆς: «Καὶ ὅλοι οἱ προφῆται ἀπὸ τὸν Σαμουὴλ καὶ κατόπιν ὅσοι ὡμίλησαν προανήγγειλαν τὰς ἡμέρας αὐτάς»[4]. Εἰς τὸν Ἰακὼβ δὲ καὶ τὸν πατέρα του, ὅπως καὶ εἰς τὸν παποῦν του, ἐνεφανίσθη καὶ συνωμίλησε μαζί του καὶ τοῦ ὑπεσχέθη ὅτι θὰ τοῦ δώσῃ πολλὰ καὶ σπουδαῖα ἀγαθά, τὰ ὁποῖα καὶ ἐπραγματοποίησε.

Πῶς λοιπόν, ἰσχυρίζεται, ὁ Χριστὸς λέγει· «Πολλοὶ προφῆται ἐπεθύμησαν νὰ ἰδοῦν αὐτὰ ποὺ βλέπετε σεῖς καὶ δὲν τὰ εἶδαν, καὶ νὰ ἀκούσουν αὐτὰ ποὺ ἀκούετε σεῖς καὶ δὲν τὰ ἤκουσαν»;[5] Μήπως δὲν τὸν ἀνεγνώρισαν; Καὶ πολὺ μάλιστα· αὐτὸ μάλιστα θὰ ἐπιχειρήσω νὰ τὸ ἀποδείξω μὲ τὸ χωρίον αὐτὸ μὲ τὸ ὁποῖον νομίζουν μερικοὶ ὅτι τοὺς στερεῖ τὴν γνῶσιν. Διότι λέγει· «Πολλοὶ ἐπεθύμησαν νὰ ἰδοῦν αὐτὰ ποὺ βλέπετε σεῖς». Ἑπομένως ἐγνώριζαν ὅτι αὐτὸς θὰ ἔλθῃ εἰς τοὺς ἀνθρώπους. Διότι, ἐὰν δὲν τὸν ἐγνώριζαν, δὲν θὰ τὸν ἐπιθυμοῦσαν. Ἐξ ἄλλου κανεὶς δὲν ἠμπορεῖ νὰ ἐπιθυμήσῃ αὐτὰ τὰ ὁποῖα δὲν γνωρίζει.

Ὥστε ᾔδεσαν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ὅτι ἥξει εἰς ἀνθρώπους. Τίνα οὖν ἐστιν ἅπερ οὐκ ᾔδεσαν, καὶ τίνα ἅπερ οὐκ ἤκουσαν; Ταῦτα, ἃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. Εἰ δὲ καὶ φωνῆς ἤκουσαν, καὶ εἶδον αὐτὸν ἐκεῖνοι, ἀλλ' οὐκ ἐν σαρκί, οὐδὲ οὕτω τοῖς ἀνθρώποις συναναστρεφόμενον, οὐδὲ μετὰ τοσαύτης αὐτοῖς ὁμολογοῦντα τῆς ἀδείας. Τοῦτο γοῦν καὶ αὐτὸς δηλῶν, οὐχ ἁπλῶς εἶπεν· "Ἐπεθύμησαν ἰδεῖν ἐμέ"· ἀλλὰ τί; «Ἃ ὑμεῖς βλέπετε»· οὐδέ· "Ἀκοῦσαι ἐμοῦ", ἀλλὰ τί; «Ἃ ὑμεῖς ἀκούετε». Ὥστε, εἰ καὶ μὴ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν ἐθεάσαντο, ἀλλ' ὅμως ᾔδεσαν αὐτὴν ἐσομένην, ἧς καὶ ἐπεθύμουν, καὶ ἐπίστευον εἰς αὐτόν, καὶ μὴ ἑωρακότες αὐτὸν ἐν σαρκί.

Ὅταν οὖν ἐγκαλῶσιν ἡμῖν Ἕλληνες, ταῦτα λέγοντες· Τί δὲ τὸν ἔμπροσθεν ἐποίει χρόνον ὁ Χριστός, τὸ τῶν ἀνθρώπων οὐκ ἐπισκοπούμενος γένος; καὶ τί δήποτε ἐν ἐσχάτῳ τῆς ἡμετέρας ἦλθεν ἀντιληψόμενος σωτηρίας, τοσοῦτον ἀμελήσας χρόνον ἡμῶν; ἐροῦμεν ὅτι καὶ πρὸ τούτου ἐν τῷ κόσμῳ ἦν, καὶ προενόει τῶν ἔργων αὐτοῦ, καὶ γνώριμος τοῖς ἀξίοις ἅπασιν ἦν. Εἰ δὲ διὰ τὸ μὴ πάντας αὐτὸν τότε ἐπεγνωκέναι, ἀλλὰ παρὰ τῶν γενναίων αὐτὸν καὶ ἐναρέτων ἐκείνων μόνον ἐγνῶσθαι, φαίητε μὴ γνωρίζεσθαι, κατὰ τοῦτο οὐδὲ νῦν ὁμολογήσετε προσκυνεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀνθρώπων, ἐπειδὴ μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασιν. Ἀλλ' ὥσπερ ἐπὶ τοῦ παρόντος οὐδεὶς ἂν διὰ τοὺς ἀγνοοῦντας αὐτὸν τοῖς εἰδόσι διαπιστήσειεν, οὕτως οὐδὲ ὑπὲρ τῶν ἔμπροσθεν χρόνων ἀμφισβητεῖν χρή, ὅτι πολλοῖς, μᾶλλον δὲ πᾶσιν ἔγνωστο τοῖς γενναίοις καὶ θαυμασίοις ἀνδράσιν ἐκείνοις.

2. Εἰ δὲ λέγοι τις· Καὶ τίνος ἕνεκεν μὴ πάντες προσεῖχον αὐτῷ, μηδὲ πάντες αὐτὸν ἐθεράπευον τότε, ἀλλὰ μόνοι οἱ

Ὥστε λοιπὸν ἐγνώριζαν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ ὅτι πρόκειται νὰ ἔλθῃ εἰς τοὺς ἀνθρώπους. Ποῖα λοιπὸν εἶναι ἐκεῖνα τὰ ὁποῖα δὲν ἐγνώριζαν καὶ ποῖα ἐκεῖνα τὰ ὁποῖα δὲν ἤκουσαν; Αὐτὰ τὰ ὁποῖα τώρα σεῖς βλέπετε καὶ ἀκούετε. Ἐὰν δὲ ἤκουσαν καὶ ἐκεῖνοι φωνὴν καὶ τὸν εἶδαν, δὲν τὸν εἶδαν ἐνσαρκωμένον, οὔτε νὰ συναναστρέφεται τοὺς ἀνθρώπους, οὔτε νὰ τοὺς ὁμιλῇ μὲ τόσην ἐξουσίαν. Αὐτὸ δὲ θέλων νὰ δηλώσῃ καὶ ὁ ἴδιος, δὲν εἶπεν ἁπλῶς· Ἐπεθύμησαν νὰ μὲ ἰδοῦν, ἀλλὰ τί; «αὐτὰ ποὺ βλέπετε σεῖς». Οὔτε εἶπε· Νὰ μὲ ἀκούσουν· ἀλλὰ τί; «αὐτὰ ποὺ ἀκούετε σεῖς». Ἑπομένως, μολονότι δὲν εἶδαν τὴν ἔνσαρκον παρουσίαν του, ἐν τούτοις ἐγνώριζαν ὅτι αὐτὴ πρόκειται νὰ γίνῃ καὶ τὴν ἐπιθυμοῦσαν. Καὶ ἐπίστευαν εἰς αὐτόν, μολονότι δὲν τὸν εἶχαν ἰδεῖ ἐνσαρκωμένον.

Ὅταν λοιπὸν σᾶς κατηγοροῦν οἱ ἐθνικοὶ λέγοντες τὰ ἑξῆς· τί ἔκανεν ὅμως ὁ Χριστὸς τὸν προηγούμενον χρόνον, ὅταν δὲν ἐπόπτευε τὸ ἀνθρώπινον γένος, καὶ διατί τέλος πάντων ἦλθε νὰ προσφέρῃ τὴν σωτηρίαν τὴν τελευταίαν ἡμέραν, ἀφοῦ ἐπὶ τόσον χρόνον ἔδειξεν ἀμέλειαν; Θὰ ἀπαντήσωμεν, ὅτι καὶ προηγουμένως εὑρίσκετο εἰς τὸν κόσμον καὶ ἐπεδείκνυεν ἐνδιαφέρον διὰ τὰ ἔργα του καὶ ἦτο γνωστὸς εἰς ὅλους τοὺς ἀξίους. Ἐὰν δὲ ἰσχυρίζεσθε ὅτι δὲν ἦτο γνωστός, ἐπειδὴ τότε δὲν τὸν ἐγνώριζαν ὅλοι, παρὰ μόνον οἱ γενναῖοι ἐκεῖνοι καὶ ἐνάρετοι, κατὰ τὴν ἰδίαν λογικὴν θὰ πρέπει νὰ ὁμολογήσετε ὅτι οὔτε καὶ τώρα αὐτὸς προσκυνεῖται ἀπὸ τοὺς ἀνθρώπους, ἐπειδὴ οὔτε καὶ τώρα τὸν γνωρίζουν ὅλοι. Ὅπως λοιπὸν τώρα, κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ δυσπιστήσῃ πρὸς ἐκείνους ποὺ τὸν γνωρίζουν, ἐξ αἰτίας αὐτῶν ποὺ τὸν ἀγνοοῦν, ἔτσι οὔτε διὰ τοὺς προηγηθέντας χρόνους πρέπει νὰ ἔχωμεν ἀμφιβολίας, διότι εἰς πολλούς, ἢ μᾶλλον εἰς ὅλους τοὺς γενναίους καὶ θαυμασίους ἐκείνους ἄνδρας ἦτο γνωστός.

2. Ἐὰν δὲ κανεὶς εἴπῃ· καὶ διατί δὲν πρόσεχαν ὅλοι εἰς αὐτὸν τότε, οὔτε τὸν ἐλάτρευαν, παρὰ μόνον οἱ δίκαιοι;

δίκαιοι; ἐρήσομαι κἀγώ· Τίνος ἕνεκεν μηδὲ νῦν ἅπαντες αὐτὸν ἴσασι; Καὶ τί λέγω περὶ τοῦ Χριστοῦ; Τὸν γὰρ Πατέρα τὸν τούτου διὰ τί μὴ πάντες μήτε τότε, μήτε νῦν ἔγνωσαν, ἀλλ᾽ οἱ μὲν αὐτομάτως ἅπαντα φέρεσθαι λέγουσιν, οἱ δὲ δαιμονίοις τὴν τοῦ παντὸς ἐπιτρέπουσι πρόνοιαν, εἰσὶ δέ, οἳ καὶ ἕτερον παρὰ τοῦτον ἀναπλάττουσι Θεόν, τινὲς δὲ αὐτῶν καὶ τὴν ἀντικειμένην εἶναι βλασφημοῦσιν αὐτοῦ δύναμιν, καὶ τοὺς νόμους αὐτοῦ πονηροῦ τινος δαίμονος εἶναι νομίζουσι;

Τί οὖν; παρὰ τοῦτο οὔτε Θεὸν αὐτὸν φήσομεν εἶναι, ἐπειδὴ τινές εἰσιν οἱ τοῦτο λέγοντες, καὶ πονηρὸν ὁμολογήσομεν εἶναι; καὶ γὰρ καὶ τοῦτό εἰσιν οἱ βλασφημοῦντες αὐτόν. Ἄπαγε τῆς παραφροσύνης καὶ τῆς ἐσχάτης παραπληξίας. Εἰ γὰρ μέλλοιμεν ἀπὸ τῆς τῶν μαινομένων κρίσεως χαρακτηρίζειν τὰ δόγματα, οὐδὲν κωλύει μαίνεσθαι καὶ αὐτοὺς μανίαν χαλεπωτάτην.

Εἶτα, ἥλιον μὲν οὐδεὶς λυμαντικὸν ὀφθαλμῶν εἶναι φήσει διὰ τοὺς νοσοῦντας τὰς ὄψεις, ἀλλὰ φωτιστικόν, ἀπὸ τῶν ὑγιαινόντων λαμβάνων τὰς κρίσεις· καὶ τὸ μέλι δὲ οὐδεὶς πικρὸν προσερεῖ, ἐπειδὴ τοῦτο τῇ αἰσθήσει τῶν ἀρρώστων δοκεῖ, τὸν δὲ Θεὸν ἀπὸ τῆς τῶν ἀσθενούντων ὑπολήψεως ἢ μὴ εἶναι, ἢ πονηρὸν εἶναι, ἢ ποτὲ μὲν προνοεῖν, ποτὲ δὲ μηδὲ ὅλως τοῦτο ποιεῖν ψηφιοῦνταί τινες; Καὶ τίς ἂν τοὺς τοιούτους ὑγιαίνειν φήσειεν, ἀλλ᾽ οὐκ ἐξεστηκέναι καὶ παραπαίειν καὶ μαίνεσθαι τὴν ἐσχάτην μανίαν;

«Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω», φησίν. Ἀλλ᾽ ὧν ὁ κόσμος οὐκ ἦν ἄξιος, οὗτοι αὐτὸν ἔγνωσαν. Εἰπὼν δὲ καὶ τοὺς μὴ γνόντας αὐτόν, ἐν βραχεῖ καὶ τὴν αἰτίαν τῆς ἀγνοίας ἔθηκεν. Οὐ γὰρ ἁπλῶς εἶπεν, ὅτι οὐδεὶς αὐτὸν ἔγνω, ἀλλ᾽ ὅτι

Θὰ ἀπαντήσω καὶ ἐγώ· διατί οὔτε καὶ τώρα τὸν γνωρίζουν ὅλοι; Ἀλλὰ διατί ὁμιλῶ περὶ τοῦ Χριστοῦ; Διατί καὶ τὸν Πατέρα αὐτοῦ, οὔτε τότε οὔτε τώρα τὸν ἀναγνωρίζουν ὅλοι; Ἀλλὰ ἄλλοι μὲν ἰσχυρίζονται ὅτι ὅλα λειτουργοῦν αὐτομάτως, ἄλλοι δὲ ἀναθέτουν τὴν φροντίδα τοῦ παντὸς εἰς δαιμόνια· ὑπάρχουν μάλιστα καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἀναπλάθουν ἄλλον Θεὸν ἐκτὸς ἀπὸ αὐτόν, ἐνῷ ἄλλοι ἀπὸ αὐτοὺς ἐκστομίζουν τὴν βλασφημίαν ὅτι ἡ δύναμίς του εἶναι καταστρεπτικὴ καὶ θεωροῦν τοὺς νόμους του ἔργον κάποιου πονηροῦ δαίμονος;

Τί λοιπόν; ἕνεκα τούτου θὰ ἰσχυρισθῶμεν ὅτι αὐτὸς δὲν εἶναι οὔτε Θεός, ἐπειδὴ ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι τὸ λέγουν αὐτό, καὶ θὰ ὁμολογήσωμεν ὅτι εἶναι πονηρός; Διότι καὶ αὐτὸ ὑπάρχουν ἐκεῖνοι ποὺ τοῦ τὸ ἀποδίδουν. Μακρυὰ ἀπὸ αὐτὴν τὴν παραφροσύνην καὶ τὴν τελείαν τρέλλαν. Διότι ἐὰν πρόκειται νὰ διατυπώνωμεν τὰ δόγματα σύμφωνα μὲ τὴν κρίσιν τῶν μαινομένων, τίποτε δὲν μᾶς ἐμποδίζει νὰ ἐκδηλώσωμεν καὶ ἐμεῖς φοβερὰν μανίαν.

Καὶ ἔπειτα, διὰ μὲν τὸν ἥλιον κανεὶς δὲν ἰσχυρίζεται ὅτι εἶναι καταστρεπτικὸς εἰς τοὺς ὀφθαλμούς, ἐπειδὴ ὑπάρχουν ἐκεῖνοι ποὺ ἔχουν ἀσθενῆ ὅρασιν, ἀλλὰ ὅτι εἶναι φωτιστικός, στηριζόμενος εἰς τὰς κρίσεις τῶν ὑγιῶν. Οὔτε τὸ μέλι κανεὶς δὲν λέγει ὅτι εἶναι πικρόν, ἐπειδὴ ἔτσι φαίνεται εἰς τὴν αἴσθησιν τῶν ἀρρώστων. Ὁ δὲ Θεός, ἀπὸ τὴν γνώμην τῶν ἀσθενούντων, θὰ μᾶς εἴπουν μερικοὶ ἢ ὅτι δὲν ὑπάρχει, ἢ ὅτι εἶναι πονηρός, ἢ ὅτι ἄλλοτε μὲν προνοεῖ ἄλλοτε δὲ ὄχι; Καὶ ποῖος θὰ εἴπῃ ὅτι αὐτοὶ ὑγιαίνουν καὶ ὅτι δὲν εἶναι ἐκτὸς ἑαυτῶν καὶ παραπαίουν καὶ ἐκδηλώνουν φοβερὰν μανίαν;

«Ὁ κόσμος, λέγει, δὲν τὸν ἀνεγνώρισεν». Ἐκεῖνοι ὅμως τῶν ὁποίων δὲν ἦτο ἄξιος ὁ κόσμος, αὐτοὶ τὸν ἀνεγνώρισαν. Ὅταν δὲ ἀνέφερε καὶ ἐκείνους ποὺ δὲν τὸν ἀνεγνώρισαν, ἐξέθεσε μὲ συντομίαν καὶ τὴν αἰτίαν τῆς ἀγνοίας των. Διότι δὲν εἶπεν ἁπλῶς ὅτι δὲν τὸν ἀνεγνώρισε κανείς,

«Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω»· τουτέστιν, οἱ τῷ κόσμῳ μόνῳ προσηλωμένοι, καὶ τὰ τοῦ κόσμου φρονοῦντες ἄνθρωποι· οὕτω γὰρ εἴωθε καλεῖν αὐτοὺς καὶ ὁ Χριστός, ὡς, ὅταν λέγῃ· «Πάτερ ἅγιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω». Οὐκ ἄρα αὐτὸν μόνον, ἀλλὰ καὶ τὸν Πατέρα αὐτοῦ ὁ κόσμος ἠγνόησε, καθάπερ ἐλέγομεν· οὐδὲν γὰρ οὕτω θολοῖ διάνοιαν, ὡς τὸ προστετηκέναι τοῖς παροῦσι.

Ταῦτ' οὖν εἰδότες, ἀποστήσατε ἑαυτοὺς τοῦ κόσμου, καὶ τῶν σαρκικῶν ἀπορρήξατε πραγμάτων, καθόσον οἷόν τε. Οὐδὲ γὰρ ἐν τοῖς τυχοῦσιν ὑμῖν ἀπὸ τούτων ἡ ζημία γίνεται, ἀλλ' ἐν τῷ κεφαλαίῳ τῶν ἀγαθῶν· οὐ γάρ ἐστιν ἄνθρωπον, τῶν κατὰ τὸν παρόντα βίον ἀντεχόμενον πραγμάτων σφοδρῶς, δυνηθῆναι ἐπιλαβέσθαι τῶν ἐν τοῖς οὐρανοῖς γνησίως, ἀλλὰ ἀνάγκη τὸν περὶ ταῦτα ἐσπουδακότα ἐκείνων ἐκπεσεῖν· «Οὐ δύνασθε», γάρ, φησί, «Θεῷ δουλεύειν καὶ μαμωνᾷ· ἀνάγκη γὰρ ἑνὸς ἔχεσθαι, καὶ τὸν ἕτερον μισεῖν.

Καὶ ταῦτα καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα βοᾷ. Οἱ γοῦν τῆς τῶν χρημάτων ἐπιθυμίας καταγελάσαντες, οὗτοι μάλιστά εἰσιν οἱ τὸν Θεὸν ἀγαπῶντες ὡς χρή· ὥσπερ οὖν οἱ τὴν ἀρχὴν ἐκείνην θαυμάζοντες, οὗτοι μάλιστα πάντων εἰσὶν οἱ ἀμβλυτέραν τὴν περὶ αὐτὸν ἀγάπην ἔχοντες. Ψυχὴ γάρ, καθάπαξ ὑπὸ φιλοχρηματίας ἁλοῦσα, οὐ ῥᾳδίως, οὐδὲ εὐκόλως παραιτήσεται καὶ πρᾶξαι καὶ εἰπεῖν τι τῶν παροξυνόντων τὸν Θεόν, ἅτε καὶ ἑτέρου γενομένη δεσπότου δούλη, καὶ πάντα ἀπ' ἐναντίας ἐπιτάττοντος τῷ Θεῷ.

Ἀνανήψατε τοίνυν ποτὲ καὶ διεγέρθητε, καί, ἐννοήσαντες τίνος ἐσμὲν οἰκέται, τὴν τούτου βασιλείαν ἀγαπήσωμεν μόνην· κλαύσωμεν, θρηνήσωμεν, ὑπὲρ τῶν ἔμπροσθεν χρόνων, ὧν ἐδουλεύσαμεν τῷ μαμωνᾷ, ῥίψωμεν αὐτοῦ καθάπαξ τὸν

6. Ἰω. 17, 25.
7. Λουκᾶ 16, 13.

ἀλλ' ὅτι «ὁ κόσμος δὲν τὸν ἀνεγνώρισε», δηλαδὴ οἱ ἄνθρωποι ποὺ εἶναι προσηλωμένοι εἰς τὸν κόσμον καὶ φρονοῦν τὰ τοῦ κόσμου. Διότι ἔτσι συνήθιζε νὰ τοὺς ὀνομάζῃ ὁ Χριστός, ὅπως ὅταν λέγῃ· «Πατέρα ἅγιε, καὶ σένα ὁ κόσμος δὲν σὲ ἀνεγνώρισε»[6]. Ἑπομένως, ὄχι μόνον αὐτόν, ἀλλὰ καὶ τὸν Πατέρα του ἠγνόησεν ὁ κόσμος, ὅπως ἔλεγα. Διότι τίποτε δὲν θολώνει τόσον τὴν διάνοιαν, ὅσον ἡ προσκόλλησις εἰς τὰ παρόντα.

Γνωρίζοντες λοιπὸν αὐτά, ἀποσπάσατε τοὺς ἑαυτούς σας ἀπὸ τὸν κόσμον καὶ ἀποκόψατέ τους ἀπὸ τὰ σαρκικὰ πράγματα, ὅσον εἶναι δυνατόν. Διότι ἡ ζημία ἀπὸ αὐτὰ δὲν ἀφορᾷ εἰς τυχαῖα πράγματα, ἀλλὰ εἰς τὰ κεφαλαιώδη ἀγαθά. Διότι δὲν εἶναι δυνατὸν ἄνθρωπος ποὺ ἐπιμένει εἰς τὰ πράγματα τοῦ παρόντος βίου νὰ ἐπιτύχῃ τὰ γνήσια ἀγαθὰ τῶν οὐρανῶν· κατ' ἀνάγκην δὲ αὐτὸς ποὺ ἀσχολεῖται μὲ αὐτὰ θὰ ἐκπέσῃ ἀπὸ ἐκεῖνα. Διότι «Δὲν ἠμπορεῖτε», λέγει, «νὰ ὑπηρετῆτε τὸν Θεὸν καὶ τὸν Μαμωνᾶν»[7]. Κατ' ἀνάγκην θὰ ἀφοσιωθῆτε εἰς τὸν ἕνα καὶ θὰ μισήσετε τὸν ἄλλον.

Αὐτὸ ἄλλωστε τὸ φωνάζει καὶ ἡ ἰδία ἡ πεῖρα τῶν πραγμάτων. Ὅσοι λοιπὸν περιγελοῦν τὴν ἐπιθυμίαν τῶν χρημάτων, αὐτοὶ κυρίως εἶναι ἐκεῖνοι ποὺ ἀγαποῦν τὸν Θεὸν ὅπως πρέπει, ὅπως, ἀντιθέτως, ἐκεῖνοι οἱ ὁποῖοι θαυμάζουν τὴν ἀπόκτησιν τῶν χρημάτων, αὐτοὶ εἶναι πρὸ πάντων ποὺ ἔχουν μειωμένην τὴν ἀγάπην πρὸς αὐτόν. Διότι ἐὰν ἡ ψυχὴ κυριευθῇ μίαν φορὰν ἀπὸ τὴν φιλοχρηματίαν, δὲν παραιτεῖται εὔκολα ἀπὸ τοῦ νὰ κάνῃ καὶ νὰ εἰπῇ κάτι ἀπὸ αὐτὰ ποὺ ἐξοργίζουν τὸν Θεόν, ἐπειδὴ γίνεται δούλη καὶ ἄλλου δεσπότου, ὁ ὁποῖος διατάσσει τὰ ἐντελῶς ἀντίθετα ἀπὸ τὸν Θεόν.

Συνέλθετε λοιπὸν καὶ ἀφυπνισθῆτε καὶ ἀφοῦ κατανοήσωμεν τίνος δοῦλοι εἴμεθα, ἂς ἀγαπήσωμεν τὴν βασιλείαν αὐτοῦ μόνον. Ἂς κλαύσωμεν, ἂς θρηνήσωμεν διὰ τοὺς προηγουμένους χρόνους κατὰ τοὺς ὁποίους ἐδουλεύσαμεν εἰς τὸν μαμωνᾶν. Ἂς ἀπορρίψωμεν ἅπαξ διὰ παντὸς τὸν ζυγόν

ζυγόν, τὸν ἀφόρητον καὶ τὸν βαρύν, καὶ μένωμεν φέροντες τὸν τοῦ Χριστοῦ, τὸν κοῦφον καὶ ῥᾷστον· οὐδὲν γὰρ ἐπιτάττει τοιοῦτον ἡμῖν, οἷον ὁ μαμωνᾶς. Οὗτος μὲν γὰρ ἐχθροὺς κελεύει πᾶσι γίνεσθαι, ὁ δὲ Χριστὸς τοὐναντίον, ἅπαντας ἀσπάζεσθαι καὶ φιλεῖν.

Ἐκεῖνος, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώσας (τοῦτο γάρ ἐστιν ὁ χρυσός), οὐδὲ τὰς νύκτας ἀφίησιν ἀναπνεῦσαι μικρόν· οὗτος τῆς μὲν περιττῆς ταύτης καὶ ἀνοήτου φροντίδος ἀπαλλάττει, κελεύει δὲ συνάγειν τοὺς θησαυροὺς ἐν τοῖς οὐρανοῖς οὐκ ἐκ τῆς εἰς ἑτέρους ἀδικίας, ἀλλ᾽ ἐκ τῆς οἰκείας δικαιοσύνης. Ἐκεῖνος μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ τὰς ταλαιπωρίας οὔτε δύναται παραστῆναι κολαζομένοις ἡμῖν ἐκεῖ καὶ κακῶς πάσχουσι διὰ τοὺς αὐτοῦ νόμους, καὶ ἐπιτείνει τὴν φλόγα, οὗτος δέ, κἂν ποτήριον ἡμῖν ἐπιτάξῃ δοῦναι ψυχροῦ, οὐδὲ τούτου τὸν μισθὸν καὶ τὴν ἀμοιβὴν ἀφίησιν ἡμᾶς ἀπολέσαι ποτέ, ἀλλὰ μετὰ πολλῆς ἀντιδίδωσι τῆς δαψιλείας.

Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, τῆς οὕτω προσηνοῦς δεσποτείας καὶ τοσούτων γεμούσης ἀγαθῶν ἀμελοῦντας, ἀχαρίστῳ καὶ ἀγνώμονι δουλεύειν τυράννῳ, καὶ οὐδὲν οὔτε ἐνταῦθα, οὔτε ἐκεῖ δυναμένῳ τοὺς πειθομένους αὐτῷ καὶ προσέχοντας ὠφελεῖν; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, οὐδὲ αὕτη ἡ ζημία μόνον, ὅτι οὐκ ἀμύνει κολαζομένοις, ἀλλ᾽ ὅτι πρὸς τούτῳ καὶ μυρίοις περιβάλλει κακοῖς, ὅπερ ἔφθην εἰπών, τοὺς πειθομένους αὐτῷ. Τοὺς γὰρ πλείονας τῶν ἐκεῖ κολαζομένων ἀπὸ ταύτης ἴδοι τις ἂν κολαζομένους τῆς αἰτίας, ὅτι χρήμασιν ἐδούλευσαν καὶ τὸ χρυσίον ἠγάπησαν, καὶ τοῖς δεομένοις οὐκ ἐπήρκεσαν.

του, ὁ ὁποῖος εἶναι ἀσήκωτος καὶ βαρύς, καὶ ἂς ἐπιμένωμεν νὰ φέρωμεν τὸν ζυγὸν τοῦ Χριστοῦ ὁ ὁποῖος εἶναι ἐλαφρὸς καὶ εὐκολώτατος καὶ δὲν μᾶς ἐπιβάλλει τίποτε ἀπὸ ἐκεῖνα ποὺ μᾶς ἐπιβάλλει ὁ μαμωνᾶς. Διότι αὐτὸς μὲν μᾶς διατάσσει νὰ γίνωμεν μὲ ὅλους ἐχθροί, ἐνῷ ὁ Χριστὸς τὸ ἀντίθετον, μᾶς παραγγέλλει νὰ ἀγαπῶμεν καὶ νὰ εἴμεθα φίλοι μὲ ὅλους.

Ἐκεῖνος ἀφοῦ μᾶς προσκολλήσῃ εἰς τὸν πηλὸν καὶ εἰς τὰ τοῦβλα (διότι τέτοιος εἶναι ὁ χρυσὸς) δὲν μᾶς ἀφήνει οὔτε τὴν νύκτα νὰ ἀναπνεύσωμεν ὀλίγον. Αὐτὸς ἀπὸ αὐτὴν μὲν τὴν περιττὴν καὶ ἀνόητον φροντίδα μᾶς ἀπαλλάσσει, μᾶς παραγγέλλει δὲ νὰ συγκεντρώνωμεν θησαυροὺς εἰς τοὺς οὐρανούς, ὄχι ἀπὸ ἀδικίαν πρὸς τοὺς ἄλλους, ἀλλὰ ἀπὸ τὴν ἰδικήν μας δικαιοσύνην. Ἐκεῖνος ὕστερα ἀπὸ τοὺς πολλοὺς ἱδρῶτας καὶ τὰς ταλαιπωρίας ὄχι μόνον δὲν ἠμπορεῖ νὰ μᾶς συμπαρασταθῇ ὅταν θὰ κολαζώμεθα ἐκεῖ καὶ θὰ ὑποφέρωμεν ἐξ αἰτίας τῶν νόμων του, ἀλλὰ καὶ θὰ ἐπαυξάνῃ τὴν φλόγα. Αὐτὸς ὅμως καὶ ὅταν ἀκόμη μᾶς ἐπιβάλλῃ νὰ δώσωμεν ἕνα ποτήρι μὲ κρύο νερό, οὔτε αὐτοῦ τὴν ἀντιμισθίαν καὶ τὴν ἀνταμοιβὴν μᾶς ἐπιτρέπει νὰ χάσωμεν, ἀλλὰ μᾶς τὴν ἀνταποδίδει μὲ μεγάλην ἀφθονίαν.

Πῶς λοιπὸν δὲν εἶναι δεῖγμα ἐσχάτης τρέλλας, νὰ παραμελοῦμεν αὐτὴν τὴν δεσποτείαν τὴν τόσον καταδεκτικήν, καὶ γεμάτην ἀπὸ τόσα ἀγαθά, καὶ νὰ γινώμεθα δοῦλοι ἀχαρίστου καὶ ἀγνώμονος τυράννου, ὁ ὁποῖος οὔτε ἐδῶ οὔτε ἐκεῖ ἠμπορεῖ νὰ ὠφελήσῃ αὐτοὺς ποὺ πείθονται καὶ προσέχουν εἰς αὐτόν; Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ φοβερόν, οὔτε αὐτὴ μόνον ἡ ζημία, ὅτι δηλαδὴ δὲν μᾶς ὑποστηρίζει ὅταν κολαζώμεθα, ἀλλὰ ὅτι μαζὶ μὲ αὐτὸ περιβάλλει μὲ μύρια κακά, ὅπως εἶπα ἤδη, ὅσους πείθονται εἰς αὐτόν. Διότι οἱ περισσότεροι ἀπὸ αὐτοὺς ποὺ θὰ κολάζωνται ἐκεῖ, βλέπει κανεὶς ὅτι κολάζονται ἀπὸ αὐτὴν τὴν αἰτίαν, ὅτι ἔγιναν δοῦλοι τοῦ χρήματος καὶ ἠγάπησαν τὸν χρυσὸν καὶ δὲν ἠμπόρεσαν νὰ ἐπαρκέσουν εἰς τὰς ἀνάγκας των.

Ἅπερ ἵνα μὴ καὶ ἡμεῖς πάθωμεν, σκορπίσωμεν, δῶμεν τοῖς πένησιν, ἀπαλλάξωμεν τὴν ψυχὴν καὶ τῶν ἐνταῦθα φροντίδων τῶν βλαβερῶν, καὶ τῆς ἐκεῖ διὰ ταῦτα κειμένης ἡμῖν τιμωρίας. Ἀποθώμεθα δικαιοσύνην ἐν οὐρανοῖς· ἀντὶ χρημάτων τῶν ἐπὶ γῆς συλλέξωμεν θησαυροὺς ἀναλώτους, θησαυροὺς δυναμένους συναποδημῆσαι πρὸς τὸν οὐρανὸν ἡμῖν, δυναμένους ἡμῖν κινδυνεύουσι παραστῆναι, καὶ ποιῆσαι τὸν κριτὴν ἵλεων τότε, ὃν γένοιτο πάντας ἡμᾶς εὐμενῆ καὶ νῦν καὶ κατ' ἐκείνην τὴν ἡμέραν σχόντας ἀπολαῦσαι μετὰ πολλῆς παρρησίας τῶν ἡτοιμασμένων ἀγαθῶν ἐν τοῖς οὐρανοῖς τοῖς ὡς χρὴ ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διὰ νὰ μὴ πάθωμεν καὶ ἐμεῖς αὐτά, ἂς σκορπίσωμεν, ἂς δώσωμεν εἰς τοὺς πτωχούς, ἂς ἀπαλλάξωμεν τὴν ψυχὴν καὶ ἀπὸ τὰς ἐδῶ βλαβερὰς φροντίδας καὶ ἀπὸ τὴν τιμωρίαν ἡ ὁποία τὴν περιμένει ἐκεῖ ἐξ αἰτίας αὐτῶν. Ἂς ἀποθέσωμεν εἰς τοὺς οὐρανοὺς δικαιοσύνην, ἀντὶ χρημάτων εἰς τὴν γῆν ἂς συγκεντρώσωμεν θησαυροὺς ἀπορθήτους, θησαυροὺς οἱ ὁποῖοι ἠμποροῦν νὰ ἀποδημήσουν μαζί μας εἰς τὸν οὐρανόν, οἱ ὁποῖοι ἠμποροῦν νὰ μᾶς συμπαρασταθοῦν ὅταν κινδυνεύωμεν καὶ νὰ κάνουν τότε τὸν κριτὴν ἐπιεικῆ. Αὐτὸν εἴθε ὅλοι μας νὰ τὸν ἔχωμεν εὐμενῆ καὶ τώρα καὶ κατ' ἐκείνην τὴν ἡμέραν. Καὶ νὰ ἀπολαύσωμεν μὲ πολὺ θάρρος τὰ ἀγαθὰ ποὺ εἶναι ἑτοιμασμένα εἰς τοὺς οὐρανοὺς δι' ἐκείνους οἱ ὁποῖοι τὸν ἀγαποῦν ὅπως πρέπει, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα μαζὶ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Θ΄.

'Ιω. 1, 11.

«Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον».

1. Ἂν τῶν προτέρων διαμνημονεύητε νοημάτων, μετὰ πλείονος προθυμίας καὶ τὰ ἑξῆς ἐποικοδομήσομεν, ὡς ἐπὶ κέρδει τοῦτο ποιοῦντες μεγάλῳ. Οὕτω γὰρ ὑμῖν τε εὐμαθέστερος ἔσται ὁ λόγος, τῶν ἤδη λεχθέντων μεμνημένοις, καὶ ἡμεῖς οὐ πολλοῦ δεησόμεθα πόνου, δυναμένων ὑμῶν διὰ τῆς πολλῆς φιλομαθείας ὀξύτερον τοῖς λοιποῖς ἐνορᾶν. Ὁ μὲν γὰρ ἀεὶ τὰ διδόμενα ἀπολλὺς ἀεὶ δεήσεται τοῦ διδάξοντος, καὶ οὐδέποτε εἴσεται οὐδέν, ὁ δὲ ἅπερ ἂν λάβῃ φυλάττων, καὶ οὕτω τὰ λοιπὰ προσλαμβάνων ταχέως ἀντὶ μαθητοῦ διδάσκαλος ἔσται, καὶ οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι χρήσιμος. Ὅπερ μάλιστα ταύτην ἔσεσθαι προσδοκῶ τὴν ἐκκλησίαν, ἀπὸ τῆς πολλῆς ταύτης τεκμαιρόμενος φιληκοΐας.

Φέρε οὖν ὡς ἐν ἀσφαλεῖ θησαυροφυλακίῳ ταῖς ἡμετέραις ψυχαῖς τὸ ἀργύριον τοῦ Κυρίου παρακαταθώμεθα, καὶ τὰ σήμερον ἡμῖν προτεθέντα ἀναπτύξωμεν, ὡς ἂν ἡ τοῦ Πνεύματος παρέχῃ χάρις.

Εἶπεν, ὅτι «Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω», περὶ τῶν ἄνω χρόνων λέγων. Κάτεισι λοιπὸν τῷ λόγῳ καὶ πρὸς τοὺς τοῦ κηρύγματος χρόνους, καί φησιν· «Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον»· ἰδίους Ἰουδαίους λέγων νῦν, ὡς λαὸν περιούσιον, ἢ καὶ πάντας δὲ τοὺς ἀνθρώπους ὡς ὑπ' αὐτοῦ γεγενημένους. Καὶ καθάπερ ἀνωτέρω, διαπορῶν ἐπὶ

ΟΜΙΛΙΑ Θ΄.
'Ιω. 1, 11.

«Εἰς τὰ ἰδικά του ἦλθε καὶ οἱ ἰδικοί του δὲν τὸν ἐδέχθησαν».

1. Ἐὰν διατηρῆτε εἰς τὴν μνήμην σας τὰς προηγουμένας ἐννοίας, θὰ οἰκοδομήσωμεν ἐπάνω εἰς αὐτὰς καὶ τὰ παρακάτω μὲ περισσοτέραν προθυμίαν, ἐπειδὴ θὰ τὸ κάνωμεν αὐτὸ πρὸς μεγάλην ὠφέλειάν σας. Διότι ἔτσι καὶ ἀπὸ σᾶς ὁ λόγος θὰ μαθαίνεται πιὸ εὔκολα, ἀφοῦ θὰ ἐνθυμῆσθε ὅσα ἐλέχθησαν ἤδη, καὶ ἐμεῖς δὲν θὰ χρειαζώμεθα πολὺν κόπον, ἀφοῦ σεῖς θὰ ἠμπορῆτε μὲ τὴν πολλὴν φιλομάθειάν σας νὰ ἀντιλαμβάνεσθε καλύτερα ἀπὸ τοὺς ὑπολοίπους. Διότι ἐκεῖνος ποὺ διαρκῶς χάνει ὅσα τοῦ δίδονται, θὰ ἔχη πάντοτε ἀνάγκην διδασκάλου καὶ ποτὲ δὲν θὰ γνωρίζη τίποτε. Ἐνῷ ἐκεῖνος ποὺ ὅ,τι παίρνει τὸ φυλάσσει καὶ ἔτσι προσλαμβάνει καὶ τὰ ὑπόλοιπα, γρήγορα ἀπὸ μαθητὴς θὰ γίνῃ διδάσκαλος, καὶ θὰ γίνῃ χρήσιμος ὄχι μόνον εἰς τὸν ἑαυτόν του, ἀλλὰ καὶ εἰς ὅλους τοὺς ἄλλους. Αὐτὸ δὲ περιμένω κατ' ἐξοχὴν νὰ γίνῃ ἡ ὁμήγυρις αὐτή, κρίνων ἀπὸ τὴν πολλήν της ἀγάπην νὰ ἀκροᾶται.

Ἂς καταθέσωμεν λοιπὸν ὡς εἰς ἀσφαλὲς θησαυροφυλάκιον εἰς τὰς ψυχάς σας τὸ ἀργύριον τοῦ Κυρίου, καὶ ἂς ἀναπτύξωμεν καὶ τὸ χωρίον ποὺ μᾶς ἐτέθη ἀνωτέρω, ὅσον μᾶς ἐπιτρέπει ἡ χάρις τοῦ ἁγίου Πνεύματος.

Εἶπεν ὅτι «ὁ κόσμος δὲν τὸν ἀνεγνώρισεν», ὁμιλῶν περὶ τῶν παρελθόντων χρόνων. Κατέρχεται λοιπὸν εἰς τὸν λόγον καὶ εἰς τοὺς χρόνους τοῦ κηρύγματος καὶ λέγει· «Εἰς τὰ ἰδικά του ἦλθε, καὶ οἱ ἰδικοί του δὲν τὸν ἐδέχθησαν», ἰδίους ἐδῶ ἐννοῶν τοὺς Ἰουδαίους, ὡς λαὸν περιούσιον, ἢ καὶ ὅλους τοὺς ἀνθρώπους, ὡς πλασθέντας ὑπ' αὐτοῦ. Καὶ

τῇ ἀνοίᾳ τῶν πολλῶν, καὶ ὑπὲρ τῆς κοινῆς αἰσχυνόμενος φύσεως, ἔλεγεν ὅτι ὁ κόσμος, δι' αὐτοῦ γενόμενος, τὸν δημιουργὸν οὐκ ἐγνώρισεν· οὕτω καὶ ἐνταῦθα πάλιν, ἐπὶ τῇ τῶν Ἰουδαίων καὶ τῇ τῶν πολλῶν δυσανασχετῶν ἀγνωμοσύνῃ, πληκτικώτερον τίθησι τὴν κατηγορίαν, λέγων, ὅτι «Οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον», καὶ ταῦτα αὐτὸν ἐλθόντα πρὸς αὐτούς.

Καὶ οὐχ οὗτος μόνον, ἀλλὰ καὶ οἱ προφῆται θαυμάζοντες ἔλεγον τὸ αὐτὸ δὴ τοῦτο· καὶ Παῦλος δὲ ὕστερον ἐπὶ τοῖς αὐτοῖς ἐκπληττόμενος. Καὶ οἱ μὲν προφῆται οὕτως ἐβόων, ἐκ προσώπου τοῦ Χριστοῦ λέγοντες· «Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου· υἱοὶ ἀλλότριοι ἐψεύσαντό με, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν»· καὶ πάλιν, «Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι»· καί, «Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι».

Παῦλος δέ, Ρωμαίοις ἐπιστέλλων, ἔλεγε· «Τί οὖν; ὃ ἐπεζήτει Ἰσραήλ, τοῦτο οὐκ ἐπέτυχεν· ἡ δὲ ἐκλογὴ ἐπέτυχε». Καὶ πάλιν· «Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη, τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δέ, διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε». Καὶ γάρ ἐστιν ὄντως ἐκπλήξεως ἄξιον, πῶς οἱ μὲν ἐν ταῖς προφητικαῖς ἀνατραφέντες βίβλοις, καὶ τοῦ Μωϋσέως καθ' ἑκάστην ἀκούοντες τὴν ἡμέραν μυρία περὶ τῆς τοῦ Χριστοῦ λέγοντος παρουσίας, καὶ τῶν λοιπῶν μετὰ ταῦτα προφητῶν, ἔτι τε αὐτὸν τὸν Χριστὸν θεώμενοι καθ' ἑκάστην αὐτοῖς θαυματουργοῦντα, καὶ μόνοις αὐτοῖς ὁμιλοῦντα, καὶ μήτε τοῖς μαθηταῖς συγχωροῦντα τέως εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν ἢ εἰς πόλιν Σαμαρειτῶν εἰσελθεῖν, μήτε αὐτὸν τοῦτο ποιοῦντα, ἀλλ' ἄνω

---

1. Ψαλμ. 17, 45-46.
2. Ἡσ. 52, 15.
3. Ἡσ. 66, 1.
4. Ρωμ. 11, 7.
5. Ρωμ. 9, 30.

ὅπως πιὸ ἐπάνω, ἀπορῶν διὰ τὴν μωρίαν τῶν πολλῶν καὶ ἐντρεπόμενος διὰ τὴν κοινήν μας φύσιν, ἔλεγεν ὅτι ὁ κόσμος, ὁ ὁποῖος ἐδημιουργήθη δι' αὐτοῦ, δὲν ἐγνώρισε τὸν Δημιουργόν, ἔτσι καὶ ἐδῶ, δυσανασχετῶν διὰ τὴν ἀγνωμοσύνην τῶν Ἰουδαίων καὶ τῶν ἄλλων, θέτει πιὸ κτυπητὰ τὴν κατηγορίαν, λέγων ὅτι «οἱ ἰδικοί του δὲν τὸν ἐδέχθησαν», καὶ αὐτὸ ἐνῷ ὁ ἴδιος ἦλθε πρὸς αὐτούς.

Καὶ ὄχι αὐτὸς μόνον, ἀλλὰ καὶ οἱ προφῆται ἀποροῦντες ἔλεγαν ἀκριβῶς τὸ ἴδιον. Καὶ ὁ Παῦλος ἐπίσης ἀργότερα, κατάπληκτος διὰ τὰ ἴδια. Καὶ οἱ μὲν προφῆται ἐφώναζαν ὡς ἑξῆς, ὁμιλοῦντες ἐκ μέρους τοῦ Χριστοῦ· «Λαὸς τὸν ὁποῖον δὲν ἐγνώριζα μὲ ὑπηρέτησε καὶ μὲ ὑπήκουσε πολὺ καλά· υἱοὶ ξένοι μὲ ἐξηπάτησαν, υἱοὶ ξένοι ἐφθάρησαν καὶ παρεξέκλιναν ἀπὸ τὰς ὁδούς των»[1]. Καὶ πάλιν· «Ἐκεῖνοι εἰς τοὺς ὁποίους δὲν ἔγινε κήρυγμα περὶ αὐτοῦ θὰ τὸν ἰδοῦν, καὶ ἐκεῖνοι ποὺ δὲν ἤκουσαν θὰ τὸν κατανοήσουν»[2]. Καὶ «εὑρέθην ἀπὸ ἐκείνους ποὺ μὲ ἀναζητοῦν· ἔγινα φανερὸς εἰς ἐκείνους ποὺ δὲν μὲ ἐπερωτοῦν»[3].

Ὁ Παῦλος δὲ γράφων εἰς τοὺς Ρωμαίους ἔλεγε· «Ποῖον λοιπὸν εἶναι τὸ συμπέρασμα; Ἐκεῖνο ποὺ ἐζητοῦσεν ὁ ἰσραηλικὸς λαὸς δὲν τὸ ἐπέτυχεν, ἐνῷ οἱ ἐκλεγέντες τὸ ἐπέτυχαν»[4]. Καὶ πάλιν· «Τί θὰ εἰποῦμεν λοιπόν; Ὅτι οἱ ἐθνικοὶ ποὺ δὲν ἐπεδίωκαν δικαίωσιν, ἐπέτυχαν τὴν δικαίωσιν, ἐνῷ οἱ ἰσραηλῖται ποὺ ἐπεδίωκαν δικαίωσιν μὲ τὴν τήρησιν τοῦ νόμου, δὲν ἐπέτυχαν τὴν διὰ τοῦ νόμου δικαίωσιν»[5]. Καὶ εἶναι πράγματι ἀπορίας ἄξιον, πῶς ἐκεῖνοι μὲν ποὺ ἀνετράφησαν μὲ τὰ προφητικὰ βιβλία καὶ ἤκουαν καθημερινῶς τὸν Μωϋσέα, ὁ ὁποῖος λέγει μύρια πράγματα περὶ τῆς παρουσίας τοῦ Χριστοῦ, καὶ ὅλους τοὺς μετέπειτα προφήτας, καὶ ἐπὶ πλέον ἔβλεπαν τὸν ἴδιον τὸν Χριστόν, ὁ ὁποῖος ἔκανε πρὸς χάριν των θαύματα καὶ ὡμιλοῦσε μόνον πρὸς αὐτούς, καὶ δὲν ἐπέτρεπεν οὔτε εἰς τοὺς μαθητάς του νὰ πορευθοῦν εἰς ὁδὸν ἐθνικῶν ἢ νὰ εἰσέλθουν εἰς πόλιν Σαμαρειτῶν, πρᾶγμα ποὺ οὔτε ὁ ἴδιος ἔκανεν, ἀλλ' ἐπανελάμβανε

καὶ κάτω λέγοντα, πρὸς τὰ πρόβατα ἀπεστάλθαι τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ὅμως καὶ τῶν σημείων ἀπολαύοντες, καὶ τῶν προφητῶν καθ' ἡμέραν ἀκούοντες, καὶ αὐτὸν συνεχῶς αὐτοὺς ἀναμιμνήσκοντα ἔχοντες, οὕτω καθάπαξ ἐπήρωσαν ἑαυτοὺς καὶ ἐκώφωσαν, ὡς μηδενὶ τούτων ἐναχθῆναι πρὸς τὴν τοῦ Χριστοῦ πίστιν ἰσχῦσαι.

Οἱ δὲ ἐξ ἐθνῶν τούτων μὲν οὐδενὸς ἀπολαύσαντες, οὔτε θείων ποτὲ λογίων ἀκούσαντες, οὐδὲ ὅσον ὄναρ εἰπεῖν, ἀλλ' ἀεὶ τοῖς τῶν παραπαιόντων ἐνστρεφόμενοι μύθοις (τοῦτο γὰρ ἡ τῶν ἔξωθεν φιλοσοφία), καὶ ποιητῶν λήρους ἀνελίττοντες, καὶ ξύλοις καὶ λίθοις προσηλωμένοι, καὶ οὔτε δογμάτων, οὔτε πολιτείας ἕνεκεν εἰδότες τι χρηστὸν καὶ ὑγιὲς (καὶ γὰρ ὁ βίος αὐτοῖς τῶν δογμάτων ἀκαθαρτότερος ἦν καὶ ἐναγέστερος. Πῶς δὲ οὔ; Ἔμελλον τοὺς θεοὺς αὐτῶν πάσῃ κακίᾳ χαίροντας ὁρῶντες καὶ δι' αἰσχρῶν μὲν ῥημάτων, δι' αἰσχροτέρων δὲ θεραπευομένους πραγμάτων, καὶ τοῦτο νομίζοντας ἑορτὴν καὶ τιμήν· ἔτι γε μὴν καὶ δι' ἀκαθάρτων φόνων καὶ παιδοκτονιῶν τιμωμένους, κἀκείνους εἰς ταῦτα ζηλοῦντες)· ἀλλ' ὅμως, καὶ πρὸς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπεσόντες, ἐξαίφνης ὥσπερ ἔκ τινος μηχανῆς ἄνωθεν ἡμῖν καὶ ἀπ' αὐτῆς τῶν οὐρανῶν τῆς κορυφῆς ἀνεφάνησαν διαλάμποντες.

Πῶς οὖν τοῦτο γέγονε, καὶ πόθεν; Ἄκουσον Παύλου λέγοντος. Καὶ γὰρ ὁ μακάριος ἐκεῖνος, ταῦτα ἀκριβῶς ζητῶν, οὐκ ἀπέστη ἕως οὗ τὴν αἰτίαν εὗρε, καὶ τοῖς ἄλλοις ταύτην ἐδήλωσεν ἅπασι. Τίς οὖν ἐστιν αὕτη; καὶ πόθεν ἡ τοσαύτη πώρωσις αὐτοῖς; Ἄκουσον αὐτοῦ τοῦ τὴν οἰκονομίαν ταύτην ἐμπιστευθέντος ταῦτα λέγοντος.

Τί οὖν οὗτος λέγει, τὴν διαπόρησιν τῶν πολλῶν λύων ταύτην; «Ἀγνοοῦντες», φησί, «τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ

μὲ ἐπίτασιν ὅτι ἔχει ἀποσταλῆ εἰς τὰ ἀπολωλότα πρόβατα τοῦ οἴκου Ἰσραήλ, καὶ ὅμως αὐτοὶ ποὺ καὶ τὰ θαύματα ἀπελάμβαναν καὶ τοὺς προφήτας ἤκουαν καθημερινῶς καὶ εἶχαν καὶ τὸν ἴδιον τὸν Χριστὸν ποὺ τοὺς ὑπενθύμιζε συνεχῶς αὐτούς, τόσον πολὺ ἐτύφλωσαν τοὺς ἑαυτούς των καὶ τοὺς ἐκούφαναν, ὥστε κανεὶς ἀπὸ αὐτοὺς νὰ μὴ ἠμπορέσῃ νὰ ὁδηγηθῇ εἰς τὴν πίστιν τοῦ Χριστοῦ.

Οἱ ἐξ ἐθνῶν, ἀντιθέτως, οἱ ὁποῖοι δὲν ἀπήλαυσαν τίποτε ἀπὸ αὐτά, οὔτε ἤκουσάν ποτε θεῖα λόγια, οὔτε εἰς τὸν ὕπνον τους, ἀλλὰ ἀνετρέφοντο πάντοτε μὲ τοὺς μύθους τῶν παραφρόνων (διότι αὐτὸ εἶναι ἡ φιλοσοφία τῶν ἐθνικῶν), καὶ ἀνεγίνωσκαν τὰς φρυαρίας τῶν ποιητῶν καὶ ἦσαν προσηλωμένοι εἰς ξύλα καὶ λίθους καὶ δὲν ἐγνώριζαν τίποτε τὸ ἀγαθὸν καὶ ὑγιὲς ἀπὸ διδασκαλίαν ἢ ἀπὸ συμπεριφορὰν (διότι ὁ βίος των ἦτο πιὸ ἀκάθαρτος καὶ βδελυρὸς ἀπὸ τὰ διδάγματά των. Καὶ πῶς νὰ μὴ εἶναι· Βλέποντες τοὺς θεούς των νὰ χαίρουν διὰ κάθε κακίαν καὶ νὰ λατρεύωνται μὲ αἰσχρὰ λόγια καὶ ἀκόμη πιὸ αἰσχρὰ ἔργα, καὶ αὐτὸ νὰ τὸ θεωροῦν τιμὴν καὶ ἑορτήν, καὶ ἀκόμη νὰ τιμῶνται μὲ ἀκαθάρτους φόνους καὶ παιδοκτονίας, φυσικὸν ἦτο νὰ δείχνουν καὶ αὐτοὶ ζῆλον πρὸς αὐτά). Ἀλλ' ὅμως ἂν καὶ εἶχαν φθάσει εἰς τὸν πυθμένα τῆς κακίας, ξαφνικά, ὡσὰν ἀπὸ μηχανῆς, ἐφάνησαν νὰ ἀστράπτουν ἀπὸ ἐπάνω μας, ἀπὸ τὴν ἰδίαν τὴν κορυφὴν τῶν οὐρανῶν.

Πῶς λοιπὸν ἔγινεν αὐτὸ καὶ ἀπὸ ποῦ; Ἄκουσε τὸν Παῦλον ποὺ τὸ λέγει. Διότι ὁ μακάριος ἐκεῖνος ἀναζητῶν αὐτὰ ἀκριβῶς, δὲν ἔπαυσε μέχρις ὅτου εὑρῆκε τὴν αἰτίαν καὶ τὴν ἐφανέρωσεν εἰς ὅλους τοὺς ἄλλους. Ποία λοιπὸν εἶναι αὐτὴ καὶ ἀπὸ ποῦ ἡ τόσον μεγάλη τύφλωσις αὐτῶν; Ἄκουσε αὐτὸν εἰς τὸν ὁποῖον ἐνεπιστεύθη τὸ μυστήριον τῆς θείας οἰκονομίας νὰ τὰ λέγῃ αὐτά.

Τί λέγει λοιπὸν αὐτός, ἀπαντῶν εἰς αὐτὴν τὴν ἀπορίαν ὅλων; «Ἐπειδὴ ἀγνοοῦσαν», λέγει, «τὴν δικαίωσιν ποὺ δίνει ὁ Θεὸς καὶ ἐπεδίωκαν νὰ ἐπιβάλουν τὸν ἰδικόν των τρό-

Θεοῦ οὐχ ὑπετάγησαν». Διὸ ταῦτα ἔπαθον. Καὶ πάλιν, τὸ αὐτὸ τοῦτο ἑτέρως ἑρμηνεύων, φησί· «Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη, τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως· Ἰσραὴλ δέ, διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν». Εἰπὲ καὶ διὰ τί. «Ὅτι οὐκ ἐκ πίστεως· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος».

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἀπιστία τούτων γέγονεν αὐτοῖς αἰτία τῶν κακῶν· ταύτην δὲ ἔτεκεν ἡ ἀπόνοια. Ἐπειδὴ γάρ, πρὸ τούτου πλέον ἔχοντες Ἑλλήνων τῷ τὸν νόμον εἰληφέναι καὶ Θεὸν εἰδέναι, καὶ τὰ ἄλλα ἅπερ ὁ Παῦλός φησι μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν εἶδον ἀπὸ τῆς πίστεως μετὰ τῆς αὐτῆς ὁμοτιμίας καλουμένους κἀκείνους καὶ αὐτούς, καὶ οὐδὲν πλέον ἔχοντα τὸν ἐκ περιτομῆς τοῦ ἐξ ἐθνῶν μετὰ τὴν πίστιν· ἐδήχθησαν ὑπὸ ἀπονοίας εἰς βασκανίαν ἐλθόντες, καὶ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν τὴν ἄφατον καὶ ὑπερβάλλουσαν οὐκ ἤνεγκαν. Τοῦτο δὲ αὐτοῖς ἑτέρωθεν μὲν οὐδαμόθεν, ἐξ ἀλαζονείας δὲ καὶ πονηρίας καὶ μισανθρωπίας γέγονε.

2. Τί γάρ, ὦ πάντων ὑμεῖς ἀνοητότεροι, κατεβλάπτεσθε ἐκ τῆς εἰς ἑτέρους γινομένης κηδεμονίας; πῶς δὲ τὰ ὑμέτερα ἠλαττοῦτο ἀγαθὰ τῷ κοινωνοὺς ἑτέρους ἔχειν τῶν αὐτῶν; Ἀλλὰ τυφλὸν ὄντως ἡ πονηρία, καὶ τῶν δεόντων οὐδὲν δύναται συνιδεῖν ταχέως. Δηχθέντες τοίνυν τῷ κοινωνοὺς μέλλειν ἔχειν τῆς αὐτῆς παρρησίας, καθ' ἑαυτῶν τὸ ξίφος ὤθησαν, τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐκβαλόντες ἑαυτούς. Καὶ μάλα εἰκότως· «Ἑταῖρε» γάρ, φησί, «οὐκ ἀδικῶ σε·

---

6. Ρωμ. 10, 3.
7. Ρωμ. 9, 30-32.

πον δικαιοσύνης, δὲν ὑπετάχθησαν εἰς τὸν νόμον τοῦ Θεοῦ»[6], δι' αὐτὸ τὰ ἔπαθαν αὐτά. Καὶ πάλιν, ἐξηγῶν τὸ ἴδιον μὲ ἄλλον τρόπον, λέγει· «Τί νὰ εἰποῦμεν λοιπόν; Ὅτι οἱ ἐθνικοὶ οἱ ὁποῖοι δὲν ἐπεδίωκαν τὴν δικαίωσιν, ἐπέτυχαν τὴν δικαίωσιν, ἀλλὰ τὴν δικαίωσιν ποὺ προέρχεται ἀπὸ τὴν πίστιν· ἐνῷ οἱ Ἰσραηλῖται ποὺ ἐπεδίωκαν τὴν δικαίωσιν μὲ τὴν τήρησιν τοῦ νόμου, δὲν ἐπέτυχαν τὴν ἐκ τοῦ νόμου δικαίωσιν. Διατί ἆρά γε; Διότι δὲν ἐπεδίωκαν τὴν δικαίωσιν ποὺ προέρχεται ἀπὸ τὴν πίστιν· διότι ἐσκόνταψαν εἰς τὸν λίθον τοῦ προσκόμματος»[7].

Ἐκεῖνο δὲ τὸ ὁποῖον θέλει νὰ εἰπῇ εἶναι τὸ ἑξῆς· αἰτία τῶν κακῶν ἔγινεν εἰς αὐτοὺς ἡ ἀπιστία, αὐτὴν δὲ τὴν ἐγέννησεν ἡ ἀνοησία. Διότι, ἐπειδὴ πρὶν ἀπὸ αὐτὸ ἐπλεονέκτουν ἔναντι τῶν Ἑλλήνων, ὡς πρὸς τὸ ὅτι εἶχαν λάβει τὸν νόμον καὶ εἶχαν ἰδεῖ τὸν Θεόν, καὶ τὰ ἄλλα ποὺ ἀναφέρει ὁ Παῦλος μετὰ τὴν παρουσίαν τοῦ Χριστοῦ, ὅταν εἶδαν νὰ καλοῦνται μὲ πίστιν ἐξ ἴσου καὶ ἐκεῖνοι καὶ αὐτοί, χωρὶς νὰ πλεονεκτῇ ὁ ἐκ περιτομῆς ἀπὸ τὸν ἐθνικὸν μετὰ τὴν πίστιν, ἐδαγκώθησαν φθάσαντες ἀπὸ τὴν ἀνοησίαν εἰς φθόνον, καὶ δὲν ἠνέχθησαν τὴν ἀπερίγραπτον καὶ πάρα πολὺ μεγάλην φιλανθρωπίαν τοῦ Δεσπότου. Αὐτὸ δὲ τοὺς συνέβη ὄχι ἀπὸ πουθενὰ ἀλλοῦ, ἀλλὰ ἀπὸ ἀλαζονείαν καὶ πονηρίαν καὶ μῖσος πρὸς τοὺς ἀνθρώπους.

2. Κατὰ τί ἆρά γε, θὰ ἐβλάπτεσθε, ὦ σεῖς οἱ ἀνοητότεροι ὅλων, ἀπὸ τὴν κηδεμονίαν ποὺ θὰ ἐπεδεικνύετο πρὸς ἄλλους; Πῶς θὰ ἐλιγόστευαν τὰ ἰδικά σας ἀγαθὰ μὲ τὸ νὰ ἔχετε συμμετέχοντας καὶ ἄλλους εἰς αὐτά; Ἀλλὰ πράγματι ἡ πονηρία εἶναι τυφλὴ καὶ δὲν ἠμπορεῖ νὰ ἀντιληφθῇ γρήγορα τίποτε ἀπὸ ὅσα πρέπει. Ἀφοῦ ἐδαγκώθησαν ἀπὸ τὸ γεγονὸς ὅτι ἐπρόκειτο νὰ ἔχουν μετόχους τὴν ἰδίαν παρρησίαν, ἔσπρωξαν τὸ ξίφος ἐναντίον των, ἀποξενώσαντες τοὺς ἑαυτούς των ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Καὶ πολὺ φυσικόν. Διότι λέγει· «φίλε, δὲν σὲ ἀδικῶ· θέλω ἁπλῶς

θέλω δὲ καὶ τούτοις δοῦναι, ὥσπερ καὶ σοί». Μᾶλλον δὲ οὐδὲ τούτων ἄξιοι τῶν λόγων οὗτοι. Ἐκεῖνος μὲν γάρ, εἰ καὶ ἐδυσχέραινεν, ἀλλ' ὅμως, ἔχων εἰπεῖν ἡμέρας ὁλοκλήρου πόνους, καὶ ταλαιπωρίας, καὶ θάλπη, καὶ ἱδρῶτας, οὗτοι δὲ τί ἔχοιεν ἂν εἰπεῖν; Τοιοῦτον μὲν οὐδέν, ῥαθυμίαν δὲ καὶ ἀσωτίαν καὶ τὰ μυρία κακά, ἃ διὰ παντὸς κατηγοροῦντες αὐτῶν διετέλουν οἱ προφῆται πάντες, δι' ἃ καὶ αὐτοὶ ὁμοίως τοῖς ἔθνεσι προσκεκρούκεσαν τῷ Θεῷ.

Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· «Οὐ γάρ ἐστι διαστολὴ» Ἰουδαίου τε καὶ Ἕλληνος· «πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι». Καὶ τοῦτο μὲν ἅπαν τὸ κεφάλαιον χρησίμως καὶ σφόδρα συνετῶς κατ' ἐκείνην γυμνάζει τὴν ἐπιστολήν. Ἀνωτέρω δὲ καὶ μείζονος δείκνυσι κολάσεως ἀξίους εἶναι· «Ὅσοι γὰρ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται», φησί· τουτέστι χαλεπώτερον, μετὰ τῆς φύσεως καὶ τὸν νόμον κατήγορον ἔχοντες. Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ τῷ παρὰ τοῖς ἔθνεσι τοῦ τὸν Θεὸν βλασφημεῖσθαι γεγενῆσθαι αἴτιοι· «Τὸ γὰρ ὄνομά μου», φησί, «δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν».

Ἐπεὶ οὖν τοῦτο μάλιστα ἦν τὸ δάκνον αὐτούς· καὶ γὰρ καὶ τοῖς πεπιστευκόσιν ἐκ περιτομῆς παράδοξον τὸ πρᾶγμα εἶναι ἐδόκει· διὸ καὶ ἐνεκάλουν τῷ Πέτρῳ, πρὸς αὐτοὺς ἀπὸ Καισαρείας ἐπανελθόντι, ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθε, καὶ συνέφαγεν αὐτοῖς· καὶ μετὰ τὸ μαθεῖν τὴν οἰκονομίαν τὴν τοῦ Θεοῦ, πάλιν καὶ οὕτως ἐθαύμαζον, πῶς καὶ εἰς τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται, τῷ ἐκπλήττεσθαι ἐνδεικνύμενοι, ὡς οὐκ ἄν ποτε τοῦτο προσεδόκησαν τὸ παράδοξον· ἐπεὶ οὖν ᾔδει ὅτι μάλιστα αὐτῶν τοῦ-

---

8. Ματθ. 20, 13-14.
9. Ρωμ. 3, 23-24.
10. Ρωμ. 2, 12.
11. Ἠσ. 52, 5 καὶ Ρωμ. 2, 24.
12. Γαλ. 2, 11-12.

νὰ δώσω καὶ εἰς αὐτοὺς ὅπως καὶ εἰς σέ»[8]. Ἀλλ᾽ αὐτοὶ δὲν εἶναι ἄξιοι οὔτε αὐτῶν τῶν λόγων. Διότι ἐκεῖνος καὶ ἂν ἐξέφρασε τὴν δυσφορίαν του, εἶχεν ἐπὶ τέλους νὰ ἐπιδείξῃ τοὺς κόπους μιᾶς ὁλοκλήρου ἡμέρας καὶ τὰς ταλαιπωρίας καὶ τὴν ζέστην, καὶ τοὺς ἱδρῶτας. Αὐτοὶ ὅμως τί θὰ εἶχαν νὰ εἰποῦν; Τίποτε τέτοιο, ἀλλὰ ραθυμίαν καὶ ἀσωτίαν καὶ τὰ ἄπειρα κακά, διὰ τὰ ὁποῖα τοὺς ἐκατηγοροῦσαν διαρκῶς ὅλοι οἱ προφῆται καὶ ἐξ αἰτίας τῶν ὁποίων καὶ αὐτοὶ προσέκρουσαν εἰς τὸν Θεόν, ὅπως καὶ οἱ ἐθνικοί.

Καὶ αὐτὸ ὁ Παῦλος τὸ ἐδήλωσεν ὅταν ἔλεγε· «Δὲν ὑπάρχει διάκρισις» μεταξὺ Ἰουδαίου καὶ Ἕλληνος, «Διότι ὅλοι ἡμάρτησαν καὶ στεροῦνται τὴν δόξαν τοῦ Θεοῦ, καὶ δικαιώνονται δωρεὰν μὲ τὴν χάριν του»[9]. Καὶ αὐτὸ μὲν τὸ κεφάλαιον πολὺ σωστὰ καὶ συνετὰ τοὺς γυμνάζει σύμφωνα μὲ τὸ πνεῦμα τῆς ἐπιστολῆς ἐκείνης. Πιὸ ἐπάνω δὲ δείχνει ὅτι εἶναι ἄξιοι μεγαλυτέρας τιμωρίας. «Διότι ὅσοι ἡμάρτησαν ἐνῷ ἦσαν ὑπὸ τὸν νόμον, θὰ κριθοῦν μὲ τὸν νόμον»[10]. Δηλαδή, εἶναι χειρότερον μαζὶ μὲ τὴν φύσιν νὰ ἔχουν κατήγορον καὶ τὸν νόμον. Καὶ ὄχι ἕνεκα αὐτοῦ μόνον, ἀλλὰ καὶ διότι ἔγιναν ἀφορμὴ νὰ βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ εἰς τοὺς ἐθνικούς· «Διότι τὸ ὄνομά μου», λέγει, «βλασφημεῖται ἐξ αἰτίας σας εἰς τὰ ἔθνη»[11].

Ἐπειδὴ μάλιστα αὐτὸ ἦτο κυρίως ἐκεῖνο ποὺ τοὺς ἐδάγκωνε, καθόσον καὶ εἰς τοὺς πιστεύσαντας ἐξ Ἰουδαίων τὸ πρᾶγμα ἐφαίνετο παράδοξον, δι᾽ αὐτὸ ἐκατηγοροῦσαν τὸν Πέτρον ὅταν ἐπέστρεψε πρὸς αὐτοὺς ἀπὸ τὴν Καισάρειαν, ὅτι ἦλθεν εἰς ἐπαφὴν μὲ ἄνδρας οἱ ὁποῖοι εἶχαν ἀκροβυστίαν καὶ ἔφαγε μαζὶ μὲ αὐτούς[12]. Ἀλλὰ καὶ μετὰ ποὺ ἐδιδάχθησαν τὸ μυστήριον τῆς θείας οἰκονομίας, πάλιν ἀποροῦσαν πῶς ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος χορηγεῖται δωρεὰν καὶ εἰς τοὺς ἐθνικούς, ἔδειχναν δὲ μὲ τὴν ἔκπληξίν των, πὼς ποτὲ δὲν τὸ ἐπερίμεναν αὐτὸ τὸ παράδοξον. Ἐπειδὴ λοιπὸν ἐγνώριζεν ὅτι αὐτὸ τοὺς ἔθιγε καιρίως, κάνει τὰ

το καθήπτετο, πάντα ποιεῖ ὅπως αὐτῶν τὸν τύφον κενώσῃ, καὶ τὴν ἀλαζονείαν ἐκλύσῃ, σφόδρα οἰδοῦσαν.

Καὶ ὅρα πῶς τοῦτο ποιεῖ. Διαλεχθεὶς περὶ τῶν Ἑλληνικῶν καὶ δείξας αὐτοὺς οὐδεμίαν ἔχοντας οὐδαμόθεν ἀπολογίαν, οὐδὲ ἐλπίδα σωτηρίας, κατηγορήσας τε ἀκριβῶς καὶ τῆς τῶν δογμάτων αὐτῶν διαστροφῆς, καὶ τῆς περὶ τὸν βίον ἀκαθαρσίας, μετατίθησιν ἐπὶ τοὺς Ἰουδαίους τὸν λόγον· καί, τὰ ἀπὸ τοῦ Προφήτου καταλέξας ἅπαντα δι' ὧν ἔλεγεν ἐκεῖνος, ὅτι μιαροί τινες ἦσαν καὶ δολεροὶ καὶ ὕπουλοι, καὶ πάντες ἅμα ἠχρειώθησαν, καὶ οὐδεὶς ἐν αὐτοῖς ἐκζητεῖ τὸν Θεόν, ἀλλ' ἐξέκλιναν πάντες, καὶ ὅσα τοιαῦτα, ἐπήγαγεν· «Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ· πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ».

Τί οὖν ἐπαίρεις σαυτόν, ὦ Ἰουδαῖε; τί μέγα φρονεῖς; Καὶ γὰρ καὶ τὸ σὸν ἐμπέφρακται στόμα, καὶ ἡ σὴ παρρησία ἀνῄρηται, καὶ μετὰ τοῦ κόσμου παντὸς καὶ σὺ γέγονας ὑπόδικος, καὶ ὁμοίως τοῖς ἄλλοις ἐν χρείᾳ καθέστηκας τοῦ δωρεὰν δικαιωθῆναι. Ἐχρῆν μὲν οὖν μηδέ, εἰ κατωρθωκὼς ἦς, καὶ παρρησίαν πολλὴν εἶχες πρὸς τὸν Θεόν, μηδὲ οὕτω τοῖς μέλλουσιν ἐλεεῖσθαι καὶ σώζεσθαι διὰ φιλανθρωπίαν φθονεῖν. Πονηρίας γὰρ τοῦτο ἐσχάτης ἐπὶ τοῖς ἑτέρων τήκεσθαι ἀγαθοῖς, καὶ μάλιστα, ὅτε μηδὲ μετὰ τῆς σῆς τοῦτο ἔμελλε γίνεσθαι ζημίας.

Εἰ μὲν γὰρ ἡ τῶν ἄλλων σωτηρία τοῖς σοῖς ἐλυμαίνετο καλοῖς, λόγον ἂν εἶχε τὸ ἀλγεῖν καίτοι γε οὐδὲ τοῦτο κατὰ τὸν μεμαθηκότα φιλοσοφεῖν. Εἰ δὲ μήτε κολαζομένου θατέρου πλεονάζει σοι τὰ τῶν μισθῶν, μήτε εὖ πάσχοντος ἐλαττοῦται, τίνος ἕνεκεν σὺ κόπτεις σαυτόν, ὑπὲρ ὧν ἕτερος σώζεται δωρεάν; Ἐχρῆν μὲν οὖν, ὅπερ ἔφην, μηδέ, εἰ τῶν εὐδοκιμηκό-

13. Ρωμ. 3, 10-20.

πάντα διὰ νὰ τοὺς ἀδειάσῃ τὴν ἔπαρσιν καὶ νὰ καταπαύσῃ τὴν ἀλαζονείαν των ἡ ὁποία ἦτο πολὺ ἐρεθισμένη.

Καὶ κύτταξε πῶς τὸ κάνει αὐτό. Ἀφοῦ ὡμίλησε περὶ τῶν ἐθνικῶν καὶ ἔδειξεν ὅτι δὲν ἔχουν ἀπὸ πουθενὰ καμμίαν δικαιολογίαν οὔτε ἐλπίδα σωτηρίας, καὶ ἀφοῦ ἐκατηγόρησε μὲ ἀκρίβειαν τὴν διαστροφὴν τῆς διδασκαλίας των καὶ τὸν ἀκάθαρτον βίον, μεταφέρει τὸν λόγον εἰς τοὺς Ἰουδαίους καὶ ἀφοῦ ἀνέφερεν ἀπὸ τὸν προφήτην ὅλα ἐκεῖνα μὲ τὰ ὁποῖα ἐκεῖνος ἔλεγεν ὅτι εἶναι ὡρισμένοι ἀκάθαρτοι καὶ δόλιοι καὶ ὕπουλοι καὶ ὅτι ὅλοι μαζὶ ἔχουν ἐξαχρειωθῇ καὶ κανεὶς ἀπὸ αὐτοὺς δὲν ἀναζητεῖ τὸν Θεόν, ἀλλὰ παρεξέκλιναν ὅλοι, καὶ ἄλλα παρόμοια, ἐπρόσθεσεν· «Γνωρίζομεν δὲ ὅτι ὅσα λέγει ὁ νόμος, τὰ λέγει δι' ἐκείνους ποὺ βρίσκονται κάτω ἀπὸ τὸν νόμον, διὰ νὰ βουλωθῇ κάθε στόμα καὶ ὅλος ὁ κόσμος νὰ γίνῃ ὑπόδικος εἰς τὸν Θεόν, διότι ὅλοι ἡμάρτησαν καὶ θὰ στερηθοῦν τὴν δόξαν τοῦ Θεοῦ»[13].

Διατί λοιπόν, Ἰουδαῖε, ἐπαίρεις τὸν ἑαυτόν σου; Διατί ὑπερηφανεύεσαι; Διότι καὶ τὸ ἰδικόν σου στόμα ἔχει φραγῆ, καὶ ἡ ἰδική σου παρρησία ἔχει καταργηθῆ καὶ μαζὶ μὲ ὅλον τὸν κόσμον ἔγινες καὶ σὺ ὑπόδικος καὶ ὅπως καὶ οἱ ἄλλοι ἔχεις ἀνάγκην νὰ δικαιωθῇς δωρεάν. Ἔπρεπε βέβαια καὶ ἂν ἀκόμη εἶχες κατορθώσει κάτι καὶ εἶχες πολλὴν παρρησίαν ἐνώπιον τοῦ Θεοῦ, καὶ πάλιν νὰ μὴ φθονῇς ἐκείνους οἱ ὁποῖοι ἐπρόκειτο νὰ ἐλεηθοῦν καὶ νὰ σωθοῦν ἕνεκα τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Διότι αὐτὸ εἶναι δεῖγμα μεγάλης πονηρίας, τὸ νὰ λυώνῃς διὰ τὰ ἀγαθὰ τῶν ἄλλων, καὶ μάλιστα ὅταν αὐτὸ δὲν γίνεται μὲ ζημίαν ἰδικήν σου.

Διότι ἐὰν ἡ σωτηρία τῶν ἄλλων κατέστρεφε τὰ ἰδικά σου καλά, θὰ εἶχες κάποιον λόγον νὰ ἀλγῇς· ἂν καὶ οὔτε αὐτὸ ἐπιτρέπεται, σύμφωνα μὲ ἐκεῖνον ποὺ μᾶς ἔμαθε νὰ δείχνωμεν καρτερίαν. Ἐφ' ὅσον ὅμως, οὔτε ὅταν ὁ ἄλλος κολάζεται δὲν αὐξάνεται ὁ μισθός σου, οὔτε ὅταν εὐεργετῆται ἐλαττώνεται, διατί σὺ κόπτεσαι ἐπειδὴ ὁ ἄλλος σώζεται δωρεάν; Ἔπρεπε βέβαια, ὅπως εἶπα, καὶ ἂν ἀκόμη ἤ-

των ἧς, ἐπὶ τῇ κατὰ χάριν εἰς τὰ ἔθνη γινομένῃ δάκνεσθαι σωτηρίᾳ· ὅταν δέ, τῶν αὐτῶν ὑπεύθυνος ὢν τῷ Δεσπότῃ, καὶ προσκεκρουκὼς καὶ αὐτός, δυσχεραίνῃς ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς, καὶ μέγα φρονῇς, ὡς αὐτὸς ὀφείλων μόνος τῆς χάριτος μετασχεῖν, οὐ βασκανίας μόνον καὶ ἀπονοίας, ἀλλὰ καὶ τῆς ἐσχάτης ἀνοίας, καὶ πάντων τῶν χαλεπωτάτων ἂν εἴης ὑπεύθυνος βασανιστηρίων· τὴν γὰρ τῶν κακῶν ῥίζαν ἁπάντων ἐν σεαυτῷ κατεφύτευσας τὴν ὑπερηφανίαν. Διὸ καί τις σοφὸς ἔλεγεν· «Ἀρχὴ ἁμαρτίας ὑπερηφανία»· τουτέστι, ῥίζα καὶ πηγὴ καὶ μήτηρ. Οὕτω καὶ ὁ πρωτόπλαστος ἐξέπεσε τῆς μακαρίας ἐκείνης διαγωγῆς· οὕτω καὶ ὁ τοῦτον ἀπατήσας διάβολος ἀπ᾽ ἐκείνου κατηνέχθη τοῦ τῆς ἀξίας ὕψους. Ὅθεν, εἰδὼς ὁ μιαρὸς τῆς ἁμαρτίας ταύτης τὴν φύσιν ἱκανὴν οὖσαν καὶ ἐξ αὐτῶν καταβαλεῖν τῶν οὐρανῶν, ταύτην ἦλθε τὴν ὁδόν, ὅτε τὸν Ἀδὰμ ἀπὸ τῆς τοσαύτης κατενεγκεῖν ἐσπούδασε τιμῆς. Τῇ γὰρ ἐπαγγελίᾳ τῆς ἰσοθεΐας φυσήσας αὐτόν, οὕτω κατέρρηξε καὶ κατέβαλεν εἰς αὐτὰ τοῦ ᾅδου τὰ βάραθρα· οὐδὲν γὰρ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀλλοτριοῖ, καὶ τῷ τῆς γεέννης παραδίδωσι πυρί, ὡς ἡ τῆς ὑπερηφανίας τυραννίς. Ταύτης γὰρ ἡμῖν παρούσης, ἅπας ἡμῶν ὁ βίος ἀκάθαρτος γίνεται, κἂν σωφροσύνην, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν εὐχάς, κἂν ἐλεημοσύνην, κἂν ὁτιοῦν ἐπιτελῶμεν· «Ἀκάθαρτος» γάρ, φησί, «παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος».

Καταστέλλωμεν οὖν τοῦτο τὸ φύσημα τῆς ψυχῆς, καὶ τὸν ὄγκον τοῦτον ἀνακόπτωμεν, εἴ γε ἐθέλοιμεν εἶναι καθαροί, καὶ τῆς τῷ διαβόλῳ κειμένης ἀπηλλάχθαι κολάσεως. Ὅτι γὰρ τὸν ἀλαζόνα τὰ αὐτὰ ἐκείνῳ παθεῖν ἀνάγκη, ἄκουσον

---

14. Σοφ. Σειρ. 10, 15.
15. Παροιμ. 16, 6.

σουν ἀπὸ τοὺς ἐναρέτους, νὰ μὴ δαγκώνεσαι διὰ τὴν σωτηρίαν τῶν ἐθνικῶν ποὺ γίνεται κατὰ χάριν. Ὅταν ὅμως, ἐνῷ καὶ σὺ εἶσαι ὑπεύθυνος διὰ τὰ ἴδια πράγματα ἀπέναντι τοῦ Δεσπότου καὶ ἔχεις ἔλθει καὶ σὺ εἰς σύγκρουσιν, ζηλεύῃς διὰ τὰ ἀγαθὰ τῶν ἄλλων καὶ καυχᾶσαι ὡσὰν μόνος σὺ νὰ πρέπει νὰ μετάσχῃς τῆς χάριτος, εἶσαι ἄξιος ὄχι μόνον βασκανίας καὶ ἀνοησίας, ἀλλὰ καὶ τῆς ἐσχάτης μωρίας καὶ τῶν πιὸ σκληρῶν βασανιστηρίων· διότι ἐφύτευσες βαθειὰ εἰς τὸν ἑαυτόν σου τὴν ρίζαν ὅλων τῶν κακῶν, τὴν ὑπερηφάνειαν.

Δι' αὐτὸ καὶ κάποιος σοφὸς ἔλεγεν· «Ἀρχὴ τῆς ἁμαρτίας ἡ ὑπερηφάνεια»[14]· δηλαδὴ ρίζα καὶ πηγὴ καὶ μητέρα. Ἔτσι ἐξέπεσε καὶ ὁ πρωτόπλαστος ἀπὸ τὴν εὐτυχισμένην ἐκείνην ζωήν· ἔτσι καὶ ὁ διάβολος ποὺ τὸν ἐξηπάτησε κατέπεσεν ἀπὸ ἐκεῖνο τὸ ὕψος τῆς ἀξίας του. Δι' αὐτό, γνωρίζων ὁ μιαρὸς τὴν φύσιν τῆς ἁμαρτίας αὐτῆς, ἡ ὁποία εἶναι ἱκανὴ νὰ μᾶς κατεβάσῃ καὶ ἀπὸ τὸν οὐρανόν, ἐχρησιμοποίησεν αὐτὴν τὴν μέθοδον, ὅταν ἀπεφάσισε νὰ κατεβάσῃ τὸν Ἀδὰμ ἀπὸ τὸ ὕψος τῆς τόσον μεγάλης τιμῆς τὴν ὁποίαν εἶχε. Διότι ἀφοῦ τοῦ ἐνεφύσησε τὴν ὑπόσχεσιν ὅτι θὰ γίνῃ ἰσόθεος, τὸν κατέστρεψε καὶ τὸν ἔρριξεν εἰς τὰ βάραθρα τοῦ Ἅδου. Διότι τίποτε δὲν ἀποξενώνει ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ παραδίδει εἰς τὸ πῦρ τῆς γεέννης, ὅσον ἡ τυραννία τῆς ὑπερηφανείας. Ὅταν εἶναι παροῦσα αὐτὴ μέσα μας, ὅλος ὁ βίος μας γίνεται ἀκάθαρτος, ἔστω καὶ ἂν ἀσκῶμεν τὴν σωφροσύνην καὶ τὴν παρθενίαν καὶ τὴν νηστείαν καὶ ἂν κάνωμεν προσευχὰς καὶ ἐλεημοσύνας καὶ ὁ,τιδήποτε ἄλλο. «Διότι εἶναι ἀκάθαρτος», λέγει, «ἐνώπιον τοῦ Κυρίου κάθε ὑπερήφανος»[15].

Ἂς συγκρατῶμεν λοιπὸν αὐτὸ τὸ φούσκωμα τῆς ψυχῆς καὶ ἂς ἀνακόπτωμεν τὸ ἐξόγκωμα, ἐὰν βεβαίως θέλωμεν νὰ εἴμεθα καθαροὶ καὶ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν κόλασιν ποὺ εἶναι ἑτοιμασμένη διὰ τὸν διάβολον. Ὅτι ὁπωσδήποτε ὁ ἀλαζὼν θὰ πάθῃ τὰ ἴδια μὲ ἐκεῖνον, ἄκουσε τὸν Παῦλον

τοῦ Παύλου λέγοντος· «Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου». Τί ἐστι κρῖμα; Εἰς τὴν αὐτήν, φησί, καταδίκην, εἰς τὴν αὐτὴν κόλασιν.

Πῶς οὖν ἄν τις ἐκφύγοι τοῦτο τὸ δεινόν, φησίν; Εἴ γε ἀναλογίσαιτο τὴν ἑαυτοῦ φύσιν, καὶ τῶν ἁμαρτημάτων τὸ πλῆθος, καὶ τῶν ἐκεῖ βασανιστηρίων τὸ μέγεθος, καὶ τῶν ἐνταῦθα δοκούντων λαμπρῶν τὸ πρόσκαιρον οὐδὲν χόρτου διαφέρον, καὶ τῶν ἐαρινῶν ἀνθέων μᾶλλον μαραινόμενον. Ἂν τούτους συνεχῶς παρ᾽ ἑαυτοῖς κινῶμεν τοὺς λογισμούς, καὶ τοὺς τὰ μέγιστα κατωρθωκότας ἐπὶ μνήμης ἔχωμεν, οὐ ῥᾳδίως ὁ διάβολος ἐπᾶραι δυνήσεται, κἂν μυρία φιλονεικῇ, ἀλλ᾽ οὐδὲ ὑποσκελίσαι τὴν ἀρχήν. Ὁ δὲ Θεὸς ὁ τῶν ταπεινῶν, ὁ χρηστὸς καὶ ἐπιεικής, αὐτὸς καὶ ὑμῖν καὶ ἡμῖν παράσχοι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην· οὕτω γὰρ δυνησόμεθα καὶ τὰ ἄλλα μετ᾽ εὐκολίας κατορθοῦν εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ δόξα τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

16. Α΄ Τιμ. 3, 6.

ὁ ὁποῖος λέγει· «Νὰ μὴ εἶναι νεοφώτιστος, διὰ νὰ μὴ ὑπερηφανευθῇ καὶ πέσῃ εἰς κρῖμα καὶ παγίδα τοῦ διαβόλου»[16]. Τί σημαίνει κρῖμα; Εἰς τὴν αὐτήν, ἐννοεῖ, καταδίκην, εἰς τὴν αὐτὴν κόλασιν.

Πῶς λοιπὸν ἠμπορεῖ κανεὶς νὰ ξεφύγῃ αὐτὸ τὸ κακόν, λέγει; Ἐὰν ἀναλογισθῇ τὴν φύσιν του καὶ τὸ πλῆθος τῶν ἁμαρτιῶν του καὶ τὸ μέγεθος τῶν βασανιστηρίων ποὺ ὑπάρχουν ἐκεῖ, καὶ τὸν προσωρινὸν χαρακτῆρα ποὺ ἔχουν ὅσα ἐδῶ φαίνονται λαμπρά, ποὺ δὲν διαφέρει ἀπὸ τὰ χόρτα καὶ μαραίνεται περισσότερον ἀπὸ τὰ ἐαρινὰ ἄνθη. Ἐὰν ἀνακινῶμεν μέσα μας συνεχῶς αὐτοὺς τοὺς συλλογισμοὺς καὶ ἐνθυμούμεθα ἐκείνους ποὺ ἔδειξαν μεγάλην ἀρετήν, δὲν θὰ ἠμπορέσῃ εὔκολα ὁ διάβολος νὰ μᾶς παρασύρῃ, ἔστω καὶ ἂν καταβάλῃ μυρίας προσπαθείας, ἀλλ᾽ οὔτε νὰ μᾶς ὑπονομεύσῃ καθόλου. Ὁ δὲ Θεὸς τῶν ταπεινῶν, ὁ ὁποῖος εἶναι ἀγαθὸς καὶ ἐπιεικής, αὐτὸς καὶ σὲ σᾶς καὶ εἰς ἡμᾶς εἴθε νὰ δώσῃ καρδίαν συντετριμμένην καὶ ταπεινωμένην. Διότι ἔτσι θὰ ἠμπορέσωμεν μὲ εὐκολίαν νὰ ἐπιτύχωμεν καὶ τὰ ἄλλα, πρὸς δόξαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα μαζὶ μὲ τὸ ἅγιον Πνεῦμα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ Ι΄.

'Ιω. 1, 11-13

«Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον».

1. Φιλάνθρωπος ὢν ὁ Θεός, ἀγαπητέ, καὶ εὐεργετικός, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἡμᾶς κατ' ἀρετὴν λάμπειν, καί, βουλόμενος ἡμᾶς εὐδοκίμους εἶναι, καὶ τοῦτο, βίᾳ μὲν οὐδένα, οὐδὲ ἀνάγκῃ, πειθοῖ δὲ καὶ τῷ ποιεῖν εὖ τοὺς βουλομένους ἅπαντας ἕλκει, καὶ πρὸς ἑαυτὸν ἐπισπᾶται. Διὰ τοῦτο ἐλθόντα αὐτὸν οἱ μὲν ἔλαβον, οἱ δὲ οὐκ ἐδέξαντο. Οὐδένα γὰρ βούλεται ἄκοντα, οὐδὲ ἠναγκασμένον ἔχειν οἰκέτην, ἀλλ' ἑκόντας ἅπαντας καὶ προαιρουμένους, καὶ χάριν αὐτῷ τῆς δουλείας εἰδότας.

Ἄνθρωποι μὲν γάρ, ἅτε ἐν χρείᾳ καθεστῶτες τῆς τῶν οἰκετῶν διακονίας, καὶ μὴ βουλομένους αὐτοὺς τῷ τῆς δεσποτείας κατέχουσι νόμῳ, ὁ δὲ Θεός, ἀνενδεὴς ὤν, καὶ μηδενὸς τῶν ἡμετέρων ἐν χρείᾳ καθεστηκώς, τῆς δὲ ἡμετέρας ἕνεκεν σωτηρίας μόνον ἅπαντα πράττων, ἡμᾶς αὐτοὺς ποιεῖ τούτου κυρίους, καὶ διὰ τοῦτο τῶν μὴ βουλομένων οὐδενὶ βίαν ἐπιτίθησιν, οὐδὲ ἀνάγκην· πρὸς γὰρ τὸ συμφέρον ἡμῖν ὁρᾷ μόνον. Τὸ γὰρ ἄκοντας πρὸς ταύτην ἕλκεσθαι τὴν δουλείαν ἴσον τὸ μηδὲ ὅλως δουλεύειν ἐστί.

Τί οὖν κολάζει, φησί, τοὺς οὐκ ἐθέλοντας ὑπακούειν αὐτῷ; τί δὲ καὶ γέενναν ἠπείλησε τοῖς οὐκ ἀκούουσι τῶν ἐπιταγμάτων αὐτοῦ; Ὅτι καὶ μὴ πειθομένων ἡμῶν σφόδρα κήδεται, λίαν ὢν ἀγαθός, καὶ ἀποπηδώντων καὶ φευγόντων

ΟΜΙΛΙΑ Ι΄.

'Ιω. 1, 11-13

«Εἰς τὰ ἰδικά του ἦλθε καὶ οἱ ἰδικοί του δὲν τὸν ἐδέχθησαν».

1. Ἐπειδή, ἀγαπητέ, ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ ἀγαθοεργός, κάνει τὰ πάντα καὶ φροντίζει, ὥστε νὰ διαλάμπωμεν εἰς τὴν ἀρετήν. Καὶ ἐπειδὴ θέλει νὰ εἴμεθα ἐνάρετοι, χωρὶς νὰ ἐκβιάζῃ ἢ νὰ ἐξαναγκάζῃ κανέναν, ἑλκύει ὅλους ὅσους θέλουν καὶ τοὺς παίρνει μὲ τὸ μέρος του μὲ τὴν πειθὼ καὶ τὴν εὐεργεσίαν. Δι' αὐτὸ ὅταν ἦλθεν, ἄλλοι μὲν τὸν ἐδέχθησαν ἄλλοι δὲ ὄχι. Διότι δὲν θέλει νὰ ἔχῃ κανένα ὑπηρέτην χωρὶς τὴν θέλησίν του καὶ μὲ ἐξαναγκασμόν, ἀλλὰ ὅλους τοὺς θέλει μὲ τὴν θέλησιν καὶ τὴν προαίρεσίν των καὶ νὰ τοῦ εἶναι εὐγνώμονες διὰ τὴν δουλείαν.

Διότι οἱ μὲν ἄνθρωποι, ἐπειδὴ ἔχουν ἀνάγκην ἀπὸ τὰς ὑπηρεσίας τῶν δούλων, τοὺς κρατοῦν καὶ παρὰ τὴν θέλησίν των μὲ τὸν νόμον τῆς δεσποτείας. Ἐνῷ ὁ Θεός, ἐπειδὴ εἶναι ἀνενδεὴς καὶ δὲν ἔχει ἀνάγκην κανενὸς πράγματος ἀπὸ τὰ ἰδικά μας, καὶ ἐπειδὴ κάνει τὰ πάντα μόνον χάριν τῆς ἰδικῆς μας σωτηρίας, κάνει ἐμᾶς τοὺς ἰδίους κυρίους αὐτοῦ. Δι' αὐτὸ καὶ δὲν χρησιμοποιεῖ βίαν οὔτε ἐξαναγκασμὸν εἰς κανέναν ἀπὸ αὐτοὺς ποὺ δὲν θέλουν, ἀφοῦ ἀποβλέπει μόνον εἰς τὸ ἰδικόν μας συμφέρον. Διότι τὸ νὰ ὁδηγούμεθα παρὰ τὴν θέλησίν μας εἰς τὴν δουλείαν αὐτήν, εἶναι ὡσὰν νὰ μὴ δουλεύωμεν καθόλου.

Ἀλλὰ τότε, λέγει, διατί τιμωρεῖ αὐτοὺς ποὺ δὲν θέλουν νὰ ὑπακούσουν εἰς αὐτόν; Καὶ διατί ἀπειλεῖ μὲ τὴν γέενναν τοῦ πυρὸς ὅσους δὲν ἀκούουν τὰς ἐντολάς του; Διότι καὶ ὅταν δὲν πειθώμεθα φροντίζει πάρα πολύ, ἐπειδὴ εἶναι πολὺ ἀγαθός, καὶ ὅταν ἀποσκιρτῶμεν καὶ φεύγωμεν, αὐτὸς δὲν ἀ-

οὐκ ἀφίσταται· ἀλλ' ἐπειδὴ τὴν προτέραν τῆς εὐεργεσίας ὁδὸν ἀπωσάμεθα, ἐλθεῖν μὴ βουληθέντες τὴν διὰ τῆς πειθοῦς καὶ τοῦ παθεῖν εὖ, τὴν ἑτέραν ἐπεισήγαγε, τὴν διὰ τῆς κολάσεως καὶ τῶν τιμωριῶν, πικροτάτην μὲν οὖσαν, ἀναγκαίαν δὲ ὅμως. Ὅταν γὰρ ἡ προτέρα ἀτιμάζηται, ἀναγκαία τῆς δευτέρας ἡ ἐπεισαγωγή.

Ἐπεὶ καὶ οἱ νομοθέται πολλὰς καὶ χαλεπὰς κατὰ τῶν ἡμαρτηκότων τιθέασι τιμωρίας, καὶ ὅμως αὐτοὺς οὐκ ἀποστρεφόμεθα διὰ ταῦτα, ἀλλὰ καὶ μᾶλλον τιμῶμεν τῶν κολάσεων χάριν, καὶ ὅτι, μηδενὸς δεόμενοι τῶν παρ' ἡμῶν, πολλάκις δὲ οὐδὲ εἰδότες τίνες ποτὲ ἔσονται οἱ μέλλοντες τῆς διὰ τῶν γραμμάτων αὐτῶν ἀπολαύσεσθαι βοηθείας, ὅμως ἐφρόντισαν τῆς κατὰ τὸν βίον τὸν ἡμέτερον εὐταξίας, τιμῶντες μὲν τοὺς ἐν ἀρετῇ ζῶντας, εἴργοντες δὲ διὰ τῶν τιμωριῶν τοὺς ἀκολάστους, καὶ τῇ τῶν λοιπῶν ἡσυχίᾳ λυμαινομένους.

Εἰ δὲ τούτους θαυμάζομεν καὶ φιλοῦμεν, οὐ πολλῷ μᾶλλον τὸν Θεὸν ἐκπλήττεσθαι δεῖ καὶ ἀγαπᾶν τῆς τοσαύτης ἕνεκεν κηδεμονίας; Καὶ γὰρ ἄπειρον τὸ μέσον ἐστὶ τῆς τε ἐκείνων καὶ τῆς τούτου προνοίας τῆς εἰς ἡμᾶς. Ἄφατός τε ὄντως καὶ ὑπερβολὴν πᾶσαν νικῶν ὁ πλοῦτος τῆς χρηστότητος αὐτοῦ.

Σκόπει δέ· «Εἰς τὰ ἴδια ἦλθεν» οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν (ἀνενδεὲς γάρ, ὅπερ ἔφην, τὸ Θεῖον), ἀλλὰ τῆς τῶν ἰδίων ἕνεκεν εὐεργεσίας. Καὶ οὐδὲ οὕτως αὐτὸν οἱ ἴδιοι, εἰς τὰ αὐτοῦ παραγενόμενον ἐπ' ὠφελείᾳ τῇ αὐτῶν, παρέλαβον, ἀλλὰ καὶ διεκρούσαντο· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἔξω τοῦ ἀμπελῶνος ἐκβαλόντες ἀπέκτειναν.

Καὶ οὐδὲ οὕτω τῆς μετανοίας αὐτοὺς ἀπέκλεισεν, ἀλλ' ἔδωκεν, εἰ βουληθεῖεν μετὰ τὴν τοσαύτην παρανομίαν πάντα ἀπολούσασθαι τὰ πλημμεληθέντα διὰ τῆς εἰς αὐτὸν πίστεως

1. Ματθ. 21, 39.

πομακρύνεται. Ἀλλ' ἐπειδὴ ἀπερρίψαμεν τὴν πρώτην μέθοδον τῆς εὐεργεσίας, ἀφοῦ δὲν ἠθελήσαμεν νὰ βαδίσωμεν τὴν ὁδὸν τῆς πειθοῦς καὶ τῆς εὐεργεσίας, χρησιμοποιεῖ τὴν ἄλλην, τὴν μέθοδον τῆς κολάσεως καὶ τῶν τιμωριῶν, ἡ ὁποία εἶναι βέβαια πολὺ πικρὰ ἀλλὰ ὁπωσδήποτε ἀναγκαία. Διότι ὅταν ἡ πρώτη ἀποδοκιμάζεται, εἶναι ἀναγκαία ἡ ἐφαρμογὴ τῆς δευτέρας.

Διότι καὶ οἱ νομοθέται ἐπιβάλλουν πολλὰς καὶ αὐστηρὰς ποινὰς εἰς τοὺς ἁμαρτάνοντας, καὶ ὅμως δὲν τοὺς ἀποστρεφόμεθα ἐξ αἰτίας αὐτῶν, ἀλλ' ἀντιθέτως τοὺς ἐκτιμῶμεν περισσότερον διὰ τὰς ποινάς, καὶ διότι, ἐνῷ δὲν ἔχουν καμμίαν ἐκ μέρους μας ἀνάγκην, πολλὰς φορὰς δὲ χωρὶς νὰ γνωρίζουν ποῖοι θὰ εἶναι αὐτοὶ ποὺ θὰ βοηθηθοῦν μὲ τὰς ἀποφάσεις των, ἐν τούτοις φροντίζουν διὰ τὴν τάξιν εἰς τὴν ζωήν μας, τιμῶντες ἐκείνους ποὺ ζοῦν ἐνάρετα καὶ ἐμποδίζοντες μὲ τὰς ποινὰς ἐκείνους ποὺ εἶναι ἀκόλαστοι καὶ βλάπτουν τὴν ἡσυχίαν τῶν ἄλλων.

Ἐὰν δὲ αὐτοὺς τοὺς θαυμάζωμεν καὶ τοὺς ἀγαπῶμεν, δὲν πρέπει νὰ θαυμάζωμεν καὶ νὰ ἀγαπῶμεν πολὺ περισσότερον τὸν Θεὸν διὰ τὴν τόσον μεγάλην φροντίδα του; Διότι εἶναι ἄπειρος ἡ διαφορὰ μεταξὺ τῆς φροντίδος ἐκείνων καὶ αὐτοῦ πρὸς ἡμᾶς. Εἶναι πράγματι ἀπερίγραπτος καὶ ὑπερνικᾷ κάθε ὑπερβολὴν ὁ πλοῦτος τῆς ἀγαθότητός του!

Πρόσεξε δέ· «Ἦλθεν εἰς τὰ ἴδικά του», ὄχι ἀπὸ ἰδικήν του ἀνάγκην (ἀφοῦ, ὅπως εἶπα, ὁ Θεὸς εἶναι ἀνενδεής), ἀλλὰ διὰ νὰ εὐεργετήσῃ τοὺς ἰδικούς του. Οὔτε εἰς τὴν περίπτωσιν αὐτὴν ὅμως οἱ ἰδικοί του τὸν ἐδέχθησαν, μολονότι εἶχεν ἔλθει εἰς τὰ ἰδικά του χάριν τοῦ ἰδικοῦ των συμφέροντος, ἀλλὰ καὶ τὸν ἀπέκρουσαν. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ ἀφοῦ τὸν ἔβγαλαν ἔξω ἀπὸ τὸν ἀμπελῶνα τὸν ἐφόνευσαν[1]

Καὶ οὔτε διὰ τὴν διαγωγήν των αὐτὴν τοὺς ἀπέκλεισεν ἀπὸ τὴν μετάνοιαν, ἀλλὰ τοὺς ἔδωσε τὴν εὐκαιρίαν ἐὰν θέλουν, μετὰ ἀπὸ τὴν τόσον μεγάλην παρανομίαν, νὰ ἀποπλύνουν ὅλα τὰ ἁμαρτήματά των μὲ τὴν πίστιν εἰς αὐτὸν

καὶ τοῖς οὐδὲν τοιοῦτον εἰργασμένοις, ἀλλὰ μάλιστα πάντων αὐτῷ φίλοις ἐξισωθῆναι.

Καὶ ὅτι οὐχ ἁπλῶς, οὐδὲ ψυχαγωγίας ἕνεκεν ταῦτα φθέγγομαι, λαμπρὰν ὑπὲρ τούτων ἀφίησι τὴν φωνὴν τὰ κατὰ τὸν μακάριον Παῦλον ἅπαντα. Οὗτος γάρ, τὸν Χριστὸν διώκων μετὰ τὸν σταυρόν, καὶ τὸν ἐκείνου μάρτυρα Στέφανον ταῖς πολλαῖς βαλὼν χερσίν, ἐπειδὴ μετενόησε καὶ κατέγνω τῶν πρότερον ἁμαρτηθέντων αὐτῷ, καὶ τῷ διωχθέντι προσέδραμεν, εἰς τοὺς φίλους αὐτὸν εὐθέως καὶ τὰ πρωτεῖα ἔχοντας κατέλεξε, κήρυκα καὶ διδάσκαλον τῆς οἰκουμένης ἁπάσης ἀποφήνας αὐτόν, τὸν βλάσφημον, τὸν διώκτην, τὸν ὑβριστήν, καθὼς καὶ αὐτός, ἀγαλλόμενος ἐπὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ, ταῦτα ἀνεκήρυττε, καὶ οὐκ ᾐσχύνετο, ἀλλὰ καὶ ὥσπερ ἐν στήλῃ τοῖς γράμμασι τὰ πρότερον αὐτῷ τολμηθέντα καταθέμενος ἅπασιν ἐπεδείκνυ, βέλτιον εἶναι νομίζων τὸν πρότερον αὐτοῦ παρὰ πάντων στηλιτεύεσθαι βίον ἐπὶ τὸ φανῆναι τὸ μέγεθος τῆς τοῦ Θεοῦ δωρεᾶς, ἢ συσκιάσαι τὴν ἄφατον αὐτοῦ καὶ ἀνεκδιήγητον φιλανθρωπίαν, ὀκνοῦντα τὴν οἰκείαν ἅπασιν ἐκπομπεῦσαι πλάνην.

Διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει τὰς διώξεις, τὰς ἐπιβουλάς, τοὺς πολέμους, τοὺς κατὰ τῆς Ἐκκλησίας, νῦν μὲν λέγων· «Οὐκ εἰμι ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ», νῦν δέ, «Ὅτι ἦλθεν Ἰησοῦς ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμί ἐγω», καὶ πάλιν· Ἠκούσατε τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν».

2. Καθάπερ γάρ τινα ταύτην ἀμοιβὴν ἀποδιδοὺς τῷ Χριστῷ τῆς εἰς αὐτὸν μακροθυμίας, τὸ δεῖξαι τίνα ὄντα, καὶ πῶς ἐχθρὸν καὶ πολέμιον ἔσωσεν, οὕτω μετὰ πολλῆς τῆς παρρησίας κηρύττει τὴν μάχην, ἣν πάσῃ προθυμίᾳ παρὰ τὴν

2. Α' Κορ. 15, 9.
3. Α' Τιμ. 1, 15.
4. Γαλ. 1, 13.

καὶ νὰ γίνουν ἴσοι μὲ ἐκείνους ποὺ δὲν εἶχαν κάνει τίποτε τέτοιο καὶ ἦσαν κατ᾽ ἐξοχὴν φίλοι του.

Καὶ ὅτι δὲν τὰ λέγω αὐτὰ εἰς τὴν τύχην οὔτε χάριν ψυχαγωγίας, τὸ ἐπιβεβαιώνουν περιτράνως ὅλα τὰ σχετικὰ μὲ τὸν μακάριον Παῦλον. Διότι αὐτὸς διώκων τὸν Χριστὸν μετὰ τὴν σταύρωσιν καὶ ἀφοῦ ἐκτύπησε τὸν μάρτυρά του Στέφανον μὲ πολλὰ χέρια, ὅταν μετενόησε καὶ συνειδητοποίησε τὰς προηγουμένας ἁμαρτίας του καὶ προσῆλθεν εἰς τὸν διωχθέντα, ἐκεῖνος τὸν κατέταξεν ἀμέσως μεταξὺ τῶν φίλων του καὶ ἐκείνων ποὺ εἶχαν τὰ πρωτεῖα, καθιστῶν κήρυκα καὶ διδάσκαλον ὁλοκλήρου τῆς οἰκουμένης αὐτὸν τὸν βλάσφημον, τὸν διώκτην, τὸν ὑβριστήν. Αὐτὰ καὶ ὁ ἴδιος, μὲ ἀγαλλίασιν διὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, τὰ διεκήρυσσε καὶ δὲν ἐντρέπετο, ἀλλὰ καί, ἀφοῦ ἀνέγραψεν ὡς εἰς ἀναμνηστικὴν στήλην μὲ γράμματα ὅσα εἶχε διαπράξει προηγουμένως, τὰ ἐπεδείκνυεν εἰς ὅλους, διότι ἐνόμιζεν ὅτι εἶναι καλύτερα νὰ στηλιτεύεται ἀπὸ ὅλους ὁ προηγούμενος βίος του διὰ νὰ φανῇ τὸ μέγεθος τῆς δωρεᾶς τοῦ Θεοῦ, παρὰ νὰ ἀποκρύψῃ τὴν ἀπερίγραπτον καὶ ἀνεκδιήγητον φιλανθρωπίαν του, φοβούμενος νὰ διαπομπεύσῃ εἰς ὅλους τὴν πλάνην του.

Δι᾽ αὐτὸ κατ᾽ ἐπανάληψιν ἀναφέρει τοὺς διωγμούς, τὰς σκευωρίας, τούς πολέμους ἐναντίον τῆς Ἐκκλησίας, ἄλλοτε μὲν λέγων «δὲν εἶμαι ἄξιος νὰ ὀνομάζωμαι ἀπόστολος, διότι κατεδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ»[2], ἄλλοτε δὲ ὅτι «ὁ Ἰησοῦς νὰ σώσῃ ἁμαρτωλούς, πρῶτος τῶν ὁποίων εἶμαι ἐγώ»[3], καὶ ἄλλοτε· «Ἔχετε ἀκούσει τὴν ἄλλοτε διαγωγήν μου εἰς τὸν ἰουδαϊσμόν, ὅτι δηλαδὴ ὑπερβολικὰ κατεδίωκα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τὴν ἐπολεμοῦσα»[4].

2. Καὶ ὡσὰν νὰ ἀπέδιδε κάποιαν ἀμοιβὴν εἰς τὸν Χριστὸν διὰ τὴν μακροθυμίαν ποὺ εἶχε δείξει εἰς αὐτόν, μὲ τὸ νὰ λέγῃ ποῖος ἦτο καὶ πῶς ἐνῷ ἦτο ἐχθρὸς καὶ ἀντίπαλος τὸν ἔσωσεν, μὲ μεγάλην παρρησίαν διακηρύσσει τὸν πόλεμον ποὺ ἔκανε μὲ κάθε προθυμίαν ἐναντίον τοῦ Χριστοῦ εἰς

ἀρχὴν ἐμαχήσατο τῷ Χριστῷ. Μετὰ δὲ τούτου καὶ τοῖς ἀπεγνωκόσιν ἑαυτῶν χρηστὰς ὑποτείνει τὰς ἐλπίδας. Καὶ γὰρ καὶ τὸν Χριστὸν διὰ τοῦτό φησι προσίεσθαι αὐτόν, ἵνα ἐν αὐτῷ πρώτῳ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν, καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. Καὶ γὰρ ἦν ἁπάσης αὐτοῖς συγγνώμης μείζονα τὰ τολμηθέντα.

Ἅπερ οὖν καὶ ὁ Εὐαγγελιστὴς ἐμφαίνων, ἔλεγεν· «Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον». Πόθεν ἦλθεν ὁ πάντα πληρῶν καὶ πανταχοῦ παρών; ποῖον κενώσας τόπον τῆς αὐτοῦ παρουσίας, ὁ πάντα τῇ χειρὶ συνέχων καὶ διακρατῶν; Τόπον μὲν οὐδένα ἤμειψε, (πῶς γάρ;), τῇ δὲ πρὸς ἡμᾶς καταβάσει τοῦτο εἰργάσατο. Ἐπειδὴ γάρ, ἐν τῷ κόσμῳ ὤν, οὐκ ἐδόκει παρεῖναι τῷ μήπω γνωρίζεσθαι, ὕστερον δὲ ἑαυτὸν ἐφανέρωσε, τὴν ἡμετέραν ὑποδῦναι σάρκα καταξιώσας, τὴν φανέρωσιν ταύτην καὶ τὴν κατάβασιν παρουσίαν καλεῖ.

Θαυμάσαι ἄξιον τὸν μαθητὴν μὴ αἰσχυνόμενον ἐπὶ τῇ τοῦ Διδασκάλου ἀτιμίᾳ, ἀλλὰ καὶ μετὰ παρρησίας τὴν εἰς αὐτὸν γεγενημένην ἀναγράφοντα ὕβριν. Καὶ τοῦτο δὲ οὐ μικρὸν τοῦ φιλαλήθους αὐτοῦ τρόπου τεκμήριον. Καὶ ἄλλως δὲ τὸν αἰσχυνόμενον ὑπὲρ τῶν ὑβρικότων, οὐχ ὑπὲρ τοῦ παροινηθέντος αἰσχύνεσθαι χρή· οὗτος μὲν γὰρ ταύτῃ μᾶλλον ἔλαμψε, καὶ μετὰ τὴν ὕβριν τοσαύτην τῶν ὑβρικότων ποιούμενος πρόνοιαν, ἐκεῖνοι δὲ ἀγνώμονες καὶ μιαροὶ παρὰ πᾶσιν ἐφάνησαν, τὸν ἐπὶ τοσούτοις παραγενόμενον ἀγαθοῖς ὡς ἐχθρὸν ἀπωσάμενοι καὶ πολέμιον.

Οὐ ταύτῃ δὲ μόνον ἐβλάβησαν, ἀλλὰ καὶ τῷ μὴ τυχεῖν, ὧν ἔτυχον οἱ λαβόντες αὐτόν. Τίνος δὲ ἔτυχον οὗτοι; «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ

τὴν ἀρχήν. Μαζὶ δὲ μὲ αὐτὸ δίνει καλὰς ἐλπίδας καὶ εἰς τοὺς ἀπελπισμένους. Διότι δι᾽ αὐτό, λέγει, ὁ Χριστὸς τὸν προσείλκυσε, διὰ νὰ δείξῃ εἰς αὐτὸν πρῶτον ὅλην τὴν μακροθυμίαν καὶ τὸν ὑπερβολικὸν πλοῦτον τῆς ἀγαθότητός του, πρὸς παραδειγματισμὸν ἐκείνων ποὺ ἐπρόκειτο νὰ πιστεύσουν εἰς αὐτὸν ὥστε νὰ ἐπιτύχουν τὴν αἰώνιον ζωήν. Διότι τὰ ὅσα εἶχε κάνει ἦσαν πολὺ ἀνώτερα ἀπὸ κάθε συγγνώμην.

Διὰ νὰ δηλώσῃ λοιπὸν αὐτὰ καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν· «Ἦλθεν εἰς τὰ ἰδικά του καὶ οἱ ἰδικοί του δὲν τὸν ἐδέχθησαν». Ἀπὸ ποῦ ἦλθεν αὐτὸς ποὺ πληροῖ τὰ πάντα καὶ εἶναι πανταχοῦ παρών; Ποῖον τόπον τῆς παρουσίας του ἄφησε κενόν, αὐτὸς ποὺ εἰς τὸ χέρι του περιέχει καὶ συγκρατεῖ τὰ πάντα; Τόπον μὲν δὲν ἄφησε κανένα (πῶς ἄλλωστε θὰ ἦτο τοῦτο δυνατόν;). Τὸ ἔκανεν ὅμως μὲ τὴν συγκατάβασίν του πρὸς ἡμᾶς. Διότι ἐπειδή, καίτοι εὑρίσκετο εἰς τὸν κόσμον, δὲν ἐφαίνετο νὰ εἶναι παρών, ἐπειδὴ δὲν ἦτο ἀκόμη γνωστός, ἔπειτα δὲ ἐφανέρωσε τὸν ἑαυτόν του, καταξιώνοντας τὴν ἰδικήν μας σάρκα μὲ τὸ νὰ τὴν φορέσῃ· τὴν φανέρωσιν αὐτὴν καὶ συγκατάβασιν τὴν ὀνομάζει παρουσίαν.

Ἀξίζει νὰ θαυμάσωμεν τὸν μαθητὴν ὁ ὁποῖος δὲν ἐντρέπεται διὰ τὴν ἀτιμίαν τοῦ διδασκάλου, ἀλλὰ ἀναγράφει τὴν ταπείνωσιν ποὺ ἔγινεν εἰς αὐτὸν μὲ θάρρος. Καὶ αὐτὸ δὲν εἶναι μικρὰ ἀπόδειξις τῆς ἀξιοπιστίας του. Ἄλλωστε ἐκεῖνος ποὺ ὑβρίζεται πρέπει νὰ ἐντρέπεται δι᾽ ἐκείνους ποὺ τὸν ὑβρίζουν καὶ ὄχι διὰ τὴν ἄφρονα πρᾶξιν των. Διότι αὐτὸς μὲν μὲ τὸν τρόπον αὐτὸν διέπρεψεν, ἀφοῦ καὶ μετὰ τὴν ταπείνωσιν, τόσον ἐνδιαφέρον ἔδειξεν ὑπὲρ ἐκείνων ποὺ τὸν ἐταπείνωσαν. Ἐκεῖνοι δὲ ἀπεδείχθησαν ἀγνώμονες καὶ ἀκάθαρτοι εἰς ὅλους, ἀφοῦ ἐκεῖνον ποὺ ἦλθε νὰ τοὺς φέρῃ τόσα ἀγαθά, τὸν ἀπεμάκρυναν ὡς ἐχθρὸν καὶ ἀντίπαλον.

Δὲν ἐζημιώθησαν ὅμως μόνον μὲ τὸν τρόπον αὐτόν, ἀλλὰ καὶ μὲ τὸ ὅτι δὲν ἐπέτυχαν αὐτὰ ποὺ ἐπέτυχαν ἐκεῖνοι ποὺ τὸν ἐδέχθησαν. Τί δὲ ἐπέτυχαν ἐκεῖνοι; «Ὅσοι δὲ τὸν

γενέσθαι», φησί. Τί οὖν οὐ λέγεις ἡμῖν, ὦ μακάριε, καὶ τὴν τῶν μὴ δεξαμένων αὐτὸν κόλασιν, ἀλλ' ὅτι μὲν ἴδιοι ἦσαν, καὶ εἰς τὰ ἴδια παραγενόμενον οὐ παρέλαβον εἶπες, τί δὲ ἀντὶ τούτου πείσονται, καὶ ποίαν ὑποστήσονται κόλασιν, τοῦτο οὐκέτι προσέθηκας; καίτοι μειζόνως ἂν αὐτοὺς οὕτως ἐφόβησας, καὶ τὸ σκληρὸν τῆς ἀπονοίας ἐμάλαξας διὰ τῆς ἀπειλῆς. Τίνος οὖν ἕνεκεν ἀπεσιώπησας;

Καὶ τίς ταύτης, φησί, τῆς κολάσεως ἑτέρα μείζων ἄν ποτε γένοιτο, ὅταν, προκειμένης ἐξουσίας αὐτοῖς τέκνα Θεοῦ γενέσθαι, μὴ γίνωνται, ἀλλ' ἑκόντες ἑαυτοὺς τῆς τοσαύτης ἀποστερῶσιν εὐγενείας τε καὶ τιμῆς; Πλὴν ἀλλ' οὐδὲ ἐνταῦθα μόνον αὐτοῖς τὰ τῆς τιμωρίας στήσεται, μέχρι τοῦ μηδὲν λαβεῖν ἀγαθόν, ἀλλὰ καὶ τὸ ἄσβεστον αὐτοὺς διαδέξεται πῦρ, ὃ καὶ προϊὼν σαφέστερον ἀπεκάλυψε. Τέως δὲ λέγει τὰ ἀπόρρητα ἀγαθὰ τῶν εἰληφότων αὐτόν, καὶ ἐν βραχεῖ παρίστησιν αὐτοῖς ῥήμασι, λέγων οὕτως· «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι». Κἂν δοῦλοι, κἂν ἐλεύθεροι, κἂν Ἕλληνες, κἂν βάρβαροι, κἂν Σκύθαι, κἂν ἄσοφοι, κἂν σοφοί, κἂν γυναῖκες, κἂν ἄνδρες, κἂν παιδία, κἂν πρεσβῦται, κἂν ἄτιμοι, κἂν ἔντιμοι, κἂν πλούσιοι, κἂν πένητες, κἂν ἄρχοντες, κἂν ἰδιῶται, φησί, πάντες τῆς αὐτῆς ἠξίωνται τιμῆς. Ἡ γὰρ πίστις καὶ ἡ τοῦ Πνεύματος χάρις, τὴν ἐκ τῶν κοσμικῶν ἀξιωμάτων ἀνωμαλίαν περιελοῦσα, εἰς μίαν ἅπαντας ἔπλασε μορφήν, καὶ εἰς ἕνα ἀπετύπωσε χαρακτῆρα, τὸν βασιλικόν.

Τί ταύτης ἂν γένοιτο τῆς φιλανθρωπίας ἴσον; Βασιλεὺς μέν, ὁ ἐκ τοῦ αὐτοῦ διηρτισμένος ἡμῖν πηλοῦ, τοὺς ὁμοδούλους καὶ τῆς αὐτῆς αὐτῷ κοινωνοῦντας φύσεως, πολλάκις δὲ καὶ τὸν τρόπον ἀμείνους ὄντας, οὐκ ἀξιοῖ καταλέγειν εἰς τὸ στρατόπεδον τὸ βασιλικόν, ἂν δοῦλοι τύχωσιν ὄντες,

ἐδέθχησαν», λέγει, «τοὺς ἔδωσε τὴν ἐξουσίαν νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ». Διατί ὅμως δὲν μᾶς ἀναφέρεις, μακάριε, καὶ τὴν τιμωρίαν ἐκείνων ποὺ δὲν τὸν ἐδέχθησαν καὶ εἶπες μόνον ὅτι ἦσαν ἰδικοί του καὶ ὅτι ὅταν ἦλθεν εἰς τὰ ἰδικά του δὲν τὸν ἐδέχθησαν; καὶ δὲν ἐπρόσθεσες ἀκόμη τί θὰ πάθουν δι' αὐτὸ καὶ ποίαν τιμωρίαν θὰ ὑποστοῦν; Ἂν καὶ ἔτσι θὰ τοὺς ἐφόβιζες περισσότερον καὶ μὲ τὴν ἀπειλὴν θὰ ἐμαλάκωνες τὴν σκληρότητα τῆς παραφροσύνης των; Διατί λοιπὸν τὸ ἀπεσιώπησες;

Καὶ ποία τιμωρία, λέγει, θὰ ἠμποροῦσε νὰ ἀποδειχθῇ μεγαλυτέρα ἀπὸ αὐτήν, ὅταν, ἐνῷ εἶχαν ἐξουσίαν νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ, δὲν ἔγιναν καὶ ἐστέρησαν θεληματικὰ τοὺς ἑαυτούς των ἀπὸ τὴν τόσον μεγάλην εὐγένειαν καὶ τιμήν; Ἀλλὰ δὲν σταματᾷ ἐδῶ μόνον ἡ τιμωρία, εἰς τὸ ὅτι δηλαδὴ δὲν ἔλαβαν ἀγαθόν· ἀλλὰ θὰ τοὺς ὑποδεχθῇ καὶ τὸ ἄσβεστον πῦρ, τὸ ὁποῖον καθὼς προχωρεῖ τὸ φανερώνει καλύτερα. Εἰς τὴν ἀρχὴν ἀναφέρει τὰ ἀπερίγραπτα ἀγαθὰ ἐκείνων ποὺ τὸν ἐδέχθησαν καὶ τὰ σκιαγραφεῖ μὲ σύντομον φράσιν ὁμιλῶν ὡς ἑξῆς· «Ὅσοι δὲ τὸν ἐδέχθησαν, τοὺς ἔδωσε τὴν ἐξουσίαν νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ». Εἴτε δοῦλοι εἶναι εἴτε ἐλεύθεροι, εἴτε Ἕλληνες εἴτε βάρβαροι, εἴτε Σκύθαι, εἴτε ἄσοφοι εἴτε σοφοί, εἴτε γυναῖκες εἴτε ἄνδρες, εἴτε παιδιὰ εἴτε ἡλικιωμένοι, εἴτε ἄτιμοι εἴτε ἔντιμοι, εἴτε πλούσιοι εἴτε πτωχοί, εἴτε ἄρχοντες εἴτε παρακατιανοί, λέγει, ὅλοι ἀξιώνονται τῆς ἰδίας τιμῆς. Διότι ἡ πίστις καὶ ἡ χάρις τοῦ Πνεύματος, ἀφοῦ ἀφῄρεσαν τὴν ἀνομοιομορφίαν τῶν κοσμικῶν διακρίσεων, διέπλασαν ὅλους εἰς ἑνιαίαν μορφὴν καὶ τοὺς ἀπετύπωσαν ἕνα χαρακτηριστικὸν γνώρισμα βασιλικόν.

Τί θὰ ἠμποροῦσε νὰ γίνῃ ἰσάξιον αὐτῆς τῆς φιλανθρωπίας; Ὁ μὲν βασιλεύς, ὁ ὁποῖος ἀποτελεῖται ἀπὸ τὸν ἴδιον μὲ ἡμᾶς πηλόν, τοὺς συνδούλους του οἱ ὁποῖοι ἔχουν τὴν ἰδίαν μὲ ἐκεῖνον φύσιν καὶ οἱ ὁποῖοι πολλὰς φορὰς εἶναι εἰς τὸν χαρακτῆρα ἀνώτεροι, δὲν καταδέχεται νὰ τοὺς συγκαταλέγῃ εἰς τὴν βασιλικὴν αὐλήν, ἐὰν τύχῃ νὰ εἶναι δοῦ-

ὁ δὲ Μονογενὴς τοῦ Θεοῦ Παῖς, οὐκ ἀπηξίωσε καὶ τελώνας, καὶ μάγους, καὶ δούλους, καὶ τοὺς πάντων ἀτιμοτέρους, πολλοὺς δὲ καὶ τὰ σώματα ἀναπήρους, καὶ μυρίαν ἔχοντας λώβην, εἰς τὸν τῶν τέκνων καταλέξαι χορόν. Τοσαύτη τῆς εἰς αὐτὸν πίστεως ἡ ἰσχύς· τοσαύτη τῆς χάριτος ἡ ὑπερβολή.

Καὶ καθάπερ ἡ τοῦ πυρὸς φύσις, τῇ τῶν μετάλλων ὁμιλήσασα γῇ, χρυσὸν αὐτὸν ἀπὸ γῆς εὐθέως ἐποίησεν, οὕτω δή, καὶ πολλῷ μᾶλλον ἀντὶ πηλίνων χρυσοῦς τὸ βάπτισμα ἐργάζεται τοὺς λελουμένους, τοῦ Πνεύματος πυρὸς δίκην κατ᾽ ἐκεῖνον τὸν καιρὸν εἰς τὰς ἡμετέρας ἐμπεσόντος ψυχάς· καὶ τὴν μὲν εἰκόνα τοῦ χοϊκοῦ κατακαίοντος, τὴν δὲ εἰκόνα τοῦ ἐπουρανίου, νεοπαγῆ καὶ λαμπρὰν καὶ ὡς ἀπὸ χωνευτηρίου στίλβουσαν, ἀναφέροντος. Καὶ τί δήποτε οὐκ εἶπεν, ὅτι ἐποίησεν αὐτοὺς τέκνα Θεοῦ, ἀλλ' «Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι»; Δεικνὺς ὅτι πολλῆς δεῖ τῆς σπουδῆς, ὥστε τὴν ἐν τῷ βαπτίσματι τῆς υἱοθεσίας ἡμῖν ἐντυπωθεῖσαν εἰκόνα, ἀκηλίδωτον δι' ὅλου διατηρῆσαι καὶ ἀνέπαφον, ἅμα δὲ καὶ ἐμφαίνων ὅτι τὴν ἐξουσίαν ταύτην οὐδεὶς ἡμᾶς ἀφελέσθαι δυνήσεται, ἂν μὴ προλαβόντες ἑαυτοὺς ἀφελώμεθα. Εἰ γὰρ οἱ παρὰ ἀνθρώπων κῦρός τινων πραγμάτων λαβόντες τοσαύτην ἔχουσι τὴν ἰσχύν, ὅσην σχεδὸν οἱ δεδωκότες αὐτοί, πολλῷ μᾶλλον οἱ παρὰ τοῦ Θεοῦ ταύτης τυχόντες τῆς τιμῆς, ἂν μηδὲν τῆς ἐξουσίας ταύτης ἀνάξιον πράξωμεν, πάντων ἐσόμεθα δυνατώτεροι διὰ τὸ καὶ πάντων εἶναι μείζω τε καὶ ἀγαθώτερον τὸ ταύτην ἡμῖν ἐγχειρίσαντα τὴν τιμήν.

Ἅμα δὲ καὶ ἐνδείξασθαι βούλεται, ὅτι οὐχ ἁπλῶς οὐδὲ ἡ χάρις ἔπεισιν, ἀλλὰ τοῖς βουλομένοις καὶ ἐσπουδακόσι· καὶ γὰρ καὶ ἐν τῇ ἐξουσίᾳ κεῖται τῇ τούτων, τὸ γενέσθαι τέκνα.

λοι. Ὁ δὲ μονογενὴς Υἱὸς τοῦ Θεοῦ δὲν ἀπηξίωσε νὰ συγκαταλέξῃ εἰς τὴν χορείαν τῶν τέκνων τοῦ Θεοῦ καὶ τελώνας καὶ μάγους καὶ δούλους καὶ τοὺς πιὸ ἀσήμους ἀπὸ ὅλους, καθὼς καὶ πολλοὺς σωματικῶς ἀναπήρους μὲ ἀπείρους κακώσεις. Τόσον μεγάλη εἶναι ἡ δύναμις τῆς πίστεως εἰς αὐτόν· τόσον μεγάλη εἶναι ἡ ὑπεροχὴ τῆς χάριτος.

Καὶ ὅπως ἡ φύσις τῆς φωτιᾶς ὅταν ἔρχεται εἰς ἐπαφὴν μὲ τὸ χῶμα τῶν μετάλλων, τὸ μεταβάλλει ἀμέσως ἀπὸ χῶμα εἰς χρυσόν. Ἔτσι ἀκριβῶς, καὶ πολὺ περισσότερον, τὸ βάπτισμα μεταβάλλει αὐτοὺς ποὺ λούζονται ἀπὸ πηλίνους εἰς χρυσοῦς, διότι τὴν στιγμὴν ἐκείνην τὸ Πνεῦμα πέφτει ὡσὰν φωτιὰ ἐπάνω εἰς τὰς ψυχάς μας καὶ τὴν μὲν εἰκόνα τοῦ πηλίνου τὴν κατακαίει, ἐπαναφέρει δὲ τὴν εἰκόνα τοῦ ἐπουρανίου καινουργῆ καὶ λαμπεράν, ἡ ὁποία ἀκτινοβολεῖ ὡσὰν νὰ ἐβγῆκεν ἀπὸ χωνευτήριον.

Καὶ διατί δὲν εἶπεν ὅτι τοὺς ἔκανε παιδιὰ τοῦ Θεοῦ, ἀλλὰ ὅτι «τοὺς ἔδωσε τὴν ἐξουσίαν νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ»; Διὰ νὰ δείξῃ ὅτι χρειάζεται πολλὴ προσπάθεια διὰ νὰ διατηρηθῇ τελείως ἀκηλίδωτος καὶ ἀνέπαφος ἡ εἰκὼν τῆς υἱοθεσίας ἡ ὁποία ἐτυπώθη μέσα μας κατὰ τὸ βάπτισμα καὶ ταυτοχρόνως διὰ νὰ φανερώσῃ ὅτι τὴν ἐξουσίαν αὐτὴν κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς τὴν ἀφαιρέσῃ, ἐὰν δὲν προλάβωμεν καὶ τὴν ἀφαιρέσωμεν ἐμεῖς. Διότι ἐὰν ἐκεῖνοι ποὺ λαμβάνουν ἀπὸ ἀνθρώπους ἐξουσίαν μερικῶν πραγμάτων, ἔχουν τόσην δύναμιν ὅσην σχεδὸν καὶ ἐκεῖνοι ποὺ τοὺς ἔδωσαν τὴν ἐξουσίαν, πολὺ περισσότερον ἐμεῖς ποὺ ἐτύχαμεν αὐτῆς τῆς τιμῆς ἀπὸ τὸν Θεόν, ἐὰν δὲν κάνωμεν τίποτε ἀνάξιον αὐτῆς τῆς ἐξουσίας, θὰ εἴμεθα δυνατώτεροι ἀπὸ ὅλους, ἐπειδὴ ἀνώτερος ὅλων καὶ ἀγαθώτερος εἶναι καὶ ἐκεῖνος ποὺ μᾶς ἔδωσεν αὐτὴν τὴν τιμήν.

Θέλει δὲ ἀκόμη νὰ δείξῃ ὅτι οὔτε ἡ χάρις ἔρχεται μόνη της, ἀλλὰ ἔρχεται εἰς ἐκείνους ποὺ τὴν θέλουν καὶ προσπαθοῦν· δι' αὐτὸ ἐναπόκειται καὶ εἰς τὴν ἐξουσίαν αὐτῶν τὸ νὰ γίνουν παιδιά. Διότι ἐὰν προηγουμένως δὲν τὸ θελή-

Ἂν γὰρ μὴ ἕλωνται αὐτοὶ πρότερον, οὐκ ἔπεισιν ἡ δωρεά, οὐδὲ ἐργάζεταί τι.

3. Πανταχοῦ τοίνυν τὸ μὲν κατηναγκασμένον ἐκβαλών, τὸ δὲ αὐθαίρετον καὶ αὐτεξούσιον δεικνύς· τοῦτο καὶ νῦν εἴρηκε. Καὶ γὰρ ἐν αὐτοῖς τούτοις τοῖς ἀπορρήτοις τὸ μέν ἐστι τοῦ Θεοῦ, τὸ δοῦναι τὴν χάριν· τὸ δὲ τοῦ ἀνθρώπου, τὸ παρασχεῖν τὴν πίστιν. Καὶ ἐν τῷ μετὰ ταῦτα δὲ χρόνῳ πολλῆς δεῖ λοιπὸν τῆς σπουδῆς. Οὐ γὰρ ἀρκεῖ πρὸς τὴν τῆς καθαρότητος ἡμῖν φυλακὴν τὸ βαπτισθῆναι καὶ πιστεῦσαι μόνον, ἀλλὰ δεῖ, εἰς μέλλοιμεν ταύτης διὰ παντὸς ἀπολαύσεσθαι τῆς φαιδρότητος, ἄξιον αὐτῆς παρέχεσθαι βίον.

Τοῦτο δὲ ἐφ' ἡμῖν ἐποίησεν ὁ Θεός. Τὸ μὲν γὰρ γεννηθῆναι τὴν μυστικὴν γέννησιν καὶ πάντων ἐκκαθαρθῆναι τῶν πρότερον ἡμαρτημένων ἡμῖν ἀπὸ τοῦ βαπτίσματος γίνεται, τὸ δὲ μεῖναι εἰς τὸ ἑξῆς καθαρούς, καὶ μηδεμίαν μετὰ ταῦτα δέξασθαι κηλῖδα πάλιν τῆς ἡμετέρας ἐστὶν ἐξουσίας τε καὶ σπουδῆς. Διά τοι τοῦτο καὶ τοῦ τρόπου τῆς γεννήσεως ἡμᾶς ἀνέμνησε, καὶ ἀπὸ συγκρίσεως τῶν σαρκικῶν ὠδίνων τὴν ὑπεροχὴν ἔδειξεν, εἰπών· «Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν».

Τοῦτο δὲ ἐποίησεν, ἵνα, τὸ εὐτελὲς καὶ ταπεινὸν τοῦ προτέρου τόκου καταμαθόντες, (τοῦ δι' αἱμάτων καὶ θελήματος σαρκός), καὶ τὸ ὑψηλὸν καὶ εὐγενὲς τοῦ δευτέρου (τοῦ διὰ τῆς χάριτος) ἐπιγνόντες, μεγάλην τινὰ κἀντεῦθεν περὶ αὐτοῦ λάβωμεν ἔννοιαν, καὶ τῆς τοῦ γεγεννηκότος ἀξίαν δωρεᾶς, καὶ πολλὴν μετὰ ταῦτα ἐπιδειξώμεθα σπουδήν. Δέος γὰρ οὐ μικρόν, μή ποτε, τὴν καλὴν ταύτην μολύναντες στολήν, τῇ μετὰ ταῦτα ῥαθυμίᾳ καὶ τοῖς πλημμελήμασιν ἐκβληθῶμεν τῆς παστάδος καὶ τοῦ νυμφῶνος κατὰ τὰς πέντε παρθένους ἐκείνας τὰς μωράς, ἢ κατὰ τὸν οὐκ ἔχοντα ἔνδυμα γάμου.

σουν αὐτοί, δὲν ἐπέρχεται ἡ δωρεὰ οὔτε φέρει κανένα ἀποτέλεσμα.

3. Ἀφοῦ λοιπὸν παντοῦ ἀποβάλλει τὸν ἐξαναγκασμὸν καὶ δείχνει τὴν προαίρεσιν καὶ τὴν ἐλευθερίαν, αὐτὸ εἶπε καὶ ἐδῶ. Διότι καὶ εἰς αὐτὰ τὰ Μυστήρια, τὸ ἕνα μέρος εἶναι τοῦ Θεοῦ, τὸ νὰ δώσῃ τὴν χάριν, τὸ δὲ ἄλλο τοῦ ἀνθρώπου, τὸ νὰ προσφέρῃ τὴν πίστιν. Ἀλλὰ καὶ εἰς τὸν μετέπειτα χρόνον χρειάζεται πολλὴ προσπάθεια. Διότι δὲν ἀρκεῖ μόνον νὰ βαπτισθῶμεν καὶ νὰ πιστεύσωμεν, διὰ νὰ διατηρήσωμεν τὴν καθαρότητά μας. Ἀλλά, ἐὰν θέλωμεν νὰ ἀπολαμβάνωμεν συνεχῶς αὐτὴν τὴν λαμπρότητα, πρέπει νὰ παρουσιάσωμεν ἀντάξιον πρὸς αὐτὴν βίον.

Αὐτὸ δὲ τὸ ἔκανεν εἰς ἡμᾶς ὁ Θεός. Διότι τὸ νὰ γεννηθῶμεν τὴν μυστηριακὴν γέννησιν καὶ νὰ καθαρθῶμεν ἀπὸ τὰ προηγούμενα ἁμαρτήματα, ἐνεργεῖται ἀπὸ τὸ βάπτισμα. Τὸ νὰ μείνωμεν ὅμως εἰς τὸ ἑξῆς καθαροὶ καὶ νὰ μὴ δεχθῶμεν ἀργότερα καμμίαν κηλῖδα, ἀνάγεται εἰς τὴν ἰδικήν μας ἐξουσίαν καὶ προσπάθειαν. Δι᾽ αὐτὸ ἀκριβῶς μᾶς ὑπενθυμίζει καὶ τὸν τρόπον τῆς γεννήσεως καὶ δείχνει τὴν ὑπεροχήν της διὰ τῆς συγκρίσεως μὲ τὰς σαρκικὰς ὠδῖνας ὅταν λέγῃ· «Αὐτοὶ οἱ ὁποῖοι ἐγεννήθησαν ὄχι ἀπὸ αἵματα, οὔτε ἀπὸ τὸ θέλημα σαρκός, οὔτε ἀπὸ τὸ θέλημα ἀνδρός, ἀλλὰ ἀπὸ τὸν Θεόν».

Αὐτὸ δὲ τὸ ἔκανε εἰς τρόπον ὥστε, ἀφοῦ μάθωμεν τὴν εὐτέλειαν καὶ ταπεινότητα τῆς πρώτης γεννήσεώς μας, ἡ ὁποία ἔγινε μὲ αἵματα καὶ θέλημα τῆς σαρκός, καὶ κατανοήσωμεν τὸ ὕψος καὶ τὴν εὐγένειαν τῆς δευτέρας γεννήσεως, ἡ ὁποία ἔγινε μὲ τὴν χάριν, νὰ σχηματίσωμεν καὶ ἀπὸ αὐτὸ μεγάλην περὶ αὐτοῦ ἰδέαν καὶ ἀνταξίαν τῆς δωρεᾶς ἐκείνου ὁ ὁποῖος μᾶς ἐγέννησε καὶ νὰ καταβάλωμεν εἰς τὸ ἑξῆς μεγάλην προσπάθειαν. Διότι ὑπάρχει μεγάλος φόβος μήπως μολύνωμεν τὴν ὡραίαν αὐτὴν στολήν, μὲ τὴν κατοπινὴν ραθυμίαν καὶ τὰ ἁμαρτήματα, καὶ ἀποβληθῶμεν ἀπὸ τὴν παστάδα καὶ τὸν νυμφῶνα, ὅπως αἱ πέντε ἐκεῖναι μωραὶ παρ-

Καὶ γὰρ κἀκεῖνος τῶν δαιτυμόνων ἦν (ἐκλήθη γὰρ καὶ αὐτός), ἀλλ' ἐπειδὴ μετὰ τὴν κλῆσιν καὶ τὴν τοσαύτην τιμὴν ἐξύβρισεν εἰς τὸν κεκληκότα, ἄκουσον οἵαν δίδωσι δίκην, πῶς ἐλεεινήν, καὶ πολλῶν ἀξίαν δακρύων.

Παραγενόμενος γὰρ ἐπὶ τὸ τῆς λαμπρᾶς ἐκείνης τραπέζης μετασχεῖν, οὐ μόνον εἴργεται τῆς εὐωχίας, ἀλλὰ καί, τὰς χεῖρας δεθεὶς καὶ τοὺς πόδας ὁμοίως, εἰς τὸ σκότος ἄγεται τὸ ἐξώτερον, τὸν αἰώνιον καὶ ἄπειρον ὀλοφυρμὸν καὶ τὸν βρυγμὸν τῶν ὀδόντων ὑποστησόμενος.

Μὴ τοίνυν, ἀγαπητοί, μηδὲ ἡμεῖς νομίζωμεν ἀρκεῖν ἡμῖν πρὸς σωτηρίαν τὴν πίστιν. Ἂν γὰρ μὴ βίον ἐπιδειξώμεθα καθαρόν, ἀλλά, ἀνάξια τῆς μακαρίας κλήσεως ταύτης ἱμάτια ἀμφιασάμενοι, παραγενώμεθα, οὐδὲν κωλύει καὶ ἡμᾶς παθεῖν τὰ αὐτά, ἅπερ ἐκεῖνος ὁ δείλαιος. Καὶ γὰρ ἄτοπον, αὐτὸν μέν, Θεὸν ὄντα καὶ βασιλέα, ἀνθρώπους εὐτελεῖς, καὶ ἀγύρτας, καὶ μηδενὸς ἀξίους ὄντας μὴ ἐπαισχύνεσθαι, ἀλλὰ τοὺς ἀπὸ τῆς τριόδου πρὸς τὴν τράπεζαν ἄγειν ἐκείνην· ἡμᾶς δὲ τοσαύτην ἀναισθησίαν ἐπιδείκνυσθαι, ὡς μηδὲ τῇ τοσαύτῃ τιμῇ γενέσθαι βελτίους, ἀλλὰ καὶ μετὰ τὴν κλῆσιν ἐπὶ τῆς αὐτῆς μένειν κακίας εἰς τὴν ἄφατον τοῦ κεκληκότος ἐμπαροινοῦντας φιλανθρωπίαν.

Οὐδὲ γὰρ διὰ τοῦτο ἡμᾶς ἐπὶ τὴν πνευματικὴν ταύτην καὶ φρικτὴν τῶν μυστηρίων ἐκάλεσε κοινωνίαν, ἵνα μετὰ τῆς προτέρας εἰσερχώμεθα κακίας, ἀλλ' ἵνα, ἀποδυσάμενοι τὴν αἰσχρότητα, μεταμφιασώμεθα, ἃ τοὺς ἐν τοῖς βασιλείοις ἑστιωμένους ἠμφιάσθαι χρή. Εἰ δὲ μὴ βουλοίμεθα ἄξια τῆς κλήσεως πρᾶξαι ἐκείνης, οὐκ ἔστι τοῦτο παρὰ τὸν τετιμηκότα, ἀλλὰ παρ' ἡμᾶς· οὐδὲ γὰρ ἐκεῖνος ἡμᾶς ἐκβάλλει τοῦ θαυμαστοῦ τῶν δαιτυμόνων χοροῦ, ἀλλ' ἡμεῖς ἑαυτούς.

θένοι, ἢ ἐκεῖνος ποὺ δὲν εἶχεν ἔνδυμα γάμου. Διότι καὶ ἐκεῖνος ἦτο ἀπὸ τοὺς δαίμονας. Ἐκλήθη καὶ αὐτός, ἀλλ' ἐπειδὴ μετὰ τὴν κλῆσιν καὶ τὴν τόσον μεγάλην τιμὴν προσέβαλεν αὐτὸν ποὺ τὸν ἐκάλεσεν, ἄκουσε ποίαν τιμωρίαν ὑφίσταται, πόσον ἐλεεινὴν καὶ ἀξίαν πολλῶν δακρύων.

Διότι ὅταν ἦλθε διὰ νὰ συμμετάσχῃ εἰς τὴν λαμπρὰν ἐκείνην τράπεζαν, ὄχι μόνον ἀποκλείεται ἀπὸ τὸ πλούσιον ἐκεῖνο γεῦμα, ἀλλὰ ἀφοῦ τοῦ ἐδέθησαν τὰ χέρια καὶ τὰ πόδια ὡδηγήθη εἰς τὸ ἐξώτερον σκότος, διὰ νὰ ὑποστῇ τὸν αἰώνιον καὶ ἀτελείωτον θρῆνον καὶ τὸ τρίξιμον τῶν δοντιῶν του.

Ἂς μὴ νομίζωμεν λοιπόν, ἀγαπητοί, καὶ ἐμεῖς ὅτι ἀρκεῖ ἡ πίστις διὰ τὴν σωτηρίαν μας. Διότι ἐὰν δὲν παρουσιάσωμεν βίον καθαρὸν καὶ προσέλθωμεν φοροῦντες ἐνδύματα ἀνάξια αὐτῆς τῆς μακαρίας κλήσεως, τίποτε δὲν θὰ μᾶς ἐμποδίσῃ νὰ πάθωμεν καὶ ἐμεῖς αὐτὰ ποὺ ἔπαθε καὶ ἐκεῖνος ὁ δυστυχής. Διότι εἶναι ἀπαράδεκτον, αὐτὸς μέν, ἂν καὶ εἶναι Θεὸς καὶ βασιλεύς, νὰ μὴ ἀποστρέφεται ἀνθρώπους εὐτελεῖς καὶ ἐπαίτας καὶ ἀνικάνους καὶ νὰ τοὺς ὁδηγῇ ἀπὸ τοὺς δρόμους εἰς ἐκείνην τὴν τράπεζαν, ἐμεῖς δὲ νὰ δείχνωμεν τόσην ἀναισθησίαν, ὥστε οὔτε μὲ τὴν τόσον μεγάλην τιμὴν νὰ μὴ γινώμεθα καλύτεροι, ἀλλὰ νὰ ἐμμένωμεν καὶ μετὰ τὴν πρόσκλησιν εἰς τὴν ἰδίαν ἁμαρτίαν, ἐμπαίζοντες τὴν ἀπερίγραπτον φιλανθρωπίαν ἐκείνου ποὺ μᾶς ἐκάλεσεν.

Ἄλλωστε δὲν μᾶς ἐκάλεσεν εἰς αὐτὴν τὴν πνευματικὴν καὶ τρομερὰν κοινωνίαν τῶν μυστηρίων διὰ νὰ εἰσέλθωμεν μὲ τὴν προηγουμένην κακίαν μας, ἀλλὰ διὰ νὰ ἀποβάλωμεν τὴν αἰσχρότητα καὶ νὰ ἐνδυθῶμεν αὐτὰ ποὺ πρέπει νὰ φοροῦν ἐκεῖνοι ποὺ φιλοξενοῦνται εἰς τὰ ἀνάκτορα. Ἐὰν δὲ δὲν θελήσωμεν νὰ πολιτευθῶμεν ἀντάξια πρὸς τὴν κλῆσιν ἐκείνην, τοῦτο δὲν θὰ ἔχῃ ἀντίκτυπον πρὸς ἐκεῖνον ποὺ μᾶς ἐτίμησεν, ἀλλὰ πρὸς ἡμᾶς. Οὔτε ἐξ ἄλλου ἐκεῖνος μᾶς ἐκδιώκει ἀπὸ τὴν ἐξαίρετον ὁμήγυριν τῶν συνδαιτυμόνων, ἀλλ' ἐμεῖς ἀποβάλλομεν τοὺς ἑαυτούς μας.

Ὁ μὲν γὰρ τὸ ἑαυτοῦ πᾶν ἤνυσε. Καὶ γὰρ τοὺς γάμους ἐποίησε, καὶ τὴν τράπεζαν παρεσκεύασε, καὶ τοὺς καλέσαντας ἔπεμψε, καὶ παραγενομένους ἐδέξατο, καὶ τὴν ἄλλην ἅπασαν τετίμηκε τιμήν· ἡμεῖς δὲ καὶ εἰς αὐτόν, καὶ εἰς τοὺς παρόντας, καὶ εἰς τὸν γάμον ὑβρίαντες διὰ τῶν ῥυπαρῶν ἱματίων, τουτέστι, τῶν ἀκαθάρτων πράξεων, εἰκότως ἐκβαλλόμεθα λοιπόν. Ταύτῃ γάρ, καὶ τὸν γάμον τιμῶν καὶ τοὺς κεκλημένους, ἀπελαύνει τοὺς ἰταμοὺς καὶ τοὺς ἀναισχύντους ἐκείνους. Εἰ γὰρ εἴασε τοὺς ἐκεῖνο ἠμφιεσμένους τὸ ἱμάτιον, αὐτὸς ἂν ἔδοξε καὶ τοὺς ἄλλους ὑβρίζειν.

Ἀλλὰ μηδένα γένοιτο τοιούτου πειραθῆναι τοῦ κεκληκότος, μήτε ἡμῶν, μήτε ἑτέρων τινῶν. Διὰ γὰρ τοῦτο, πρὶν ἢ γενέσθαι ταῦτα πάντα, ἀναγέγραπται, ἵνα, ἐν τῇ τῶν γραμμάτων ἀπειλῇ σωφρονισθέντες, μὴ συγχωρήσωμεν εἰς ἔργον ἐλθεῖν τὴν ἀτιμίαν καὶ τὴν κόλασιν, ταύτην, ἀλλ' ἐπὶ τῶν ῥημάτων αὐτὴν στήσωμεν μόνον, καὶ μετὰ λαμπρᾶς ἕκαστος στολῆς εἰς τὴν κλῆσιν ἐκείνην παραγενώμεθα· ἧς ἀπολαῦσαι γένοιτο πάντας ἡμᾶς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐξ ἄλλου ἐκεῖνος ἔκανε τὸ πᾶν. Διότι καὶ τοὺς γάμους ἐτέλεσε καὶ τὴν τράπεζαν προητοίμασε καὶ τοὺς ἀνθρώπους του ἔστειλε νὰ φέρουν τοὺς καλεσμένους καὶ ὅταν ἦλθαν τοὺς ἐδέχθη καὶ ἔκανε κάθε ἄλλην τιμητικὴν ἐνέργειαν. Ἐμεῖς ὅμως ἐπεριφρονήσαμεν καὶ αὐτὸν καὶ τοὺς παρόντας καὶ τὸν γάμον μὲ τὰ βρώμικα ἐνδύματά μας, δηλαδὴ μὲ τὰς ἀκαθάρτους πράξεις μας καὶ δι᾽ αὐτὸ δικαίως ἐκδιωκόμεθα. Μὲ τὸν τρόπον αὐτὸν τιμῶν καὶ τὸν γάμον καὶ τοὺς προσκεκλημένους, ἐκδιώκει τοὺς θρασεῖς καὶ ἀναιδεῖς. Διότι ἐὰν ἐπέτρεπε νὰ εἰσέλθουν καὶ αὐτοὶ ποὺ ἐφοροῦσαν ἐκεῖνο τὸ ἔνδυμα, θὰ ἔδινε τὴν ἐντύπωσιν ὅτι αὐτὸς περιφρονεῖ τοὺς ἄλλους.

Ἀλλὰ εἴθε κανεὶς νὰ μὴ διανοηθῇ κάτι τέτοιο δι᾽ αὐτὸν ποὺ μᾶς ἐκάλεσεν, οὔτε ἀπὸ ἐμᾶς οὔτε ἀπὸ ἄλλους. Ἐξ ἄλλου δι᾽ αὐτὸ ἔχουν γραφῆ ὅλα αὐτὰ πρὶν νὰ γίνουν, εἰς τρόπον ὥστε, ἀφοῦ συνετισθῶμεν μὲ τὴν ἀπειλὴν τῶν γραπτῶν, νὰ μὴ ἐπιτρέψωμεν νὰ γίνῃ πρᾶξις ἡ ἀτιμία αὐτὴ καὶ ἡ τιμωρία, ἀλλὰ νὰ τὴν σταματήσωμεν μόνον εἰς τοὺς λόγους καὶ μὲ λαμπρὸν ἔνδυμα νὰ προσέλθωμεν ὅλοι εἰς τὴν πρόσκλησιν ἐκείνην, τὴν ὁποίαν εἴθε νὰ ἀπολαύσωμεν ὅλοι ἐμεῖς μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει εἰς τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΑ΄.

'Ιω. 1, 14

«Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν».

1. Μίαν ὑμᾶς ἅπαντας αἰτῆσαι βούλομαι χάριν, πρὶν ἢ τῶν εὐαγγελικῶν ἅψασθαι ῥημάτων· ἀλλὰ μὴ ἀνανεύσητε πρὸς τὴν αἴτησιν. Οὔτε γὰρ βαρύ τι ἐπαχθὲς αἰτῶ, οὔτ' ἐμοὶ τῷ λαμβάνοντι μόνον χρήσιμον ἔσται τὸ διδόμενον, ἀλλὰ καὶ ὑμῖν τοῖς παρέχουσι, καὶ τάχα πολλῷ πλέον ὑμῖν. Τί ποτ' οὖν ἐστιν ὅπερ αἰτοῦμαι ὑμᾶς; Κατὰ μίαν Σαββάτων, ἢ καὶ κατὰ Σάββατον, τὴν μέλλουσαν ἐν ὑμῖν ἀναγνωσθήσεσθαι τῶν Εὐαγγελίων περικοπήν, ταύτην πρὸ τούτων τῶν ἡμερῶν μετὰ χεῖρας λαμβάνων ἕκαστος, οἴκοι καθήμενος ἀναγινωσκέτω συνεχῶς, καὶ πολλάκις περισκοπείτω μετὰ ἀκριβείας τὰ ἐγκείμενα, καὶ βασανιζέτω ταῦτα καλῶς, καὶ τί μὲν σαφές, τί δὲ ἄδηλον σημειούσθω, τί δὲ αὐτῶν ἐναντίον εἶναι δοκοῦν, οὐκ ὂν δέ, καὶ πάντα ἁπλῶς διακωδωνίσαντες, οὕτως ἀπαντᾶτε πρὸς τὴν ἀκρόασιν.

Οὐ γὰρ μικρὸν ἀπὸ τῆς τοιαύτης σπουδῆς καὶ ὑμῖν καὶ ἡμῖν ἔσται τὸ κέρδος. Ἡμεῖς μὲν γὰρ οὐ πολλοῦ δεησόμεθα πόνου πρὸς τὸ σαφῆ ποιῆσαι τῶν λεγομένων τὴν δύναμιν, τῆς διανοίας ὑμῖν ἤδη προοικειωθείσης τῇ τῶν ῥημάτων γνώσει, ὑμεῖς δὲ ὀξύτεροι καὶ διορατικώτεροι τούτῳ τῷ τρόπῳ γενήσεσθε οὐ πρὸς τὴν ἀκρόασιν μόνον, οὐδὲ πρὸς τὴν μάθησιν, ἀλλὰ καὶ πρὸς τὸ διδάξαι ἑτέρους.

ΟΜΙΛΙΑ ΙΑ΄.

'Ιω. 1, 14

«Καὶ ὁ Λόγος ἐσαρκώθη καὶ ἦλθε καὶ κατεσκήνωσε μεταξύ μας».

1. Θέλω μίαν χάριν νὰ ζητήσω ἀπὸ ὅλους σας προτοῦ ἀρχίσω νὰ ἀναπτύσσω τὰ λόγια τοῦ εὐαγγελίου, ἀλλὰ μὴ μοῦ ἀπορρίψετε τὴν αἴτησιν. Ἄλλωστε δὲν ζητῶ τίποτε τὸ βαρὺ καὶ δυσβάστακτον, οὔτε αὐτὸ ποὺ θὰ μοῦ δώσετε θὰ εἶναι χρήσιμον μόνον εἰς ἐμὲ ὁ ὁποῖος θὰ τὸ λάβω, ἀλλὰ καὶ εἰς ἐσᾶς οἱ ὁποῖοι θὰ τὸ δώσετε· πολὺ περισσότερον μάλιστα εἰς ἐσᾶς. Τί εἶναι ἐπὶ τέλους αὐτὸ ποὺ σᾶς ζητῶ; Κάθε Κυριακὴν ἢ καὶ κάθε Σάββατον ὁ καθένας ἀπὸ σᾶς νὰ παίρνῃ εἰς τὰ χέρια του τὴν εὐαγγελικὴν περικοπὴν ποὺ πρόκειται νὰ ἀναγνωσθῇ πρὶν ἀπὸ αὐτὰς τὰς ἡμέρας καὶ καθὼς θὰ κάθεται εἰς τὴν οἰκίαν νὰ τὴν ἀναγινώσκῃ συνεχῶς καὶ νὰ παρατηρῇ μὲ ἀκρίβειαν πολλὰς φορὰς ὅσα ὑπάρχουν εἰς αὐτὴν καὶ νὰ τὰ ἐξετάζῃ μὲ προσοχήν· καὶ νὰ σημειώνῃ τί εἶναι σαφὲς καὶ τί εἶναι ἀσαφές· τί ἀπὸ αὐτὰ φαίνεται νὰ εἶναι ἀντίθετον, ἐνῷ δὲν εἶναι· καὶ γενικῶς ἀφοῦ τὰ ἐρευνήσετε ὅλα, ἔτσι προετοιμασμένοι νὰ ἔρχεσθε διὰ νὰ ἀκούσετε.

Τὸ κέρδος ἀπὸ αὐτὴν τὴν προετοιμασίαν δὲν θὰ εἶναι μικρὸν οὔτε εἰς ἐσᾶς οὔτε εἰς ἐμᾶς. Διότι ἐμεῖς μὲν δὲν θὰ χρειαζώμεθα πολὺν κόπον διὰ νὰ καταστήσωμεν σαφῆ τὴν σημασίαν τῶν ὅσων λέγονται, ἀφοῦ ἡ διάνοιά σας θὰ εἶναι ἐξοικειωμένη μὲ τὴν γνῶσιν τοῦ κειμένου. Σεῖς δὲ μὲ τὸν τρόπον αὐτὸν θὰ γίνετε ταχεῖς καὶ ὀξυδερκεῖς, ὄχι μόνον εἰς τὴν ἀκρόασιν, οὔτε πρὸς τὴν ἐκμάθησιν, ἀλλὰ καὶ εἰς τὸ νὰ διδάξετε καὶ τοὺς ἄλλους.

Ἐπεί, ὥς γε νῦν οἱ πολλοὶ τῶν ἐνταῦθα παραγινομένων ἀκούουσιν, ὁμοῦ πάντα ἀναγκαζόμενοι μαθεῖν τά τε ῥήματα, τά τε παρ᾽ ἡμῶν εἰς αὐτὰ λεγόμενα, οὐδ᾽ ἄν, εἰ ἐνιαυτὸν ὅλον τοῦτο ποιοῦντες διατελοίημεν, μέγα τι καρπώσονται κέρδος. Πῶς γάρ, ὅταν ἐκ παρέργου καὶ ἐνταῦθα μόνον κατὰ τὸν βραχὺν τοῦτον τοῖς λεγομένοις σχολάζωσι καιρόν;

Εἰ δέ τινες πράγματα αἰτιῶνται καὶ φροντίδας, καὶ πολλὴν τήν τε τῶν πολιτικῶν καὶ τῶν ἰδιωτικῶν ἀσχολίαν, πρῶτον μὲν αὐτὸ τοῦτο ἔγκλημα οὐ μικρόν, τὸ κυκλοῦσθαι τοσούτων πραγμάτων πλήθει, καὶ τοῖς βιωτικοῖς οὕτω προσηλῶσθαι διὰ παντός, ὡς μηδὲ μικρὰν εἰς τὰ πάντων ἀναγκαιότερα ἄγειν σχολήν. Ἔπειτα ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, κατηγορήσαιεν ἂν αὐτῶν καὶ φίλων συνουσίαι, καὶ ἐν τοῖς θεάτροις διατριβαί, καὶ τὰ συνέδρια, ἅπερ θέας ἕνεκεν τῆς τῶν ἵππων ἁμίλλης ποιοῦνται, ἐν αἷς πολλάκις ἡμέρας ἀνήλωσαν ὁλοκλήρους, καὶ φίλοις συνεγένεσθε ἐπὶ πολύ, καὶ οὐδαμοῦ τὴν τῶν πραγμάτων ἀσχολίαν ᾐτιάσατό τις ἐν τούτοις αὐτῶν.

Εἶτα ἐν μὲν τοῖς εὐτελέσιν ἀπροφάσιστοι πανταχοῦ, καὶ σχολὴν ἄγειν βαθεῖαν δύνασθε· εἰ δὲ τοῖς τοῦ Θεοῦ δέοι προσέχειν, τοσοῦτον ὑμῖν ταῦτα περιττότερα καὶ ἀτιμότερα πάντων εἶναι δοκεῖ, ὡς μηδὲ μικρὰν οἴεσθαι δεῖν ἀπονέμειν αὐτοῖς σχολήν. Καὶ πῶς ἄξιον οὕτω διακειμένους ἀναπνεῖν, ἢ τὸν ἥλιον τοῦτον ὁρᾶν;

Ἔστι καὶ ἑτέρα πρόφασις τοῖς οὕτω ῥαθύμοις ἀλογωτάτη, τὸ μὴ κεκτῆσθαι, μηδὲ ἔχειν βιβλία. Καὶ πρὸς μὲν τοὺς πλουτοῦντας γέλως ὑπὲρ ταύτης ἡμᾶς ἀποτείνεσθαι τῆς προφάσεως, ἐπειδὴ δὲ τῶν πενεστέρων πολλοὺς οἶμαι κατα-

Διότι τώρα, καθὼς οἱ περισσότεροι ἀπὸ αὐτοὺς ποὺ ἔρχονται ἐδῶ ἀκούουν τὴν ὁμιλίαν, ἀναγκαζόμενοι νὰ τὰ μάθουν ὅλα μαζί, καὶ τὰ κείμενα καὶ ὅσα λέγονται ἀπὸ ἐμᾶς ἐπάνω εἰς αὐτά, δὲν θὰ ἠμπορέσουν νὰ ἀποκομίσουν μεγάλο κέρδος οὔτε καὶ ἂν ἀκόμη τὸ κάνωμεν αὐτὸ ἕνα ὁλόκληρον χρόνον. Διότι πῶς εἶναι δυνατὸν ὅταν παρέργως καὶ μόνον ἐδῶ κατὰ τὸ σύντομον αὐτὸ χρονικὸν διάστημα ἀσχολοῦνται μὲ τὰ λεγόμενα;

Ἐὰν δὲ μερικοὶ προβάλλουν ὡς δικαιολογίαν ὑποθέσεις καὶ φροντίδας καὶ πολλὰς κοινωνικὰς καὶ ἰδιωτικὰς ἀσχολίας· πρῶτον μὲν αὐτὸ εἶναι μεγάλο ἔγκλημα νὰ περικυκλώνωνται ἀπὸ τόσον ὄγκον ὑποθέσεων καὶ νὰ εἶναι προσηλωμένοι διαρκῶς τόσον πολὺ εἰς τὰ βιωτικὰ ζητήματα, ὥστε νὰ μὴ ἀφιερώνουν ὀλίγον χρόνον διὰ τὰ πιὸ ἀναγκαῖα ἀπὸ ὅλα. Ἔπειτα, ὅτι αὐτὰ εἶναι δικαιολογία καὶ πρόφασις, θὰ ἠμποροῦσαν νὰ τοὺς κατηγορήσουν καὶ τῶν φίλων αἱ συναναστροφαί, καὶ αἱ ἐπισκέψεις τῶν θεάτρων καὶ αἱ συναθροίσεις τὰς ὁποίας κάμνουν διὰ νὰ παρακολουθήσουν τὴν ἅμιλλαν τῶν ἵππων, εἰς τὰ ὁποῖα πολλὰς φορὰς καταναλώνουν ὁλοκλήρους ἡμέρας (καὶ φίλους συναναστρέφεσθε ἐπὶ πολὺν χρόνον) καὶ πουθενὰ δὲν προέβαλε κανεὶς ὡς δικαιολογίαν εἰς αὐτὰ τὴν ἀπασχόλησίν του μὲ ὑποθέσεις.

Ἔπειτα, εἰς μὲν τὰ εὐτελῆ πηγαίνετε παντοῦ χωρὶς πρόφασιν καὶ ἠμπορεῖτε νὰ κάνετε μεγάλην διακοπήν. Ὅταν δὲ πρέπει νὰ προσέξετε εἰς τὰ τοῦ Θεοῦ, τόσον πολὺ σᾶς φαίνονται ὅτι εἶναι πιὸ περιττὰ καὶ ταπεινά, ὥστε νὰ νομίζετε ὅτι δὲν πρέπει νὰ ἀφιερώνετε οὔτε ὀλίγον χρόνον δι᾽ αὐτά. Καὶ πῶς εἶναι δυνατὸν ζῶντες ἔτσι νὰ ἀναπνέετε ἢ νὰ βλέπετε αὐτὸν τὸν ἥλιον;

Ὑπάρχει καὶ ἄλλη πρόφασις πολὺ πιὸ παράλογος εἰς τοὺς πολὺ ραθύμους, τὸ ὅτι δὲν ἔχουν βιβλία. Καὶ διὰ μὲν τοὺς πλουσίους εἶναι γελοῖον νὰ ἀπαντήσωμεν εἰς τὴν δικαιολογίαν αὐτήν. Ἐπειδὴ ὅμως νομίζω ὅτι πολλοὶ ἀπὸ τοὺς πιὸ πτωχοὺς κάνουν συνεχῶς κατάχρησιν αὐτῆς, θὰ

κεχρῆσθαι αὐτῇ συνεχῶς, ἐκεῖνο ἂν ἡδέως ἐροίμην αὐτούς· Εἰ μὴ πάντα τὰ τῆς τέχνης ὄργανα, ἧς ἕκαστός ἐστι δημιουργός, πλήρη καὶ ὁλόκληρα ἔχει, κἂν μυρία κωλύῃ πενία. Πῶς οὖν οὐκ ἄτοπον ἐκεῖ μὲν μὴ αἰτιᾶσθαι πενίαν, ἀλλὰ πάντα πράττειν πρὸς τὸ μηδὲν γενέσθαι ἐμπόδιον μηδαμόθεν, μέλλοντας δὲ τοσαύτην ὠφέλειαν καρποῦσθαι, ἀσχολίαν ἀποδύρεσθαι καὶ πενίαν;

Πλὴν ἀλλά, καὶ εἴ τινες οὕτω πένητες εἶεν, ἔνεστιν ἐκ τῆς συνεχοῦς ἐνταῦθα γινομένης ἀναγνώσεως μηδὲν ἀγνοεῖν τῶν ἐγκειμένων ἐν ταῖς θείαις Γραφαῖς. Εἰ δὲ ἀδύνατον ὑμῖν τοῦτο εἶναι δοκεῖ, εἰκότως τοῦτο δοκεῖ· οὐδὲ γὰρ μετὰ πολλῆς πολλοὶ παραγίνονται τῆς προθυμίας τῶν λεγομένων ἀκροασόμενοι, ἀλλὰ αὐτὸ τοῦτο μόνον ἀφοσιωσάμενοι πρὸς τὴν ἡμέραν, εὐθέως ὑποστρέφουσιν οἴκαδε. Εἰ δέ τινες καὶ ἐνδιατρίψαιεν, τῶν ἀναχωρησάντων οὐδὲν ἄμεινον διάκεινται, τῷ σώματι μόνον ἐνταῦθα παρόντες ἡμῖν.

Ἀλλ' ἵνα μὴ ἐπὶ πλέον ταῖς αἰτίαις ὑμᾶς βαρύνωμεν, καὶ ἐν ταῖς μέμψεσι τὸν καιρὸν ἀναλώσωμεν ἅπαντα, ἴωμεν ἐπὶ τὰ τοῦ Εὐαγγελίου ῥήματα· ὥρα γὰρ λοιπὸν εἰς τὰ προκείμενα καθεῖναι τὸν λόγον. Ἀλλὰ διανάστητε, ὥστε μηδὲν ὑμᾶς τῶν λεγομένων παρελθεῖν. «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο», φησί, «καὶ ἐσκήνωσεν ἐν ἡμῖν». Εἰπὼν ὅτι ἐκ Θεοῦ ἐγεννήθησαν οἱ λαβόντες αὐτόν, καὶ τέκνα Θεοῦ γεγόνασι, τῆς ἀφάτου ταύτης τιμῆς τίθησι τὴν αἰτίαν καὶ τὴν ὑπόθεσιν. Αὕτη δέ ἐστι τὸ γενέσθαι σάρκα τὸν Λόγον, καὶ τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν τὸν Δεσπότην. Ἐγένετο γὰρ Υἱὸς ἀνθρώπου, Θεοῦ γνήσιος ὢν Υἱός, ἵνα τοὺς τῶν ἀνθρώπων υἱοὺς τέκνα ποιήσῃ Θεοῦ. Τὸ γὰρ ὑψηλόν, τῷ ταπεινῷ προσομιλοῦν, αὐτὸ μὲν οὐδὲν εἰς τὴν οἰκείαν παραβλάπτεται δόξαν, ἐκεῖνο δὲ ἀπὸ τῆς πολλῆς ἀνίστησι ταπεινότητος.

τοὺς ἐρωτοῦσα εὐχαρίστως τοῦτο, ἐὰν ὁ καθένας δὲν ἔχῃ ὅλα τὰ ἐργαλεῖα τῆς τέχνης τὴν ὁποίαν ἀσκεῖ πλήρη καὶ κανονικά, ἔστω καὶ ἡ πενία τοῦ προβάλλει μύρια ἐμπόδια. Πῶς λοιπὸν δὲν εἶναι παράλογον ἐκεῖ μὲν νὰ μὴ προβάλλουν ὡς δικαιολογίαν τὴν πενίαν, ἀλλὰ νὰ κάνουν τὸ πᾶν διὰ νὰ μὴ γίνῃ τίποτε ἀπὸ καμμίαν ἄποψιν ἐμπόδιον· ὅταν δὲ πρόκειται νὰ ἀποκομίσουν τόσην ὠφέλειαν νὰ μεμψιμοιροῦν ἐπικαλούμενοι τὰς ἀσχολίας καὶ τὴν πενίαν;

Ἀλλὰ καὶ ἐὰν ἀκόμη μερικοὶ εἶναι τόσον πτωχοί, εἶναι δυνατὸν ἀπὸ τὴν ἀνάγνωσιν ποὺ γίνεται ἐδῶ συνεχῶς νὰ μὴ ἀγνοοῦν τίποτε ἀπὸ ὅσα ὑπάρχουν εἰς τὰς θείας Γραφάς. Ἐὰν δὲ τοῦτο σᾶς φαίνεται ὅτι εἶναι ἀδύνατον, ὀρθῶς σᾶς φαίνεται ἔτσι. Διότι πολλοὶ δὲν ἔρχονται μὲ μεγάλην προθυμίαν νὰ ἀκούσουν τὰ λεγόμενα, ἀλλὰ ἀφοῦ παρακολουθήσουν μόνον αὐτὸ κατὰ τὴν ἡμέραν, ἀμέσως ἐπιστρέφουν εἰς τὰς οἰκίας. Ἂν δὲ μερικοὶ παραμένουν, δὲν εἶναι καλύτεροι ἀπὸ ἐκείνους ποὺ ἀναχωροῦν, διότι μόνον μὲ τὸ σῶμά των εἶναι ἐδῶ εἰς ἐμᾶς παρόντες.

Ἀλλὰ διὰ νὰ μὴ σᾶς κουράζωμεν μὲ τὰς δικαιολογίας καὶ καταναλώσωμεν ὅλον τὸν χρόνον μὲ τὰς κατηγορίας, ἂς ἔλθωμεν εἰς τὰ λόγια τοῦ εὐαγγελίου. Εἶναι καιρὸς λοιπὸν νὰ μεταφέρωμεν τὸν λόγον εἰς τὸ θέμα μας. Προσέξετε ὅμως διὰ νὰ μὴ σᾶς ξεφύγῃ τίποτε ἀπὸ ὅσα θὰ εἰπωθοῦν. «Καὶ ὁ Λόγος ἐσαρκώθη», λέγει, «καὶ κατεσκήνωσε μεταξύ μας». Ἀφοῦ εἶπεν ὅτι ἀπὸ τὸν Θεὸν ἐγεννήθησαν ὅσοι τὸν ἐδέχθησαν, καὶ ὅτι ἔγιναν παιδιὰ τοῦ Θεοῦ, ἐκθέτει τώρα τὴν αἰτίαν καὶ τὴν προϋπόθεσιν τῆς ἀπεριγράπτου αὐτῆς τιμῆς. Αὐτὴ δὲ εἶναι τὸ ὅτι ὁ Λόγος ἐσαρκώθη καὶ ἔλαβε τὴν μορφὴν τοῦ δούλου ὁ Δεσπότης. Ἔγινε δὲ Υἱὸς ἀνθρώπου, ἐνῷ ἦτο γνήσιος Υἱὸς Θεοῦ, διὰ νὰ κάνῃ τοὺς υἱοὺς τῶν ἀνθρώπων παιδιὰ τοῦ Θεοῦ. Διότι τὸ ὑψηλὸν ὅταν ἔρχεται εἰς ἐπαφὴν μὲ τὸ ταπεινόν, αὐτὸ μὲν δὲν χάνει τίποτε ἀπὸ τὴν δόξαν του, ἐκεῖνο δὲ τὸ σηκώνει ἀπὸ τὴν ταπείνωσίν του.

Ὅπερ οὖν καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε. Τήν τε γὰρ ἰδίαν φύσιν οὐδὲν ἀπὸ ταύτης ἠλάττωσε τῆς καταβάσεως, ἡμᾶς τε, τοὺς διὰ παντὸς ἐν ἀδοξίᾳ καθημένους καὶ σκότῳ, πρὸς δόξαν ἄφατον ἀνήγαγεν. Οὕτω που καὶ βασιλεύς, πτωχῷ καὶ πένητι διαλεγόμενος μετὰ σπουδῆς καὶ εὐνοίας, ἑαυτὸν μὲν οὐδὲν ᾔσχυνεν, ἐκεῖνον δὲ παρὰ πᾶσι περίβλεπτον ἐποίησεν εἶναι καὶ λαμπρόν.

Εἰ δὲ ἐπὶ τῆς ἐπεισάκτου τῶν ἀνθρώπων ἀξίας οὐδὲν τὸ ἐντιμότερον ἡ πρὸς τὸν εὐτελέστερον ὁμιλία παρέβλαψε, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀκηράτου καὶ μακαρίας ἐκείνης οὐσίας, τῆς ἐπείσακτον μὲν ἐχούσης οὐδέν, οὐδὲ γινόμενον καὶ ἀπογινόμενον, πάντα δὲ κεκτημένης ἀκίνητα καὶ πεπηγότα εἰς τέλος τὰ ἀγαθά. Ὥστε, ὅταν ἀκούσῃς ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο», μὴ θορυβηθῇς, μηδὲ καταπέσῃς. Οὐδὲ γὰρ ἡ οὐσία μετέπεσεν εἰς σάρκα (τοῦτο γὰρ ὄντως ἀσεβές ἐστι καὶ ἐννοῆσαι), ἀλλὰ μένουσα ὅπερ ἐστίν, οὕτω τοῦ δούλου τὴν μορφὴν ἀνέλαβε.

2. Τίνος οὖν ἕνεκεν τῷ «ἐγένετο» κέχρηται ῥήματι; Τὰ τῶν αἱρετικῶν ἐμφράττων στόματα. Ἐπειδὴ γάρ εἰσιν οἱ λέγοντες ὅτι φαντασία τις ἦν καὶ ὑπόκρισις καὶ ὑπόνοια τὰ τῆς οἰκονομίας ἅπαντα, ἄνωθεν αὐτῶν προαναιρῶν τὴν βλασφημίαν, τὸ «ἐγένετο» τέθεικεν, οὐ μεταβολὴν οὐσίας, ἄπαγε, ἀλλὰ σαρκὸς ἀληθινῆς ἀνάληψιν παραστῆσαι βουλόμενος· ὥσπερ γάρ, ὅταν λέγῃ· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάραν», οὐ τοῦτό φησιν, ὅτι ἡ οὐσία αὐτοῦ, τῆς οἰκείας ἀποστᾶσα δόξης, εἰς κατάραν οὐσιώδη· τοῦτο γὰρ οὐδ' ἂν δαίμονες ἐννοήσαιεν, οὔτε οἱ σφόδρα ἀνόητοι καὶ τῶν κατὰ φύσιν ἀπεστερημένοι φρενῶν· τοσαύτην ἔχει μετὰ τῆς ἀσεβείας καὶ τὴν παράνοιαν· οὐ δὴ τοῦτο οὖν λέγει, ἀλλ' ὅτι, τὴν καθ' ἡμῶν κατάραν δεξάμενος, οὐκ ἀφίησιν ἡμᾶς ἐπαράτους εἶναι λοιπόν.

1. Γαλ. 3, 13.

Αὐτὸ λοιπὸν συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Χριστοῦ. Διότι καὶ τὴν ἰδικήν του φύσιν δὲν τὴν ἐμείωσε μὲ τὴν συγκατάβασιν, καὶ ἐμᾶς οἱ ὁποῖοι εὑρισκόμεθα διαρκῶς εἰς τὴν ἀτιμίαν καὶ τὸ σκότος, μᾶς ἀνέβασεν εἰς δόξαν ἀπερίγραπτον. Ἔτσι περίπου καὶ ἕνας βασιλεύς, ὅταν ὁμιλῇ μὲ ἕνα πτωχὸν καὶ πένητα μὲ ἐνδιαφέρον καὶ εὔνοιαν, τὸν μὲν ἑαυτόν του δὲν τὸν καταισχύνει, ἐνῷ ἐκεῖνον τὸν κάνῃ νὰ εἶναι ἐπιφανὴς εἰς ὅλους καὶ ἔνδοξος.

Ἐὰν δὲ εἰς τὴν ἐπιφανειακὴν ἀξίαν τῶν ἀνθρώπων, δὲν βλάπτῃ καθόλου τὸν ἐντιμότερον ἡ συναναστροφὴ μὲ τὸν εὐτελέστερον, πολὺ περισσότερον εἰς τὴν ἄσπιλον ἐκείνην καὶ μακαρίαν οὐσίαν, ἡ ὁποία δὲν ἔχει τίποτε τὸ ἐξωτερικόν, οὔτε τίποτε τὸ ὁποῖον γίνεται ἢ παύει νὰ ὑπάρχῃ, ἔχει δὲ ὅλα τὰ ἀγαθὰ σταθερὰ καὶ ἀμετακίνητα. Ὥστε ὅταν ἀκούῃς ὅτι «ὁ Λόγος ἐσαρκώθη» νὰ μὴ θορυβῆσαι οὔτε νὰ καταρρέῃς. Διότι ἡ οὐσία δὲν μετεβλήθη εἰς σάρκα (αὐτὸ εἶναι ἀσεβὲς καὶ νὰ τὸ σκεφθῇ κανείς), ἀλλὰ παραμένουσα ὅ,τι εἶναι, προσέλαβε τὴν μορφὴν τοῦ δούλου.

2. Διατί ὅμως χρησιμοποιεῖ τὸ ρῆμα «ἐγένετο»; Διὰ νὰ φράξῃ τὰ στόματα τῶν αἱρετικῶν. Ἐπειδὴ ὑπάρχουν ἐκεῖνοι οἱ ὁποῖοι λέγουν ὅτι ὅλα τὰ γεγονότα τῆς θείας οἰκονομίας ἦσαν μία φαντασία καὶ προσποίησις καὶ ὑποψία, διὰ νὰ ἀναιρέσῃ ἐκ τῶν προτέρων τὴν βλασφημίαν τους ἐχρησιμοποίησε τὸ «ἐγένετο», θέλων νὰ ἐκφράσῃ ὄχι μεταβολὴν τῆς οὐσίας, πρὸς Θεοῦ, ἀλλὰ ὅτι προσέλαβεν ἀληθινὴν σάρκα. Ὅπως ὅταν λέγῃ· «Ὁ Χριστὸς μᾶς ἐξηγόρασεν ἀπὸ τὴν κατάραν τοῦ νόμου μὲ τὸ νὰ γίνῃ ὁ ἴδιος κατάρα πρὸς χάριν μας»[1], δὲν ἐννοεῖ ὅτι ἡ οὐσία του ἀπεχωρίσθη τὴν δόξαν της καὶ μετουσιώθη εἰς κατάραν· διότι αὐτὸ οὔτε οἱ δαίμονες δὲν θὰ τὸ ἐσκέπτοντο, οὔτε οἱ πολὺ ἀνόητοι καὶ στερημένοι τῶν φυσικῶν φρενῶν — τόσον μεγάλην ἀνοησίαν μαζὶ μὲ τὴν ἀσέβειαν περιέχει —, δὲν ἐννοεῖ αὐτὸ λοιπόν, ἀλλὰ ὅτι δεχθεὶς τὴν ἐναντίον μας κατάραν, δὲν μᾶς ἀφήνει νὰ εἴμεθα πλέον ἐπικατάρατοι.

Οὕτω δὴ καὶ ἐνταῦθα σάρκα, φησίν, αὐτὸν γενέσθαι, οὐ μεταβαλόντα εἰς σάρκα τὴν οὐσίαν, ἀλλ' ἀναλαβόντα αὐτήν, ἀνεπάφου μενούσης ἐκείνης. Εἰ δὲ λέγοιεν ὅτι, Θεὸς ὤν, ἅπαντα δύναται, ὥστε καὶ εἰς σάρκα μεταπεσεῖν ἐδύνατο, ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι πάντα δύναται, ἕως ἂν μένῃ Θεὸς ὤν· εἰ δὲ μεταβολὴν ἐδέξατο, καὶ μεταβολὴν ἐπὶ τὸ χεῖρον, πῶς ἂν εἴη Θεός; Τὸ γὰρ μεταβάλλεσθαι πόρρω τῆς ἀκηράτου φύσεως ἐκείνης. Διὸ καὶ ὁ Προφήτης ἔλεγε· «Πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν». Πάσης γὰρ ἀνωτέρα μεταβολῆς ἡ οὐσία αὕτη· οὔτε γάρ κρεῖττόν τί ἐστιν αὐτοῦ, ὥστε προκόψαντα αὐτὸν ἐπὶ τοῦτο ἐλθεῖν. Τί λέγω κρεῖττον; Οὐδὲν ἴσον, οὐδὲ μικρὸν ἐγγύς. Οὐκοῦν λείπεται τὴν ἐπὶ τὸ χεῖρον αὐτὸν δέξασθαι μεταβολήν, εἴ γε μεταβάλλοιτο. Τοῦτο δὲ οὐκ ἂν εἴη Θεός. Ἀλλ' ἡ βλασφημία τραπείη εἰς τὴν τῶν ταῦτα λεγόντων κεφαλήν.

Ὅτι γὰρ διὰ τοῦτο μόνον εἴρηται τὸ «ἐγένετο», ἵνα μὴ φαντασίαν ὑπολάβῃς, σκόπει διὰ τῶν ἑξῆς πῶς ἐκκαθαίρει τὸν λόγον, καὶ τὴν ὑπόνοιαν ἀνατρέπει τὴν πονηράν. Ἐπήγαγε γάρ· «Καὶ ἐσκήνωσεν ἐν ἡμῖν», μονονουχὶ λέγων· Μηδὲν ἄτοπον ὑποπτεύσῃς ἀπὸ τοῦ «ἐγένετο»· οὐ γὰρ τροπὴν εἶπον τῆς ἀτρέπτου φύσεως ἐκείνης, ἀλλὰ σκήνωσιν καὶ κατοίκησιν. Τὸ δὲ σκηνοῦν οὐ ταὐτὸν ἂν εἴη τῇ σκηνῇ, ἀλλ' ἕτερον· ἕτερον γὰρ ἐν ἑτέρῳ σκηνοῖ· ἐπεὶ οὐδ' ἂν εἴη σκήνωσις· οὐδὲν γὰρ ἐν ἑαυτῷ κατοικεῖ. Ἕτερον δὲ εἶπον κατὰ τὴν οὐσίαν· τῇ γὰρ ἑνώσει καὶ τῇ συναφείᾳ ἕν ἐστιν ὁ Θεὸς Λόγος καὶ ἡ σάρξ, οὐ συγχύσεως γενομένης, οὐδὲ ἀφανι-

2. Ψαλμ. 101, 27 καὶ Ἑβρ. 1, 11.

Ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅταν λέγῃ ὅτι ἔγινε σάρκα, δὲν ἐννοεῖ ὅτι μετέβαλε τὴν οὐσίαν του εἰς σάρκα, ἀλλ' ὅτι τὴν προσέλαβεν ἐνῷ ἡ οὐσία του παρέμεινεν ἀνέπαφος. Ἐὰν δὲ ἰσχυρίζωνται ὅτι ὡσὰν Θεὸς ποὺ εἶναι τὰ ἠμπορεῖ ὅλα καὶ ἐπομένως ὅτι ἠμποροῦσε νὰ μεταπέσῃ καὶ εἰς σάρκα, τοὺς λέγομεν τοῦτο, ὅτι ὅλα τὰ ἠμπορεῖ ἕως ὅτου ἐξακολουθεῖ νὰ εἶναι Θεός. Ἐὰν ὅμως ἐδέχθη μεταβολὴν καὶ μεταβολὴν πρὸς τὰ χειρότερα, πῶς ἠμπορεῖ νὰ εἶναι Θεός; Διότι ἡ μεταβολὴ εἶναι ξένη ἀπὸ τὴν ἄσπιλον ἐκείνην φύσιν. Δι' αὐτὸ καὶ ὁ προφήτης ἔλεγεν· «Ὅλοι θὰ παλαιώσουν ὡσὰν ἔνδυμα καὶ ὡσὰν μανδύαν θὰ τοὺς τυλίξῃς καὶ θὰ μεταβληθοῦν. Σὺ ὅμως εἶσαι ὁ ἴδιος καὶ τὰ ἔτη σου δὲν θὰ τελειώσουν ποτέ»[2]. Διότι ἡ οὐσία τοῦ Θεοῦ εἶναι ὑπεράνω πάσης μεταβολῆς· οὔτε δὲ ὑπάρχει κάτι ἀνώτερον ἀπὸ αὐτόν, ὥστε νὰ προοδεύσῃ καὶ νὰ φθάσῃ εἰς αὐτό. Ἀλλὰ τί λέγω ἀνώτερον; Τίποτε δὲν εἶναι ἴσον, οὔτε ὀλίγον μικρότερον. Ἑπομένως ἀποκλείεται αὐτὸς νὰ δεχθῇ μεταβολὴν πρὸς τὸ χειρότερον, ἐὰν βεβαίως μεταβληθῇ. Αὐτὸ ὅμως δὲν θὰ εἶναι Θεός. Ἀλλὰ ἡ βλασφημία ἂς στραφῇ ἐναντίον τῆς κεφαλῆς ἐκείνων οἱ ὁποῖοι τὰ λέγουν αὐτά.

Ὅτι δὲ μόνον δι' αὐτὸ ἐλέχθη τὸ «ἐγένετο», διὰ νὰ μὴ τὸν ὑποθέσῃς φάντασμα, πρόσεξε πῶς μὲ τὰ παρακάτω ἀποσαφηνίζει τὸν λόγον καὶ ἀνατρέπει τὴν πονηρὰν ὑπόνοιαν. Διότι προσθέτει· «καὶ κατεσκήνωσε μεταξύ μας», ὡσὰν νὰ λέγῃ μὴ ὑποψιασθῇς τίποτε τὸ ἄτοπον ἀπὸ τὸ «ἐγένετο». Διότι δὲν εἶπα μετατροπὴν τῆς φύσεως ἐκείνης ποὺ εἶναι ἀμετάτρεπτος, ἀλλὰ κατασκήνωσιν καὶ κατοίκησιν. Τὸ δὲ κατασκηνώνω δὲν ταυτίζεται μὲ τὴν σκηνήν, ἀλλ' εἶναι ἄλλο. Διότι ἄλλο πρᾶγμα κατασκηνώνει εἰς ἄλλο. Ἀλλιῶς δὲν θὰ εἶναι κατασκήνωσις, διότι τίποτε δὲν κατοικεῖ μέσα εἰς τὸν ἑαυτόν του. Ἄλλο δὲ ἐννοῶ κατὰ τὴν οὐσίαν· διότι ὡς πρὸς τὴν ἕνωσιν καὶ τὴν συνάφειαν εἶναι ἕνα ὁ Θεὸς Λόγος καὶ ἡ σάρξ, χωρὶς νὰ γίνῃ σύγχυσις οὔτε ἐξαφάνισις τῶν οὐσιῶν των, ἀλλὰ ἕνωσις ἄρρητος καὶ ἀνέκφραστος. Τὸ

σμοῦ τῶν οὐσιῶν, ἀλλ' ἑνώσεως ἀρρήτου τινὸς καὶ ἀφράστου. Τὸ δὲ ὅπως, μὴ ζήτει· ἐγένετο γάρ, ὡς οἶδεν αὐτός.

Τίς οὖν ἐστιν ἡ σκηνή, ἣν κατεσκήνωσεν; Ἄκουσον τοῦ Προφήτου λέγοντος· «Ἀναστήσω τὴν σκηνὴν Δαυῒδ τὴν πεπτωκυῖαν». Πεπτώκει γὰρ ὄντως, πεπτώκει πτῶμα ἀνίατον ἡ φύσις ἡ ἡμετέρα, καὶ τῆς κραταιᾶς ἐκείνης ἐδεῖτο μόνης χειρός· οὐδὲ γὰρ ἦν ἑτέρως ἀναστῆναι αὐτήν, μὴ τοῦ τὴν ἀρχὴν διαπλάσαντος αὐτῇ χεῖρα ὀρέξαντος, καὶ διατυπώσαντος ἄνωθεν τῇ δι' ὕδατος ἀναγεννήσει καὶ Πνεύματος.

Καὶ θέα μοι τὸ φρικτὸν καὶ ἀπόρρητον τοῦ μυστηρίου. Διὰ παντὸς κατοικεῖ τὴν σκηνήν· τὴν γὰρ σάρκα τὴν ἡμετέραν περιεβάλετο, οὐχ ὡς πάλιν αὐτὴν ἀφήσων, ἀλλ' ὡς διὰ παντὸς ἕξων μεθ' ἑαυτοῦ. Οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, καὶ τοῦ θρόνου κατηξίωσεν αὐτὴν τοῦ βασιλικοῦ, καὶ φορῶν αὐτὴν προσεκυνεῖτο ὑπὸ πάσης τῆς ἄνω στρατιᾶς, ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν. Ποῖος λόγος, ποία διάνοια τὴν τοσαύτην τιμήν, τὴν εἰς τὸ γένος γεγενημένην τὸ ἡμέτερον, τὴν ὄντως ὑπερφυᾶ καὶ φρικτὴν παραστῆσαι δυνήσεται; τίς ἄγγελος; τίς ἀρχάγγελος; Οὐδεὶς οὐδαμοῦ οὐ τῶν ἐν οὐρανῷ, οὐ τῶν ἐπὶ τῆς γῆς. Τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ κατορθώματα, καὶ οὕτω μεγάλαι καὶ ὑπερφυεῖς αἱ εὐεργεσίαι αὐτοῦ, ὡς μὴ μόνον ἀνθρωπίνην γλῶτταν, ἀλλὰ καὶ ἀγγελικὴν δύναμιν ὑπερβαίνειν αὐτῶν τὴν ἀκριβῆ διήγησιν.

Διὸ καὶ ἡμεῖς εἰς σιγὴν τέως τὸν λόγον κατακλείσομεν, τοσοῦτον ὑμῖν παρεγγυήσαντες, ἀμείψασθαι τὸν τηλικοῦτον ἡμῶν εὐεργέτην ἀμοιβαῖς, αἳ πάλιν εἰς ἡμᾶς τὸ κέρδος περιστήσουσιν ἅπαν! Αὗται δέ εἰσι τὸ τῆς ψυχῆς ἡμᾶς μετὰ ἀκριβείας ἐπιμελεῖσθαι τῆς ἡμετέρας. Καὶ γὰρ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας ἔργον, τὸ μηδενὸς ἐν χρείᾳ τῶν

---

3. Ἀμὼς 9, 11.

πῶς ἔγινεν ὅμως μὴ ζητῇς νὰ τὸ μάθῃς· διότι ἔγινεν ὅπως ἐκεῖνος ἐγνώριζε.

Ποία λοιπὸν εἶναι ἡ σκηνὴ εἰς τὴν ὁποίαν κατεσκήνωσεν; Ἄκουσε τὸν προφήτην ποὺ λέγει· «Θὰ ἀναστήσω τὴν πεσμένην σκηνὴν τοῦ Δαβίδ»[3]· διότι πράγματι εἶχε πέσει, εἶχε πέσει πτῶμα ἀθεράπευτον ἡ φύσις ἡ ἰδική μας καὶ εἶχεν ἀνάγκην ἐκείνης μόνον τῆς ἰσχυρᾶς χειρός. Οὔτε ἄλλως τε ἦτο δυνατὸν νὰ ἀνασταθῇ μὲ ἄλλον τρόπον, χωρὶς νὰ τὴν πιάσῃ μὲ τὸ χέρι ποὺ τὴν εἶχε πλάσει εἰς τὴν ἀρχὴν καὶ νὰ τὴν διαμορφώσῃ μὲ τὴν ἄνωθεν ἀναγέννησιν δι' ὕδατος καὶ πνεύματος.

Καὶ πρόσεξε τὸ φρικτὸν καὶ ἀπόρρητον μυστήριον. Τὴν σκηνὴν τὴν κατοικεῖ παντοτεινά. Δὲν περιεβλήθη τὴν σάρκα τὴν ἰδικήν μας διὰ νὰ τὴν ἀφήσῃ πάλιν, ἀλλὰ διὰ νὰ τὴν ἔχῃ παντοτεινὰ μαζί του. Διότι, ἐὰν δὲν συνέβαινεν αὐτό, δὲν θὰ τὴν ἔκανεν ἀξίαν καὶ τοῦ βασιλικοῦ θρόνου καὶ δὲν θὰ ἐπροσκυνεῖτο φέρων αὐτὴν ἀπὸ ὁλόκληρον τὴν ἄνω στρατιὰν τῶν ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν καὶ ἐξουσιῶν. Ποῖος λόγος, ποία διάνοια ἠμπορεῖ νὰ παραστήσῃ τὴν τόσον μεγάλην τιμὴν ἡ ὁποία ἔγινεν εἰς τὸ γένος μας καὶ εἶναι πράγματι ὑπερφυσικὴ καὶ φρικτή; Ποῖος ἄγγελος; Ποῖος ἀρχάγγελος; Κανεὶς πουθενά, οὔτε εἰς τὸν οὐρανὸν οὔτε εἰς τὴν γῆν. Διότι τὰ κατορθώματα τοῦ Θεοῦ εἶναι τέτοια καὶ τόσον μεγάλαι καὶ ὑπερφυσικαὶ αἱ εὐεργεσίαι του, ὥστε ἡ λεπτομερὴς διήγησίς των νὰ ὑπερβαίνῃ ὄχι μόνον τὴν ἀνθρωπίνην γλῶσσαν, ἀλλὰ καὶ τὴν ἀγγελικὴν δύναμιν.

Δι' αὐτὸ καὶ ἐμεῖς ἂς κατακλείσωμεν ἀμέσως τὸν λόγον μὲ σιγήν, ἀφοῦ σᾶς παρακαλέσωμεν νὰ ἀνταμείψετε τὸν τόσον μεγάλον εὐεργέτην μὲ ἀμοιβὰς αἱ ὁποῖαι θὰ ἐπιστρέψουν πάλιν ὅλον τὸ κέρδος εἰς ἐμᾶς. Εἶναι δὲ αἱ ἀμοιβαὶ αὐταὶ τὸ νὰ φροντίσωμεν μὲ προσοχὴν διὰ τὴν ἰδικήν μας ψυχήν. Διότι καὶ αὐτὸ εἶναι ἔργον τῆς φιλανθρωπίας του, τὸ ὅτι, ἐνῷ δὲν ἔχει καμμίαν ἀνάγκην ἀπὸ τὰ ἰδικά μας, λέ-

ἡμετέρων καθεστηκότα αὐτὸν λέγειν κομίζεσθαι τὰς ἀμοιβάς, ὅταν ἡμεῖς τῆς ψυχῆς ἐπιμελώμεθα τῆς ἑαυτῶν.

Διὸ καὶ ἐσχάτης ἀνοίας καὶ μυρίων κολάσεων ἄξιον τό, τοσαύτης ἀπολελαυκότας τιμῆς, μηδὲ τὰ κατὰ δύναμιν εἰσενεγκεῖν, καὶ ταῦτα τῆς ἐκ τούτων ὠφελείας εἰς ἡμᾶς περιερχομένης πάλιν, καὶ μυρίων ἐπὶ τούτοις κειμένων ἡμῖν ἀγαθῶν. Ὑπὲρ δὴ τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ φιλανθρώπῳ Θεῷ μὴ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον διὰ τῶν πραγμάτων, ἵνα καὶ τῶν μετὰ ταῦτα τύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γει ὅτι αὐτὸς εἰσπράττει τὰς ἀμοιβάς, ὅταν ἐμεῖς φροντίζωμεν τὴν ψυχήν μας.

Δι' αὐτὸ καὶ εἶναι ἀντάξιον ἐσχάτης τρέλλας καὶ μυρίων κολάσεων, τὸ ὅτι, ἐνῷ ἀπηλαύσαμεν τόσης τιμῆς, νὰ μὴ προσφέρωμεν οὔτε ὅσα μᾶς εἶναι δυνατόν· καὶ αὐτό, τὴν στιγμὴν καθ' ἣν ἡ ἐκ τούτων ὠφέλεια θὰ περιέλθῃ πάλιν εἰς ἡμᾶς καὶ ἐπὶ πλέον μᾶς ἀναμένουν μύρια ἀγαθά. Δι' ὅλα αὐτὰ λοιπὸν ἂς ἀπευθύνωμεν δοξολογίαν εἰς τὸν φιλάνθρωπον Θεόν, ὄχι μόνον μὲ λόγια, ἀλλὰ πολὺ περισσότερον μὲ ἔργα, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ κατοπινὰ ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΒ΄.

'Ιω. 1, 14

«*Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· πλήρης χάριτος καὶ ἀληθείας*».

1. Τάχα πέρα τοῦ δέοντος ἐφάνημεν ὑμῖν ἐπαχθεῖς καὶ φορτικοὶ πρώην, πληκτικωτέρῳ χρησάμενοι τῷ λόγῳ, καὶ μακρὰν κατὰ τῆς τῶν πολλῶν ῥᾳθυμίας ἐποτείναντες τὴν κατηγορίαν. Ἀλλά, εἰ μέν, αὐτὸ τοῦτο λυπῆσαι προελόμενοι μόνον ὑμᾶς, ταῦτα ἐπράττομεν, εἰκότως ἂν ἕκαστος ἐδυσχέραινεν· εἰ δέ, πρὸς τὸ συμφέρον ὑμῶν βλέποντες, τὴν ἐν τοῖς λόγοις χάριν παρείδομεν, εἰ καὶ μὴ ἀποδέξασθαι βούλεσθε τῆς προμηθείας ἡμᾶς, ἀλλὰ συγγνῶναι τῆς τοσαύτης ἂν εἴητε δίκαιοι φιλοστοργίας· καὶ γὰρ καὶ σφόδρα δεδοίκαμεν, μή ποτε, σπουδαζόντων μὲν ἡμῶν, ὑμῶν δὲ οὐκ ἐθελόντων τὴν αὐτὴν ἐπιδείξασθαι περὶ τὴν ἀκρόασιν φιλοπονίαν, αἱ τῶν μελλόντων εὐθῦναι χαλεπώτεραι γένωνται.

Διὸ συνεχῶς ἀναγκαζόμεθα διεγείρειν τε ὑμᾶς καὶ ἀφυπνίζειν, ὥστε μηδὲν τῶν λεγομένων παραρρυῆναι· οὕτω γὰρ ὑμῖν μετὰ πολλῆς παρρησίας νῦν τε ἐξέσται βιῶναι, καὶ κατ' ἐκείνην τὴν ἡμέραν παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ. Ἐπεὶ οὖν ἱκανῶς ὑμῶν καθηψάμεθα πρώην, φέρε τήμερον ἐκ προοιμίων εἰς αὐτὰς τὰς ῥήσεις ἐμβάλωμεν.

«Καὶ ἐθεασάμεθα» γάρ, φησί, «τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός». Εἰπὼν ὅτι Θεοῦ τέκνα γεγόναμεν καὶ δείξας οὐκ ἄλλως ἢ τῷ τὸν Λόγον σάρκα γενέσθαι πάλιν αὐτοῦ τούτου λέγει καὶ ἕτερον κέρδος. Τί δὲ τοῦτό ἐστιν; «Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μο-

ΟΜΙΛΙΑ ΙΒ΄.

Ἰω. 1, 14

«Καὶ εἴδαμεν τὴν δόξαν του, δόξαν ποὺ ἔχει ἕνας μονογενὴς Υἱὸς ἀπὸ τὸν Πατέρα, γεμᾶτος χάριν καὶ ἀλήθειαν».

1. Ἴσως σᾶς ἐφανήκαμεν πέρα ἀπὸ ὅσον ἔπρεπε ἐνοχλητικοὶ καὶ φορτικοί, ἐπειδὴ ἐχρησιμοποιήσαμεν αὐστηρὸν τόνον καὶ ἐξηκοντίσαμεν μακρὰν κατηγορίαν ἐναντίον τῆς ραθυμίας τῶν περισσοτέρων. Ἀλλ' ἐὰν αὐτὸ τὸ ἐκάναμεν θέλοντες μόνον νὰ σᾶς λυπήσωμεν, εὐλόγως ὁ καθένας ἀπὸ σᾶς θὰ ἠμποροῦσε νὰ στενοχωρηθῇ. Ἐπειδὴ ὅμως ἀπεφύγαμεν τὴν χάριν εἰς τὸν λόγον ἀποβλέποντες εἰς τὸ συμφέρον σας, ἔστω καὶ ἂν δὲν θέλετε νὰ παραδεχθῆτε τὸ ἐνδιαφέρον μας, πάλιν θὰ ἦτο δίκαιον νὰ μᾶς συγχωρήσετε τὴν τόσον μεγάλην ἀγάπην μας. Διότι πολὺ φοβούμεθα, μολονότι ἐμεῖς καταβάλλομεν προσπάθειαν, ἐὰν σεῖς δὲν θελήσετε νὰ δείξετε τὴν ἰδίαν προθυμίαν, μήπως αἱ εὐθῦναι τῶν ὅσων θὰ συμβοῦν εἰς τὸ μέλλον εἶναι βαρύτεραι.

Δι' αὐτὸ ἀναγκαζόμεθα νὰ σᾶς διεγείρωμεν καὶ νὰ σᾶς ἀφυπνίζωμεν συνεχῶς, ὥστε τίποτε ἀπὸ ὅσα λέγονται νὰ μὴ ἀποβῇ μάταιον. Διότι ἔτσι θὰ σᾶς εἶναι δυνατὸν μὲ πολλὴν παρρησίαν καὶ τώρα νὰ ζήσετε καὶ κατὰ τὴν ἡμέραν ἐκείνην νὰ παρουσιασθῆτε εἰς τὸ βῆμα τοῦ Χριστοῦ. Ἐπειδὴ λοιπὸν μέχρι τώρα σᾶς ἐθίξαμεν ἀρκετά, ἂς ἐμβαθύνωμεν σήμερα ἀπὸ τὴν ἀρχὴν εἰς τὰ ἴδια τὰ λόγια τοῦ κειμένου.

«Καὶ εἴδαμεν», λέγει, «τὴν δόξαν του, δόξαν ποὺ ἔχει ἕνας μονογενὴς Υἱὸς ἀπὸ τὸν Πατέρα». Ἀφοῦ εἶπεν ὅτι ἐγίναμεν παιδιὰ τοῦ Θεοῦ, καὶ ἀφοῦ ἔδειξεν ὅτι αὐτὸ δὲν ἔγινεν ἀλλιῶς παρὰ μόνον μὲ τὴν σάρκωσιν τοῦ Λόγου, ἀναφέρει καὶ ἄλλο κέρδος ποὺ ἔχομεν ἀπὸ αὐτόν. Ποῖον δὲ εἶναι αὐτό; «Εἴδαμεν τὴν δόξαν του, δόξαν ποὺ ἔχει ἕνας μο-

νογενοῦς παρὰ Πατρός», οὐκ ἂν θεασάμενοι, εἰ μὴ διὰ τοῦ συντρόφου σώματος ἡμῖν ὤφθη. Εἰ γὰρ Μωϋσέως, τῆς αὐτῆς ἡμῖν μετέχοντος φύσεως, οὐχ ὑπέμειναν οἱ κατ᾽ ἐκεῖνον τὸν καιρὸν τὸ πρόσωπον μόνον δοξασθὲν ἰδεῖν, ἀλλὰ καὶ προκαλύμματος ἐδέησε τῷ δικαίῳ, τοῦ δυναμένου τὸ τῆς δόξης ἄκρατον συσκιάσαι, καὶ ἥμερον καὶ προσηνῆ τοῦ Προφήτου τὴν ὄψιν αὐτοῖς δεῖξαι, πῶς θεότητα γυμνήν, οὖσαν ἀπρόσιτον καὶ αὐταῖς ταῖς ἄνω δυνάμεσιν, ἡμεῖς οἱ πήλινοι καὶ γηγενεῖς ἠδυνήθημεν ἂν ἐνεγκεῖν; Διὰ τοῦτο ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα καὶ προσελθεῖν αὐτῷ καὶ διαλεχθῆναι καὶ συναναστραφῆναι δυνηθῶμεν μετὰ ἀδείας πολλῆς.

Τί δέ ἐστι τό, «Δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός»; Ἐπειδὴ πολλοὶ καὶ τῶν προφητῶν ἐδοξάσθησαν, οἷον αὐτὸς οὗτος ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος· ὁ μὲν ὑπὸ πυρίνου κυκλούμενος ἅρματος, ὁ δὲ οὕτως ἀναλαμβανόμενος, καὶ μετ᾽ αὐτοὺς ὁ Δανιήλ, καὶ οἱ παῖδες οἱ τρεῖς, καὶ ἕτεροι δὲ πολλοί, ὅσοι καὶ θαύματα ἐπεδείξαντο, ἐδοξάσθησαν· καὶ ἄγγελοι δέ, παρὰ ἀνθρώποις φανέντες, καὶ τὸ τῆς οἰκείας φύσεως ἀπαστράπτον φῶς παρανοίξαντες τοῖς ὁρῶσιν· οὐκ ἄγγελοι δὲ μόνον, ἀλλὰ καὶ τὰ Χερουβὶμ μετὰ πολλῆς ὤφθη τῷ Προφήτῃ τῆς δόξης, καὶ τὰ Σεραφὶμ ὁμοίως· πάντων δὴ τούτων ἡμᾶς ἀπάγων ὁ Εὐαγγελιστής, καὶ τῆς κτίσεως καὶ τῆς τῶν ὁμοδούλων λαμπρότητος ἀπανιστὰς τὴν διάνοιαν, πρὸς αὐτὴν ἡμᾶς τῶν ἀγαθῶν ἵστησι τὴν κορυφήν.

Οὐ γὰρ Προφήτου, φησίν, οὐδὲ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, οὐδὲ τῶν ἀνωτέρω δυνάμεων, οὐκ ἄλλης τινὸς κτιστῆς φύσως, εἴ γέ τίς ἐστι καὶ ἑτέρα, ἀλλ᾽ αὐτοῦ τοῦ Δεσπότου, αὐτοῦ τοῦ Βασιλέως αὐτοῦ τοῦ γνησίου Μονογενοῦς Παιδός, αὐτοῦ τοῦ πάντων ἡμῶν Κυρίου τὴν δόξαν ἐθεασάμεθα. Τὸ δὲ «ὡς» ἐνταῦθα οὐχ ὁμοιώσεώς ἐστιν, οὐδὲ παραβολῆς, ἀλλὰ βεβαιώσεως καὶ ἀναμφισβητήτου διορισμοῦ·

1. Ἐξ. 34, 29-35.
2. Δ΄ Βασ. 2, 11.
3. Αὐτόθι.

νογενὴς ἀπὸ τὸν Πατέρα». Δὲν θὰ τὸν ἐβλέπαμεν ἐὰν δὲν ἐφανερώνετο εἰς ἐμᾶς μὲ τὸ σῶμα ποὺ τὸν ἐσυντρόφευε. Διότι ἐὰν δὲν ἠμπόρεσαν νὰ ἰδοῦν μόνον τὸ δοξασμένον πρόσωπον τοῦ Μωϋσέως, ὁ ὁποῖος ἦτο ἀπὸ τὴν ἰδικήν μας φύσιν, οἱ σύγχρονοί του, καὶ ἐχρειάσθη ὁ δίκαιος ἐκεῖνος νὰ φορέσῃ προκάλυμμα, τὸ ὁποῖον ἠμποροῦσε νὰ συγκαλύψῃ τὴν ὑπερβολικὴν δόξαν, καὶ νὰ παρουσιάσῃ τὸ πρόσωπον τοῦ προφήτου ἥμερον καὶ πρᾶον πῶς θὰ ἠδυνάμεθα νὰ ὑπομείνωμεν ἐμεῖς οἱ πήλινοι καὶ γήϊνοι γυμνὴν τὴν θεότητα, ἡ ὁποία εἶναι ἀπλησίαστος ἀκόμη καὶ εἰς αὐτὰς τὰς οὐρανίας δυνάμεις; Δι᾿ αὐτὸ κατεσκήνωσε μέσα μας, διὰ νὰ ἠμπορέσωμεν μὲ πολλὴν ἐλευθερίαν καὶ νὰ τὸν πλησιάσωμεν καὶ νὰ συζητήσωμεν μαζί του καὶ νὰ τὸν συναναστραφῶμεν.

Τί σημαίνει ὅμως τὸ «δόξαν ποὺ ἔχει ἕνας μονογενὴς ἀπὸ τὸν Πατέρα»; Ἐπειδὴ ἐδοξάσθησαν καὶ πολλοὶ ἀπὸ τοὺς προφήτας, ὅπως π.χ. ὁ Μωϋσῆς[1], ὁ Ἠλίας[2], ὁ Ἐλισσαῖος[3], (ὁ μὲν ἕνας κυκλωμένος ἀπὸ πύρινον ἅρμα, ὁ δὲ ἀναληφθεὶς κατὰ τὸν ἴδιον τρόπον), καὶ μετὰ ἀπὸ αὐτοὺς ὁ Δανιὴλ καὶ οἱ τρεῖς παῖδες καὶ πολλοὶ ἄλλοι ἀκόμη, οἱ ὁποῖοι ἔκαναν καὶ θαύματα, καθὼς ἐπίσης καὶ ἄγγελοι, οἱ ὁποῖοι ἐνεφανίσθησαν εἰς τοὺς ἀνθρώπους καὶ ἔδειξαν εἰς ἐκείνους ποὺ τοὺς ἔβλεπαν τὸ ἀπαστράπτον φῶς τῆς φύσεώς των, καὶ ὄχι μόνον ἄγγελοι, ἀλλὰ καὶ τὰ χερουβὶμ ἐφανερώθησαν μὲ πολλὴν δόξαν εἰς τὸν προφήτην, καθὼς ἐπίσης καὶ τὰ Σεραφίμ, διὰ νὰ μᾶς ἀπομακρύνῃ ὁ εὐαγγελιστὴς ἀπὸ ὅλους αὐτοὺς καὶ διὰ νὰ διώξῃ τὴν σκέψιν μας μακρυὰ ἀπὸ τὴν λαμπρότητα καὶ τῆς κτίσεως καὶ τῶν συνδούλων μας, μᾶς τοποθετεῖ κατ᾿ εὐθεῖαν εἰς τὴν κορυφὴν τῶν ἀγαθῶν.

Δὲν εἴδαμεν, λέγει, τὴν δόξαν προφήτου, οὔτε ἀγγέλου, οὔτε ἀρχαγγέλου, οὔτε τῶν ἀνωτέρων δυνάμεων, οὔτε κάποιας ἄλλης κτιστῆς φύσεως, ἐὰν βέβαια ὑπάρχῃ ἄλλη, ἀλλὰ τοῦ ἰδίου τοῦ Δεσπότου, τοῦ ἰδίου τοῦ Βασιλέως, τοῦ ἰδίου τοῦ γνησίου Μονογενοῦς Υἱοῦ, τοῦ ἰδίου τοῦ Κυρίου ὅλων μας. Τὸ δὲ «ὡς» ἐδῶ δὲν σημαίνει παρομοίωσιν ἢ σύγκρισιν,

ὡσανεὶ ἔλεγεν· Ἐθεασάμεθα δόξαν, οἵαν ἔπρεπε καὶ εἰκὸς ἔχειν Μονογενῆ καὶ γνήσιον Υἱὸν ὄντα τοῦ πάντων Βασιλέως Θεοῦ.

Καὶ τοῖς πολλοῖς δὲ ἔθος· οὐ γὰρ παραιτήσομαι καὶ ἀπὸ τῆς κοινῆς συνηθείας τὸν λόγον πιστώσασθαι. Οὐδὲ γὰρ πρὸς κάλλος ἡμῖν ὀνομάτων, οὐδὲ πρὸς ἁρμονίαν συνθήκης πρόκειται νῦν εἰπεῖν, ἀλλὰ πρὸς τὴν ὑμετέραν ὠφέλειαν μόνον· ὅθεν οὐδὲν κωλύει καὶ ἀπὸ τῆς τῶν πολλῶν συνηθείας αὐτὸ βεβαιῶσαι. Τίς δέ ἐστιν ἡ συνήθεια τῶν πολλῶν; Βασιλέα πολλάκις σφόδρα κεκοσμημένον ὁρῶντές τινες, καὶ τιμίοις ἀπαστράπτοντα λίθοις πάντοθεν, ἐπειδὰν πρό τινας διηγῶνται τὸ κάλλος ἐκεῖνο, τὸν κόσμον, τὴν δόξαν, λέγουσι μὲν ὅσα περ ἂν δυνηθῶσι, τῆς ἁλουργίδος τὸ ἄνθος, τῶν λίθων τὸ μέγεθος, τὴν λευκότητα τῶν ἡμιόνων, τὸν περὶ τὸ ζεῦγος χρυσόν, τὴν στρωμνὴν παριστῶντες τὴν στίλβουσαν. Ἐπειδὰν δέ, καὶ ταῦτα καὶ ἕτερα πρὸς τούτοις καταλέξαντες, μὴ δυνηθῶσιν ἅπασαν τῷ λόγῳ παραστῆσαι τὴν λαμπρότητα, εὐθέως τοῦτο ἐπάγουσι· Τί δεῖ τὰ πολλὰ λέγειν; ἅπαξ ὡς βασιλεύς, διὰ τοῦ «ὡς» οὐ τὸ βασιλέως ὅμοιον εἶναι δεῖξαι βουλόμενοι τοῦτον, περὶ οὗ πάντα λέγουσιν, ἀλλὰ τὸ αὐτὸν βασιλέα γνήσιον εἶναι.

Οὕτω τοίνυν καὶ ὁ Εὐαγγελιστὴς τὸ «ὡς» τέθεικε, τὸ παρηλλαγμένον τῆς δόξης καὶ ὑπερέχον ἀσυγκρίτως παραστῆσαι θέλων. Οἱ μὲν γὰρ ἄλλοι πάντες, καὶ ἄγγελοι, καὶ ἀρχάγγελοι, καὶ προφῆται, προσταττόμενοι πάντα ἐποίουν, αὐτὸς δὲ μετ᾽ ἐξουσίας, βασιλεῖ καὶ δεσπότῃ πρεπούσης· ὅπερ οὖν καὶ οἱ ὄχλοι ἐθαύμαζον, ὅτι ἐδίδασκεν αὐτούς, ὡς ἐξουσίαν ἔχων.

2. Ἐφάνησαν μὲν οὖν, ὅπερ εἶπον, καὶ ἄγγελοι μετὰ

ἀλλὰ βεβαιότητα καὶ ἀναμφισβήτητον ἀναφοράν. Εἶναι ὡσὰν νὰ ἔλεγεν· εἴδαμεν δόξαν τέτοιαν ποὺ ἔπρεπε καὶ ἦτο φυσικὸν νὰ ἔχῃ ἀφοῦ ἦτο μονογενὴς καὶ γνήσιος Υἱὸς τοῦ Θεοῦ ὁ ὁποῖος εἶναι βασιλεὺς ὅλων.

Αὐτὸ ἄλλωστε τὸ συνηθίζουν πολλοί· διότι δὲν θὰ διστάσω νὰ σᾶς κατοχυρώσω ὅσα λέγω καὶ μὲ τὴν κοινὴν συνήθειαν. Ἐξ ἄλλου δὲν σᾶς ὁμιλῶ διὰ τὴν ὡραιότητα τῶν λέξεων οὔτε περὶ τῆς ἁρμονίας μουσικῆς συνθέσεως, ἀλλὰ περὶ τῆς ἰδικῆς σας ὠφελείας καὶ μόνον, δι' αὐτὸ τίποτε δὲν μὲ ἐμποδίζει νὰ βεβαιώσω αὐτὸ ποὺ λέγω καὶ ἀπὸ τὴν συνήθειαν τῶν πολλῶν. Ποία δὲ εἶναι αὐτὴ ἡ συνήθεια τῶν πολλῶν; Πολλάκις ὡρισμένοι βλέποντες ἕνα βασιλέα νὰ εἶναι πολὺ στολισμένος καὶ νὰ λάμπῃ ἀπὸ παντοῦ μὲ πολυτίμους λίθους, ὅταν κατόπιν διηγοῦνται εἰς ἄλλους τὴν ὡραιότητα ἐκείνην, τὸν διάκοσμον, τὴν λαμπρότητα, ἀναφέρουν βέβαια ὅσα ἠμποροῦν, ὅπως π.χ. τὸ χρῶμα τῆς ἁλουργίδος, τὸ μέγεθος τῶν πολυτίμων λίθων, τὴν καθαριότητα τῶν ἡμιόνων, τὸν χρυσὸν ποὺ ὑπάρχει γύρω ἀπὸ τὸ βασιλικὸν ζεῦγος καθὼς περιγράφουν τὴν ἀπαστράπτουσαν κλίνην, ἀλλ' ἐπειδὴ μὲ αὐτὰ καὶ ἄλλα παρόμοια ποὺ ἀραδιάζουν δὲν ἠμποροῦν νὰ περιγράψουν μὲ λόγια ὅλην τὴν λαμπρότητα, εἰς τὸ τέλος προσθέτουν καὶ τοῦτο· ἀλλὰ διατί νὰ μακρηγορῶ; Ἦτο κοντολογῆς ὡσὰν βασιλεύς. Μὲ τὸ «ὡσὰν» δὲ αὐτὸ δὲν θέλουν νὰ δείξουν ὅτι αὐτὸς περὶ τοῦ ὁποίου ἀναφέρουν ὅλα εἶναι ὅμοιος μὲ βασιλέα, ἀλλ' ὅτι ὁ ἴδιος εἶναι γνήσιος βασιλεύς.

Ἔτσι λοιπὸν καὶ ὁ εὐαγγελιστὴς ἐχρησιμοποίησε τὸ «ὡς» ἐπειδὴ ἤθελε νὰ παρουσιάσῃ τὴν διαφορὰν τῆς δόξης καὶ τὴν ἀσύγκριτον ὑπεροχήν της. Διότι οἱ ἄλλοι ὅλοι, καὶ ἄγγελοι καὶ ἀρχάγγελοι καὶ προφῆται, τὰ ἔκαναν ὅλα κατόπιν προσταγῆς, ἐνῷ αὐτὸς μὲ ἐξουσίαν ποὺ ταιριάζει εἰς βασιλέα καὶ δεσπότην. Αὐτὸ ἄλλωστε ἐθαύμαζαν καὶ οἱ ὄχλοι, ὅτι τοὺς ἐδίδασκεν ὡσὰν κάποιος ποὺ ἔχει ἐξουσίαν.

2. Ἐνεφανίσθησαν λοιπόν, ὅπως εἶπα, καὶ ἄγγελοι μὲ

δόξης πολλῆς ἐπὶ τῆς γῆς· οἷον ἐπὶ τοῦ Δανιήλ, ἐπὶ τοῦ Δαυίδ, ἐπὶ τοῦ Μωϋσέως· ἀλλ' ὡς δοῦλοι καὶ δεσπότην ἔχοντες οὕτω πάντα ἔπραττον, αὐτὸς δὲ ὡς Δεσπότης καὶ πάντων κρατῶν, καὶ ταῦτα μετ' εὐτελοῦς σχήματος καὶ ταπεινοῦ φανείς· ἀλλ' ὅμως καὶ οὕτως ἡ κτίσις τὸν Δεσπότην ἐπέγνω τὸν ἑαυτῆς.

Πῶς; Ἀστὴρ μὲν γὰρ ἀπ' οὐρανοῦ μάγους καλῶν προσκυνήσοντας αὐτόν· ἀγγέλων δὲ ὄχλος πολὺς πανταχοῦ κεχυμένος, τὸν Δεσπότην περιεπόντων καὶ ἀνυμνούντων αὐτόν· καὶ ἕτεροι δὲ ἐξαπίνης ἀνεφύοντο κήρυκες, καὶ πάντες, ἀλλήλοις ἀπαντῶντες, εὐηγγελίζοντο τὸ ἀπόρρητον τοῦτο μυστήριον, τοὺς μὲν ποιμένας οἱ ἄγγελοι, τοὺς δὲ τῆς πόλεως οἱ ποιμένες· καὶ τὴν μὲν Μαρίαν καὶ τὴν Ἐλισάβετ ὁ Γαβριήλ, τοὺς δὲ εἰς τὸ ἱερὸν παραγινομένους ἡ Ἄννα μετὰ τοῦ Συμεών. Οὐκ ἄνδρες δὲ καὶ γυναῖκες μόνον ὑπὸ τῆς ἡδονῆς ἐπτερώθησαν, ἀλλὰ καὶ τὸ μηδέπω βρέφος εἰς φῶς ἐξελθόν, ὁ τῆς ἐρήμου πολίτης, λέγω, καὶ τούτου ὁμώνυμος τοῦ Εὐαγγελιστοῦ, ἐσκίρτησεν, ἐν τῇ νηδύϊ τῆς μητρὸς ὢν ἔτι, καὶ πάντες μετέωροι ταῖς ἐλπίσι πρὸς τὰ μέλλοντα ἦσαν.

Καὶ ταῦτα μὲν παρὰ τὸν τόκον εὐθέως· ὅτε δὲ ἐπὶ πλέον ἑαυτὸν ἐξέφηνε, πάλιν ἕτερα θαύματα τῶν προτέρων ἐφαίνετο μείζονα· Οὐκ ἔτι γὰρ ἀστὴρ καὶ οὐρανός, οὐδὲ ἄγγελοι καὶ ἀρχάγγελοι, οὐδὲ Γαβριὴλ καὶ Μιχαήλ, ἀλλ' αὐτὸς αὐτὸν ἄνωθεν ἀπὸ τῶν οὐρανῶν ἐκήρυττεν ὁ Πατήρ, καὶ μετὰ τοῦ Πατρὸς ὁ Παράκλητος, ἐφιπτάμενος αὐτῷ μετὰ τῆς φωνῆς, καὶ μένων ἐπ' αὐτόν. Ὄντως διὰ ταῦτα ἔλεγεν· «Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός».

Οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ διὰ τὰ μετὰ ταῦτα τοῦτό φησιν. Οὐκ ἔτι γὰρ ποιμένες μόνον, οὐδὲ χῆραι γυ-

πολλὴν δόξαν εἰς τὴν γῆν, ὅπως π.χ. ἐπὶ τῆς ἐποχῆς τοῦ Δανιήλ, τοῦ Δαβὶδ καὶ τοῦ Μωϋσέως· ἀλλὰ ὅλα τὰ ἔκαναν ὡς δοῦλοι καὶ ὡσὰν κάποιοι ποὺ ἔχουν δεσπότην. Ἐνῷ αὐτὸς τὰ ἔκανε ὡς δεσπότης καὶ κυρίαρχος ὅλων, παρὰ τὸ γεγονὸς ὅτι παρουσιάσθη μὲ εὐτελῆ καὶ ταπεινὴν ἐμφάνισιν. Ἔστω καὶ ἔτσι ἡ κτίσις ἀνεγνώρισε τὸν Δεσπότην της.

Μὲ ποῖον τρόπον; Ἐνεφανίσθη ἄστρον εἰς τὸν οὐρανὸν τὸ ὁποῖον ἐκάλεσε τοὺς μάγους νὰ τὸν προσκυνήσουν καὶ μεγάλο πλῆθος ἀγγέλων διεσκορπισμένων παντοῦ οἱ ὁποῖοι περιεποιοῦντο τὸν Δεσπότην καὶ τὸν ἐξυμνοῦσαν. Ἀλλὰ καὶ ἄλλοι κήρυκες ἐξεφύτρωσαν ξαφνικὰ καὶ ὅλοι συναντώμενοι μεταξύ των διεκήρυσσαν αὐτὸ τὸ ἀπερίγραπτον μυστήριον, εἰς μὲν τοὺς ποιμένας οἱ ἄγγελοι, εἰς δὲ τοὺς κατοίκους τῆς πόλεως οἱ ποιμένες. Ἐπίσης εἰς μὲν τὴν Μαρίαν καὶ τὴν Ἐλισάβετ τὸ ἐκήρυξεν ὁ Γαβριήλ, εἰς ἐκείνους δὲ ποὺ εὑρίσκοντο εἰς τὸν ναὸν ἡ Ἄννα μὲ τὸν Συμεών. Καὶ ὄχι μόνον ἄνδρες καὶ γυναῖκες ἐξεσηκώθησαν ἀπὸ τὴν χαράν, ἀλλὰ καὶ τὸ βρέφος ποὺ δὲν εἶχεν ἀκόμη ἔλθει εἰς τὸ φῶς, ὁ κάτοικος, ἐννοῶ, τῆς ἐρήμου καὶ τοῦ εὐαγγελιστοῦ αὐτοῦ συνώνυμος, ἐπήδηξεν ἐνῷ ἀκόμη εὑρίσκετο εἰς τὴν κοιλίαν τῆς μητέρας του, καὶ ὅλοι ἦσαν μετάρσιοι μὲ τὴν ἐλπίδα τῶν ὅσων ἐπρόκειτο νὰ γίνουν.

Καὶ αὐτὰ μὲν ἀμέσως μὲ τὴν γέννησιν. Ὅταν δὲ ἐφανέρωσε τὸν ἑαυτόν του περισσότερον, ἔγιναν πάλιν καὶ ἄλλα θαύματα μεγαλύτερα ἀπὸ τὰ προηγούμενα. Διότι δὲν τὸν ἐκήρυττε πλέον τὸ ἄστρον καὶ ὁ οὐρανός, οὔτε ἄγγελοι καὶ ἀρχάγγελοι, οὔτε Γαβριὴλ καὶ Μιχαήλ, ἀλλὰ ὁ ἴδιος ὁ Πατὴρ ἐπάνω ἀπὸ τὸν οὐρανὸν καὶ μαζὶ μὲ τὸν Πατέρα καὶ ὁ Παράκλητος, ὁ ὁποῖος συγχρόνως μὲ τὴν φωνὴν κατήρχετο ἐπάνω του καὶ ἔμενεν εἰς αὐτόν. Πράγματι δι' αὐτὰ ἔλεγεν· «Εἴδαμεν τὴν δόξαν του, δόξαν ποὺ ἔχει ἕνας μονογενὴς Υἱὸς ἀπὸ τὸν Πατέρα».

Ὄχι ὅμως μόνον δι' αὐτά, ἀλλὰ τὸ λέγει αὐτὸ καὶ δι' ὅσα ἔγιναν μετὰ ταῦτα. Διότι δὲν μᾶς μεταφέρουν τὸ εὐχά-

ναῖκες, οὐδὲ ἄνδρες πρεσβῦται ἡμᾶς εὐαγγελίζονται, ἀλλὰ καὶ αὐτὴ τῶν πραγμάτων ἡ φύσις, πάσης σάλπιγγος λαμπρότερον βοῶσα, καὶ οὕτω γεγωνός, ὡς καὶ ἐνταῦθα αὐτῆς εὐθέως ἀκουσθῆναι τὸν ἦχον. Ἀπῆλθε γάρ, φησίν, εἰς τὴν Συρίαν ἡ ἀκοὴ αὐτοῦ καὶ πᾶσιν αὐτὸν ἀπεκάλυπτε, καὶ πάντα πάντοθεν ἐβόα ὅτι βασιλεὺς τῶν οὐρανῶν παραγέγονε. Οἵ τε γὰρ δαίμονες πάντοθεν ἔφευγον καὶ ἀπεπήδων, ὅ τε διάβολος ἐγκαλυψάμενος ὑπεχώρει, αὐτός τε ὁ θάνατος ὑπεξίστατο τέως, καὶ μετὰ ταῦτα τέλεον ἠφανίζετο, καὶ πάσης ἀρρωστίας εἶδος ἐλύετο, καὶ τοὺς μὲν νεκροὺς ἠφίει τὰ μνήματα, τοὺς δὲ μεμηνότας οἱ δαίμονες, τοὺς δὲ ἀρρώστους αἱ νόσοι· καὶ ἦν ἰδεῖν πράγματα παράδοξα καὶ θαυμαστὰ καὶ ἅπερ εἰκότως ἐπεθύμησαν προφῆται ἰδεῖν, καὶ οὐκ εἶδον.

Ἦν γὰρ ἰδεῖν ὀφθαλμοὺς διαπλαττομένους, καὶ τὸ ποθεινὸν ἐκεῖνο, (ὁ πάντες ἐπεθύμησαν ἂν ἰδεῖν), πῶς τὸν Ἀδὰμ ἀπὸ τῆς γῆς ἔπλασεν ὁ Θεός, τοῦτο ἐν βραχεῖ πᾶσιν ἐπιδεικνύντα καὶ ἐν τῷ βελτίονι τοῦ σώματος μέρει, τά τε παραλελυμένα καὶ διῳκισμένα συγκολλώμενα μέλη, καὶ ἀλλήλοις συναρμοττόμενα, χεῖρας νεκρὰς κινουμένας, πόδας παραλελυμένους ἀθρόον ἁλλομένους, ὦτα βεβυσμένα ἀναπεταννύμενα, καὶ τὴν γλῶτταν ἠχοῦσαν μέγα, τὴν πρότερον ἀφωνίᾳ δεδεμένην. Καθάπερ γάρ τις τεχνίτης ἄριστος, οἰκίαν ὑπὸ χρόνου σαθρωθεῖσαν ἀναλαβὼν τὴν κοινὴν τότε τῶν ἀνθρώπων φύσιν, οὕτω ταύτης τά τε ἀποκλασθέντα ἀνεπλήρωσε μέρη, τά τε διεστῶτα καὶ διαλελυμένα συνέσφιγξε, καὶ τὰ τέλεον πεπτωκότα ἀνέστησε.

Τί ἄν τις εἴποι τῆς ψυχῆς τὴν διάπλασιν, πολλῷ θαυμαστοτέραν τῆς ἐν τοῖς σώμασιν οὖσαν; Μέγα μὲν γὰρ καὶ ἡ τῶν σωμάτων ὑγεία, πολλῷ μὲ μεῖζον ἡ τῶν ψυχῶν, καὶ

---

4. Ματθ. 4, 24.

ριστον μήνυμα πλέον μόνον ποιμένες, οὔτε χῆραι γυναῖκες, οὔτε γέροντες ἄνδρες, ἀλλὰ καὶ ἡ ἰδία ἡ φύσις τῶν πραγμάτων, ἡ ὁποία φωνάζει πιὸ κτυπητὰ καὶ ἀπὸ κάθε σάλπιγγα καὶ τόσον δυνατά, ὥστε νὰ ἀκούεται καὶ ἐδῶ ἀκόμη ὁ ἦχος της. «Διότι ἔφθασε», λέγει, «εἰς τὴν Συρίαν ἡ φήμη του»[4] καὶ τὸν ἐφανέρωσεν εἰς ὅλους. Καὶ ὅλα ἀπὸ παντοῦ ἐφώναξαν, ὅτι ἦλθεν ὁ βασιλεὺς τῶν οὐρανῶν. Ἀκόμη καὶ οἱ δαίμονες ἀπὸ παντοῦ ἔφευγαν καὶ ἀποσκιρτοῦσαν, καὶ ὁ διάβολος σκεπασμένος ὑποχωροῦσε καὶ ὁ ἴδιος ὁ θάνατος ἔκανε τόπον εἰς τὴν ἀρχὴν καὶ κατόπιν ἐξηφανίσθη τελείως, καὶ κάθε εἶδος ἀσθενείας ἐθεραπεύετο, καὶ ἐλευθέρωναν τὰ μνήματα τοὺς νεκρούς, οἱ δαίμονες τοὺς δαιμονιζομένους καὶ αἱ ἀσθένειαι τοὺς ἀρρώστους. Καὶ ἔβλεπε κανεὶς πράγματα παράξενα καὶ ἀξιοθαύμαστα, τὰ ὁποῖα πολὺ εἶχαν ἐπιθυμήσει νὰ ἰδοῦν οἱ προφῆται καὶ δὲν τὰ εἶδαν.

Διότι ἔβλεπε κανεὶς ὀφθαλμοὺς νὰ διαπλάθωνται καὶ τὸ ποθητὸν ἐκεῖνο, τὸ ὁποῖον ὅλοι θὰ εἶχαν τὴν ἐπιθυμίαν νὰ ἰδοῦν, πῶς ὁ Θεὸς ἔπλασε τὸν Ἀδὰμ μὲ τὸ χῶμα, αὐτὸ νὰ τὸ δείχνῃ εἰς ὅλους μέσα εἰς σύντομον χρονικὸν διάστημα, καὶ μάλιστα εἰς τὸ πιὸ σημαντικὸν μέρος τοῦ σώματος. Ἔβλεπεν ἐπίσης τὰ παράλυτα καὶ ἀποκομμένα μέλη νὰ συγκολλῶνται καὶ νὰ συναρμολογοῦνται, χέρια ξηρὰ νὰ κινοῦνται, πόδια παράλυτα ξαφνικὰ νὰ πηδοῦν, αὐτιὰ βουλωμένα νὰ ἀνοίγωνται καὶ νὰ φωνάζῃ δυνατὰ γλῶσσα ἡ ὁποία προηγουμένως ἦτο δεμένη μὲ ἀφωνίαν. Διότι ὅπως ἕνας τεχνίτης ἄριστος, παρέλαβε τὴν κοινὴν τότε φύσιν τῶν ἀνθρώπων ὡσὰν οἰκίαν ἑτοιμόρροπον ἀπὸ τὸν χρόνον καὶ συνεπλήρωσε τὰ ἀποκομμένα μέρη της, συνηρμολόγησε τὰ ἀπεσπασμένα καὶ διαλελυμένα καὶ ἐσήκωσεν ἐκεῖνα ποὺ εἶχαν πέσει.

Τί θὰ ἠμποροῦσεν ὅμως κανεὶς νὰ εἰπῇ διὰ τὴν διάπλασιν τῆς ψυχῆς ἡ ὁποία εἶναι πολὺ πιὸ ἀξιοθαύμαστος ἀπὸ τὴν διάπλασιν τῶν σωμάτων; Διότι εἶναι βέβαια σπουδαία ἡ ὑγεία τῶν σωμάτων, ἀλλὰ πολὺ πιὸ σπουδαία εἶναι ἡ ὑγεία τῶν ψυ-

τοσούτῳ μεῖζον, ὅσῳ ψυχὴ σώματος ἄμεινον· οὐ ταύτῃ δὲ μόνον, ἀλλ' ὅτι ἡ μὲν τῶν σωμάτων φύσις, ἥπερ ἂν αὐτὴν ὁ Δημιουργὸς ἄγειν βούληται, ταύτῃ ἕπεται, καὶ τὸ ἀντιπίπτον οὐδέν, ἡ δὲ ψυχή, κυρία ἑαυτῆς γενομένη, καὶ τῶν πρακτέων τὴν ἐξουσίαν ἔχουσα, οὐ πάντα, ἂν μὴ βούληται, πείθεται τῷ Θεῷ. Ἄκουσαν γὰρ αὐτὴν καὶ βίᾳ που κατηναγκασμένην οὐ βούλεται ποιῆσαι καλὴν καὶ ἐνάρετον, ἐπειδή περ μηδέ ἐστι τοῦτο ἀρετή, ἀλλὰ χρὴ βουλομένην καὶ ἑκοῦσαν πεῖσαι γενέσθαι τοιαύτην ὅθεν χαλεπώτερον τοῦτό ἐστιν ἐκείνης τῆς ἰατρείας.

Ἀλλ' ὅμως καὶ τοῦτο κατωρθοῦτο, καὶ πᾶν εἶδος κακίας ἠλαύνετο. Καὶ ὥσπερ τὰ σώματα τὰ θεραπευόμενα οὐ πρὸς ὑγίειαν μόνον, ἀλλὰ καὶ πρὸς εὐεξίαν τὴν ἀνωτάτω μετερρύθμιζεν, οὕτω καὶ τὰς ψυχὰς οὐ τῆς κακίας τῆς ἐσχάτης ἀπήλλαξε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἤγαγε· καὶ ὁ τελώνης ἀπόστολος ἐγίνετο, καὶ ὁ διώκτης καὶ βλάσφημος καὶ ὑβριστής, κῆρυξ τῆς οἰκουμένης ἀπεδείκνυτο· καὶ μάγοι, διδάσκαλοι Ἰουδαίων ἐγίνοντο· καὶ λῃστὴς παραδείσου πολίτης ἀνεφαίνετο· καὶ πόρνη, πολλῇ τῇ πίστει διέλαμπε· καὶ Χαναναία καὶ Σαμαρεῖτις γυνή, ἑτέρα πόρνη καὶ αὐτή, ἡ μὲν τὸ κήρυγμα τῶν ὁμοφύλων ἀνεδέξατο, καὶ πόλιν ὁλόκληρον σαγηνεύσασα οὕτω προσήγαγε τῷ Χριστῷ, ἡ δὲ τῇ πίστει καὶ τῇ προσεδρείᾳ δαίμονα πονηρὸν ἀπελαθῆναι τῆς τοῦ θυγατρίου ψυχῆς παρεσκεύασε.

Καὶ ἕτεροι δὲ πολλῷ τούτων χείρους εἰς τὴν τῶν μαθητῶν εὐθέως κατελέγοντο τάξιν. Καὶ πάντα ἀθρόον μετεσχηματίζετο, τῶν σωμάτων τὰ πάθη, τῶν ψυχῶν τὰ νοσήματα, καὶ πρὸς ὑγείαν καὶ τὴν ἀκριβεστάτην ἀρετὴν μετεπλάττοντο, καὶ τούτων, οὐ δύο καὶ τρεῖς ἄνθρωποι, οὐδὲ πέν-

χῶν· καὶ τόσον σπουδαιοτέρα, ὅσον ἀνωτέρα εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα. Ὄχι μόνον δι' αὐτὸ δέ, ἀλλὰ διότι ἡ μὲν φύσις τῶν σωμάτων, ἀκολουθεῖ ἐκεῖ ὅπου θέλει νὰ τὴν ὁδηγήσῃ ὁ Δημιουργὸς καὶ δὲν ἀντιστέκεται καθόλου. Ἐνῷ ἡ ψυχή, ὅταν γίνῃ κυρία τοῦ ἑαυτοῦ της καὶ ἀποκτήσῃ τὴν εὐθύνην τῶν πράξεών της, δὲν πείθεται καθ' ὅλα, ἐὰν δὲν θέλῃ, εἰς τὸν Θεόν. Διότι δὲν θέλει νὰ τὴν κάνῃ χωρὶς τὴν θέλησίν της καὶ ἐξηναγκασμένην διὰ τῆς βίας ἐνάρετον καὶ καλήν, ἐπειδὴ αὐτὸ δὲν εἶναι ἀρετή. Ἀλλὰ πρέπει μὲ τὴν ἐπιθυμίαν καὶ τὴν θέλησίν της νὰ τὴν πείσῃ νὰ γίνῃ ἐνάρετος. Δι' αὐτὸ καὶ εἶναι δυσκολώτερον αὐτὸ ἀπὸ τὴν θεραπείαν τῶν σωμάτων.

Ἀλλ' ὅμως καὶ αὐτὸ κατωρθώνετο καὶ κάθε εἶδος κακίας ἀπεμακρύνετο. Καὶ ὅπως προσήρμοζε τὰ θεραπευόμενα σώματα ὄχι μόνον πρὸς τὴν ὑγείαν, ἀλλὰ καὶ πρὸς τὴν ἀνωτέραν εὐεξίαν, ἔτσι καὶ τὰς ψυχάς, δὲν τὰς ἀπήλλασσε μόνον ἀπὸ τὴν μεγάλην κακίαν, ἀλλὰ καὶ τὰς ὡδήγει πρὸς τὴν κορυφὴν τῶν οὐρανῶν. Καὶ ἔτσι ὁ τελώνης ἐγίνετο ἀπόστολος, ὁ διώκτης καὶ βλάσφημος καὶ ὑβριστὴς ἀπέβαινε κῆρυξ τῆς οἰκουμένης καὶ οἱ μάγοι ἐγίνοντο διδάσκαλοι τῶν Ἰουδαίων καὶ ὁ λῃστὴς ἐνεφανίζετο κάτοικος τοῦ παραδείσου καὶ ἡ πόρνη διέπρεπε διὰ τὴν μεγάλην πίστιν της, καὶ ἡ γυναῖκα ἡ Χαναναία καὶ ἡ Σαμαρεῖτις, ἄλλαι πόρναι καὶ αὐταί, ἡ μὲν μία ἐδέχθη πρώτη τὸ κήρυγμα τῶν ὁμοφύλων της καὶ ἀφοῦ ἐσαγήνευσεν ὁλόκληρον πόλιν τὴν ὡδήγησεν εἰς τὸν Χριστόν, ἡ δὲ ἄλλη μὲ τὴν πίστιν καὶ τὴν ἐπιμονήν της ἔκανεν ὥστε νὰ ἀπομακρυνθῇ ἀπὸ τὴν ψυχὴν τῆς μικρᾶς θυγατρός της τὸ πονηρὸν δαιμόνιον.

Καὶ ἄλλοι πάλιν, πολὺ χειρότεροι ἀπὸ αὐτούς, συγκατελέγησαν ἀμέσως εἰς τὴν τάξιν τῶν μαθητῶν, καὶ ὅλα συλλήβδην τὰ σωματικὰ πάθη καὶ αἱ ψυχικαὶ ἀσθένειαι μετεβλήθησαν καὶ διεπλάσθησαν εἰς ὑγείαν καὶ σταθερὰν ἀρετήν. Καὶ αὐτὰ δὲν τὰ παρουσίασαν δύο καὶ τρεῖς ἄνθρωποι

τε, καὶ δέκα, καὶ εἴκοσι, καὶ ἑκατὸν μόνον, ἀλλὰ πόλεις ὁλόκληροι καὶ ἔθνη μετὰ πολλῆς τῆς εὐκολίας μετερρυθμίζοντο.

Τί ἄν τις εἴποι τῶν προσταγμάτων τὴν φιλοσοφίαν, τῶν οὐρανίων νόμων τὴν ἀρετήν, τῆς ἀγγελικῆς πολιτείας τὴν εὐταξίαν; Τοιοῦτον γὰρ ἡμῖν εἰσηγήσατο βίον, τοιούτους ἡμῖν ἔθηκε νόμους, τοιαύτην κατεστήσατο πολιτείαν, ὡς τοὺς τούτοις χρωμένους ἀγγέλους εὐθέως γίνεσθαι, καὶ ὁμοίους Θεῷ κατὰ δύναμιν τὴν ἡμετέραν, κἂν ἁπάντων ἀνθρώπων κακίους τύχωσιν ὄντες.

3. Ταῦτα οὖν ἅπαντα συναγαγὼν ὁ Εὐαγγελιστὴς τὰ θαύματα, τὰ ἐν σώματι, τὰ ἐν ψυχαῖς, τὰ ἐν τοῖς στοιχείοις, τὰ προστάγματα, τὰ δῶρα τὰ ἀπόρρητα ἐκεῖνα καὶ τῶν οὐρανῶν ὑψηλότερα, τοὺς νόμους, τὴν πολιτείαν, τὴν πειθώ, τὰς μελλούσας ὑποσχέσεις, τὰ παθήματα αὐτοῦ, τὴν θαυμαστὴν ταύτην καὶ ὑψηλῶν γέμουσαν δογμάτων ἀφῆκε φωνήν, λέγων· «Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· πλήρης χάριτος καὶ ἀληθείας. Οὐ γὰρ διὰ τὰ θαύματα μόνον αὐτὸν θαυμάζομεν, ἀλλὰ καὶ διὰ τὰ παθήματα· οἷον, ἐπειδὴ προσηλώθη τῷ σταυρῷ καὶ ἐμαστιγώθη, ἐπειδὴ ἐρραπίσθη, ἐπειδὴ ἐνεπιύσθη, ἐπειδὴ ἔλαβεν ἐπὶ κόρρης πληγὰς παρὰ τῶν εὐεργετηθέντων αὐτῶν. Καὶ γὰρ καὶ ἐπὶ τούτοις αὐτοῖς τοῖς δοκοῦσιν ἐπονειδίστοις εἶναι τὸ αὐτὸ ῥῆμα πάλιν ἄξιον ἐπιφθέγξασθαι, ἐπεὶ καὶ αὐτὸς δόξαν τὸ πρᾶγμα ἐκάλεσεν. Οὐ γὰρ δὴ μόνον κηδεμονίας καὶ ἀγάπης ἦν τὰ γινόμενα, ἀλλὰ καὶ δυνάμεως ἀφάτου.

Τότε γὰρ καὶ θάνατος ἠφανίζετο, καὶ κατάρα ἐλύετο, καὶ δαίμονες κατῃσχύνοντο καὶ ἐδειγματίζοντο θριαμβευόμενοι, καὶ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν τῷ σταυρῷ προσηλοῦτο. Εἶτα, ἐπειδὴ ταῦτα ἀοράτως ἐθαυματουργεῖτο, ἐγένετό τινα καὶ ὁρατῶς, δεικνύντα ὅτι ὄντως Μονογενὴς ἦν Υἱὸς

μόνον, οὔτε πέντε καὶ δέκα καὶ ἑκατόν, ἀλλὰ μὲ πολλὴν εὐκολίαν μετεβάλλοντο πόλεις ὁλόκληροι καὶ ἔθνη.

Τί νὰ εἰπῇ δὲ κανεὶς διὰ τὴν φιλοσοφίαν τῶν ἐντολῶν, τὴν τελειότητα τῶν οὐρανίων νόμων καὶ τὴν τάξιν τῆς ἀγγελικῆς συμπεριφορᾶς; Διότι τοιούτου εἴδους βίου μᾶς ἐδίδαξε, τοιούτους νόμους ἐθέσπισε πρὸς χάριν μας καὶ τοιούτου εἴδους συμπεριφορὰν καθιέρωσεν, ὥστε ἐκεῖνοι ποὺ θὰ κάνουν χρῆσιν αὐτῶν νὰ γίνωνται ἀμέσως ἄγγελοι καὶ ὅμοιοι πρὸς τὸν Θεόν, ὅσον μᾶς εἶναι δυνατόν, ἔστω καὶ ἂν συμβαίνη νὰ εἶναι οἱ χειρότεροι ἀπὸ ὅλους τοὺς ἀνθρώπους.

3. Ὁ εὐαγγελιστὴς λοιπόν, ἀφοῦ συνεκέντρωσεν ὅλα αὐτὰ τὰ θαύματα ποὺ ἔκανεν εἰς τὰ σώματα, τὰς ψυχὰς καὶ τὰ στοιχεῖα τῆς φύσεως, τὰς ἐντολάς, τὰ δῶρα ἐκεῖνα τὰ ἀπερίγραπτα καὶ ὑψηλότερα ἀπὸ τοὺς οὐρανούς, τοὺς νόμους, τὴν συμπεριφοράν, τὴν πειθώ, τὰς ὑποσχέσεις τῶν μελλόντων ἀγαθῶν, τὰ παθήματά του, ἔβγαλεν αὐτὴν τὴν θαυμασίαν καὶ γεμάτην ἀπὸ ὑψηλὰ δόγματα φωνήν, ὅταν ἔλεγεν· «Εἴδαμε τὴν δόξαν του, δόξαν ποὺ ἔχει ἕνας μονογενὴς υἱὸς ἀπὸ τὸν πατέρα, γεμάτην χάριν καὶ ἀλήθειαν». Διότι δὲν τὸν θαυμάζομεν μόνον ἐξ αἰτίας τῶν θαυμάτων του, ἀλλὰ καὶ διὰ τὰ παθήματά του, ἤτοι ἐπειδὴ ἐκαρφώθη εἰς τὸν σταυρὸν καὶ ἐμαστιγώθη, ἐπειδὴ ἐρραπίσθη, ἐπειδὴ τὸν ἔπτυσαν, ἐπειδὴ ἐδέχθη κτυπήματα εἰς τὴν σιαγόνα του ἀπὸ ἐκείνους ποὺ εἶχεν εὐεργετήσει. Διότι καὶ δι' αὐτὰ ποὺ θεωροῦνται ὅτι εἶναι ἀξιοκατάκριτα, ἀξίζει νὰ χρησιμοποιήσωμεν τὴν ἰδίαν λέξιν, ἀφοῦ καὶ αὐτὸς ὅλα αὐτὰ τὰ ὠνόμασε δόξαν. Ἄλλωστε ὅσα ἔγιναν τότε δὲν ἦσαν μόνον ἐκδηλώσεις φροντίδος καὶ ἀγάπης, ἀλλὰ καὶ ἀπεριγράπτου δυνάμεως.

Διότι τότε καὶ ὁ θάνατος ἐξηφανίσθη καὶ ἡ κατάρα ἐλύθη καὶ οἱ δαίμονες κατῃσχύνθησαν καὶ διεπομπεύθησαν, ὁδηγούμενοι εἰς θριαμβευτικὴν πομπήν, καὶ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἐκαρφώθη εἰς τὸν σταυρόν. Ἀλλ' ἐπειδὴ αὐτὰ συνετελέσθησαν χωρὶς νὰ φαίνωνται, ἔγιναν καὶ μερικὰ φανερά, τὰ ὁποῖα ἔδειξαν ὅτι πράγματι ἦτο μονογενὴς Υἱὸς

τοῦ Θεοῦ, καὶ τῆς κτίσεως πάσης Δεσπότης. Ἔτι γὰρ τοῦ μακαρίου σώματος κρεμαμένου, ἀπέστρεφε μὲν ὁ ἥλιος τὰς ἀκτῖνας, ἐκλονεῖτο δὲ ἡ γῆ καὶ ἐσκοτίζετο πᾶσα, καὶ τάφοι μὲν ἀνερρήγνυντο, καὶ τὸ ἔδαφος ἐτινάσσετο, καὶ νεκρῶν δῆμος ἄπειρος ἐξεπήδα, καὶ εἰς τὴν πόλιν εἰσήει, τῶν δὲ τοῦ μνήματος αὐτοῦ λίθων ἡρμοσμένων τῇ θήκῃ, ἔτι καὶ τῶν σημάντρων ἐπικειμένων, ἀνίστατο ὁ νεκρὸς ὁ σταυρωθείς, ὁ προσηλωθεὶς καὶ τῆς δυνάμεως τῆς πολλῆς τότε τοὺς ἕνδεκα μαθητὰς ἐμπλήσας ἔπεμπε τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις, ἰατροὺς κοινοὺς τῆς φύσεως ἐσομένους ἁπάσης, καὶ τὸν βίον ὀρθώσοντας, τὴν τῶν οὐρανίων δογμάτων γνῶσιν πανταχοῦ διασπεροῦντας γῆς, τὴν δὲ τῶν δαιμόνων λύσοντας τυραννίδα, καὶ τὰ μεγάλα ἀπόρρητα διδάξοντας ἀγαθά, καὶ εὐαγγελιουμένους ἡμῖν ψυχῆς ἀθανασίαν, καὶ σώματος ζωὴν αἰώνιον, τὰ καὶ νοῦν ὑπερβαίνοντα ἔπαθλα, καὶ μηδέποτε ἕξοντα τέλος.

Ταῦτα οὖν καὶ τὰ τούτων πλείονα ἐννοήσας ὁ μακάριος οὗτος, ἃ ᾔδει μὲν αὐτός, γράψαι δὲ οὐκ ἠνέσχετο διὰ τὸ μὴ χωρεῖν τὸν κόσμον· πάντα γὰρ «ἂν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία»· ταῦτα οὖν ἅπαντα λογισάμενος, ἀνεβόησεν ὅτι «Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· πλήρης χάριτος τῆς ἀληθείας».

Τοὺς δὴ οὖν τοσούτων μὲν θεαμάτων, τοιούτων δὲ καταξιωθέντας ἀκουσμάτων, τοσαύτης δὲ ἀπολαύσαντας δωρεᾶς, καὶ βίον ἄξιον τῶν δογμάτων ἐπιδείκνυσθαι χρή, ὥστε καὶ τῶν ἐκεῖσε ἀπολαῦσαι καλῶν· διὰ τοῦτο γὰρ καὶ παρεγένετο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἵνα μὴ μόνον τὴν ἐνταῦθα δόξαν ἴδωμεν αὐτοῦ, ἀλλὰ καὶ τὴν μέλλουσαν. Διὰ τοῦτο ἔλεγε· «Θέλω, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ οὗτοι ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν». Εἰ δὲ αὕτη ἡ δόξα οὕτω

---

5. Ἰω. 21, 25.
6. Ἰω. 17, 24.

τοῦ Θεοῦ καὶ δεσπότης ὁλοκλήρου τῆς κτίσεως. Διότι ἐνῷ ἀκόμη τὸ μακάριον σῶμά του ἦτο κρεμασμένον, ὁ μὲν ἥλιος ἔκρυψε τὰς ἀκτῖνας του, ἡ δὲ γῆ συνεκλονίσθη καὶ ἐσκοτείνιασεν ὁλόκληρος, καὶ οἱ τάφοι ἀνοίχθησαν καὶ τὸ ἔδαφος ἐσείσθη καὶ πλῆθος πολὺ νεκρῶν ἀνέστη καὶ εἰσῆλθεν εἰς τὴν πόλιν. Ἐνῷ δὲ οἱ λίθοι τοῦ μνήματός του ἦσαν προσηρμοσμένοι εἰς τὴν θήκην καὶ ὑπῆρχαν ἀκόμη αἱ σφραγῖδες, ἀνεστήθη ὁ νεκρός, αὐτὸς ποὺ ἐσταυρώθη καὶ ἐκαρφώθη, καὶ ἀφοῦ ἐγέμισε τοὺς ἕνδεκα τότε μαθητάς του μὲ πολλὴν δύναμιν τοὺς ἀπέστειλεν εἰς τοὺς ἀνθρώπους ὁλοκλήρου τῆς οἰκουμένης νὰ γίνουν κοινοὶ ἰατροὶ ὁλοκλήρου τῆς ἀνθρωπίνης φύσεως καὶ νὰ ἀνορθώσουν τὸν βίον των, νὰ σπείρουν παντοῦ εἰς τὴν γῆν τὴν γνῶσιν τῶν οὐρανίων ἀληθειῶν, νὰ διαλύσουν τὴν τυραννίαν τῶν δαιμόνων, νὰ διδάξουν τὰ μεγάλα καὶ ἀπερίγραπτα ἀγαθά, καὶ νὰ εὐαγγελισθοῦν εἰς ἐμᾶς τὴν ἀθανασίαν τῆς ψυχῆς καὶ τὴν αἰώνιον ζωὴν τοῦ σώματος, ἔπαθλα ποὺ καὶ τὸν νοῦν ὑπερβαίνουν καὶ δὲν θὰ ἔχουν τέλος ποτέ.

Αὐτὰ λοιπὸν καὶ τὰ πολὺ περισσότερα τούτων ἔχων κατὰ νοῦν ὁ μακάριος εὐαγγελιστής, τὰ ὁποῖα αὐτὸς μὲν ἐγνώριζεν, ἀλλὰ δὲν ἠμποροῦσε νὰ γράψῃ, ἐπειδὴ δὲν θὰ τὰ ἐχωροῦσεν ὁ κόσμος, ἀφοῦ «ἐὰν ἐγράφοντο ὅλα καταλεπτῶς, νομίζω ὅτι αὐτὸς ὁ κόσμος δὲν θὰ ἐχωροῦσε τὰ βιβλία ποὺ θὰ ἐγράφοντο»[5], σκεπτόμενος λοιπὸν ὅλα αὐτά, ἐφώναξεν, ὅτι «Εἴδαμεν τὴν δόξαν του, δόξαν ποὺ ἔχει ἕνας μονογενὴς Υἱὸς ἀπὸ τὸν Πατέρα του, γεμάτην χάριν καὶ ἀλήθειαν».

Ἐκεῖνοι λοιπὸν οἱ ὁποῖοι κατηξιώθησαν νὰ ἰδοῦν τέτοια θεάματα καὶ νὰ ἀκούσουν τέτοια κηρύγματα καὶ νὰ ἀπολαύσουν τόσον μεγάλην δωρεάν, πρέπει νὰ ἐπιδείξουν καὶ βίον ἀντάξιον τῶν ἀληθειῶν, διὰ νὰ ἀπολαύσουν καὶ τὰ ἐκεῖ ἀγαθά. Δι' αὐτὸ ἄλλωστε ἦλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, διὰ νὰ ἴδωμεν ὄχι μόνον τὴν ἐδῶ δόξαν του, ἀλλὰ καὶ τὴν μελλοντικήν. Δι' αὐτὸ ἔλεγε· «Θέλω ὅπου εἶμαι ἐγώ, νὰ εἶναι καὶ αὐτοί, διὰ νὰ βλέπουν τὴν δόξαν μου»[6]. Ἐὰν δὲ ἡ

γέγονε λαμπρὰ καὶ περιφανής, τί ἄν τις εἴποι περὶ ἐκείνης; Οὐ γὰρ ἐν γῇ φανεῖται φθαρτῇ, οὐδὲ ἐν ἐπικήροις σώμασιν ὄντων ἡμῶν, ἀλλ' ἐν ἀκηράτῳ καὶ ἀγήρῳ τῇ κτίσει, καὶ μετὰ τοσαύτης τῆς λαμπρότητος, μεθ' ὅσης οὐδὲ λόγῳ παραστῆσαι δυνατόν.

Ὦ μακάριοι καὶ τρισμακάριοι καὶ τοῦτο πολλάκις, οἱ τῆς δόξης καταξιούμενοι ἐκείνης γενέσθαι θεαταί! Περὶ ταύτης ὁ Προφήτης φησίν· «Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου». Ἀλλ' ἡμῶν μηδένα γένοιτο ἀρθῆναι, μηδὲ ἀθέατον αὐτῆς γενέσθαι ποτέ· εἰ γὰρ μὴ μέλλοιμεν ἀπολαύσεσθαι ταύτης, εὔκαιρον καὶ παρ' ἡμῶν εἰπεῖν· Καλὸν ἦν ἡμῖν, εἰ μὴ ἐγεννήθημεν. Τί γὰρ ζῶμεν; τί ἀναπνέομεν; τί δὲ ἐσμέν, ἂν τῆς θεωρίας ἀποτύχωμεν ἐκείνης; ἂν τὸν Δεσπότην τὸν ἡμέτερον μηδεὶς ἡμῖν συγχωρήσῃ θεάσασθαι τότε; Εἰ γὰρ οἱ τὸ φῶς τὸ ἡλιακὸν μὴ θεώμενοι παντὸς θανάτου πικροτέραν ὑπομένουσι ζωήν, τί παθεῖν εἰκὸς τοὺς τοῦ φωτὸς ἀποστερηθέντας ἐκείνου;

Ἐνταῦθα μὲν γὰρ ἐν τούτῳ μόνον ἡ ζημία, ἐκεῖ δὲ οὐ μέχρι τούτου μόνον, καίτοι, καὶ εἰ τοῦτο μόνον ἦν τὸ δεινόν, οὐδὲ οὕτως ἴσον τὸ τῆς κολάσεως ἦν, ἀλλὰ τοσούτῳ χαλεπώτερον, ὅσον ὁ ἥλιος ἐκεῖνος τούτου κρείττων ἀσυγκρίτως ἐστί, νῦν δὲ καὶ ἑτέραν ἔστι προσδοκῆσαι τιμωρίαν. Τὸν γὰρ ἐκεῖνο τὸ φῶς οὐχ ὁρῶντα οὐκ εἰς τὸ σκότος δεῖ ἀπενεχθῆναι μόνον, ἀλλὰ καὶ καίεσθαι διὰ παντός, καὶ τήκεσθαι, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μυρία ἕτερα πάσχειν δεινά.

Μὴ δὴ περιΐδωμεν ἑαυτούς, διὰ τῆς βραχείας ταύτης ὀλιγωρίας καὶ ἀνέσεως εἰς αἰώνιον ἐμπίπτοντας κόλασιν, ἀλλὰ γρηγορήσωμεν, νήψωμεν, πάντα πράξωμεν καὶ πραγματευσώμεθα, ὥστε ἐκείνης τυχεῖν τῆς ἀπολαύσεως, καὶ πόρ-

7. Ἡσ. 26, 10.

ἐδῶ δόξα ἦτο τόσον λαμπρὰ καὶ ἐπιφανής, τί θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς δι' ἐκείνην; Διότι δὲν θὰ φανερωθῇ εἰς φθαρτὴν γῆν, οὔτε ἐνῷ ἐμεῖς θὰ εὑρισκώμεθα εἰς θνητὰ σώματα, ἀλλὰ εἰς ἀκηλίδωτον καὶ ἄφθαρτον κτίσιν καὶ μὲ τόσην λαμπρότητα, ὅσην δὲν εἶναι δυνατὸν νὰ τὴν παραστήσῃ κανεὶς μὲ λόγια.

Ὢ εὐτυχισμένοι καὶ τρισευτυχισμένοι καὶ ἀκόμη πιὸ πολὺ εὐτυχισμένοι ὅσοι ἀξιώνονται νὰ γίνουν θεαταὶ τῆς δόξης ἐκείνης! Δι' αὐτὴν λέγει ὁ προφήτης· «Νὰ ἐκλείψῃ ὁ ἀσεβής, διὰ νὰ μὴ ἰδῇ τὴν δόξαν τοῦ Κυρίου»[7]. Ἀλλὰ εἴθε κανεὶς ἀπὸ ἐμᾶς νὰ μὴ χαθῇ, οὔτε νὰ μὴ ἰδῇ αὐτὴν τὴν δόξαν. Διότι ἐὰν πρόκειται νὰ μὴ τὴν ἀπολαύσωμεν, εἶναι ἐπίκαιρον νὰ εἰποῦμεν καὶ δι' ἡμᾶς· ἦτο προτιμώτερον νὰ μὴ εἴχαμεν γεννηθῇ. Διότι διατί ζῶμεν; Διατί ἀναπνέομεν; Διατί δὲ ὑπάρχομεν, ἐὰν δὲν ἐπιτύχωμεν τὴν θέαν ἐκείνην; Ἐὰν κανεὶς δὲν μᾶς ἐπιτρέψῃ τότε νὰ ἴδωμεν τὸν Δεσπότην μας; Διότι, ἐὰν αὐτοὶ οἱ ὁποῖοι δὲν βλέπουν τὸ ἡλιακὸν φῶς, ὑφίστανται ζωὴν περισσότερον πικρὰν ἀπὸ κάθε θάνατον, τί εἶναι φυσικὸν νὰ πάθουν ὅσοι θὰ στερηθοῦν ἐκεῖνο τὸ φῶς;

Διότι ἐδῶ μὲν εἰς αὐτὸ μόνον ἔγκειται ἡ ζημία, ἐνῷ ἐκεῖ δὲν σταματᾷ εἰς αὐτὸ μόνον· μολονότι καὶ ἂν ἀκόμη ἦτο αὐτὸ μόνον τὸ κακόν, πάλιν δὲν θὰ ἦτο ἰδία ἡ τιμωρία, ἀλλὰ θὰ ἦτο τόσον χειροτέρα, ὅσον ἀσυγκρίτως ἀνώτερος εἶναι ὁ ἥλιος ἐκεῖνος ἀπὸ αὐτόν. Ἀλλὰ τώρα πρέπει νὰ περιμένωμεν καὶ ἄλλην τιμωρίαν. Διότι ἐκεῖνος ποὺ δὲν βλέπει ἐκεῖνο τὸ φῶς, δὲν θὰ ὁδηγηθῇ μόνον εἰς τὸ σκότος, ἀλλὰ καὶ θὰ καίεται αἰωνίως καὶ θὰ λυώνῃ καὶ θὰ τρίζῃ τὰ δόντια καὶ θὰ πάθῃ μύρια ἄλλα κακά.

Ἂς μὴ παραβλέψωμεν λοιπὸν τοὺς ἑαυτούς μας, ἀφήνοντές τους νὰ πέσουν εἰς αἰώνιον κόλασιν μὲ τὴν σύντομον αὐτὴν ὀλιγωρίαν καὶ ἄνεσιν, ἀλλὰ ἂς ἀγρυπνῶμεν, ἂς εἴμεθα νηφάλιοι, ἂς κάνωμεν τὰ πάντα καὶ ἂς ἀγωνισθῶμεν, διὰ νὰ ἐπιτύχωμεν ἐκείνην τὴν ἀπόλαυσιν καὶ νὰ μείνωμεν μα-

ρω γενέσθαι τοῦ ποταμοῦ τοῦ πυρός, τοῦ συρομένου μετὰ πολλοῦ ροίζου πρὸ τοῦ βήματος τοῦ φρικτοῦ. Τὸν γὰρ ἅπαξ ἐμπεσόντα ἐκεῖ χρὴ μένειν διὰ παντός, καὶ ὁ τῆς κολάσεως ἐξαιρησόμενος οὐδείς, οὐ πατήρ, οὐ μήτηρ, οὐκ ἀδελφός. Καὶ ταῦτα αὐτοὶ οἱ προφῆται βοῶσιν, ὁ μὲν λέγων· «Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;», ὁ δὲ Ἰεζεκιὴλ καὶ τούτου τι πλέον ἐδήλωσεν εἰπών· «Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας οὐ μὴ ἐξέλωνται». Μία γὰρ προστασία μόνη, ἡ διὰ τῶν ἔργων, ἐστὶν ἐκεῖ, καὶ τὸν ταύτης ἀπεστερημένον ἑτέρωθεν σωθῆναι οὐκ ἔνι.

Ταῦτα οὖν διηνεκῶς στρέφοντες καὶ ἀναλογιζόμενοι, ἐκκαθάρωμεν ἡμῶν τὸν βίον, καὶ λαμπρὸν ποιήσωμεν, ὥστε μετὰ παρρησίας ἰδεῖν τὸν Κύριον, καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8. Ψαλμ. 48, 8.
9. Ἰεζ. 14, 14 καὶ 16.

κρὰν ἀπὸ τὸν ποταμὸν τοῦ πυρὸς ὁ ὁποῖος κυλᾷ μὲ μεγάλην ὁρμὴν μπροστὰ ἀπὸ τὸ φρικτὸν βῆμα. Διότι ἐκεῖνος ποὺ θὰ πέσῃ μίαν φορὰν ἐκεῖ, θὰ μείνῃ διαπαντὸς καὶ δὲν θὰ ἐξαιρεθῇ κανεὶς ἀπὸ τὴν κόλασιν, οὔτε πατέρας, οὔτε μητέρα, οὔτε ἀδελφός. Καὶ αὐτὰ τὰ φωνάζουν οἱ ἴδιοι οἱ προφῆται, ἄλλος μὲν λέγων «ὁ ἀδελφὸς δὲν σώζεται, θὰ τὸν σώσῃ ἄνθρωπος;»[8]· ὁ δὲ Ἰεζεκιὴλ λέγει καὶ κάτι περισσότερον ἀπὸ αὐτό· «Ἐὰν σταθῇ ὁ Νῶε καὶ ὁ Ἰὼβ καὶ ὁ Δανιήλ, δὲν θὰ γλυτώσουν τοὺς υἱοὺς καὶ τὰς θυγατέρας των»[9]. Διότι μία μόνον προστασία ὑπάρχει ἐκεῖ, ἡ προστασία τῶν ἔργων, καὶ ὅποιος στερεῖται αὐτήν, δὲν ὑπάρχει δυνατότης νὰ σωθῇ μὲ ἄλλον τρόπον.

Ἀναλογιζόμενοι λοιπὸν καὶ περιστρέφοντες διαρκῶς αὐτὰ εἰς τὸν νοῦν μας, ἂς καθαρίσωμεν τὸν βίον μας καὶ ἂς τὸν κάνωμεν λαμπρόν, εἰς τρόπον ὥστε μὲ θάρρος νὰ ἴδωμεν τὸν Κύριον καὶ νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ὑπεσχέθη, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα μαζὶ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ΄.

'Ιω. 1, 15.

«Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν, ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν».

1. Ἆρα μὴ εἰς κενὸν τρέχομεν καὶ κοπιῶμεν; μὴ κατὰ πετρῶν σπείρομεν; ἆρα μὴ παρὰ τὴν ὁδὸν καὶ τὰς ἀκάνθας ἡμῖν λανθάνει τὰ σπέρματα πίπτοντα;[1] Ἀγωνιῶ γὰρ σφόδρα καὶ δέδοικα μὴ ἀνόνητος ὑμῖν ἡ γεωργία γένηται, καὶ ταῦτα οὐδὲ μέλλων αὐτὸς εἰς τὸν τοῦ κόπου τούτου παραβλάπτεσθαι μισθόν· οὐ γὰρ οἷα τῶν γηπόνων, τοιαῦτα καὶ τὰ τῶν διδασκόντων ἐστίν. Ὁ μὲν γὰρ γεωργὸς μετὰ τοὺς ἐνιαυσίους πολλάκις μόχθους, καὶ τὴν ταλαιπωρίαν ἐκείνην, καὶ τοὺς ἱδρῶτας, ἂν μηδὲν ἐξενέγκῃ τῶν πόνων ἄξιον ἡ γῆ, παρ' οὐδενὸς ἑτέρου δυνήσεται τῶν πόνων τινὰ παραμυθίαν εὑρεῖν, ἀλλ' ὑποστρέφει μετ' αἰσχύνης καὶ κατηφείας ἀπὸ τῆς ἅλω πρὸς τὴν οἰκίαν, καὶ τὴν γυναῖκα, καὶ τὰ παιδία, οὐδένα ἔχων ἀπαιτῆσαι τῆς φιλοπονίας τῆς μακρᾶς τὴν ἀντίδοσιν. Ἐπὶ δὲ ἡμῶν οὐδὲν τοιοῦτον ἔσται, ἀλλὰ κἂν ἡ γεωργουμένη γῆ μηδένα ἐξενέγκῃ καρπόν, ἡμῶν ἅπαντα ἐπιδειξαμένων πόνον, ὁ καὶ ταύτης καὶ ἡμῶν Κύριος οὐ περιόψεται κεναῖς ἡμᾶς ἀπερχομένους ἐλπίσιν, ἀλλὰ δώσει τὰς ἀμοιβάς· «Ἕκαστος» γάρ, φησί, «τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον»[2], οὐ κατὰ τὸ τῶν πραγμάτων τέλος.

Καὶ ὅτι οὕτως ἔχει, ἄκουε· «Καὶ σύ», φησίν, «υἱὲ ἀν-

1. Ματθ. 13, 4 ἑ.
2. Α΄ Κορ. 3, 8.

ΟΜΙΛΙΑ ΙΓ΄.
'Ιω. 1, 15.

«Ὁ 'Ιωάννης μαρτυρεῖ δι' Αὐτὸν καὶ φωνάζει λέγων, ὅτι Αὐτὸς εἶναι ἐκεῖνος ποὺ εἶπα, Αὐτὸς ποὺ ἔρχεται ὕστερα ἀπὸ ἐμένα, ἔχει ἔλθει πρὶν ἀπὸ ἐμένα, διότι ὑπῆρχε πρὶν ἀπὸ ἐμέ».

1. Ἆρά γε μήπως μάταια τρέχομεν καὶ κοπιάζομεν; Μήπως σπέρνομεν εἰς ἔδαφος πετρῶδες; Μήπως ἆρά γε οἱ σπόροι μᾶς διαφεύγουν καὶ πέφτουν εἰς τὸν δρόμον ἢ εἰς τὰ ἀγκάθια;[1] 'Αγωνιῶ, ξέρετε, πάρα πολὺ καὶ φοβοῦμαι μήπως ἡ καλλιέργειά σας ἀποβῇ ἀνώφελος. Καὶ αὐτὸ μολονότι δὲν πρόκειται νὰ ζημιωθῶ ἐγὼ ὅσον ἀφορᾷ εἰς τὸν μισθόν μου διὰ τὸν κόπον αὐτόν, καθόσον ἡ θέσις τῶν διδασκάλων δὲν εἶναι ὁμοία μὲ τὴν τῶν γεωργῶν. Διότι ὁ μὲν γεωργός, πολλάκις μετὰ ἀπὸ τοὺς κόπους ὅλου τοῦ ἔτους καὶ τὴν ταλαιπωρίαν καὶ τοὺς ἱδρῶτας, ἐὰν ἡ γῆ δὲν ἀποδώσῃ κάτι ἀντάξιον πρὸς τοὺς κόπους του, δὲν θὰ ἠμπορέσῃ ἀπὸ κανένα ἄλλον νὰ εὕρῃ κάποιαν παρηγορίαν διὰ τοὺς κόπους του αὐτοὺς καὶ γυρίζει μὲ ἐντροπὴν καὶ κατήφειαν ἀπὸ τὸ ἁλώνι εἰς τὴν οἰκίαν καὶ εἰς τὴν γυναῖκα καὶ τὰ παιδιά του, χωρὶς νὰ ἠμπορῇ νὰ ἀπαιτήσῃ ἀπὸ κανένα τὴν ἀνταμοιβὴν διὰ τὸν μακρὸν κόπον του.

Εἰς ἐμᾶς ὅμως δὲν θὰ συμβῇ τίποτε τέτοιο, ἀλλὰ καὶ ἂν ἀκόμη ἡ καλλιεργουμένη γῆ δὲν ἀποδώσῃ κανένα καρπόν, ἐφ' ὅσον ἐμεῖς κατεβάλαμεν κάθε κόπον, ὁ Κύριος τῆς γῆς καὶ ἰδικός μας δὲν θὰ ἀνεχθῇ νὰ ἀπέλθωμεν μὲ διεψευσμένας τὰς ἐλπίδας μας, ἀλλὰ θὰ μᾶς ἀνταμείψῃ. Διότι λέγει ὅτι «Ὁ καθένας θὰ λάβῃ τὸν μισθόν του ἀναλόγως πρὸς τὸν κόπον του»[2].

Καὶ ὅτι ἔτσι ἔχει τὸ πρᾶγμα, ἄκου· «Καὶ σὺ υἱὲ τοῦ

θρώπου», διαμάρτυραι τῷ λαῷ τούτῳ, «ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι». Καὶ διὰ τοῦ Ἰεζεκιὴλ δὲ τοῦτο μαθεῖν ἐστιν· ἐὰν ὁ σκοπὸς γὰρ προείπῃ τί μὲν φυγεῖν, τί δὲ ἑλέσθαι δέοι, τὴν ψυχὴν ἐξίλετο τὴν ἑαυτοῦ, κἂν ὁ προσέχων μηδεὶς ᾖ.

Ἀλλ' ὅμως, καὶ ἰσχυρὰν παραμυθίαν ταύτην ἔχοντες, καὶ ὑπὲρ τῆς εἰς ἡμᾶς ἀμοιβῆς θαρροῦντες, ὅταν ὑμῶν τὸ ἔργον ἴδωμεν μὴ προκόπτον, οὐδὲν ἄμεινον ἐκείνων διακείμεθα τῶν γεωργῶν, τῶν στεναζόντων καὶ θρηνούντων, τῶν ἐγκαλυπτομένων καὶ αἰσχυνομένων· τοῦτο γὰρ διδασκάλου συμπάθεια, τοῦτο κηδεμονία πατρός. Ἐπεὶ καὶ Μωϋσῆς, ἐξὸν αὐτῷ τῆς ἀγνωμοσύνης ἀπαλλαγῆναι τῆς Ἰουδαϊκῆς, καὶ λαμπροτέραν ἀρχὴν ἔθνους ἑτέρου λαβεῖν καὶ πολλῷ μείζονος, «Ἔασον γάρ με», φησί, «καὶ ἐξαλείψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα ἢ τοῦτο», ἐπειδὴ ἅγιος ἦν καὶ Θεοῦ δοῦλος, καὶ σφόδρα φίλος γνήσιος καὶ γενναῖος, οὐδὲ ἀκοῦσαι ταύτην ἠνέσχετο τὴν φωνήν, ἀλλ' εἵλετο μᾶλλον ἀπολέσθαι μετὰ τῶν ἅπαξ κληρωθέντων αὐτῷ, ἢ χωρὶς ἐκείνων διασώζεσθαι, καὶ ἐν ἀξιώματι εἶναι μείζονι.

Τοιοῦτον εἶναι χρὴ τὸν προεστῶτα ψυχῶν· καὶ γὰρ ἄτοπον παῖδας μὲν ἔχοντά τινα φαύλους μὴ ἐθελῆσαι ἑτέρων κληθῆναι πατέρα, ἀλλὰ τῶν παρ' αὐτοῦ φύντων, μαθητὰς δὲ ἐγχειρισθέντας ἑτέρους ἐξ ἑτέρων ἀμείβειν ἀεί, καὶ νῦν μὲν τούτων, αὖθις δὲ ἐκείνων, καὶ μετὰ τούτων πάλιν ἄλλων προστασίαν ἡμᾶς ἁρπάζειν, πρὸς οὐδένα οἰκείως διακειμένους.

Ἀλλὰ περὶ ὑμῶν μὴ γένοιτο ταῦτα ὑποπτεῦσαί ποτε. Πεποίθαμεν γὰρ ὅτι μᾶλλον περισσεύετε ἐν τῇ πίστει, τῇ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τῇ ἀγάπῃ τῇ εἰς ἀλλήλους καὶ εἰς πάνας. Ταῦτα δὲ λέγομεν, βουλόμενοι τὴν σπουδὴν ἐπιταθῆναι τὴν ὑμετέραν, καὶ ἐπὶ μεῖζον ἐπι-

---

3. Ἰεζ. 2, 3 καὶ 5.
4. Ἰεζ. 3, 19.
5. Ἐξ. 32, 10.

ἀνθρώπου», λέγει, κήρυξε εἰς τὸν λαὸν αὐτόν, «μήπως καὶ ἀκούσουν, μήπως καὶ καταλάβουν»[3]. Ἀλλὰ αὐτὰ εἶναι δυνατὸν νὰ τὸ μάθωμεν καὶ ἀπὸ τὸν Ἰεζεκιήλ, κατὰ τὸν ὁποῖον, ἐὰν ὁ σκοπὸς εἰπῇ ἐκ τῶν προτέρων διατί πρέπει νὰ φύγω καὶ νὰ σωθῶ, ἔσωσε τὴν ψυχήν του, ἔστω καὶ ἂν δὲν ὑπάρχῃ κανεὶς ποὺ νὰ προσέχῃ[4].

Ἀλλ' ὅμως, μολονότι ἔχομεν αὐτὴν τὴν μεγάλην παρηγορίαν, καὶ στηριζόμεθα εἰς τὴν ἀμοιβὴν ποὺ μᾶς ἀναμένει, ὅταν ἰδοῦμεν τὸ ἔργον μας νὰ μὴ προκόπτῃ, δὲν αἰσθανόμεθα καλύτερα ἀπὸ τοὺς γεωργοὺς ἐκείνους οἱ ὁποῖοι ἀναστενάζουν καὶ θρηνοῦν καὶ κρύπτονται καὶ ἐντρέπονται. Αὐτὸ σημαίνει συμπάθεια διδασκάλου, καὶ ἐνδιαφέρον πατρός. Διότι καὶ ὁ Μωϋσῆς, μολονότι ἦτο δυνατὸν νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ἰουδαϊκὴν ἀχαριστίαν καὶ νὰ ἀναλάβῃ τὴν ἔνδοξον ἀρχηγίαν ἄλλου ἔθνους κατὰ πολὺ ἀνώτερον, ἀφοῦ τοῦ εἶπεν· «Ἄφησέ με νὰ τοὺς ἐξαφανίσω καὶ νὰ σὲ ἀναδείξω ἀρχηγὸν εἰς ἔθνος μεγάλο»[5] καὶ ὄχι ὅπως αὐτό, ἐπειδὴ ἦτο ἅγιος καὶ δοῦλος τοῦ Θεοῦ καὶ πολὺ φίλος γνήσιος καὶ γενναῖος, οὔτε νὰ ἀκούσῃ δὲν ἠνέχθη αὐτὴν τὴν πρότασιν, ἀλλ' ἐπροτίμησε μᾶλλον νὰ ἀποθάνῃ μαζὶ μὲ αὐτοὺς ποὺ τοῦ ἔλαχαν ἅπαξ διὰ παντός, παρὰ νὰ σωθῇ χωρὶς ἐκείνους καὶ νὰ ἀναλάβῃ ἀξίωμα ἀνώτερον.

Τέτοιος πρέπει νὰ εἶναι αὐτὸς ποὺ ἡγεῖται ψυχῶν. Εἶναι ἄλλωστε ἀδιανόητον, ὅταν μὲν κάποιος ἔχῃ παιδιὰ κακά, νὰ μὴ θέλῃ νὰ ὀνομασθῇ πατέρας ἄλλων, παρὰ αὐτῶν ποὺ ἐγέννησεν, ἐνῷ τοὺς μαθητὰς ποὺ τοῦ ἐδόθησαν νὰ τοὺς ἀλλάζῃ διαρκῶς μὲ ἄλλους καὶ ἄλλοτε μὲν αὐτῶν, ἄλλοτε δὲ ἐκείνων καὶ μαζὶ μὲ αὐτοὺς νὰ ἁρπάξωμεν τὴν προστασίαν ἄλλων καὶ νὰ μὴ αἰσθανώμεθα φίλοι πρὸς κανέναν.

Ἀλλ' εἴθε νὰ μὴ περάσῃ τέτοια σκέψις ἀπὸ τὸν νοῦν μας διὰ σᾶς. Διότι εἴμεθα πεπεισμένοι ὅτι ἔχετε περίσσειαν πίστεως εἰς τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν καὶ ἀγάπης μεταξύ σας καὶ πρὸς ὅλους. Αὐτὰ δὲ τὰ ἀναφέρομεν ἐπειδὴ θέλομεν νὰ ἐνταθῇ ἡ προσπάθειά μας καὶ νὰ ἐπιδοθῆτε περισ-

δοθῆναι τῆς πολιτείας ὑμῶν τὴν ἀρετήν. Οὕτω γὰρ καὶ τῶν προκειμένων ἡμῖν λόγων εἰς αὐτὸ τὸ βάθος καταθεῖναι δυνήσεσθε τὰ νοήματα, ἂν μηδεμία πονηρίας λήμη τοῖς ὀφθαλμοῖς ἐπισκοτῇ τῆς διανοίας, καὶ τὸ διορατικὸν αὐτῆς καὶ ὀξὺ συνταράσσῃ.

Τί πότ᾽ οὖν ἐστι τὸ προκείμενον ἡμῖν σήμερον; «Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν, ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν». Πολύς ἐστιν οὗτος ὁ Εὐαγγελιστής, ἄνω καὶ κάτω τὸν Ἰωάννην στρέφων, καὶ τὴν μαρτυρίαν αὐτοῦ πολλαχοῦ περιφέρων. Ποιεῖ δὲ οὐχ ἁπλῶς τοῦτο, ἀλλὰ καὶ σφόδρα συνετῶς. Ἐπειδὴ γὰρ πολὺ τὸ θαῦμα εἶχον τοῦ ἀνδρὸς τούτου πάντες οἱ Ἰουδαῖοι, (καὶ γὰρ καὶ ὁ Ἰώσηπος τῇ τούτου τελευτῇ τὸν πόλεμον λογίζεται, δι᾽ αὐτόν τε δείκνυσι μηδὲ πόλιν εἶναι τήν ποτε μητρόπολιν οὖσαν, καὶ μακροὺς συνείρει περὶ αὐτοῦ λόγους ἐγκωμίων), ἀπ᾽ αὐτοῦ τοίνυν τοὺς Ἰουδαίους ἐντρέψαι βουλόμενος, συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς τοῦ Προδρόμου μαρτυρίας.

Καὶ οἱ μὲν ἄλλοι Εὐαγγελισταὶ τῶν παλαιοτέρων μέμνηνται προφητῶν, καὶ καθ᾽ ἕκαστον τῶν ἐπ᾽ αὐτῷ γινομένων ἐκεῖ παραπέμπουσι τὸν ἀκροατήν, καὶ ὅταν τίκτηται, λέγοντες· «Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν»· καὶ ὅταν ἐπιβουλεύηται, καὶ πανταχόθεν οὕτως ἀκριβῶς ἀναζητῆται, ὡς καὶ τὴν ἄωρον ἡλικίαν σφάττεσθαι ὑπὸ Ἡρῴδου, τὸν Ἱερεμίαν εἰς μέσον πόρρωθεν ἄγειν λέγοντα· «Φωνὴ ἐν Ραμᾷ ἠκούσθη, θρῆνος, καὶ κλαυθμός, καὶ ὀδυρμὸς πολύς, Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς»· καὶ τοῦ Ὠσηὲ μεμνημένοι, ὅταν ἐξ Αἰγύπτου πάλιν ἀναβαίνῃ, «Ἐξ Αἰγύπτου», λέγοντα καὶ αὐτόν, «ἐκάλεσα τὸν υἱόν μου»· καὶ πανταχοῦ τοῦτο ποιοῦσιν.

Οὗτος δέ, τρανοτέραν τὴν μαρτυρίαν ἐργαζόμενος καὶ νεα-

6. Ματθ. 1, 22 καὶ Ἠσ. 7, 14.

σότερον εἰς ἐνάρετον ζωήν. Διότι ἔτσι καὶ τὸ νόημα ὅσων τώρα σᾶς λέγομεν θὰ ἠμπορέσετε νὰ τὸ βάλετε βαθειὰ εἰς τὴν ψυχήν σας, ἐὰν δὲν συσκοτίζῃ τοὺς ὀφθαλμοὺς τῆς διανοίας σας καμμία τσίμπλα πονηρίας καὶ παρεμποδίζῃ τὴν ὀξεῖαν ὅρασιν αὐτῆς.

Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ ἔχομεν σήμερα; «Ὁ Ἰωάννης μαρτυρεῖ δι' αὐτὸν καὶ φωνάζει λέγων, ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ εἶπα, αὐτὸς ποὺ ἔρχεται ὕστερα ἀπὸ ἐμένα, ἔχει ἔλθει πρὶν ἀπὸ ἐμένα, διότι ὑπῆρχε πρὶν ἀπὸ ἐμένα». Εἶναι σπουδαῖος αὐτὸς ὁ εὐαγγελιστής, ὁ ὁποῖος κάνει τὸν Ἰωάννην ἄνω κάτω καὶ περιφέρει παντοῦ τὴν μαρτυρίαν του. Τὸ κάνει δὲ αὐτὸ ὄχι τυχαῖα, ἀλλὰ μὲ σύνεσιν. Διότι ἐπειδὴ ἐθαύμαζαν πολὺ τὸν ἄνδρα αὐτὸν οἱ Ἰουδαῖοι ὅλοι (ἀφοῦ καὶ ὁ Ἰώσηπος ἀκόμη ὑπολογίζει μὲ τὸν θάνατον αὐτοῦ τὸν πόλεμον καὶ δείχνει χάριν αὐτοῦ ὅτι δὲν εἶναι κἂν πόλις, αὐτὴ ποὺ ἄλλοτε ἦτο μητρόπολις, καὶ πλέκει δι' αὐτὸν μακρὰ ἐγκώμια), θέλων νὰ τοὺς ἀποτρέψῃ ἀπὸ αὐτόν, τοὺς ὑπενθυμίζει διαρκῶς τὴν μαρτυρίαν τοῦ Προδρόμου.

Καὶ οἱ μὲν ἄλλοι εὐαγγελισταὶ ἀναφέρουν τοὺς παλαιοτέρους προφήτας καὶ διὰ κάθε γεγονὸς ποὺ πραγματοποιεῖται εἰς αὐτὸν παραπέμπουν ἐκεῖ τὸν ἀκροατήν. Ὅταν π.χ. γεννᾶται λέγουν· «Ὅλα αὐτὰ ἔγιναν, διὰ νὰ ἐκπληρωθῇ ἐκεῖνο ποὺ εἶπεν ὁ προφήτης Ἡσαΐας· ἰδοὺ ἡ παρθένος θὰ συλλάβῃ καὶ θὰ γεννήσῃ υἱόν»[6]. Καὶ ὅταν πάλιν τὸν ἐπιβουλεύωνται καὶ ἀναζητῆται ἐπιμόνως παντοῦ, ὥστε ἀκόμη καὶ τὰ νήπια νὰ σφαγοῦν ἀπὸ τὸν Ἡρώδην, ἀναφέρει τὸν Ἰερεμίαν, ὁ ὁποῖος λέγει· «Φωνὴ ἠκούσθη εἰς τὴν Ραμά, θρῆνος, κλάμα καὶ μεγάλος ὀδυρμός. Ἦτο ἡ Ραχὴλ ποὺ ἔκλαιε τὰ παιδιά της»[7]. Καὶ ὅταν ἐπιστρέφῃ ἀπὸ τὴν Αἴγυπτον ἐνθυμοῦνται τὸν Ὠσηέ, ὁ ὁποῖος λέγει, «Ἀπὸ τὴν Αἴγυπτον ἐκάλεσα τὸν υἱόν μου»[8], καὶ παντοῦ τὸ ἴδιον κάνουν.

Αὐτὸς ὅμως κάνοντας ἰσχυροτέραν τὴν μαρτυρίαν του

7. Ματθ. 2, 18 καὶ Ἰερ. 31, 15.
8. Ὠσ. 11, 1.

ρωτέραν, ἅτε καὶ μεγαλοφωνότερον τῶν ἄλλων φθεγξάμενος, οὐ τοὺς ἀπελθόντας, οὐδὲ τοὺς τετελευτηκότας μόνον, ἀλλὰ καὶ τὸν ζῶντα καὶ παραγενόμενον ὑποδείξαντα καὶ βαπτίσαντα αὐτόν, τοῦτον εἰς μέσον ἄγει συνεχῶς· οὐ τὸν Δεσπότην ἀπὸ τοῦ δούλου ποιῆσαι ἀξιόπιστον σπεύδων, ἀλλὰ τῇ τῶν ἀκροατῶν ἀσθενείᾳ συγκαταβαίνων. Ὥσπερ γάρ, εἰ μὴ τὴν τοῦ δούλου μορφὴν ἔλαβεν, οὐκ ἂν εὐπαράδεκτος γέγονεν, οὕτως εἰ μὴ τῇ τοῦ δούλου φωνῇ τὰς ἀκοὰς τῶν ὁμοδούλων προεγύμνασεν, οὐκ ἂν οἵ γε πολλοὶ τῶν Ἰουδαίων τὸν λόγον ἐδέξαντο.

2. Πρὸς δὲ τούτῳ καὶ ἕτερον κατεσκευάζετο μέγα τι καὶ θαυμαστόν. Ἐπειδὴ γὰρ τὸ αὐτόν τινα περὶ ἑαυτοῦ μέγα τι λέγειν ὕποπτον ποιεῖ τὴν μαρτυρίαν, καὶ προσίσταται πολλοῖς τῶν ἀκουόντων πολλάκις, ἕτερος περὶ αὐτοῦ παραγίνεται μαρτυρήσων.

Χωρὶς δὲ τούτων, καὶ ὅτι εἰώθασί πως οἱ πολλοὶ πρὸς τὴν συνηθεστέραν καὶ σύντροφον αὐτοῖς ἐπιτρέχειν μᾶλλον φωνήν, ἅτε αὐτὴν μᾶλλον τῶν ἄλλων ἐπιγινώσκοντες· διὰ δὴ τοῦτο ἡ μὲν ἀπὸ τοῦ οὐρανοῦ γέγονεν ἅπαξ ἢ δίς, ἡ δὲ τοῦ Ἰωάννου πολλάκις καὶ συνεχῶς. Οἱ μὲν γὰρ ἀναβεβηκότες τοῦ λαοῦ τὴν ἀσθένειαν, καὶ τῶν αἰσθητῶν ἁπάντων ἀπαλλαγέντες, καὶ τῆς ἄνωθεν ἀκούειν ἠδύναντο φωνῆς, καὶ οὐ σφόδρα τῆς ἀνθρωπίνης ἐδέοντο, ἅτε ἐκείνῃ πάντα πειθόμενοι καὶ ὑπ' αὐτῆς ἤγοντο· οἱ δέ, ἔτι κάτω στρεφόμενοι, καὶ πολλοῖς προκαλύμμασι συγκεκαλυμμένοι, τῆς ταπεινοτέρας ταύτης ἐδέοντο.

Οὕτω γοῦν καὶ ὁ Ἰωάννης, ἐπειδὴ πάντοθεν ἑαυτὸν ἐγύμνωσε τῶν αἰσθητῶν, οὐκ ἐδεῖτο διδασκάλων ἀνθρώπων, ἀλλ' ἀπὸ τῶν οὐρανῶν ἐπαιδεύετο· «Ὁ γὰρ πέμψας με βαπτίζειν», φησίν, «ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν

καὶ νεωτέραν, ἀφοῦ ἄλλωστε ὡμίλησε περισσότερον μεγαλοφώνως ἀπὸ τοὺς ἄλλους, δὲν ἀναφέρει συνεχῶς τοὺς προγενεστέρους, οὔτε μόνον τοὺς ἀποθαμένους, ἀλλὰ καὶ ἐκεῖνον ποὺ ἔζη καὶ ποὺ ὅταν ἦλθε τὸν ὑπέδειξε καὶ τὸν ἐβάπτισε. Μὲ αὐτὸ δὲν ἐπεδίωκε νὰ κάνη ἀξιόπιστον τὸν Δεσπότην μὲ τὸν δοῦλον, ἀλλὰ νὰ δείξῃ συγκατάβασιν εἰς τὴν ἀδυναμίαν τῶν ἀκροατῶν του. Διότι ὅπως, ἐὰν δὲν ἐλάμβανε μορφὴν δούλου, δὲν θὰ ἐγίνετο παραδεκτός, ἔτσι, ἐὰν δὲν προετοίμαζε τὴν ἀκοὴν τῶν συνανθρώπων του μὲ τὴν φωνὴν τοῦ δούλου, δὲν θὰ ἐδέχοντο τὸ κήρυγμα οἱ πιὸ πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους.

2. Παράλληλα πρὸς αὐτὸ ὅμως ἐγίνετο καὶ κάτι τὸ μεγάλο καὶ θαυμαστόν. Ἐπειδὴ τὸ νὰ λέγῃ αὐτὸς κάτι τὸ σπουδαῖον περὶ τοῦ ἑαυτοῦ του, κάμνει ὕποπτον τὴν μαρτυρίαν, καὶ προδιαθέτει πολλάκις δυσμενῶς πολλοὺς ἀπὸ τοὺς ἀκροατάς, δι' αὐτὸ ἔρχεται ἄλλος νὰ μαρτυρήσῃ περὶ αὐτοῦ.

Ἐκτὸς ἀπὸ αὐτὰ ὅμως καὶ ἐπειδὴ συνήθιζαν κάπως οἱ περισσότεροι νὰ συναινοῦν προθύμως εἰς τὴν συνηθισμένην καὶ φιλικὴν εἰς αὐτοὺς φωνὴν μᾶλλον, ἐπειδὴ αὐτὴν τὴν ἐγνώριζαν καλύτερα ἀπὸ τὰς ἄλλας. Δι' αὐτὸ ἄλλωστε ἡ μὲν φωνὴ ἀπὸ τὸν οὐρανὸν ἦλθε δύο ἢ τρεῖς φοράς, ἐνῷ τοῦ Ἰωάννου πολλάκις καὶ συνεχῶς. Διότι ὅσοι μὲν εἶχαν ξεπεράσει τὴν ἀδυναμίαν τοῦ λαοῦ καὶ εἶχαν ἀπαλλαγῆ ἀπὸ ὅλα τὰ αἰσθητά, ἠμποροῦσαν νὰ ἀκούσουν καὶ τὴν φωνὴν τῶν οὐρανῶν, καὶ δὲν εἶχαν μεγάλην ἀνάγκην τῆς ἀνθρωπίνης, ἐπειδὴ ἐπείθοντο καθ' ὅλα εἰς ἐκείνην καὶ καθωδηγοῦντο ἀπὸ αὐτήν. Ἐνῷ ὅσοι περιφέρονται ἀκόμη κάτω καὶ εἶναι σκεπασμένοι μὲ πολλὰ καλύμματα, εἶχαν ἀνάγκην αὐτῆς τῆς ταπεινῆς φωνῆς.

Ἔτσι λοιπὸν καὶ ὁ Ἰωάννης, ἐπειδὴ εἶχε ἀπαλλάξει τὸν ἑαυτόν του ἀπὸ ὅλα τὰ αἰσθητά, δὲν εἶχεν ἀνάγκην ἀπὸ ἀνθρώπους διδασκάλους, ἀλλ' ἐδιδάσκετο ἀπὸ τοὺς οὐρανούς. Διότι «Ἐκεῖνος ποὺ μὲ ἔστειλε νὰ βαπτίζω», λέγει, «μὲ ὕδωρ, Ἐκεῖνος μοῦ εἶπεν· εἰς ὅποιον θὰ ἴδῃς νὰ κατε-

ἴδῃς τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, οὗτός ἐστιν». Οἱ δὲ ἔτι παῖδες Ἰουδαῖοι, καὶ πρὸς τὸ ὕψος ἐκεῖνο μηδέπω φθάσαι δυνάμενοι, ἄνθρωπον εἶχον διδάσκαλον, οὐ τὰ ἑαυτοῦ αὐτοῖς λέγοντα, ἀλλὰ τὰ ἄνωθεν ἀπαγγέλλοντα.

Τί οὖν οὗτός φησιν; «Αὐτὸς μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων». Τί ἐστι τὸ «κέκραγε»; Μετὰ παρρησίας, φησί, μετὰ ἐλευθερίας, χωρὶς ὑποστολῆς ἁπάσης ἀνακηρύττει. Καὶ τί ἀνακηρύττει; τί δὲ μαρυρεῖ καὶ κέκραγεν; «Οὗτος ἦν», φησίν, «ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν». Συνεσκιασμένη ἡ μαρτυρία, καὶ ἔτι πολὺ τὸ ταπεινὸν ἔχουσα· οὐ γὰρ εἶπεν· ‘Οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ Μονογενής’, ἀλλὰ τί; «Οὗτος ἦν, ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν».

Καθάπερ γὰρ αἱ μητέρες τῶν ὀρνίθων τοὺς νεοττοὺς οὐκ εὐθέως οὐδὲ ἐν ἡμέρᾳ μιᾷ τὴν πτῆσιν ἐκδιδάσκουσιν ἅπασαν, ἀλλὰ νῦν μὲν τοσοῦτον ἐξάγουσιν, ὅσον ἔξω γενέσθαι τῆς καλιᾶς, νῦν δὲ αὐτούς, ἀναπαύσασαι πρῶτον, προσβιβάζουσι τῇ πτήσει πάλιν, καὶ τῇ μετὰ ταύτην ἡμέρᾳ ἑτέραν πολλῷ πλείονα προστιθέασι, καὶ οὕτως ἠρέμα καὶ κατὰ μικρὸν ἐπὶ τὸ προσῆκον ἄγουσιν ὕψος, τὸν αὐτὸν τρόπον καὶ ὁ μακάριος Ἰωάννης οὐκ εὐθέως ἐπὶ τὰ ὑψηλὰ τοὺς Ἰουδαίους ἤγαγεν, ἀλλὰ τέως μικρὸν τῆς γῆς ἀναπτῆναι ἐδίδαξεν, εἰπὼν ὅτι αὐτοῦ κρείττων ἦν ὁ Χριστός. Οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρὸν ἦν τέως, τὸ τοὺς ἀκούοντας τοῦ οὕτω θαυμασίου, τοῦ Ἰωάννου, λέγω, καὶ περιφανοῦς, καὶ πρὸς ὃν ἅπαντες ἔτρεχον, καὶ ὃν ἄγγελον ἐνόμιζον εἶναι, τὸν οὐδέπω φανέντα, οὐδὲ θαυματουργήσαντα, δυνηθῆναι πιστεῦσαι κρείττονα εἶναι.

---

9. Ἰω. 1, 33.

βαίνη τὸ Πνεῦμα τοῦ Θεοῦ, αὐτὸς εἶναι»[9]. Ἐνῷ οἱ Ἰουδαῖοι ποὺ ἦσαν ἀκόμη παιδιὰ καὶ δὲν ἠμποροῦσαν νὰ φθάσουν εἰς τὸ ὕψος ἐκεῖνο, εἶχαν ἄνθρωπον διδάσκαλον, ὁ ὁποῖος δὲν τοὺς ἔλεγεν ἰδικά του πράγματα, ἀλλὰ τοὺς ἀπήγγελε τὰ οὐράνια.

Τί λέγει λοιπὸν αὐτός; «Αὐτὸς μαρτυρεῖ δι' αὐτὸν καὶ φωνάζει». Τί σημαίνει τὸ «φωνάζει»; Διακηρύσσει μὲ θάρρος, ἐλεύθερα, χωρὶς κανένα δισταγμόν. Καὶ τί διακηρύσσει καὶ μαρτυρεῖ καὶ φωνάζει; «Αὐτὸς εἶναι», λέγει, «ἐκεῖνος ποὺ εἶπα, αὐτὸς ποὺ ἔρχεται ὕστερα ἀπὸ ἐμένα, ἔχει ἔλθει πρὶν ἀπὸ ἐμένα, διότι ὑπῆρχε πρὶν ἀπὸ ἐμένα». Ἡ μαρτυρία του εἶναι συγκεκαλυμμένη καὶ ἐνέχει ἀκόμη πολλὴν μείωσιν. Διότι δὲν εἶπεν· αὐτὸς εἶναι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἀλλὰ τί εἶπεν· «Αὐτὸς ἦτο ἐκεῖνος ποὺ εἶπα, αὐτὸς ποὺ ἔρχεται ὕστερα ἀπὸ ἐμένα, ἔχει ἔλθει πρὶν ἀπὸ ἐμένα, διότι ὑπῆρχε πρὶν ἀπὸ ἐμένα».

Ἀκριβῶς ὅπως αἱ μητέρες τῶν πτηνῶν δὲν διδάσκουν εἰς τὰ νεογνά τους τὴν τελείαν πτῆσιν μέσα εἰς μίαν ἡμέραν, ἀλλὰ ἄλλοτε μὲν τὰ βγάζουν τόσον μόνον ἔξω, ὅσον χρειάζεται διὰ νὰ βγοῦν ἔξω ἀπὸ τὴν φωλεάν, ἄλλοτε πάλιν ἀφοῦ τὰ ἀναπαύσουν πρῶτα ἔπειτα τὰ μαθαίνουν νὰ πετοῦν ὑψηλότερα καὶ τὴν ἑπομένην ἡμέραν κάνουν ἄλλην πτῆσιν πιὸ ὑψηλὰ καὶ ἔτσι ἡσύχως καὶ κατὰ μικρὸν τὰ ὁδηγοῦν εἰς τὸ ὕψος ποὺ πρέπει. Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ μακάριος Ἰωάννης, δὲν ὁδηγεῖ ἀμέσως τοὺς Ἰουδαίους εἰς τὰ ὑψηλά, ἀλλὰ ἀρχικῶς τοὺς διδάσκει νὰ πετάξουν ὀλίγον ἀπὸ τὴν γῆν, λέγων ὅτι ὁ Χριστὸς εἶναι ἀνώτερος ἀπὸ αὐτόν. Διότι εἰς τὴν ἀρχὴν αὐτὸ δὲν ἦτο ἀσήμαντον, αὐτοὶ ποὺ ἤκουαν τὸν τόσον ἀξιοθαύμαστον, ἐννοῶ τὸν Ἰωάννην, τὸν περίφημον, αὐτὸν πρὸς τὸν ὁποῖον ἔτρεχαν ὅλοι καὶ τὸν ἐνόμιζαν ὅτι εἶναι ἄγγελος, νὰ ἠμπορέσουν νὰ πιστεύσουν ὅτι ἐκεῖνος ποὺ δὲν ἐφανερώθη ἀκόμη καὶ δὲν ἐθαυματούργησεν εἶναι ἀνώτερος.

Τέως οὖν τοῦτο κατορθῶσαι ἐσπούδαζεν ἐν ταῖς τῶν ἀκροατῶν διανοίαις, ὅτι τοῦ μαρτυροῦντος ὁ μαρτυρούμενος μείζων, τοῦ παραγενομένου πρώτου ὁ μετὰ ταῦτα ἐλθών, τοῦ δήλου καὶ περιφανοῦς ὁ μηδέπω φανείς. Καὶ ὅρα πῶς συνετῶς εἰσάγει τὴν μαρτυρίαν. Οὐ γὰρ φανέντα μόνον ἐπιδείκνυσιν, ἀλλὰ καὶ πρὶν ἢ φανῆναι ἀνακηρύττει· τὸ γὰρ «οὗτός ἐστιν, ὃν εἶπον», τοῦτο δηλοῦντός ἐστιν· ὥσπερ οὖν καὶ Ματθαῖος λέγει, ὅτι, πάντων ἐρχομένων πρὸς αὐτόν, ἔλεγεν· «Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι, ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος».

Τίνος οὖν ἕνεκεν καὶ πρὸ τοῦ φανῆναι τοῦτο ἐποίησεν; Ἵνα εὐπαράδεκτος ἡ μαρτυρία γένηται φανέντος, τῆς διανοίας ἤδη τῶν ἀκουσάντων προκατασχεθείσης τοῖς περὶ αὐτοῦ λεχθεῖσι, καὶ μηδὲν τῆς εὐτελοῦς περιβολῆς λυμαινομένης αὐτῇ. Εἰ μὲν γάρ, μηδὲν μηδ᾽ ὅλως ἀκούσαντες, εἶδον τὸν Χριστὸν αὐτόν, καὶ ὁμοῦ μετὰ τῆς θέας καὶ τὴν τῶν λόγων μαρτυρίαν ἐδέξαντο, τὴν οὕτω θαυμαστὴν καὶ μεγάλην, εὐθέως ἂν τὸ τοῦ σχήματος εὐτελὲς προσέστη τῷ μεγέθει τῶν λεγομένων. Οὕτω γὰρ εὐτελὲς περιέκειτο σχῆμα καὶ κοινὸν ἅπασιν ὁ Χριστὸς ὡς καὶ Σαμαρείτιδας γυναῖκας, καὶ πόρνας, καὶ τελώνας μετὰ πολλῆς τῆς ἀδείας θαρρεῖν αὐτῷ προσιέναι καὶ διαλέγεσθαι.

3. Ὅπερ οὖν ἔφην, εἰ ὁμοῦ καὶ τῶν ῥημάτων τούτων ἤκουσαν, καὶ αὐτὸν ἐθεάσαντο, κἂν κατεγέλασαν τῆς μαρτυρίας τοῦ Ἰωάννου. Νῦν δὲ πρὶν ἢ φανῆναι τὸν Χριστὸν πολλάκις ἀκούοντες, καὶ ἐρεθιζόμενοι τοῖς λεγομένοις περὶ αὐτοῦ, τοὐναντίον ἔπασχον, οὐ τὴν τῶν ῥημάτων διδασκαλίαν ἀπὸ τῆς ὄψεως τοῦ μαρτυρηθέντος ἐκβάλλοντες, ἀλλὰ ἀπὸ

10. Ματθ. 3, 11.

Ἀρχικῶς λοιπὸν αὐτὸ προσεπάθησε νὰ ἐπιτύχῃ εἰς τὰς διανοίας τῶν ἀκροατῶν, ὅτι εἶναι ἀνώτερος ὁ μαρτυρούμενος ἀπὸ ἐκεῖνον ποὺ τὸν μαρτυρεῖ, αὐτὸς ποὺ ἦλθε ἀργότερα ἀπὸ ἐκεῖνον ποὺ ἦλθε πρῶτος καὶ αὐτὸς ποὺ δὲν ἐφανερώθη ἀκόμη ἀπὸ τὸν φανερὸν καὶ περίφημον. Καὶ κύτταξε μὲ πόσην σύνεσιν κάμνει τὴν μαρτυρίαν. Δὲν τὸν ἐπιδεικνύει μόνον ὅταν ἐμφανίζεται, ἀλλὰ τὸν ἀνακηρύσσει καὶ πρὶν ἀκόμη φανερωθῇ. Διότι τὸ «αὐτὸς εἶναι ἐκεῖνος ποὺ εἶπα», αὐτὸ σημαίνει φανέρωσιν. Ὅπως ἄλλωστε λέγει καὶ ὁ Ματθαῖος, ὅτι καθὼς ὅλοι προσήρχοντο πρὸς αὐτὸν τοὺς ἔλεγεν· «Ἐγὼ μὲν σᾶς βαπτίζω μὲ ὕδωρ· Ἐκεῖνος ὅμως ποὺ ἔρχεται μετὰ ἀπὸ ἐμένα, εἶναι ἰσχυρότερος ἀπὸ ἐμένα καὶ ἐγὼ δὲν εἶμαι ἱκανὸς νὰ λύσω τὰ κορδόνια τῶν ὑποδημάτων του»[10].

Διατί λοιπὸν τὸ ἔκαμεν αὐτὸ ἀκόμη καὶ πρὶν νὰ φανερωθῇ; Διὰ νὰ γίνῃ πιὸ εὐπρόσδεκτη ἡ μαρτυρία του ὅταν θὰ ἐμφανισθῇ, ἀφοῦ ἡ διάνοια αὐτῶν ποὺ τὸν ἤκουσαν εἶχεν ἤδη ἐκ τῶν προτέρων κυριευθῇ μὲ ὅσα ἐλέχθησαν περὶ αὐτοῦ, καὶ νὰ μὴ τὴν κλονίσῃ ἡ εὐτελής του περιβολή. Διότι ἐὰν δὲν εἶχαν ἀκούσει ἐντελῶς τίποτε καὶ ἔβλεπαν τὸν ἴδιον τὸν Χριστὸν καὶ συγχρόνως μὲ τὴν ἐμφάνισίν του ἐδέχοντο καὶ τὴν μαρτυρίαν τῶν λόγων, τὴν τόσον ἀξιοθαύμαστον καὶ μεγάλην, ἀμέσως ἡ εὐτελὴς προβολή του θὰ ἤρχετο εἰς ἀντίθεσιν μὲ τὸ μέγεθος τῶν ὅσων ἐλέγοντο. Διότι τόσον πτωχὴν καὶ συνηθισμένην εἰς ὅλους ἀμφίεσιν ἔφερεν ὁ Χριστός, ὥστε καὶ αἱ Σαμαρείτιδες γυναῖκες καὶ αἱ πόρναι καὶ οἱ τελῶναι μὲ πολλὴν ἐλευθερίαν νὰ παίρνουν τὸ θάρρος νὰ τὸν πλησιάζουν καὶ νὰ συζητοῦν μαζί του.

3. Ὅπως εἶπα λοιπόν, ἐὰν ἤκουαν τὰ λόγια αὐτὰ καὶ ταυτοχρόνως τὸν ἔβλεπαν, θὰ εἰρωνεύοντο τὴν μαρτυρίαν τοῦ Ἰωάννου. Ἐνῷ τώρα, ἀκούοντες πολλὲς φορὲς πρὶν ἀκόμη φανῇ ὁ Χριστός, καὶ κεντριζόμενοι μὲ ὅσα ἐλέγοντο περὶ αὐτοῦ, ἐπάθαιναν τὸ ἀντίθετον· δὲν ἀπέβαλλαν τὴν διὰ λόγων διδασκαλίαν ἐπηρεαζόμενοι ἀπὸ τὴν ἐμφάνισιν τοῦ

τῆς πίστεως τῶν ἤδη λεχθέντων καὶ αὐτὸν λαμπρότερον εἶναι νομίζοντες.

Τὸ δὲ «ὀπίσω μου ἐρχόμενος» ὁ μετ' ἐμὲ κηρύσσων, οὐχ ὁ μετ' ἐμὲ γενόμενός ἐστι. Τοῦτο γοῦν καὶ ὁ Ματθαῖος αἰνίττεται, λέγων· «Ὀπίσω μου ἔρχεται ἀνήρ», οὐ περὶ τῆς ἐκ Μαρίας γεννήσεως αὐτοῦ λέγων, ἀλλὰ περὶ τῆς παρουσίας τῆς κατὰ τὸ κήρυγμα. Εἰ γὰρ περὶ τῆς γεννήσεως ἔλεγεν, οὐκ ἂν εἶπεν, «Ἔρχεται», ἀλλ' «ἦλθεν»· γεγεννημένος γὰρ ἦν, ὅτε ταῦτα ἐλέγετο.

Τί οὖν ἐστι τὸ «ἔμπροσθέν μου γέγονε»; Λαμπρότερος, ἐντιμότερος. Μὴ γάρ, ἐπειδὴ πρῶτος ἦλθον κηρύττων ἐγώ, ἀπὸ τούτου μείζονα ἐκείνου με εἶναι νομίσητε· πολὺ γὰρ ἐλάττων ἐγώ, καὶ τοσοῦτον ἐλάττων, ὡς μηδὲ εἰς δούλου τάξιν ἄξιος εἶναι καταλέγεσθαι. Τοῦτο γάρ ἐστι τὸ «ἔμπροσθέν μου γέγονε», ὅπερ ἑτέρως παραδηλῶν ὁ Ματθαῖος, ἔλεγεν· «Οὐκ εἰμι ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ».

Ὅτι δὲ οὐδὲ τὸ «ἔμπροσθέν μου γέγονε» περὶ τῆς εἰς τὸ εἶναι παρόδου εἴρηται, διὰ τῆς ἐπαγωγῆς δῆλόν ἐστιν. Εἰ γὰρ τοῦτο ἐβούλετο εἰπεῖν, περιττὸν τὸ ἐπαγόμενον ἦν τὸ «ὅτι πρῶτός μου ἦν». Τίς γὰρ οὕτως ἠλίθιος καὶ ἀνόητος, ὡς ἀγνοῆσαι ὅτι ὁ ἔμπροσθεν αὐτοῦ γενόμενος πρῶτος αὐτοῦ ἦν; Εἰ γὰρ περὶ ὑπάρξεως τῆς προαιωνίου, οὐδὲν ἕτερόν ἐστι τὸ λεγόμενον, ἀλλ' ἢ ὅτι «Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν». Ἄλλως δὲ καὶ ἀπερινόητον τὸ τοιοῦτον, καὶ ἡ αἰτία εἰκῇ προσέρριπται. Τοὐναντίον γάρ, εἰ τοῦτο ἐβούλετο δηλῶσαι, ἐχρῆν εἰπεῖν, ὅτι Ὁ ὀπίσω μου ἐρχόμενος πρῶτός μου ἦν, ἐπειδὴ καὶ ἔμπροσθέν μου γέγονε.

---

11. Αὐτόθι.

μαρτυρηθέντος, ἀλλὰ ἐπηρεαζόμενοι ἀπὸ τὴν πίστιν εἰς ὅσα ἤδη εἶχαν λεχθῆ, ἐνόμιζαν ὅτι καὶ αὐτὸς εἶναι πιὸ ἐπιφανής.

Τὸ δὲ «ὀπίσω μου ἐρχόμενος» σημαίνει αὐτὸς ποὺ κηρύττει μετὰ ἀπὸ ἐμένα, ὄχι αὐτὸς ποὺ ἦλθε μετὰ ἀπὸ ἐμένα. Αὐτὸ τὸ ὑπαινίσσεται καὶ ὁ Ματθαῖος ὅταν λέγη «ὀπίσω μου ἔρχεται ἀνήρ», ὅπου δὲν ὁμιλεῖ διὰ τὴν γέννησίν του ἀπὸ τὴν Μαρίαν, ἀλλὰ διὰ τὴν παρουσίαν του εἰς τὸ κήρυγμα. Διότι ἐὰν ὡμιλοῦσε διὰ τὴν γέννησίν του δὲν θὰ ἔλεγεν «ἔρχεται», ἀλλὰ «ἦλθεν», ἀφοῦ ἦτο ἤδη γεννημένος ὅταν ἐλέγοντο αὐτά.

Τί σημαίνει λοιπὸν τὸ «ἔμπροσθέν μου γέγονεν»; Περισσότερον ἔνδοξος καὶ ἔντιμος. Διότι δὲν πρέπει νὰ νομίσετε ὅτι, ἐπειδὴ πρῶτος ἤρχισα νὰ κηρύττω, εἶμαι ἀνώτερος ἀπὸ αὐτόν. Διότι εἶμαι πολὺ κατώτερος καὶ τόσον κατώτερος, ὥστε νὰ μὴ εἶμαι ἄξιος οὔτε εἰς τὴν κατηγορίαν δούλου νὰ συγκαταλεχθῶ. Αὐτὸ σημαίνει τὸ «ἔμπροσθέν μου γέγονε», τὸ ὁποῖον μὲ ἄλλο λόγια δηλώνει ὁ Ματθαῖος ὅταν λέγη· «Δὲν εἶμαι ἱκανὸς νὰ λύσω τὰ κορδόνια τῶν ὑποδημάτων του»[11].

Ὅτι δὲ οὔτε τὸ «ἔμπροσθέν μου γέγονε» δὲν ἔχει λεχθῆ διὰ τὴν ἔλευσίν του εἰς τὴν ὕπαρξιν, γίνεται φανερὸν ἀπὸ τὴν προσθήκην. Διότι ἐὰν ἤθελε νὰ εἰπῇ αὐτό, ἦτο περιττὴ ἡ προσθήκη «ὅτι πρῶτός μου ἦν». Διότι ποῖος εἶναι τόσον ἠλίθιος καὶ ἀνόητος, ὥστε νὰ ἀγνοῇ ὅτι αὐτὸς ποὺ ἦλθε πρὶν ἀπὸ αὐτὸν εἶναι προγενέστερος ἀπὸ ἐκεῖνον; Ἐὰν λοιπὸν ἐπρόκειτο περὶ τῆς προαιωνίου ὑπάρξεως, τότε τίποτε ἄλλο δὲν σημαίνει τὸ λεγόμενον παρὰ ὅτι «Αὐτὸς ποὺ ἔρχεται μετὰ ἀπὸ ἐμένα, ὑπάρχει πρὶν ἀπὸ ἐμένα». Ἄλλωστε αὐτὸ εἶναι καὶ ἀκατανόητον, ἡ δὲ αἰτία προσετέθη ἀδίκως. Ἐνῷ, ἀντιθέτως, ἐὰν ἤθελε νὰ δηλώσῃ αὐτό, ἔπρεπε νὰ εἰπῇ ὅτι αὐτὸς ποὺ ἔρχεται μετὰ ἀπὸ ἐμένα εἶναι προγενέστερός μου, διότι ὑπάρχει πρὶν ἀπὸ ἐμένα. Διότι

Τοῦ μὲν γὰρ πρῶτον εἶναι εἰκότως ἄν τις ταύτην δοίη τὴν αἰτίαν, τὴν τοῦ γενέσθαι, τοῦ δὲ πρῶτον γενέσθαι οὐκ ἔτι τὸ πρῶτον εἶναι αἴτιον.

Ὃ δὲ ἡμεῖς λέγομεν σφόδρα ἂν ἔχοι λόγον. Ἴστε γὰρ δήπου τοῦτο πάντες, ὅτι οὐ τὰ δῆλα, ἀλλὰ τὰ ἄδηλα ἀεὶ αἰτιολογίας δεῖται. Εἰ δὲ περὶ οὐσιώσεως ὁ λόγος ἦν, οὐκ ἦν ἄδηλον ὅτι πρῶτον γενόμενον πρῶτον ἔδει εἶναι· ἐπειδὴ δὲ περὶ τιμῆς διαλέγεται, εἰκότως τὴν δοκοῦσαν ἀπορίαν εἶναι λύει· καὶ γὰρ εἰκὸς ἦν πολλοὺς ἀπορεῖν, πόθεν καὶ ἐκ ποίας προφάσεως ὁ ὕστερον ἐρχόμενος ἔμπροσθεν γέγονε· τουτέστιν, ἐντιμότερος ἐφάνη. Ταύτης τοίνυν τῆς ζητήσεως τίθησιν εὐθέως τὴν αἰτίαν· ἡ δὲ αἰτία, τὸ πρῶτον εἶναι αὐτόν. Οὐδὲ γὰρ ἔκ τινος, φησί, προκοπῆς πρῶτόν με ὄντα ὀπίσω ῥίψας ἔμπροσθεν γέγονεν, ἀλλὰ «πρῶτός μου ἦν», εἰ καὶ ὕστερος παραγίνεται.

Καὶ πῶς, φησίν, εἰ περὶ τῆς ἐκφάνσεως τῆς εἰς ἀνθρώπους ἦν, καὶ τῆς μελλούσης ἔψεσθαι παρ' αὐτῶν δόξης ὁ λόγος, τὸ μηδέπω τέλος εἰληφὸς ὡς ἤδη γεγενημένον λέγει; οὐ γὰρ εἶπε· 'Γενήσεται', ἀλλὰ «γέγονε». Ὅτι ἔθος τοῦτο τοῖς προφητεύουσιν ἄνωθέν ἐστιν, ὡς περὶ γεγενημένων πολλαχοῦ περὶ τῶν μελλόντων διαλέγεσθαι. Ὁ γοῦν Ἡσαΐας, περὶ τῆς σφαγῆς αὐτοῦ λέγων, οὐκ εἶπεν· 'Ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεται', ὅπερ ἦν μέλλοντος, ἀλλ' «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη», καίτοι οὐδέπω σαρκωθεὶς ἦν, ἀλλ' ὅμως τὸ ἐσόμενον ὁ Προφήτης ὡς γεγενημένον λέγει. Καὶ ὁ Δαυΐδ, τὸν σταυρὸν δηλῶν, οὐκ εἶπεν· 'Ὀρύξουσι χεῖράς μου καὶ πόδας', ἀλλ', «Ὤρυξαν χεῖράς μου καὶ πόδας»· καί, «Διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Καὶ περὶ τοῦ προδότου διαλεγόμενος, τοῦ

---

12. Ἡσ. 53, 7.
13. Ψαλμ. 21, 17.
14. Ψαλμ. 21, 19.

εἰς τὸ ὅτι εἶναι προγενέστερος εὐλόγως θὰ ἀπέδιδε κανεὶς τὴν αἰτίαν τῆς ὑπάρξεως, ἐνῷ εἰς τὸ ὅτι ἔγινε πρῶτος, δὲν εἶναι αἴτιον τὸ ὅτι εἶναι προγενέστερος.

Αὐτὸ δὲ τὸ ὁποῖον λέγομεν ἐμεῖς εἶναι πολὺ εὔλογον. Διότι τὸ γνωρίζετε ὅλοι περίπου αὐτό, ὅτι αἰτιολογίαν χρειάζονται πάντοτε ὄχι τὰ σαφῆ ἀλλὰ τὰ ἀσαφῆ. Ἐὰν δὲ ὁ λόγος ἦτο περὶ τῆς οὐσιώσεως, δὲν θὰ ἦτο ἀσαφὲς τὸ ὅτι ἐφ' ὅσον ἔγινε πρῶτος, ἔπρεπε νὰ εἶναι καὶ πρῶτος. Ἐπειδὴ ὅμως ὁμιλεῖ περὶ τῆς ἀξίας, πολὺ ὀρθῶς λύει τὴν φαινομενικὴν ἀπορίαν. Διότι ἦτο φυσικὸν πολλοὶ νὰ ἀποροῦν, ἀπὸ ποῦ καὶ μὲ ποίαν λογικὴν αὐτὸς ποὺ ἔρχεται ὕστερα γίνεται πρῶτος, δηλαδὴ ἐμφανίζεται πιὸ ἔνδοξος. Αὐτοῦ λοιπὸν τοῦ ἐρωτηματικοῦ ἐκθέτει ἀμέσως τὴν αἰτίαν· εἶναι δὲ ἡ αἰτία ὅτι αὐτὸς εἶναι προγενέστερος. Οὔτε δηλαδή, λέγει, ἀπὸ κάποιαν πρόοδον, ἐνῷ ἤμουν πρῶτος, μὲ παρεμέρισε καὶ ἦλθε ἐμπρός μου, ἀλλὰ «ἦτο προγενέστερός μου», μολονότι ἔρχεται μετὰ ἀπὸ ἐμένα.

Καὶ πῶς, λέγει, ἐὰν πρόκειται περὶ τῆς ἐμφανίσεως εἰς τοὺς ἀνθρώπους καὶ τῆς δόξης ἡ ὁποία ἐπρόκειτο νὰ ἀκολουθήσῃ ἐκ μέρους αὐτῶν, αὐτὸ τὸ ὁποῖον ἀκόμη δὲν συνετελέσθη, τὸ ἀναφέρει ὡσὰν νὰ εἶναι ἤδη γεγονός; Διότι δὲν εἶπε «γενήσεται», ἀλλὰ «γέγονεν». Ἐπειδὴ ἀνέκαθεν συνηθίζουν ὅσοι προφητεύουν νὰ ὁμιλοῦν εἰς πολλὰς περιπτώσεις περὶ τῶν μελλόντων ὡσὰν νὰ ἔχουν γίνει ἤδη. Ὁ Ἠσαΐας ἐπὶ παραδείγματι ὁμιλῶν περὶ τῆς σφαγῆς του δὲν εἶπεν· ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεται, ἀφοῦ ἦτο κάτι μελλοντικόν, ἀλλ' «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη»[12]. Μολονότι ἀκόμη δὲν εἶχε γεννηθῆ, ἐν τούτοις ὁ προφήτης τὸ μελλοντικὸν τὸν ἀναφέρει ὡς γεγονός. Καὶ ὁ Δαβίδ, ὑπονοῶν τὴν σταύρωσιν, δὲν εἶπε θὰ μοῦ παραχώσουν τὰ χέρια καὶ τὰ πόδια μου, ἀλλά· «ἐπαράχωσαν τὰ χέρια μου καὶ τὰ πόδια»[13] καὶ «ἐμοιράσθησαν τὰ ἐνδύματά μου καὶ εἰς τὸν ἱματισμόν μου ἔβαλαν κλῆρον»[14]. Καὶ ὅταν ὁμιλῇ περὶ τοῦ προ-

μηδέπω γεννηθέντος, οὕτω πώς φησιν· «Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν». Ὁμοίως καὶ περὶ τῶν ἐν τῷ σταυρῷ γενομένων λέγει· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος».

4. Βούλεσθε καὶ τὸ ἑξῆς ἐπαγάγωμεν, ἢ καὶ ταῦτα ἀπόχρη; Ἔγωγε οἶμαι. Εἰ γὰρ καὶ μὴ κατὰ πλάτος διωρύξαμεν τὸ χωρίον, ὅμως γ' οὖν κατὰ βάθος διεσκάψαμεν· οὐκ ἐλάττονα δὲ καὶ τοῦτο ἐκείνου πόνον ἔχει· καὶ δεδοίκαμεν μή, κατατείναντες ὑμᾶς ἀμέτρως, ποιήσωμεν ἀναπεσεῖν. Διὸ τέλος ἐπιθῶμεν τῷ λόγῳ τὸ προσῆκον. Ποῖον δέ ἐστι τὸ προσῆκον; Δοξολογία ἡ πρέπουσα τῷ Θεῷ· πρέπει δὲ οὐχ ἡ διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἡ διὰ τῶν πραγμάτων· «Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς», φησίν, «ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς».

Καὶ γὰρ οὐδὲν φωτεινότερον τῆς ἀρίστης πολιτείας, ἀγαπητέ. Τοῦτο δηλῶν καί τίς φησι τῶν σοφῶν· «Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι». Λάμπουσι δὲ οὐκ αὐτοῖς μόνον, τοῖς τὸ φῶς ἀνάπτυσι διὰ τῶν ἔργων, καὶ ὁδηγοῦσι πρὸς τὴν ὀρθὴν ὁδόν, ἀλλὰ καὶ τοῖς πλησίον οὖσιν ἐκείνων. Ἐκχέωμεν τοίνυν τὸ ἔλαιον ταῖς λαμπάσι ταύταις, ὥστε μετεωρότερον γενέσθαι τὸ πῦρ, ὥστε πλούσιον φανῆναι τὸ φῶς· τὸ γὰρ ἔλαιον τοῦτο οὐ νῦν μόνον πολλὴν ἔχει τὴν ἰσχύν, ἀλλά, ὅτε καὶ αἱ θυσίαι ἤνθουν, παρευδοκίμησε πολλῷ τῷ τρόπῳ τὴν ἐκείνων δύναμιν· «Ἔλεον» γάρ, φησί, «θέλω, καὶ οὐ θυσίαν»· καὶ μάλα εἰκότως. Ἐκεῖνο μὲν γὰρ ἄψυχον τὸ θυσιαστήριον, τοῦτο δὲ ἔμψυχον· κἀκεῖ μὲν τὸ ἐπικείμενον ἅπαν τοῦ πυρὸς γίνεται δαπάνη, καὶ τελευτᾷ εἰς κόνιν,

---

15. Ψαλμ. 40, 10.
16. Ψαλμ. 68, 22.
17. Ματθ. 5, 16.
18. Παροιμ. 4, 18.
19. Ὠσ. 6, 6. Ματθ. 9, 13.

δότου ὁ ὁποῖος δὲν εἶχεν ἀκόμη γεννηθῇ, λέγει περίπου τὰ ἑξῆς· «Αὐτὸς ὁ ὁποῖος τρώγει τὸ ψωμί μου ἐσήκωσεν ἐναντίον μου τὴν πτέρναν του»[15]. Κατὰ τὸν ἴδιον τρόπον ὁμιλεῖ καὶ περὶ ἐκείνων ποὺ ἔγιναν κατὰ τὴν σταύρωσιν· «Μοῦ ἔδωσαν νὰ φάγω χολὴν καὶ ὅταν ἐδιψοῦσα μὲ ἐπότισαν ὄξος»[16].

4. Θέλετε νὰ προσθέσωμεν καὶ τὰ παρακάτω, ἢ καὶ αὐτὰ περιττεύουν; Ἐγὼ βέβαια νομίζω ναί. Διότι καὶ ἂν δὲν διερευνήσαμεν τὸ χωρίον εἰς πλάτος, ὁπωσδήποτε ὅμως τὸ ἐσκάψαμεν καθ' ὅλην του τὴν ἔκτασιν εἰς βάθος. Αὐτὸ δὲν ἔχει ὀλιγώτερον κόπον ἀπὸ ἐκεῖνο, καὶ φοβούμεθα μήπως σᾶς καταπονήσωμεν ὑπερβολικὰ καὶ σᾶς κάνωμεν νὰ πέσετε. Δι' αὐτὸ ἂς θέσωμεν εἰς τὴν ὁμιλίαν μας τὸ τέλος ποὺ πρέπει. Ποῖον δὲ εἶναι αὐτὸ ποὺ πρέπει; Εἶναι ἡ δοξολογία ἡ ὁποία ἁρμόζει εἰς τὸν Θεόν· ἁρμόζει δὲ ὄχι μόνον ἡ δοξολογία ποὺ γίνεται μὲ λόγια, ἀλλὰ πολὺ περισσότερον αὐτὴ ποὺ ἀποδεικνύεται διὰ τῶν πραγμάτων. Διότι λέγει· «Νὰ λάμψῃ τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἰδοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ εὑρίσκεται εἰς τοὺς οὐρανούς»[17].

Καὶ πράγματι δὲν ὑπάρχει τίποτε πιὸ φωτεινὸν ἀπὸ τὸν ἄριστον βίον, ἀγαπητέ. Αὐτὸ τὸ δηλώνει καὶ κάποιος ἀπὸ τοὺς σοφοὺς ὁ ὁποῖος λέγει· «Οἱ δρόμοι τῶν δικαίων λάμπουν ὅπως τὸ φῶς»[18]. Φωτίζουν δὲ καὶ ὁδηγοῦν εἰς τὸν ὀρθὸν δρόμον ὄχι μόνον αὐτοὺς ποὺ ἀνάπτουν τὸ φῶς μὲ τὰ ἔργα των, ἀλλὰ καὶ ἐκείνους ποὺ εἶναι κοντά τους. Ἂς τοποθετήσωμεν λοιπὸν τὸ λάδι εἰς τὰς λαμπάδας αὐτάς, διὰ νὰ γίνῃ ἡ φωτιὰ πιὸ ὑψηλὴ καὶ νὰ φανῇ πλουσιοπάροχα τὸ φῶς. Διότι αὐτὸ τὸ λάδι δὲν ἔχει μόνον τώρα πολλὴν ἰσχύν, ἀλλὰ καὶ τότε ποὺ συνηθίζοντο αἱ θυσίαι ὑπερέβαλλε μὲ πολλοὺς τρόπους τὴν δύναμιν ἐκείνων, ἀφοῦ λέγει· «ἐλεημοσύνην θέλω καὶ ὄχι θυσίαν»[19], καὶ πολὺ σωστά. Διότι ἐκεῖνο μὲν τὸ θυσιαστήριον ἦτο ἄψυχον, ἐνῷ αὐτὸ εἶναι ἔμψυχον. Καὶ ἐκεῖ μὲν κάθε τι ποὺ ἐπετίθετο ἐγίνετο παρα-

καὶ διαχεῖται εἰς τέφραν, καὶ εἰς τὴν τοῦ ἀέρος ὁ καπνὸς ἀναλύεται φύσιν.

Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἑτέρους φέρει τοὺς καρπούς. Καὶ ταῦτα ὁ Παῦλος ἐδήλωσε λέγων (τῆς γὰρ φιλοπτωχίας τῶν Κορινθίων τοὺς θησαυροὺς διηγούμενος, οὕτως ἔγραφεν)· «Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ»· καὶ πάλιν, «Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ Εὐαγγέλιον, καὶ ἁπλότητι τῆς κοινωνίας τῆς εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ τῇ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς».

Ὁρᾷς εἰς εὐχαριστίαν ἀναλυομένην αὐτήν, καὶ αἶνον τοῦ Θεοῦ, καὶ συνεχεῖς εὐχὰς τῶν εὖ παθόντων, καὶ θερμοτέραν ἀγάπην; Θύωμεν τοίνυν, ἀγαπητοί, θύωμεν εἰς ταῦτα τὰ θυσιαστήρια καθ' ἑκάστην ἡμέραν. Αὕτη γὰρ καὶ εὐχῆς, καὶ νηστείας, καὶ πολλῶν ἑτέρων ἐστὶ μείζων ἡ θυσία· μόνον ἂν ἐκ δικαίου κέρδους, καὶ πόνων τοιούτων, καὶ πάσης ᾖ καθαρὰ πλεονεξίας, καὶ ἁρπαγῆς, καὶ βίας. Τοιαύτας γὰρ προσίεται προσφορὰς ὁ Θεός· τὰς ἑτέρας καὶ ἀποστρέφεται καὶ μισεῖ· οὐδὲ γὰρ βούλεται ἐξ ἀλλοτρίων τιμᾶσθαι συμφορῶν· ἀκάθαρτος γὰρ καὶ βέβηλος ἡ τοιαύτη θυσία, καὶ παροξύνειεν ἂν μᾶλλον, ἢ ἐξιλεώσειε τὸν Θεόν.

Διὸ πάσῃ δεῖ κεχρῆσθαι σπουδῇ, ὥστε μὴ ἐν τάξει θεραπείας τὸν τιμώμενον ἐξυβρίζειν. Εἰ γάρ, τὰ δευτερεῖα προσενεγκὼν ὁ Κάιν, καὶ ταῦτα οὐδὲ ἠδικηκὼς ἕτερον, ἔδωκε δίκην τὴν ἐσχάτην, ὅταν καὶ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας προσφέρωμέν τι, πῶς οὐ πεισόμεθα χαλεπώτερα; Διὰ γὰρ τοῦ-

20. Β' Κορ. 9, 12.
21. Αὐτόθι 13 καὶ 14.

νάλωμα τῆς φωτιᾶς καὶ ἐτελείωνεν εἰς σκόνην καὶ διελύετο εἰς στάχτην καὶ ὁ καπνὸς διεσκορπίζετο εἰς τὸν ἀέρα.

Ἐδῶ ὅμως δὲν συμβαίνει τίποτε τέτοιο, ἀλλὰ ἀποφέρει ἄλλους καρπούς. Καὶ αὐτὰ τὰ δηλώνει ὁ Παῦλος ὅταν λέγῃ (διότι ὅταν ἀνέφερε τοὺς θησαυροὺς τῆς φιλοπτωχίας τῶν Κορινθίων, ἔγραφε τὰ ἑξῆς)· «Διότι ἡ ἐκτέλεσις τῆς ὑπηρεσίας αὐτῆς ὄχι μόνον ἱκανοποιεῖ τὰς ἀνάγκας τῶν ἁγίων, ἀλλὰ καὶ ἐκφράζει πολλὰς εὐχαριστίας εἰς τὸν Θεόν»[20]. Καὶ παρακάτω· «οἱ εὐεργετούμενοι θὰ δοξάζουν τὸν Θεὸν διὰ τὴν ὑποταγήν σας εἰς τὴν ὁμολογίαν τοῦ εὐαγγελίου καὶ διὰ τὴν γενναιοδωρίαν τῆς συνεισφορᾶς σας πρὸς αὐτοὺς καὶ πρὸς ὅλους, καὶ εἰς τὴν προσευχήν των πρὸς τὸν Θεὸν θὰ ἐκφράζουν τὸν μεγάλον πόθον των πρὸς σᾶς»[21].

Βλέπεις ὅτι ἡ ἐλεημοσύνη μετατρέπεται εἰς εὐχαριστίαν καὶ δοξολογίαν τοῦ Θεοῦ καὶ εἰς συνεχεῖς προσευχὰς τῶν εὐεργετουμένων καὶ πιὸ θερμὴν ἀγάπην; Ἂς θυσιάζωμεν, λοιπόν, ἀγαπητοί· ἂς θυσιάζωμεν εἰς αὐτὰ τὰ θυσιαστήρια καθημερινῶς. Διότι αὐτὴ ἡ θυσία εἶναι ἀνωτέρα καὶ τῆς προσευχῆς καὶ τῆς νηστείας καὶ πολλῶν ἄλλων, ἀρκεῖ μόνον νὰ προέρχεται ἀπὸ δίκαιον κέρδος καὶ ἀπὸ ὁμοίους κόπους καὶ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε πλεονεξίαν καὶ βιαιοπραγίαν καὶ ἁρπαγήν. Διότι τέτοιου εἴδους προσφορὰς θέλει ὁ Θεός, ἐνῷ τὰς ἄλλας καὶ τὰς ἀποστρέφεται καὶ τὰς μισεῖ, καὶ οὔτε θέλει νὰ τιμᾶται μὲ τὰς συμφορὰς τῶν ἄλλων. Ἐξ ἄλλου ἡ θυσία τοῦ εἴδους αὐτοῦ εἶναι ἀκάθαρτος καὶ βέβηλος καὶ ἐξοργίζει μᾶλλον τὸν Θεὸν παρὰ τὸν ἐξιλεώνει.

Δι' αὐτὸ πρέπει νὰ καταβάλλωμεν κάθε προσπάθειαν, ὥστε νὰ μὴ ἐξυβρίζωμεν τὸν τιμώμενον τὴν στιγμὴν ποὺ τὸν λατρεύομεν. Διότι, ἐὰν ὁ Κάϊν ὁ ὁποῖος προσέφερε τὰ δεύτερα προϊόντα του, χωρὶς νὰ κάνῃ τίποτε ἄλλο κακόν, ὑπέστη τὴν ἐσχάτην καταδίκην, ὅταν προσφέρωμεν κάτι ποὺ προέρχεται ἀπὸ ἁρπαγὴν ἢ πλεονεξίαν, πῶς δὲν θὰ πάθωμεν χειρότερα; Δι' αὐτὸ ἄλλωστε ὁ Θεὸς μᾶς ὑπέδειξε καὶ

το καὶ τὸ εἶδος τῆς ἐντολῆς ταύτης ὑπέδειξεν ἡμῖν ὁ Θεός, ἵνα ἐλεῶμεν, οὐχ ἵνα κολάζωμεν τοὺς ὁμοδούλους. Ὁ δὲ τὰ ἑτέρων λαμβάνων καὶ ἑτέρῳ διδοὺς οὐκ ἠλέησεν, ἀλλ᾽ ἐτιμωρήσατο, καὶ ἠδίκησεν ἀδικίαν τὴν ἐσχάτην. Ὥσπερ οὖν ἔλαιον οὐκ ἂν τέκοι λίθος, οὕτως οὐδὲ ἀπήνεια φιλανθρωπίαν· ὅταν γὰρ τοιαύτην ἔχῃ ῥίζαν, οὐκ ἔτι ἐλεημοσύνη τὸ τοιοῦτόν ἐστι.

Διὸ παρακαλῶ μὴ πρὸς τοῦτο ὁρᾶν μόνον, ὅπως παρέχωμεν τοῖς δεομένοις, ἀλλὰ καὶ ὅπως μὴ ἐκ τῆς τῶν ἑτέρων ἁρπαγῆς· εἷς γὰρ εὐχόμενος, καὶ εἷς καταρώμενος, τίνος φωνῆς ἀκούσεται ὁ Δεσπότης; Ἂν οὕτως ἑαυτοὺς μετὰ ἀκριβείας ἄγωμεν, δυνησόμεθα τῇ τοῦ Θεοῦ χάριτι πολλῆς φιλανθρωπίας καὶ ἐλέους καὶ συγγνώμης τυχεῖν ἐφ᾽ οἷς ἡμάρτομεν πάντα τὸν μακρὸν τοῦτον χρόνον, καὶ τὸν τοῦ πυρὸς ποταμὸν ἐκφυγεῖν· οὗ γένοιτο πάντας ἡμᾶς ἀπαλλαγέντας εἰς τὴν τῶν οὐρανῶν ἀνελθεῖν βασιλείαν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὸ εἶδος τῆς ἐντολῆς αὐτῆς, ὥστε νὰ ἐλεῶμεν καὶ ὄχι νὰ τιμωροῦμεν τοὺς συνανθρώπους μας. Διότι ἐκεῖνος ποὺ παίρνει ὅσα ἀνήκουν εἰς τοὺς ἄλλους καὶ τὰ δίδει εἰς ἄλλον, δὲν τὸν ἐλεεῖ ἀλλὰ τὸν τιμωρεῖ καὶ τὸν διαπράττει ἐσχάτην ἀδικίαν. Ὅπως λοιπὸν ἡ πέτρα δὲν παράγει λάδι, ἔτσι οὔτε ἡ σκληρότης φιλανθρωπίαν. Διότι ὅταν ἔχῃ τέτοιαν ρίζαν αὐτὸ δὲν εἶναι πλέον ἐλεημοσύνη.

Δι' αὐτὸ παρακαλῶ νὰ μὴ ἀποβλέπωμεν μόνον εἰς αὐτό, πῶς νὰ δίδωμεν εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, ἀλλὰ καὶ πῶς νὰ μὴ δίδωμεν ἀπὸ τὴν ἁρπαγὴν τῶν ἄλλων. Διότι ὁ ἕνας θὰ προσεύχεται καὶ ὁ ἄλλος θὰ καταριέται· τίνος τὴν φωνὴν θὰ ἀκούσῃ ὁ Δεσπότης; Ἐὰν φροντίζωμεν τὸν ἑαυτόν μας μὲ τόσην ἀκρίβειαν, θὰ ἠμπορέσωμεν μὲ τὴν χάριν τοῦ Θεοῦ νὰ ἐπιτύχωμεν πολλὴν φιλανθρωπίαν καὶ συμπάθειαν καὶ συγγνώμην δι' ὅσα ἁμαρτήματα διαπράττομεν ὅλον αὐτὸν τὸν μακρὸν χρόνον καὶ νὰ ἀποφύγωμεν τὸν ποταμὸν τοῦ πυρός. Εἴθε δὲ ὅλοι νὰ ἀπαλλαγῶμεν ἀπὸ αὐτὸν καὶ νὰ ἀνέλθωμεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ'.

'Ιω. 1, 16-17.

«*Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος*».

1. Πρώην ἐλέγομεν ὅτι Ἰωάννης, τὴν ἀπορίαν λύων τῶν μελλόντων πρὸς ἑαυτοὺς ζητεῖν πόθεν ὁ Χριστός, ὕστερον ἐπὶ τὸ κήρυγμα ἐλθών, πρῶτος αὐτοῦ γέγονε καὶ λαμπρότερος, ἐπήγαγε τὸ «ὅτι πρῶτός μου ἦν». Καὶ μία μὲν αὕτη αἰτία, τίθησι δὲ καὶ δευτέραν πάλιν, ἣν νῦν φησι. Τίς δέ ἐστιν αὕτη; «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς», φησί, «πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος». Καὶ μετὰ τούτων λέγει πάλιν καὶ ἄλλην. Ποίαν δὲ ταύτην; «Ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο».

Καὶ τί ποτέ ἐστι, φησί, τὸ «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν»; Ἐπὶ γὰρ τοῦτο τέως ἀκτέον τὸν λόγον. Οὐ μεθεκτήν, φησίν, ἔχει τὴν δωρεάν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτόρριζά ἐστι πάντων τῶν καλῶν, αὐτοζωή, καὶ αὐτοφῶς, καὶ αὐτοαλήθεια, οὐκ ἐν ἑαυτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτόν, καὶ μετὰ τὸ ὑπερβλύσαι μένων πλήρης· ἐν οὐδενὶ γὰρ ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων, καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν, ἐπὶ τῆς αὐτῆς μένει τελειότητος.

Ὃ δὲ ἐγὼ φέρω, μεθεκτόν τέ ἐστι (παρ' ἑτέρου γὰρ ἔλαβον αὐτό), καὶ μικρόν τι τοῦ παντός, καὶ οἱονεὶ σταγὼν εὐτελὴς πρὸς ἄβυσσον ἄφατον καὶ πέλαγος ἄπειρον· μᾶλλον

ΟΜΙΛΙΑ ΙΔ'.

'Ιω. 1, 16-17.

«Καὶ ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν ὅλοι ἐμεῖς καὶ τὴν μίαν χάριν κατόπιν τῆς ἄλλης».

1. Προηγουμένως ἐλέγαμεν ὅτι ὁ 'Ιωάννης λύων τὴν ἀπορίαν ἐκείνων ποὺ ἐπρόκειτο νὰ τὴν θέσουν εἰς τὸν ἑαυτόν τους, δηλαδὴ πῶς ὁ Χριστός, ἐνῷ ἐνεφανίσθη εἰς τὸ κήρυγμα μετὰ ἀπὸ αὐτόν, ἦτο ἀνώτερος καὶ ἐνδοξότερός του, ἐπρόσθεσε τὸ «διότι ὑπῆρχε πρὶν ἀπὸ ἐμένα». Καὶ αὐτὴ μὲν ἦτο μία αἰτιολογία. 'Αναφέρει ὅμως καὶ δευτέραν, τὴν ὁποίαν λέγει τώρα. Ποία δὲ εἶναι αὐτή; «'Απὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν ὅλοι ἐμεῖς, λέγει, καὶ τὴν μίαν χάριν μετὰ τὴν ἄλλην». Καὶ μετὰ ἀπὸ αὐτὰ ἀναφέρει καὶ ἄλλην αἰτιολογίαν. Ποία δὲ εἶναι αὐτή; «Διότι ὁ νόμος ἐδόθη διὰ τοῦ Μωϋσέως· ἡ χάρις καὶ ἡ ἀλήθεια ἦλθαν διὰ τοῦ 'Ιησοῦ Χριστοῦ».

Καὶ τί τέλος πάντων σημαίνει, λέγει, τό· «'Απὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν ὅλοι ἐμεῖς»; Ἂς φέρωμεν τὸν λόγον ἀμέσως εἰς αὐτό. Λέγει ὅτι ὁ Χριστὸς δὲν ἔχει τὴν δωρεὰν κατὰ συμμετοχήν, δηλαδὴ δανεικήν, ἀλλὰ εἶναι ὁ ἴδιος πηγὴ καὶ ρίζα ὅλων τῶν καλῶν· εἶναι αὐτοζωὴ καὶ αὐτοφῶς καὶ αὐτοαλήθεια. Δὲν κρατεῖ μέσα του τὸν πλοῦτον τῶν ἀγαθῶν, ἀλλὰ καὶ τοὺς ἄλλους ὅλους τοὺς κάνει νὰ πλημμυρίζουν ἀπὸ αὐτὸν καὶ ἐξακολουθεῖ μετὰ ἀπὸ αὐτὸ νὰ εἶναι πάλιν πλήρης. Διότι σὲ τίποτε δὲν ἐλαττώνεται μὲ τὸ νὰ χορηγῇ εἰς τοὺς ἄλλους, ἀλλὰ πάντοτε πηγάζει καί, ἐνῷ δίνει εἰς ὅλους ἀπὸ αὐτὰ τὰ καλά, ἐξακολουθεῖ νὰ μένῃ εἰς τὸν ἴδιον βαθμὸν τελειότητος.

'Ενῷ αὐτὸ ποὺ φέρω ἐγὼ καὶ ἀπὸ συμμετοχὴν (δανεικὸν) εἶναι (διότι τὸ ἐπῆρα ἀπὸ ἄλλον) καὶ ἀποτελεῖ μικρὸν μόνον μέρος τοῦ ὅλου καὶ τρόπον τινὰ ὁμοιάζει μὲ μηδαμι-

δὲ οὐδὲ τοῦτο τὸ παράδειγμα παραστῆσαι δύναται ὅπερ ἐπιχειροῦμεν εἰπεῖν. Σταγόνα μὲν γὰρ ἀπὸ πελάγους ἂν ἐξέλῃς, αὐτῷ τούτῳ τὸ πέλαγος ἠλάττωσας, εἰ καὶ ἀφανὴς ἡ ἐλάττωσις. Ἐπὶ δὲ τῆς πηγῆς ἐκείνης οὐκ ἔστι τοῦτο εἰπεῖν, ἀλλ' ὅσον ἂν τις ἀρύσηται, μένει μηδὲν ἐλαττουμένη.

Διὸ χρὴ μάλιστα ἐφ' ἕτερον ὑπόδειγμα ἐλθεῖν· ἀσθενὲς μὲν γὰρ καὶ αὐτὸ καὶ οὐ δυνάμενον ὅπερ ζητοῦμεν παραστῆσαι, μᾶλλον δὲ τοῦ προτέρου χειραγωγοῦν ἡμᾶς πρὸς τὴν ἔννοιαν τὴν προκειμένην ἡμῖν νῦν. Ὑποθώμεθα γὰρ εἶναι πυρὸς πηγήν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καὶ δὶς τοσούτους, καὶ τρίς, καὶ πολλάκις· ἆρα οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας τῆς αὐτοῦ; Παντί που δῆλόν ἐστιν.

Εἰ δὲ ἐπὶ τῶν σωμάτων, τῶν μεριστῶν, τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως, εὑρέθη τι τοιοῦτον, ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. Εἰ γάρ, ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμπανόμενον καὶ σῶμα, καὶ μερίζεται καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον, ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν.

Διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγεν· «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν», καὶ συνείρει τὴν αὐτοῦ μαρτυρίαν τῇ τοῦ Βαπτιστοῦ. Τὸ γὰρ «ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάνες ἐλάβομεν», οὐ τοῦ Προδρόμου ἐστὶ ῥῆμα, ἀλλὰ τοῦ μαθητοῦ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Μὴ νομίσητε, φησίν, ὅτι ἡμεῖς οἱ συγγενόμενοι πολὺν αὐτῷ χρόνον, καὶ ἅλων

νὴν σταγόνα, ἐν συγκρίσει μὲ ἀπερίγραπτον ἄβυσσον καὶ ἄπειρον πέλαγος. Ἢ μᾶλλον οὔτε τὸ παράδειγμα αὐτὸ δὲν ἠμπορεῖ νὰ παραστήσῃ αὐτὸ ποὺ ἐπιχειροῦμεν νὰ εἴπωμεν. Διότι, ἐὰν βγάλῃς μίαν σταγόνα ἀπὸ τὸ πέλαγος, ἐλαττώνεις τὸ πέλαγος κατὰ μίαν σταγόνα, ἔστω καὶ ἂν ἡ ἐλάττωσις αὐτὴ εἶναι ἀφανής. Ἐνῷ εἰς τὴν πηγὴν ἐκείνην δὲν ἠμποροῦμεν νὰ τὸ εἴπωμεν αὐτό. Διότι ὅσον καὶ ἂν ἀντλήσῃ κανεὶς παραμένει χωρὶς τὴν παραμικρὰν ἐλάττωσιν.

Δι' αὐτὸ πρέπει νὰ ἔλθωμεν εἰς ἄλλο παράδειγμα, διότι αὐτὸ εἶναι ἀσθενὲς καὶ δὲν ἠμπορεῖ νὰ παραστήσῃ αὐτὸ τὸ ὁποῖον ζητοῦμεν, ἢ μᾶλλον τὸ προηγούμενον παράδειγμα μᾶς ὁδηγεῖ πρὸς τὴν ἑξῆς ἔννοιαν τώρα. Ἂς ὑποθέσωμεν ὅτι εἶναι πηγὴ πυρὸς καὶ ἔπειτα ὅτι ἀπὸ τὴν πηγὴν ἐκείνην ἀνάβουν μύρια λυχνάρια καὶ δύο φορὰς μύρια καὶ τρεῖς καὶ περισσότερα. Μήπως τὸ πῦρ αὐτὸ δὲν ἐξακολουθεῖ νὰ ἔχῃ τὴν ἰδίαν πληρότητα καὶ ἀφοῦ δώσῃ τόσην ἀπὸ τὴν ἐνέργειάν του; Εἰς τὸν καθένα τοῦτο εἶναι ὑποθέτω φανερόν.

Ἐὰν ὅμως εἰς τὰ σώματα, τὰ ὁποῖα ὑπόκεινται εἰς διαίρεσιν καὶ ἐλαττώνονται ἀπὸ τὴν ἀφαίρεσιν, εὑρέθη κάποιον τὸ ὁποῖον, καὶ ὅταν δώσῃ εἰς ἄλλα ἀπὸ τὸν ἑαυτόν του, δὲν βλάπτεται καθόλου, πολὺ περισσότερον τοῦτο συμβαίνει εἰς ἐκείνην τὴν ἀσώματον καὶ ἀβλαβῆ δύναμιν. Διότι ἀφοῦ, ἐκεῖ ὅπου αὐτὸ ποὺ μεταδίδεται εἶναι οὐσία καὶ σῶμα καὶ παρὰ ταῦτα μοιράζεται καὶ δὲν μοιράζεται, πολὺ περισσότερον ὅταν γίνεται λόγος περὶ ἐνεργείας, καὶ μάλιστα ἐνεργείας ἡ ὁποία προέρχεται ἀπὸ ἀσώματον οὐσίαν, δὲν εἶναι πιθανὸν νὰ συμβῇ κάτι παρόμοιον.

Δι' αὐτὸ καὶ ὁ Ἰωάννης ἔλεγεν· «Ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν ὅλοι ἐμεῖς» καὶ συνδυάζει τὴν μαρτυρίαν του μὲ τὴν μαρτυρίαν τοῦ Βαπτιστοῦ. Διότι τό· «ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν ὅλοι ἐμεῖς», δὲν εἶναι λόγια τοῦ Προδρόμου, ἀλλὰ τοῦ μαθητοῦ. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· μὴ νομίσετε ὅτι ἐμεῖς ποὺ ἤμεθα πολὺν χρόνον μαζὶ μὲ αὐτὸν καὶ ἐπήραμεν μέρος καὶ εἰς τὰς θαλάσσας

καὶ τραπέζης κοινωνήσαντες, χάριτι μαρτυροῦμεν. Καὶ γὰρ καὶ Ἰωάννης, ὁ μηδὲ εἰδὼς αὐτὸν πρὸ τούτου, ὁ μηδὲ συγγενόμενος, ἀλλὰ τοσοῦτον μόνον, ὅτε ἐβάπτιζε, μετὰ τῶν ἄλλων αὐτὸν θεασάμενος, ἐβόα· «Πρῶτός μου ἦν», ἐκεῖθεν πάντα λαβών.

Καὶ ἡμεῖς δὲ πάντες οἱ δώδεκα, οἱ τριακόσιοι, οἱ πεντακόσιοι, οἱ τρισχίλιοι, οἱ πεντακισχίλιοι, αἱ πολλαὶ τῶν Ἰουδαίων μυριάδες, ἅπαν τὸ πλήρωμα τῶν πιστῶν, καὶ τῶν τότε καὶ τῶν νῦν, καὶ τῶν αὖθις ἐσομένων, ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. Τί δὲ ἐλάβομεν; «Χάριν ἀντὶ χάριτος», φησίν. Ἀντὶ ποίας ποίαν; Ἀντὶ τῆς Παλαιᾶς τὴν Καινήν· ὥσπερ γὰρ ἦν δικαιοσύνη, καὶ δικαιοσύνη· «Κατὰ δικαιοσύνην» γάρ, φησί, «τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος»· καὶ πίστις, καὶ πίστις· «Ἐκ πίστεως γὰρ εἰς πίστιν»· καὶ υἱοθεσία, καὶ υἱοθεσία· «ὧν ἡ υἱοθεσία», φησί· καὶ δόξα, καὶ δόξα· «Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ»· καὶ νόμος, καὶ νόμος· «Ὁ νόμος» γάρ, φησί, «τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με»· καὶ λατρεία, καὶ λατρεία· «ὧν ἡ λατρεία» φησί· καὶ πάλιν, «Πνεύματι Θεῷ λατρεύοντες»· καὶ διαθήκη, καὶ διαθήκη· «Διαθήσομαι γὰρ ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν»· καὶ ἁγιασμός, καὶ ἁγιασμός· καὶ βάπτισμα, καὶ βάπτισμα· καὶ θυσία, καὶ θυσία· καὶ ναός, καὶ ναός· καὶ περιτομή, καὶ περιτομή, οὕτω καὶ χάρις, καὶ χάρις. Ἀλλ' ἐκεῖνα μὲν ὡς τύποι, ταῦτα δὲ ὡς ἀλήθεια, ὁμωνυμίαν τινά, ἀλλ' οὐχὶ συνωνυμίαν φυλάττοντα, ἐπεὶ καὶ ἐν τοῖς τύποις καὶ ἐν ταῖς εἰκόσι, καὶ ὁ ἐπὶ τῶν χρωμάτων τῶν λευκῶν διὰ τοῦ μέλανος χρώματος ἐγχαραττόμενος ἄνθρωπος λέγεται, καὶ ὁ δεξάμενος τὴν τῶν χρωμάτων ἀλήθειαν· καὶ ἐπὶ τῶν ἀνδριάντων, ὅ τε χρυσοῦς, ὅ τε πήλινος

1. Φιλ. 3, 6.
2. Ρωμ. 1, 17.
3. Ρωμ. 9, 4.
4. Β' Κορ. 3, 11.

καὶ εἰς τὰς τραπέζας, μαρτυροῦμεν κατὰ χάριν. Διότι καὶ ὁ Ἰωάννης, ὁ ὁποῖος οὔτε τὸν ἐγνώριζε πρὶν ἀπὸ αὐτὸ καὶ ὁ ὁποῖος δὲν ἦτο ποτὲ μαζί του, παρὰ μόνον ὅταν τὸν ἐβάπτιζεν, ὅταν τὸν εἶδε μαζὶ μὲ τοὺς ἄλλους ἐφώναξεν· «Ὑπῆρχε πρὶν ἀπὸ ἐμένα». Ἀπὸ αὐτὸν τὰ ἐπῆρεν ὅλα.

Καὶ ἐμεῖς ὅλοι οἱ δώδεκα, οἱ τριακόσιοι, οἱ πεντακόσιοι, οἱ τρεῖς χιλιάδες, οἱ πέντε χιλιάδες, αἱ πολλαὶ μυριάδες τῶν Ἰουδαίων, ὅλον τὸ σύνολον τῶν πιστῶν καὶ τῆς ἐποχῆς ἐκείνης καὶ τῶν τωρινῶν καὶ αὐτῶν ποὺ θὰ ἔλθουν, ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν. Τί δὲ ἐπήραμεν; «Χάριν ἀντὶ χάριτος», λέγει. Ποίαν χάριν ἀντὶ ποίας; Ἀντὶ τῆς Παλαιᾶς τὴν Καινήν. Διότι ὅπως ὑπῆρχε δικαιοσύνη καὶ δικαιοσύνη· διότι λέγει «ὡς πρὸς τὴν δικαιοσύνην τοῦ νόμου ἐζοῦσα ἄμεμπτος»[1]· πίστις καὶ πίστις, ἀφοῦ λέγει· «ἀπὸ πίστιν εἰς πίστιν»[2]· υἱοθεσία καὶ υἱοθεσία, «εἰς τοὺς ὁποίους ἀνήκει ἡ υἱοθεσία» λέγει[3]· δόξα καὶ δόξα· «Διότι ἐὰν ἐκεῖνο ποὺ κατηργεῖτο ἐφάνη μὲ λαμπρότητα, πολλὴ μεγαλυτέρα εἶναι ἡ λαμπρότης ἐκείνου ποὺ μένει»[4]· νόμος καὶ νόμος, διότι λέγει· «ὁ νόμος τοῦ Πνεύματος ποὺ δίνει ζωὴν μὲ ἠλευθέρωσε»[5]· λατρεία καὶ λατρεία· «αὐτῶν ἡ λατρεία» λέγει· καὶ «λατρεύομεν μὲ Πνεῦμα τὸν Θεόν»[6]· διαθήκη καὶ διαθήκη· «Διότι θὰ σᾶς ὑπογράψω διαθήκην νέαν, ὄχι ὡσὰν τὴν διαθήκην ποὺ ὑπέγραψα μὲ τοὺς πατέρας σας»[7]· ἁγιασμὸς καὶ ἁγιασμός· βάπτισμα καὶ βάπτισμα· θυσία καὶ θυσία· ναὸς καὶ ναός· περιτομὴ καὶ περιτομή, ἔτσι ὑπάρχει χάρις καὶ χάρις. Καὶ ἐκεῖνα μὲν ἦσαν προτυπώσεις, ἐνῷ αὐτὰ εἶναι ἀλήθεια καὶ ἔχουν κάποιαν συγγένειαν ὀνόματος, ἀλλὰ δὲν εἶναι ταυτόσημα. Διότι καὶ εἰς τοὺς τύπους καὶ εἰς τὰς εἰκόνας καὶ αὐτὸς ποὺ χαράσσεται μὲ μαῦρον χρῶμα ἐπάνω εἰς λευκὸν λέγεται ἄνθρωπος, ὅπως καὶ ἐκεῖνος ποὺ δέχεται τὰ πραγματικὰ χρώματα. Καὶ εἰς τοὺς ἀνδριάντας καὶ ὁ χρυ-

5. Ρωμ. 8, 2.
6. Φιλ. 3, 3.
7. Ἰερ. 31, 31.

ἀνδριὰς προσηγόρευται· ἀλλὰ τὸ μὲν ὡς τύπος, τὸ δὲ ὡς ἀλήθεια.

2. Μὴ τοίνυν ὡς ἀπὸ τῆς τῶν ὀνομάτων κοινωνίας ταὐτότητα πραγμάτων νομίσῃς, ἀλλὰ μηδὲ ἀλλοτρίωσιν. Εἰ μὲν γὰρ τύπος ἦν οὐκ ἦν ἀλλότρια τῆς ἀληθείας, εἰ δὲ σκιὰν ἐφύλαττεν, ἐλάττω τῆς ἀληθείας ἦν. Τί οὖν τὸ μέσον τούτων ἁπάντων; Βούλεσθε ἐπεξέλθωμεν, ἓν ἢ δύο τῶν εἰρημένων προχειρισάμενοι; Οὕτω γὰρ καὶ τὰ ἄλλα ἔσται ὑμῖν δῆλα, καὶ εἰψόμεθα πάντες ὡς ἐκεῖνα μὲν παίδων ἦν διδάγματα, ταῦτα δὲ γενναίων καὶ μεγάλων ἀνδρῶν· καὶ τὰ μὲν ὡς ἀνθρώποις, τὰ δὲ ὡς ἀγγέλοις νενομοθέτητο.

Πόθεν οὖν ποιησόμεθα τὴν ἀρχήν; Βούλεσθε ἀπὸ τῆς υἱοθεσίας αὐτῆς; Τί δὴ οὖν τὸ μέσον ταύτης κἀκείνης; Ἐκείνη ῥήματος ἦν τιμή· ἐνταῦθα δὲ καὶ τὸ πρᾶγμα ἕπεται. Καὶ περὶ μὲν ἐκείνης φησίν· «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες», περὶ δὲ ταύτης, ὅτι «ἐκ Θεοῦ ἐγεννήθησαν». Πῶς καὶ τίνι τρόπῳ; Διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινίσεως Πνεύματος ἁγίου. Κἀκεῖνοι μὲν μετὰ τὴν τῶν υἱῶν προσηγορίαν ἔτι πνεῦμα δουλείας εἶχον· δοῦλοι γὰρ μένοντες, οὕτως ἐτιμῶντο τῇ κλήσει ταύτῃ· ἡμεῖς δέ, ἐλεύθεροι γενόμενοι, τότε οὐκ ὀνόματι, ἀλλὰ πράγματι τὴν τιμὴν ἐδεξάμεθα. Καὶ τοῦτο Παῦλος δηλῶν, ἔλεγεν· «Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ Πατήρ». Γεννηθέντες γὰρ ἄνωθεν, καὶ ὡς ἂν εἴποι τις ἀναστοιχειωθέντες, οὕτως ἐκλήθημεν υἱοί.

Καὶ τῆς ἁγιωσύνης τὸν τρόπον εἴ τις καταμάθοι, τίς μὲν οὗτος, τίς δὲ ἐκεῖνος, πολλὴν ὄψεται πάλιν κἀνταῦθα τὴν διαφοράν. Ἐκεῖνοι μὲν γάρ, ἡνίκα μὴ εἰδωλολάτρουν, μηδὲ

8. Ψαλμ. 81, 6.
9. Ρωμ. 8, 15.

σὸς καὶ ὁ πήλινος, ἀνδριὰς ὀνομάζεται· ἀλλὰ τὸ μὲν ἕνα εἶναι τύπος, τὸ δὲ ἄλλο ἡ ἀλήθεια.

2. Μὴ νομίσῃς λοιπόν, ἀπὸ τὴν ὁμοιότητα τῶν λέξεων, ὅτι ὑπάρχει καὶ ταυτότης τῶν πραγμάτων, ἀλλὰ οὔτε καὶ ἀποξένωσις. Διότι ἐὰν μὲν ἦσαν τύπος, δὲν ἦσαν ξένα πρὸς τὴν ἀλήθειαν· ἐὰν δὲ διεφύλασσαν σκιάν, ἦσαν κατώτερα τῆς ἀληθείας. Ποία λοιπὸν εἶναι ἡ διαφορὰ μεταξὺ ὅλων αὐτῶν; Θέλετε νὰ τὸ ἐξετάσωμεν, ἀφοῦ ἐπιλέξωμεν ἕνα ἢ δύο ἀπὸ αὐτὰ ποὺ εἴπαμεν; Ἔτσι καὶ τὰ ἄλλα θὰ μᾶς γίνουν φανερὰ καὶ θὰ ἴδωμεν ὅλοι ὅτι ἐκεῖνα μὲν ἦσαν διδασκαλίαι κατάλληλαι διὰ παιδιά, ἐνῷ αὐτὰ διὰ γενναίους καὶ μεγάλους ἄνδρας, καὶ ἔχουν νομοθετηθῆ ἐκεῖνα μὲν ὡς εἰς ἀνθρώπους, ἐνῷ αὐτὰ ὡς εἰς ἀγγέλους.

Ἀπὸ ποῦ λοιπὸν νὰ ἀρχίσωμεν; Θέλετε ἀπὸ αὐτὴν τὴν υἱοθεσίαν; Ποία λοιπὸν εἶναι ἡ διαφορὰ μεταξὺ αὐτῆς καὶ ἐκείνης τῆς υἱοθεσίας; Ἐκείνη μὲν ἦτο τιμὴ μὲ λόγια, ἐνῷ ἐδῶ ἀκολουθεῖ καὶ ἡ πρᾶξις. Καὶ περὶ ἐκείνης μὲν λέγει· «Ἐγὼ εἶπα, εἴσασθε θεοὶ καὶ παιδιὰ τοῦ ὑψίστου ὅλοι»[8], ἐνῷ περὶ αὐτῆς ὅτι «ἐγεννήθησαν ἀπὸ τὸν Θεόν». Πῶς ἐγεννήθησαν καὶ μὲ ποῖον τρόπον; Μὲ τὸ λουτρὸν τῆς παλιγγενεσίας καὶ ἀνακαινίσεως τοῦ ἁγίου Πνεύματος. Ἔπειτα, ἐκεῖνοι καὶ μετὰ τὴν ὀνομασίαν των ὡς υἱῶν ἐξηκολούθουν νὰ ἔχουν πνεῦμα δουλείας, διότι ἐτιμῶντο μὲ τὸ ὄνομα αὐτὸ ἐνῷ ἐξηκολούθουν νὰ παραμένουν δοῦλοι· ἐνῷ ἐμεῖς ἀφοῦ ἐγίναμεν ἐλεύθεροι τότε ἐδέχθημεν τὴν τιμὴν τῆς υἱοθεσίας ὄχι μὲ λόγια ἀλλὰ εἰς τὴν πρᾶξιν. Αὐτὸ τὸ δηλώνει καὶ ὁ Παῦλος ὅταν λέγῃ· «Δὲν ἐλάβατε πνεῦμα δουλείας ποὺ νὰ σᾶς φέρῃ πάλιν εἰς κατάστασιν φόβου, ἀλλὰ ἐλάβατε πνεῦμα ποὺ σᾶς κάνει υἱούς, διὰ τοῦ ὁποίου φωνάζομεν· Ἀββᾶ, πατέρα»[9]. Ἀφοῦ δηλαδὴ πρῶτα ἐγεννήθημεν ἄνωθεν καὶ τρόπον τινὰ ἀνεπλάσθημεν, τότε ὠνομάσθημεν υἱοί.

Καὶ τὸν τρόπον τῆς ἁγιότητος ἐὰν παρατηρήσῃ κανεὶς καλὰ ποῖος εἶναι αὐτὸς καὶ ποῖος ἐκεῖνος, θὰ εὕρῃ μεγάλην καὶ ἐδῶ διαφοράν. Διότι ἐκεῖνοι μὲν ὠνομάζοντο μὲ τὸ ὄνο-

ἐπόρνευον, μηδὲ ἐμοίχευον, τοῦτο ἐκαλοῦντο τὸ ὄνομα, ἡμεῖς δὲ οὐκ ἐν τῇ τούτων ἀποχῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν μειζόνων κτήσει γινόμεθα ἅγιοι. Καὶ πρῶτον μὲν ἀπ' αὐτῆς τοῦ Πνεύματος τῆς ἐπιφοιτήσεως ταύτης τυγχάνομεν τῆς δωρεᾶς, ἔπειτα δὲ καὶ ἐκ πολιτείας πολλῷ μείζονος τῆς Ἰουδαϊκῆς.

Καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, ἄκουσον ἐκείνοις μὲν τί φησιν· «Οὐ φοιβάσεσθε, οὐ περικαθαριεῖτε τὰ τέκνα ὑμῶν, ὅτι λαὸς ἅγιός ἐστε». Ὥστε παρ' ἐκείνοις τοῦτο ἡ ἁγιωσύνη, τὸ τῶν εἰδωλικῶν ἀπηλλάχθαι νόμων· παρὰ δὲ ἡμῖν οὐχ οὕτως, ἀλλ' «ἵνα ᾖ ἁγία», φησί, «καὶ σώματι καὶ πνεύματι»· «Εἰρήνην διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον»· καί, «Ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ». Οὐ γὰρ ἀρκεῖ τὸ ἅγιος ὄνομα ἐπὶ πάντων, ὧν ἂν λέγηται, τὴν αὐτὴν ἔννοιαν παραστῆσαι· ἐπεὶ καὶ ὁ Θεὸς ἅγιος λέγεται, ἀλλ' οὐχ ὡς ἡμεῖς. Ὅτε γοῦν ἤκουσε τὴν φωνὴν ταύτην παρὰ τῶν Σεραφὶμ φερομένην ὁ Προφήτης, ὅρα τί φησιν· «Οἴμοι τάλας ἐγώ, ὅτι, ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ, ἀκάθαρτα χείλη ἔχοντος, ἐγὼ οἰκῶ». Καίτοι καὶ ἅγιος καὶ καθαρὸς ἦν· ἀλλὰ πρὸς τὴν ἁγιωσύνην ἡμεῖς τὴν ἄνω κρινόμενοι ἀκάθαρτοί ἐσμεν.

Ἅγιοι καὶ οἱ ἄγγελοι, ἅγιοι οἱ ἀρχάγγελοι, καὶ αὐτὰ τὰ Σεραφὶμ καὶ Χερουβίμ· ἀλλὰ καὶ ταύτης τῆς ἁγιωσύνης ἑτέρα πάλιν διαφορὰ καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὰς ὑπερεχούσας δυνάμεις. Ἐνῆν καὶ τοῖς ἄλλοις ἅπασιν ἐπεξελθεῖν, ἀλλ' ὁρῶ τὸν λόγον εἰς μῆκος πολὺ ἐκτεινόμενον· διό, περαιτέρω παυσάμενοι προελθεῖν, ὑμῖν ἀφήσομεν τὰ λειπόμε-

---

10. Δευτ. 18, 10.
11. Α' Κορ. 7, 34.
12. Ἑβρ. 12, 14.
13. Β' Κορ. 7, 1.
14. Ἠσ. 6, 5.

μα αὐτὸ μόνον ὅταν δὲν ἐπίστευαν εἰς τὰ εἴδωλα, δὲν ἐπόρνευαν καὶ δὲν ἐμοίχευαν. Ἐνῷ ἐμεῖς γινόμεθα ἅγιοι ὄχι μόνον μὲ τὴν ἀποχὴν ἀπὸ αὐτά, ἀλλὰ καὶ μὲ τὴν ἀπόκτησιν τῶν ἀνωτέρων. Καὶ κατὰ πρῶτον μὲν ἐπετύχαμεν τὴν δωρεὰν αὐτὴν ἀπὸ αὐτὴν τὴν ἐπιφοίτησιν τοῦ Πνεύματος· ἔπειτα δὲ καὶ ἀπὸ τὴν ζωήν μας ἡ ὁποία εἶναι πολὺ ἀνωτέρα ἀπὸ τὴν ἰουδαϊκήν.

Καὶ ὅτι αὐτὰ ποὺ λέγω δὲν εἶναι καυχησιολογία, ἄκουσε τί λέγει δι' ἐκείνους· «Νὰ μὴ παραδίδετε τὰ παιδιά σας εἰς μαντικοὺς ἐνθουσιασμοὺς καὶ καθάρσεις, διότι εἶσθε λαὸς ἅγιος»[10]. Ὥστε δι' ἐκείνους αὐτὸ ἦτο ἁγιωσύνη, τὸ νὰ ἀπαλλαγοῦν ἀπὸ τοὺς εἰδωλολατρικοὺς νόμους. Ἐνῷ εἰς ἐμᾶς δὲν εἶναι ἔτσι, ἀλλὰ λέγει· «Διὰ νὰ εἶναι ἁγία καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὸ πνεῦμα»[11], καὶ «ἐπιδιώκετε τὴν εἰρήνην καὶ τὸν ἁγιασμόν, διότι χωρὶς αὐτὸν κανεὶς δὲν θὰ ἰδῇ τὸν Κύριον»[12], καὶ «νὰ τελειοποιῆσθε εἰς τὴν ἁγιωσύνην μὲ φόβον Θεοῦ»[13]. Δὲν ἀρκεῖ δηλαδὴ ἡ λέξις «ἅγιος» νὰ παραστήσῃ τὴν σημασίαν τοῦ πράγματος εἰς ὅλους ὅσους ἀναφέρεται. Διότι καὶ ὁ Θεὸς λέγεται ἅγιος, ἀλλὰ ὅπως ἐμεῖς. Ὅταν λοιπὸν ὁ προφήτης ἤκουσε τὴν λέξιν αὐτὴν νὰ προφέρεται ἀπὸ τὰ Σεραφίμ, κύτταξε τί εἶπεν· «Ἀλλοίμονον, εἶμαι δυστυχής, διότι ἐνῷ ἀκόμη εἶμαι ἄνθρωπος καὶ ἔχω ἀκάθαρτα χείλη, κατοικῶ μέσα εἰς λαὸν ὁ ὁποῖος ἔχει ἀκάθαρτα χείλη»[14]. Ἂν καὶ ἦτο καὶ ἅγιος καὶ καθαρός, ἀλλὰ ὅταν ἐμεῖς συγκρινώμεθα πρὸς τὴν ἄνω ἁγιωσύνην εἴμεθα ἀκάθαρτοι.

Ἅγιοι εἶναι καὶ οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι καὶ αὐτὰ τὰ Σεραφὶμ καὶ τὰ Χερουβίμ. Ἀλλὰ καὶ εἰς αὐτὴν τὴν ἁγιωσύνην ὑπάρχει ἄλλη διαφορὰ ἀνάμεσα εἰς ἐμᾶς καὶ τὰς ὑπερεχούσας δυνάμεις. Θὰ ἠμπορούσαμεν νὰ ἐξετάσωμεν καὶ τὰ ἄλλα ὅλα, ἀλλὰ βλέπω ὅτι ὁ λόγος ἐκτείνεται εἰς μῆκος πολύ· δι' αὐτὸ ἀφοῦ σταματήσωμεν νὰ προχωροῦμεν περαιτέρω, ἀφήνομεν τὰ ὑπόλοιπα νὰ τὰ ἐξετάσετε ἐσεῖς.

να μεταχειρίσαι. Ἔξεστι γὰρ καὶ ὑμῖν κατ' οἶκον ταῦτα συλλέγουσι συνιδεῖν τὴν διαφοράν, καὶ τοῖς λοιποῖς ὁμοίως ἐπεξιέναι· «Δίδου» γάρ, φησί, «σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται». Ἡ μὲν γὰρ ἀρχὴ παρ' ἡμῶν, τὸ δὲ τέλος ἔσται παρ' ὑμῶν. Ἡμῖν δὲ ἀναγκαῖον πάλιν ἅψασθαι τῆς ἀκολουθίας.

Εἰπών· «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν», ἐπήγαγε· «Καὶ χάριν ἀντὶ χάριτος», δεικνὺς ὅτι χάριτι καὶ Ἰουδαῖοι ἐσώζοντο. Οὐ γὰρ διὰ τὸ πολυπληθεῖν ὑμᾶς, φησίν, ἀλλὰ διὰ τοὺς πατέρας ὑμᾶς ἐξελεξάμην. Εἰ τοίνυν οὐκ ἐξ οἰκείων κατορθωμάτων ἐξελέγησαν παρὰ Θεοῦ, δῆλον ὅτι χάριτι ταύτης ἔτυχον τῆς τιμῆς. Καὶ ἡμεῖς δὲ χάριτι πάντες ἐσώθημεν, ἀλλ' οὐχ ὁμοίως· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς, ἀλλ' ἐπὶ πολλῷ μείζοσι καὶ ὑψηλοτέροις. Οὐ τοίνυν τοιαύτη παρ' ἡμῖν χάρις· οὐδὲ γὰρ δὴ μόνον ἁμαρτημάτων συγχώρησις ἡμῖν ἐδόθη (ἐπεὶ κατὰ τοῦτο κοινωνοῦμεν ἐκείνοις· πάντες γὰρ ἥμαρτον), ἀλλὰ καὶ δικαιοσύνη, καὶ ἁγιασμός, καὶ υἱοθεσία, καὶ Πνεύματος χάρις φαιδροτέρα πολλῷ καὶ δαψιλεστέρα. Διὰ ταύτης τῆς χάριτος ἐγενόμεθα τῷ Θεῷ ποθεινοί, οὐκ ἔτι μόνον ὡς δοῦλοι, ἀλλὰ καὶ ὡς υἱοὶ καὶ ὡς φίλοι.

Διὰ τοῦτό φησι· «Χάριν ἀντὶ χάριτος». Καὶ γὰρ τὰ τοῦ νόμου καὶ αὐτὰ χάριτος ἦν, καὶ αὐτὸ τὸ γενέσθαι ἡμᾶς ἐξ οὐκ ὄντων. Οὐ γὰρ κατορθωμάτων προϋπηργμένων ταύτην ἐλάβομεν τὴν ἀμοιβήν, (πῶς γὰρ οἱ μηδὲ ὄντες;), ἀλλὰ Θεοῦ πανταχόθεν τῆς εὐεργεσίας κατάρχοντος. Οὐ τὸ γενέσθαι δὲ μόνον ἐξ οὐκ ὄντων, ἀλλὰ καὶ τὸ γενομένους εὐθέως μα-

15. Παρ. 9, 9.

Διότι ἠμπορεῖτε καὶ σεῖς νὰ τὰ συγκεντρώσετε καὶ νὰ ἰδῆτε τὴν διαφορὰν καὶ νὰ ἐξετάσετε καὶ τὰ ὑπόλοιπα κατὰ τὸν ἴδιον τρόπον. Ἄλλωστε λέγει· «Δίνε ἀφορμὴν εἰς τὸν σοφὸν καὶ θὰ γίνῃ πιὸ σοφός»[15]. Ἡ ἀρχὴ λοιπὸν ἔγινεν ἀπὸ ἐμᾶς, τὸ δὲ τέλος θὰ γίνῃ ἀπὸ σᾶς. Ἐμεῖς δὲ εἶναι ἀνάγκη νὰ προχωρήσωμεν παρακάτω.

Ἀφοῦ εἶπεν «ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐπήραμεν ὅλοι ἐμεῖς», ἐπρόσθεσε· «Καὶ χάριν ἀντὶ χάριτος», διὰ νὰ δείξῃ ὅτι μὲ τὴν χάριν ἐσώζοντο καὶ οἱ Ἰουδαῖοι. Διότι δὲν σᾶς ἐδιάλεξα, λέγει, ἐπειδὴ εἴσασθε πολυπληθεῖς, ἀλλὰ χάρις εἰς τοὺς πατέρας σας. Ἐφ' ὅσον λοιπὸν δὲν ἐξελέγησαν ἀπὸ τὸν Θεὸν ἕνεκα τῶν ἰδικῶν των κατορθωμάτων, εἶναι φανερὸν ὅτι μὲ χάριν ἐπέτυχαν αὐτὴν τὴν τιμήν. Καὶ ἐμεῖς βέβαια ὅλοι μὲ τὴν χάριν ἐσώθημεν, ἀλλὰ ὄχι κατὰ τὸν ἴδιον τρόπον. Διότι ἡ σωτηρία μας δὲν ἀναφέρεται εἰς τὰ ἴδια πράγματα, ἀλλὰ εἰς πολὺ ἀνώτερα καὶ ὑψηλότερα. Δὲν εἶναι παρομοία λοιπὸν ἡ ἰδική μας χάρις. Ἄλλωστε δὲν μᾶς ἐδόθη μόνον συγχώρησις τῶν ἁμαρτιῶν (διότι μόνον ὡς πρὸς αὐτὸ συνδεόμεθα μὲ ἐκείνους, ἀφοῦ ὅλοι ἡμάρτησαν), ἀλλὰ καὶ δικαίωσις καὶ ἁγιασμὸς καὶ υἱοθεσία καὶ χάρις τοῦ ἁγίου Πνεύματος κατὰ πολὺ πιὸ φωτεινὴ καὶ πλουσιοπάροχος. Μὲ αὐτὴν τὴν χάριν ἐγίναμεν ἀγαπητοὶ εἰς τὸν Θεόν, ὄχι μόνον ὡς δοῦλοι, ἀλλὰ καὶ ὡς παιδιὰ καὶ ὡς φίλοι.

Δι' αὐτὸ λέγει· «χάριν ἀντὶ χάριτος». Διότι καὶ τὰ γεγονότα τοῦ μωσαϊκοῦ νόμου ἦσαν ἀποτέλεσμα χάριτος, καὶ αὐτὸ ἀκόμη τὸ γεγονὸς τῆς ἐκ τοῦ μηδενὸς δημιουργίας μας. Διότι δὲν ἐπήραμεν αὐτὴν τὴν ἀνταμοιβὴν διὰ κατορθώματά μας τὰ ὁποῖα εἶχαν προηγηθῆ (πῶς ἄλλωστε θὰ ἦτο τοῦτο δυνατόν, ἀφοῦ οὔτε κὰν ὑπήρχαμεν;) ἀλλὰ χάρις εἰς τὸν Θεόν, ὁ ὁποῖος ἀπὸ παντοῦ ἀρχίζει μὲ εὐεργεσίαν. Καὶ δὲν ἐπήραμε μόνον τὴν ἐκ τοῦ μηδενὸς δημιουργίαν, ἀλλὰ καὶ τὸ ὅτι μόλις ἐδημιουργήθημεν ἀμέσως ἐδιδάχθημεν καὶ αὐτὰ ποὺ πρέπει νὰ κάνωμεν καὶ αὐτὰ ποὺ δὲν πρέπει νὰ

θεῖν τά τε πρακτέα καὶ τὰ μὴ πρακτέα, καὶ τοῦτον ἐν τῇ φύσει λαβεῖν τὸν νόμον, καὶ τὸ τοῦ συνειδότος κριτήριον ἀδέκαστον ἡμῖν παρακαταθέσθαι τὸν ποιήσαντα χάριτος ἦν μεγίστης καὶ φιλανθρωπίας ἀφάτου .

Καὶ τὸ τὸν νόμον δὲ τοῦτον διαφθαρέντα ἀνακτήσασθαι διὰ τοῦ γραπτοῦ χάριτος ἦν. Τὸ μὲν γὰρ ἑπόμενον ἦν τοὺς τὴν ἅπαξ δοθεῖσαν ἐντολὴν παραχαράττοντας κολάζεσθαι καὶ τιμωρεῖσθαι, τὸ δὲ γενόμενον οὐ τοῦτο ἦν, ἀλλὰ πάλιν διόρθωσις, καὶ συγγνώμη οὐκ ὀφειλομένη, ἀλλ' ἀπὸ ἐλέου καὶ χάριτος διδομένη. Ὅτι γὰρ χάριτος ἦν καὶ ἐλέου, ἄκουσον τί φησιν ὁ Δαυΐδ· «Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ». Καὶ πάλιν, «Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἐν ὁδῷ ἁμαρτάνοντας».

3. Ἐλεημοσύνης οὖν ἄρα καὶ οἰκτιρμῶν καὶ χάριτος τὸ τὸν νόμον λαβεῖν. Διὰ τοῦτο, εἰπών· «Χάριν ἀντὶ χάριτος», ἔτι θερμότερον ἐπαγωνιζόμενος τῷ μεγέθει τῶν δεδομένων, ἐπάγει, λέγων· «Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο». Εἴδετε πῶς ἠρέμα καὶ κατὰ μικρὸν ἑνὶ ῥήματι ὅ τε Βαπτιστὴς Ἰωάννης, ὅ τε μαθητὴς πρὸς τὴν ὑψηλοτάτην τοὺς ἀκροατὰς ἐνάγουσι γνῶσιν, πρότερον τοῖς ταπεινοτέροις ἐγγυμνάσαντες; Ἐκεῖνος μὲν γάρ, πρὸς ἑαυτὸν συγκρίνας τὸν ἀσυγκρίτως ἁπάντων ὑπερέχοντα, οὕτως αὐτοῦ μετὰ ταῦτα δείκνυσι τὴν ὑπεροχήν, λέγων· «Ὃς ἔμπροσθέν μου γέγονεν», εἶτα ἐπάγων τὸ «πρῶτός μου ἦν»· οὗτος δὲ ἐκείνου μὲν πολλῷ μεῖζον ἐποίησε, τῆς δὲ ἀξίας τῆς τοῦ Μονογενοῦς ἔλαττον· οὐ γὰρ πρὸς Ἰωάννην, ἀλλὰ πρὸς τὸν ἐκείνου μᾶλλον θαυμαζόμενον παρὰ Ἰουδαίοις ποιεῖται τὴν σύγκρισιν, τὸν Μωϋσέα λέγω· «Ὁ

16. Ψαλμ. 102, 6 καὶ 7.
17. Ψαλμ. 24, 8.

κάνωμεν καὶ τὸ ὅτι ἐλάβαμεν τὸν φυσικὸν νόμον καὶ τὸ ὅτι ὁ Δημιουργὸς ἔβαλε μέσα μας τὸ ἀδέκαστον κριτήριον τῆς συνειδήσεως, ὅλα αὐτὰ ὠφείλοντο εἰς τὴν πάρα πολὺ μεγάλην χάριν καὶ τὴν ἀπερίγραπτον φιλανθρωπίαν.

Καὶ τὸ ὅτι ὅταν ὁ νόμος αὐτὸς διεστράφη τὸν ἐπανεκτήσαμεν γραπτόν, καὶ αὐτὸ ὠφείλετο εἰς τὴν χάριν. Διότι τὸ μὲν φυσικὸν ἦτο, αὐτοὶ ποὺ παρεχάραξαν τὴν ἐντολὴν ποὺ τοὺς ἐδόθη κάποτε, νὰ κολασθοῦν καὶ νὰ τιμωρηθοῦν. Αὐτὸ ὅμως ποὺ ἔγινε δὲν ἦτο αὐτό, ἀλλὰ νέα διόρθωσις καὶ συγγνώμη, ἡ ὁποία δὲν ὠφείλετο, ἀλλὰ ἐδόθη ἀπὸ συμπάθειαν καὶ χάριν. Ὅτι δὲ ἦτο καρπὸς συμπαθείας καὶ χάριτος, ἄκουσε τί λέγει ὁ Δαβίδ· «Ἀπὸ ἐλεημοσύνην καὶ οἶκτον πρὸς ὅλους τοὺς ἀδικημένους ὁ Κύριος ἐγνώρισε τὰ θελήματά του εἰς τὸν Μωϋσῆν»[16] καί· «Ἀγαθὸς καὶ εἰλικρινὴς εἶναι ὁ Κύριος, δι' αὐτὸ θὰ ἐπαναφέρῃ εἰς τὸν σωστὸν δρόμον ὅσους ἁμαρτάνουν»[17].

3. Ἄρα λοιπὸν ἦτο ἔργον καὶ εὐσπλαγχνίας καὶ χάριτος τὸ νὰ λάβωμεν τὸν νόμον. Δι' αὐτό, ἀφοῦ εἶπε «χάριν ἀντὶ χάριτος», εἰς τὴν προσπάθειάν του νὰ ἀποδώσῃ πιὸ θερμὰ τὸ μέγεθος τῶν ὅσων μᾶς ἐδόθησαν, προσθέτει τὰ ἑξῆς· «Ὁ νόμος ἐδόθη διὰ τοῦ Μωϋσέως, ἐνῷ ἡ χάρις καὶ ἡ ἀλήθεια ἦλθε διὰ τοῦ Ἰησοῦ Χριστοῦ». Κυττάξετε πῶς ἥσυχα καὶ ὀλίγον κατ' ὀλίγον μὲ μίαν λέξιν καὶ ὁ Βαπτιστὴς Ἰωάννης καὶ ὁ μαθητὴς ὁδηγοῦν τοὺς ἀκροατάς των πρὸς τὴν ἀνωτέραν γνῶσιν, ἀφοῦ προηγουμένως τοὺς ἐξήσκησαν εἰς τὰ κατώτερα; Διότι ἐκεῖνος μὲν ἀφοῦ ἐσύγκρινε πρὸς τὸν ἑαυτόν του αὐτὸν ποὺ ὑπερέχει ἀσυγκρίτως ἀπὸ ὅλους, μὲ τὸν τρόπον αὐτὸν ἔδειξεν ἐν συνεχείᾳ τὴν ὑπεροχήν του λέγων· «Αὐτὸς ἦλθε πρὶν ἀπὸ ἐμένα», καὶ προσθέτων κατόπιν τὸ «ὑπῆρχε πρὶν ἀπὸ ἐμένα». Αὐτὸς δὲ ἔκανε κάτι πολὺ περισσότερον ἀπὸ ἐκεῖνον, ἀλλ' ὁπωσδήποτε κατώτερον τῆς ἀξίας τοῦ Μονογενοῦς. Διότι δὲν κάνει τὴν σύγκρισιν πρὸς τὸν Ἰωάννην, ἀλλὰ πρὸς αὐτὸν ποὺ ἐθαυμάζετο περισσότερον ἐκείνου ἀπὸ τοὺς Ἰουδαίους, ἐννοῶ τὸν Μωϋ-

νόμος» γάρ, φησί, «διὰ Μωϋσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο».

Καὶ θέα τὴν σύνεσιν. Οὐ τοῦ προσώπου ποιεῖται τὴν ἐξέτασιν, ἀλλὰ τῶν πραγμάτων. Τούτων γὰρ ἀποδειχθέντων πολλῷ μειζόνων, ἐξ ἀνάγκης καὶ τοὺς ἀγνώμονας εἰκὸς ἦν παραδέξασθαι τὴν ψῆφον καὶ τὴν ὑπόνοιαν περὶ τοῦ Χριστοῦ. Ὅταν γὰρ τὰ πράγματα μαρτυρῇ, τὰ μηδεμίαν ἔχοντα ὑποψίαν ὡς πρὸς χάριν τινός, ἢ καὶ πρὸς ἀπέχθειαν τοῦτο ποιοῦντα, ἀναμφισβήτητον καὶ τοῖς ἀγνώμοσι τὴν ψῆφον παρίστησιν. Οἷα γὰρ ἂν αὐτὰ διαθῶσιν οἱ ποιήσαντες, τοιαῦτα μένει φαινόμενα, διὸ μάλιστα πάντων ἀνύποπτος ἡ παρὰ τούτων ἐστὶ μαρτυρία.

Ὅρα δὲ καὶ πῶς ἀνεπαχθῆ ποιεῖται τὴν παράθεσιν καὶ παρὰ τοῖς ἀσθενεστέροις· οὐ γὰρ κατασκευάζει τῷ λόγῳ τὴν ὑπεροχήν, ἀλλ' ἀπὸ τῶν ὀνομάτων γυμνῶν τὴν διαφορὰν παραδείκνυσι, χάριν καὶ ἀλήθειαν ἀντιθεὶς νόμῳ, καὶ τὸ «ἐγένετο» τῷ «ἐδόθη». Πολὺ δὲ τὸ μέσον ἑκατέρων. Τὸ μὲν γὰρ διακονουμένου ἦν, τὸ «ἐδόθη», λαβόντος παρ' ἑτέρου καὶ δόντος οἷς προσετάγη δοῦναι, τὸ δὲ «ἐγένετο» ἡ χάρις καὶ ἡ ἀλήθεια βασιλέως, μετὰ ἐξουσίας πάντα ἀφιέντος τὰ ἁμαρτήματα, καὶ αὐτοῦ κατασκευάζοντος τὴν δωρεάν. Διὸ ἔλεγεν· «Ἀφέωνταί σου αἱ ἁμαρτίαι»· καὶ πάλιν· «Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας, λέγει τῷ παραλυτικῷ· Ἐγερθεὶς ἆρον τὴν κλίνην σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου».

Ὁρᾷς πῶς ἡ χάρις γίνεται δι' αὐτοῦ; Σκόπει δὲ καὶ τὴν ἀλήθειαν. Τὴν μὲν οὖν χάριν, καὶ ταῦτα καὶ τὰ κατὰ τὸν λῃστὴν καὶ ἡ τοῦ βαπτίσματος δωρεὰ καὶ ἡ τοῦ Πνεύματος χάρις, ἡ δι' αὐτοῦ διδομένη, δείκνυσι, καὶ ἕτερα πολλά, τὴν δὲ ἀλήθειαν σαφεστέραν εἰσόμεθα, ἂν τοὺς τύπους καταμά-

---

18. Μάρκ. 2, 5.
19. Μάρκ. 2, 10-11.

σῆν. Λέγει δηλαδή· «Ὁ νόμος ἐδόθη διὰ τοῦ Μωϋσέως, ἡ χάρις καὶ ἡ ἀλήθεια ἦλθε διὰ τοῦ Ἰησοῦ Χριστοῦ».

Καὶ κύτταξε τὴν σύνεσίν του· δὲν κάνει σύγκρισιν τῶν προσώπων, ἀλλὰ τῶν πραγμάτων. Διότι ὅταν αὐτὰ ἀποδειχθοῦν ἀνώτερα, κατ' ἀνάγκην καὶ οἱ ἀγνώμονες εἶναι φυσικὸν νὰ παραδεχθοῦν καὶ τὸ δόγμα καὶ τὴν γνώμην περὶ τοῦ Χριστοῦ. Διότι ὅταν μαρτυροῦν τὰ πράγματα, τὰ ὁποῖα δὲν ἔχουν καμμίαν ὑποψίαν ὅτι τὸ κάνουν αὐτὸς πρὸς χάριν ἢ ἔχθραν κάποιου, παρουσιάζουν ἀναμφισβήτητον τὸ δόγμα καὶ εἰς τοὺς ἀγνώμονας. Διότι τὰ φαινόμενα παραμένουν ὅπως τὰ ἄφησαν αὐτοὶ ποὺ τὰ ἔκαναν. Δι' αὐτὸ καὶ ἡ μαρτυρία των εἶναι περισσότερον ὅλων ἀναμφισβήτητος.

Κύτταξε δὲ πόσον ἄκοπον κάνει τὴν παράθεσίν των καὶ εἰς τοὺς ἀσθενεστέρους. Διότι δὲν προσπαθεῖ νὰ ἀποδείξῃ τὴν ὑπεροχὴν μὲ λογικὰ ἐπιχειρήματα, ἀλλὰ ἀποδεικνύει τὴν διαφορὰν μὲ τὰς ἰδίας τὰς λέξεις, ἀντιπαραθέτων τὴν «χάριν» καὶ τὴν «ἀλήθειαν» εἰς τὸν «νόμον» καὶ τὸ «ἐγένετο» εἰς τὸ «ἐδόθη». Εἶναι δὲ μεγάλη ἡ διαφορὰ μεταξὺ τῶν δύο. Διότι τὸ μὲν «ἐδόθη» ἀναφέρεται εἰς ὑπηρέτην, ὁ ὁποῖος ἔλαβεν ἀπὸ ἄλλον καὶ ἔδωσεν εἰς ἐκείνους ποὺ διετάχθη νὰ δώσῃ. Ἐνῷ τὸ 'ἐγένετο', ἡ 'χάρις' καὶ ἡ 'ἀλήθεια' ἀναφέρονται εἰς βασιλέα ὁ ὁποῖος μὲ κάθε ἐξουσίαν συγχωρεῖ τὰ ἁμαρτήματα καὶ ἐνεργεῖ ὁ ἴδιος τὴν δωρεάν. Δι' αὐτὸ καὶ ἔλεγε «σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι»[18], καί· «Διὰ νὰ γνωρίσετε ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει δικαίωμα νὰ συγχωρῇ ἁμαρτίας εἰς τὴν γῆν, λέγει εἰς τὸν παραλυτικόν· σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε εἰς τὴν οἰκίαν σου»[9].

Βλέπεις πῶς ἔρχεται ἡ χάρις δι' αὐτοῦ; Κύτταξε τώρα καὶ τὴν ἀλήθειαν. Τὴν μὲν χάριν λοιπὸν τὴν ἀποδεικνύουν καὶ αὐτά, καὶ ὅσα ἔγιναν μὲ τὸν ληστήν, καὶ ἡ δωρεὰ τοῦ βαπτίσματος, καὶ ἡ χάρις τοῦ ἁγίου Πνεύματος ποὺ χορηγεῖται ἀπὸ αὐτόν, καὶ πολλὰ ἄλλα. Τὴν δὲ ἀλήθειαν θὰ τὴν γνωρίσωμεν καλύτερα, ὅταν μάθωμεν καλὰ τοὺς τύπους.

θωμεν. Τὰς γὰρ μελλούσας ἐπιτελεῖσθαι ἐν τῇ Καινῇ οἰκονομίας προλαβόντες προδιέγραψαν οἱ τύποι ὡς τύποι· ἐλθὼν δὲ ἐπετέλεσεν αὐτὴν ὁ Χριστός.

Ἴδωμεν τοίνυν καὶ τοὺς τύπους ἐν ὀλίγοις· οὐδὲ γὰρ ἅπαντα διελθεῖν τὰ τῶν τύπων τοῦ νῦν καιροῦ ἀφ' ὧν δὲ παραθήσομαί τινα μαθόντες, καὶ τὰ λοιπὰ εἴσεσθε. Βούλεσθε οὖν ἀπ' αὐτοῦ τοῦ πάθους ἀρξώμεθα;

Τί οὖν φησιν ὁ τύπος· Λάβετε ἀρνίον κατ' οἰκίαν, καὶ θύσατε, καὶ ποιήσατε, ὡς προσέξατε καὶ ἐνομοθέτησεν. Ὁ δὲ Χριστὸς οὐχ οὕτως· οὐ γὰρ προστάττει τοῦτο γενέσθαι, ἀλλ' αὐτὸς αὐτὸ γίνεται, θυσίαν ἑαυτὸν καὶ προσφορὰν τῷ Πατρὶ προσενεγκών.

4. Ὅρα πῶς ὁ μὲν τύπος ἐδόθη διὰ Μωϋσέως, ἡ δὲ ἀλήθεια ἐγένετο διὰ Ἰησοῦ Χριστοῦ. Καὶ πάλιν ἐν τῷ ὄρει Σινᾷ, τῶν Ἀμαληκιτῶν πολεμούντων Ἑβραίοις, αἱ χεῖρες μὲν ἐστηρίζοντο τοῦ Μωϋσέως, αἰρόμεναι ὑπὸ Ἀαρὼν καὶ Ὤρ, ἑκατέρωθεν ἑστώτων, ὁ δὲ Χριστὸς παραγενόμενος, αὐτὸς δι' ἑαυτοῦ τὰς χεῖρας τείνας εἶχεν ἐν τῷ σταυρῷ. Εἶδες πῶς ὁ μὲν τύπος ἐδίδοτο, ἡ δὲ ἀλήθεια ἐγίνετο;

Πάλιν ὁ νόμος ἔλεγεν· «Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ»· ἡ δὲ χάρις τί φησι; «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»· καὶ ὁ Παῦλος, «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα».

Ἐπεὶ οὖν τοσαύτης ἀπολελαύκαμεν χάριτος καὶ ἀληθείας, παρακαλῶ, μὴ διὰ τὸ μέγεθος τῆς δωρεᾶς γενώμεθα ῥαθυμότεροι· ὅσῳ γὰρ μείζονος ἠξιώθημεν τιμῆς, τοσούτῳ καὶ πλείονός ἐσμεν ἀρετῆς ὀφειλέται. Ὁ μὲν γὰρ μικρὰ εὐεργετηθείς, κἂν μικρὰ ἐπιδείξηται, οὐ τοσαύτης καταγνώ-

---

20. Ἐξ. 12, 5.
21. Δευτ. 27, 26.
22. Ματθ. 11, 28.

Διότι τὰς ἐνεργείας ποὺ ἐπρόκειτο νὰ γίνουν εἰς τὴν Καινὴν Διαθήκην ἐπρόλαβαν καὶ τὰς προδιέγραψαν οἱ τύποι ὡς τύποι, καὶ ὅταν ἦλθεν ὁ Χριστὸς τὰς ἐπραγματοποίησεν.

Ἂς ἰδοῦμεν λοιπὸν καὶ τοὺς τύπους δι' ὀλίγων, διότι δὲν εἶναι τοῦ παρόντος καιροῦ νὰ διεξέλθωμεν ὅλα τὰ σχετικὰ μὲ τοὺς τύπους. Ἂν ὅμως μάθετε μερικὰ ἀπὸ αὐτὰ ποὺ θὰ παραθέσω, θὰ γνωρίσετε καὶ τὰ ὑπόλοιπα.

Τί λέγει λοιπὸν ὁ τύπος; Πάρετε ἕνα ἀρνὶ εἰς κάθε οἰκίαν, θυσιάσατέ το καὶ κάνετε ὅπως διέταξε καὶ ἐνομοθέτησεν[20]. Ἐνῷ ὁ Χριστὸς δὲν κάνει ἔτσι· διότι δὲν προστάζει νὰ γίνῃ αὐτό, ἀλλὰ ὁ ἴδιος γίνεται, προσφέρων τὸν ἑαυτόν του θυσίαν καὶ προσφορὰν εἰς τὸν Πατέρα.

4. Κύτταξε πῶς ὁ μὲν τύπος ἐδόθη διὰ τοῦ Μωϋσέως, ἡ δὲ ἀλήθεια ἦλθε διὰ τοῦ Ἰησοῦ Χριστοῦ. Καὶ πάλιν, ὅταν εἰς τὸ ὄρος Σινᾶ οἱ Ἀμαληκῖται ἐπολεμοῦσαν τοὺς Ἑβραίους, τὰ μὲν χέρια τοῦ Μωϋσέως ἐστηρίζοντο βασταζόμενα ἀπὸ τὸν Ἀαρὼν καὶ τὸν Ὢρ οἱ ὁποῖοι ἐστέκοντο ἀπὸ τὰς δύο πλευράς του. Ἐνῷ ὁ Χριστός, ὅταν ἦλθεν, ὁ ἴδιος εἶχεν ἁπλώσει τὰ χέρια του εἰς τὸν σταυρόν. Εἶδες πῶς ὁ μὲν τύπος ἐδίδετο, ἡ δὲ ἀλήθεια ἐπραγματοποιεῖτο;

Καὶ πάλιν, ὁ νόμος ἔλεγεν· «Καταραμένος νὰ εἶναι ὁποιος δὲν ἐμμένει εἰς ὅλα ὅσα εἶναι γραμμένα εἰς τὸ βιβλίον αὐτό»[21], ἐνῷ ἡ χάρις τί λέγει; «Ἐλᾶτε εἰς ἐμένα ὅλοι οἱ κουρασμένοι καὶ φορτωμένοι καὶ ἐγὼ θὰ σᾶς ξεκουράσω»[22]. Καὶ ὁ Παῦλος· «Ὁ Χριστὸς μᾶς ἐξηγόρασεν ἀπὸ τὴν κατάραν τοῦ νόμου, μὲ τὸ νὰ γίνῃ ὁ ἴδιος πρὸς χάριν μας κατάρα»[23].

Ἀφοῦ λοιπὸν ἀπηλαύσαμεν τόσην χάριν καὶ ἀλήθειαν, παρακαλῶ νὰ μὴ γινώμεθα ὀκνηρότεροι ἐξ αἰτίας τοῦ μεγέθους τῆς δωρεᾶς. Διότι ὅσον μεγαλυτέρας τιμῆς ἠξιώθημεν, τόσον περισσοτέραν ἀρετὴν ὀφείλομεν. Διότι ἐκεῖνος ποὺ εὐηργετήθη ὀλίγον, καὶ ἂν ἀκόμη παρουσιάσῃ μικρὰ ἔργα, δὲν εἶναι τόσον ἀξιοκατάκριτος. Ἐκεῖνος ὅμως ποὺ

23. Γαλ. 3, 13.

σεως ἄξιός ἐστιν, ὁ δὲ πρὸς τὴν ἀνωτάτω κορυφὴν τῆς τιμῆς ἀναβάς, εἶτα χαμαίζηλα καὶ ταπεινὰ ἐπιδεικνύμενος, πολλῷ μείζονος ἔσται κολάσεως ἄξιος.

Ἀλλά, μὴ γένοιτο περὶ ὑμῶν τοιαῦτα ὑποπτεῦσαί ποτε. Πεποίθαμεν γὰρ ἐν Κυρίῳ ὅτι πρὸς τὸν οὐρανὸν τὰς ψυχὰς ὑμῶν ἐπτερώσατε, καὶ τῆς γῆς ἀπανέστητε, καί, ἐν τῷ κόσμῳ ὄντες, οὐ τὰ τοῦ κόσμου μεταχειρίζεσθε. Ἀλλ' ὅμως καὶ πεπεισμένοι οὐ παυόμεθα συνεχῶς τὰ αὐτὰ παρακαλοῦντες. Ἐπεὶ καὶ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐ τοὺς ἀναπεπτωκότας, οὐδὲ τοὺς ὑπτίους κειμένους, ἀλλὰ τοὺς ἐνεργοῦντας, τοὺς ἔτι τρέχοντας ἅπαντες προτρέπονται οἱ θεαταί. Ἐπ' ἐκείνων μὲν γὰρ ὡς ἀνόνητα πονοῦντες, καὶ οὐ δυνάμενοι διὰ τῶν παρακλήσεων αὐτοὺς ἀναστῆσαι, ἀπορραγέντας καθάπαξ τῆς νίκης, οὕτω παύονται καταγινώσκοντες, ἐνταῦθα δὲ οὐκ ἐφ' ὑμῶν μόνον τῶν νηφόντων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀναπεσόντων, εἰ βουληθεῖεν μεταβαλέσθαι, ἔστι τι προσδοκῆσαι χρηστόν. Διὸ καὶ πάντα πράττομεν, παρακαλοῦντες, ὀνειδίζοντες, προτρέποντες, ἐπαινοῦντες, ὥστε τὴν ὑμετέραν πραγματεύσασθαι σωτηρίαν.

Μὴ τοίνυν τῇ συνεχεῖ τῇ περὶ τῆς πολιτείας δυσχεράνητε παραινέσει· οὐ γὰρ ῥαθυμίαν κατεγνωκότων ἐστὶ τὰ λεγόμενα, ἀλλὰ χρηστὰς σφόδρα ἐλπίδας ἐχόντων περὶ ὑμῶν. Οὐ πρὸς ὑμᾶς δὲ μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς τοὺς λέγοντας ταῦτα εἴρηται, καὶ εἰρήσεται· καὶ γὰρ καὶ αὐτοὶ τῆς αὐτῆς δεόμεθα διδασκαλίας. Εἰ γὰρ καὶ παρ' ἡμῶν λέγεται, ἀλλὰ καὶ πρὸς ἡμᾶς οὐδὲν κωλύει ταῦτα λέγεσθαι. Τὸν μὲν γὰρ εὑρὼν ὑπεύθυνον ὄντα ὁ λόγος διωρθώσατο, τὸν δὲ ἐκτὸς

ἀνῆλθεν εἰς τὴν ἀνωτάτην κορυφὴν τῆς τιμῆς, ὅταν κατόπιν ἐπιδεικνύῃ ταπεινὰ καὶ χαμερπῆ, εἶναι ἄξιος πολὺ μεγαλυτέρας τιμωρίας.

Ἀλλ' εἴθε νὰ μὴ χρειασθῇ νὰ ὑποψιασθῶμεν κάτι τέτοιο δι' ἐσᾶς. Ἔχομεν ἐμπιστοσύνην εἰ τὸν Κύριον, ὅτι ἔχετε πτερουγίσει τὰς ψυχάς σας πρὸς τὸν οὐρανὸν καὶ ἔχετε ἀπαγκιστρωθῆ ἀπὸ τὴν γῆν καί, ἐνῷ εὑρίσκεσθε εἰς τὸν κόσμον, δὲν χρησιμοποιεῖτε τὰ τοῦ κόσμου. Ἀλλ' ὅμως, ἂν καὶ εἴμεθα πεπεισμένοι, δὲν παύομεν νὰ σᾶς παρακαλοῦμεν συνεχῶς διὰ τὰ ἴδια πράγματα. Διότι καὶ εἰς τοὺς κοσμικοὺς ἀγῶνας οἱ θεαταὶ ὅλοι δὲν προτρέπουν ἐκείνους ποὺ ἔχουν πέσει, οὔτε ἐκείνους ποὺ εὑρίσκονται ξαπλωμένοι ἀνάσκελα, ἀλλὰ ἐκείνους οἱ ὁποῖοι κινοῦνται καὶ τρέχουν ἀκόμη. Εἰς ἐκείνους βέβαια, ἐπειδὴ ἀνώφελα κουράζονται καὶ δὲν ἠμποροῦν μὲ τὰς προτροπὰς νὰ τοὺς σηκώσουν, ἀφοῦ ἀπεκλείσθησαν ὁριστικῶς ἀπὸ τὴν νίκην, ἔτσι παύουν νὰ τοὺς κατηγοροῦν. Ἐδῶ ὅμως, ὄχι μόνον εἰς σᾶς οἱ ὁποῖοι εἶσθε νηφάλιοι, ἀλλὰ καὶ εἰς ἐκείνους ποὺ ἔπεσαν, ἐὰν θελήσουν νὰ ἀλλάξουν, ὑπάρχει ἐλπὶς νὰ περιμένωμεν κάποιαν βελτίωσιν. Δι' αὐτὸ καὶ κάνομεν τὰ πάντα· παρακαλοῦμεν, κατηγοροῦμεν, προτρέπομεν, ἐπαινοῦμεν, διὰ νὰ κατορθώσωμεν τὴν σωτηρίαν σας.

Μὴ δυσανασχετήσετε λοιπὸν εἰς τὴν συνεχῆ παραίνεσιν διὰ τὴν ζωήν σας. Διότι ὅσα λέγονται δὲν εἶναι ἀνθρώπων ποὺ σᾶς κατηγοροῦν διὰ ὀκνηρίαν, ἀλλὰ ἀνθρώπων ποὺ ἔχουν πολὺ καλὰς ἐλπίδας δι' ἐσᾶς. Ἄλλωστε αὐτὰ δὲν λέγονται οὔτε θὰ λέγωνται μόνον εἰς σᾶς, ἀλλὰ καὶ εἰς ἐμᾶς ποὺ τὰ λέγομεν. Διότι καὶ ἐμεῖς οἱ ἴδιοι ἔχομεν ἀνάγκην τῆς ἰδίας διδασκαλίας. Ἐὰν δέ λέγωνται ἀπὸ ἐμᾶς, τίποτε δὲν τὰ ἐμποδίζει νὰ λέγωνται καὶ εἰς ἐμᾶς. Διότι τὸν μὲν ἕνα, ποὺ εἶναι ὑπεύθυνος, ὅταν τὸν εὕρῃ ὁ λόγος τὸν διορθώνει, τὸν δὲ ἄλλον, ὁ ὁποῖος εὑρίσκεται ἔξω καὶ εἶναι ἀπηλλαγμένος τῆς εὐθύνης, ὡς εὑρισκόμενον μακράν, πάλιν τὸν

καὶ ἀπηλλαγμένον ὡς πορρωτάτω πάλιν ἐπήγαγεν· οὐδὲ γὰρ αὐτοὶ τῶν ἁμαρτημάτων ἐσμὲν καθαροί.

Ἥ τε οὖν ἰατρεία κοινή, τά τε φάρμακα ἅπασι πρόκειται· ἡ δὲ θεραπεία λοιπὸν οὐ κοινή, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται. Διὸ καὶ ὁ μὲν δεόντως μεταχειρίσας τὸ φάρμακον ἀπώνατό τι τῆς θεραπείας, ὁ δὲ μὴ ἐπιθεὶς τῷ τραύματι μεῖζον εἰργάσατο τὸ κακόν, καὶ εἰς τὴν χαλεπωτάτην κατέστρεψε τελευτήν. Μὴ τοίνυν ἀλγῶμεν ἰατρευόμενοι, ἀλλὰ πολλῷ μᾶλλον χαίρωμεν, κἂν πικρὰς φέρῃ τὰς ὀδύνας τῆς διδασκαλίας ἡ μεθοδεία· πολὺ γὰρ ἥδιστον ἡμῖν ὕστερον ἐπιδείξεται τὸν καρπόν.

Πάντα οὖν εἰς τοῦτο πράττωμεν, ὅπως καθαροὶ τραυμάτων καὶ πληγῶν, ἃς οἱ τῆς ἁμαρτίας ὀδόντες ἐντιθέασι τῇ ψυχῇ, εἰς τὸν αἰῶνα ἀπάρωμεν ἐκεῖνον, ἵνα ἄξιοι τῆς ὄψεως γενόμενοι τοῦ Χριστοῦ, μὴ ταῖς τιμωρητικαῖς καὶ ἀποτόμοις δυνάμεσι κατὰ τὴν ἡμέραν παραδοθῶμεν ἐκείνην, ἀλλὰ ταῖς δυναμέναις πρὸς τὴν κληρονομίαν εἰσαγαγεῖν ἡμᾶς τῶν οὐρανῶν, τὴν ἡτοιμασμένην τοῖς ἀγαπῶσιν αὐτόν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐπαναφέρει. Ἄλλωστε οὔτε ἐμεῖς εἴμεθα καθαροὶ ἀπὸ τὰς ἁμαρτίας.

Καὶ ὁ τρόπος τῆς θεραπείας λοιπὸν εἶναι κοινὸς καὶ τὰ φάρμακα ὑπάρχουν δι' ὅλους. Ἡ θεραπεία ὅμως δὲν εἶναι κοινή, ἀλλὰ ἐπιτυγχάνεται ἀνάλογα μὲ τὴν προαίρεσιν ἐκείνων ποὺ τὰ χρησιμοποιοῦν. Δι' αὐτὸ καὶ ἐκεῖνος ποὺ χρησιμοποιεῖ καταλλήλως τὸ φάρμακον ἐπιτυγχάνει μέρος τῆς θεραπείας. Ἐνῷ ἐκεῖνος ποὺ δὲν ἐπιθέτει φάρμακον εἰς τὸ τραῦμα, κάνει τὸ κακὸν μεγαλύτερον καὶ τὸ ὁδηγεῖ εἰς τὸ χειρότερον τέλος. Ἂς μὴ ὑποφέρωμεν λοιπὸν ὅταν θεραπευώμεθα, ἀλλὰ μᾶλλον νὰ δοκιμάζωμεν χαράν, ἔστω καὶ ἂν ἡ μέθοδος τῆς διδασκαλίας μᾶς δημιουργῇ πικροὺς πόνους. Διότι ἀργότερα θὰ ἐπιδείξῃ πλούσιον καρπόν.

Ἂς τὰ κάνωμεν λοιπὸν ὅλα μὲ σκοπὸν νὰ φύγωμεν εἰς τὸν αἰῶνα ἐκεῖνον καθαροὶ ἀπὸ τραύματα καὶ πληγάς, τὰς ὁποίας ἐναπέθεσαν εἰς τὴν ψυχήν μας τὰ δόντια τῆς ἁμαρτίας, εἰς τρόπον ὥστε νὰ γίνωμεν ἄξιοι τῆς θέας τοῦ Χριστοῦ καὶ νὰ μὴ παραδοθῶμεν τὴν ἡμέραν ἐκείνην εἰς τὰς τιμωροὺς καὶ ἀποτόμους δυνάμεις, ἀλλὰ εἰς ἐκείνας αἱ ὁποῖαι ἠμποροῦν νὰ μᾶς εἰσαγάγουν εἰς τὴν κληρονομίαν τῶν οὐρανῶν, ἡ ὁποία εἶναι ἑτοιμασμένη χάριν ἐκείνων ποὺ τὸν ἀγαποῦν. Αὐτὴν τὴν κληρονομίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΕ΄.

'Ιω. 1, 18

«Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ Μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο».

1. Τῶν ὀνομάτων καὶ τῶν ῥημάτων, τῶν ἐν ταῖς Γραφαῖς κειμένων, οὐχ ἁπλῶς ἡμᾶς ὁ Θεὸς ἐπακούειν βούλεται, ἀλλὰ μετὰ πολλῆς τῆς συνέσεως. Διὰ τοῦτο ὁ μὲν μακάριος Δαυῒδ πολλαχοῦ τῶν Ψαλμῶν προέγραφε τῶν ἑαυτοῦ τὸ «εἰς σύνεσιν», καὶ ἔλεγεν· «Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου». Μετὰ δὲ τοῦτον καὶ ὁ τούτου παῖς ὑποτιθεὶς δείκνυσιν ὅτι δεῖ καθάπερ ἀργύριον ἐκζητεῖν τὴν σοφίαν, μᾶλλον δὲ ὑπὲρ χρυσίον αὐτὴν ἐμπορεύεσθαι.

Καὶ ὁ Κύριος δέ, τοῖς Ἰουδαίοις παραινῶν τὰς Γραφὰς ἐρευνᾶν, ἐπὶ πλέον ἡμᾶς εἰς ζήτησιν ἐνάγει. Οὐκ ἂν γὰρ οὕτως εἶπεν, εἴ γε αὐτόθεν καὶ ἐκ πρώτης αὐτὰς καταλαβεῖν δυνατὸν ἦν τῆς ἀναγνώσεως. Τὸ γὰρ ἐν μέσῳ κείμενον καὶ πρόχειρον οὐδεὶς ποτ' ἂν ἐρευνήσαιτο, ἀλλὰ τὸ συνεσκιασμένον, καὶ μετὰ πολλῆς εὑρισκόμενον τῆς ζητήσεως. Διὰ τοῦτο καὶ θησαυρὸν κεκρυμμένον αὐτὰς εἶναί φησι, πρὸς τὴν ζήτησιν ἡμᾶς διεγείρων. Ταῦτα δὲ ἡμῖν εἴρηται, ἵνα μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε προσβάλλωμεν τοῖς τῶν Γραφῶν ῥήμασιν, ἀλλὰ μετὰ ἀκριβείας πολλῆς.

Εἰ μὲν γὰρ ἀνεξετάστως τις ἐπακούσειε τῶν λεγομένων ἐν αὐταῖς, καὶ δέξαιτο πάντα οὕτως ὡς εἴρηται κατὰ τὸ γράμμα, πολλὰ τὰ ἄτοπα ὑποπτεύσει περὶ τοῦ Θεοῦ. Καὶ γὰρ καὶ ἄνθρωπον αὐτὸν εἶναι καὶ ἀπὸ χαλκοῦ συνεστάναι

---

1. Ψαλμ. 118, 18.
2. Παροιμ. 16, 16.

ΟΜΙΛΙΑ ΙΕ΄.

'Ιω. 1, 18

«Τὸν Θεὸν δὲν τὸν ἔχει ἰδεῖ ποτὲ κανείς. Ὁ μονογενὴς Υἱὸς ποὺ εὑρίσκεται εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος τὸν ἔκανε γνωστόν».

1. Ὁ Θεὸς δὲν θέλει ἁπλῶς νὰ ἀκούωμεν μὲ προσοχὴν τὰς λέξεις καὶ τὰ λόγια ποὺ ὑπάρχουν εἰς τὰς Γραφάς, ἀλλὰ νὰ τὰ ἀκούωμεν καὶ μὲ πολλὴν φρόνησιν. Δι' αὐτὸ ὁ μὲν μακάριος Δαβὶδ εἰς πολλοὺς ἀπὸ τοὺς ψαλμούς του ἔγραφε τὸ «εἰς σύνεσιν» καὶ ἔλεγεν· «Ἄνοιξέ μου τοὺς ὀφθαλμοὺς διὰ νὰ κατανοήσω τὰ θαυμαστὰ πράγματα τοῦ νόμου Σου»[1], ὁ δὲ υἱός του μετὰ ἀπὸ ἐκεῖνον συμβουλευτικῶς ὑποδεικνύει ὅτι πρέπει νὰ ἀναζητοῦμεν τὴν σοφίαν ὡσὰν ἀργύριον, ἢ μᾶλλον νὰ τὴν ἐπιδιώκωμεν περισσότερον καὶ ἀπὸ τὸν χρυσόν»[2].

Ἀλλὰ καὶ ὁ Κύριος προτρέπων τοὺς Ἰουδαίους νὰ ἐρευνοῦν τὰς Γραφάς, μᾶς ὑποδεικνύει ἐπιμόνως νὰ τὴν ἀναζητοῦμεν. Διότι δὲν θὰ ἔλεγεν ἔτσι, ἐὰν ἦτο δυνατὸν νὰ τὰς κατανοήσωμεν ἀμέσως καὶ μὲ τὴν πρώτην ἀνάγνωσιν. Ἄλλωστε, ποτὲ κανεὶς δὲν θὰ διερευνοῦσεν ἕνα εὔκολον καὶ πρόχειρον κείμενον, ἀλλὰ ἕνα κείμενον συγκεκαλυμμένον ποὺ κατανοεῖται ὕστερα ἀπὸ πολλὴν διερεύνησιν. Δι' αὐτὸ λέγει ὅτι αἱ Γραφαὶ εἶναι κρυμμένος θησαυρός, διὰ νὰ μᾶς παροτρύνῃ πρὸς ἀναζήτησιν. Αὐτὰ δὲ ἔχουν λεχθῆ εἰς ἐμᾶς, διὰ νὰ μὴ διεξερχώμεθα μὲ ἐπιπολαιότητα τὰ λόγια τῶν Γραφῶν, ἀλλὰ μὲ πολλὴν προσοχήν.

Διότι ἐὰν κανεὶς ἀκούῃ ἀνεξέλεγκτα ὅσα λέγονται εἰς αὐτάς, καὶ τὰ δέχεται ὅλα ἔτσι ὅπως λέγονται κατὰ γράμμα, θὰ ὑποθέσῃ πολλὰ ἄτοπα πράγματα διὰ τὸν Θεόν. Καὶ θὰ πρέπει νὰ παραδεχθῇ ὅτι εἶναι ἄνθρωπος καὶ ὅτι ἀποτελεῖ-

καὶ ὀργίλον καὶ θυμώδη καὶ πολλὰ ἔτι τούτων χείρονα περὶ αὐτοῦ δέξεται δόγματα. Εἰ δὲ τὸν νοῦν, τὸν ἐν τῷ βάθει κείμενον, καταμάθοι, πάσης ταύτης ἀπαλλαγήσεται τῆς ἀτοπίας. Ἐπεὶ καὶ τὸ νῦν προκείμενον ἡμῖν ἀνάγνωσμα κόλπον φησὶ τὸν Θεὸν ἔχειν, ὅπερ σωμάτων ἐστὶν ἴδιον. Ἀλλ' οὐδεὶς οὕτω μέμηνεν, ὥστε σῶμα ὑποπτεῦσαι τὸν ἀσώματον εἶναι.

Ἵν' οὖν ἀξίως τῆς πνευματικῆς ἐννοίας τὸ πᾶν ἐκλάβωμεν, φέρε ἄνωθεν τὸ χωρίον διερευνησώμεθα. «Θεὸν οὐδεὶς ἑώρακε πώποτε». Ἐκ ποίας ἐπὶ τοῦτο ἦλθεν ἀκολουθίας ὁ Εὐαγγελιστής; Δείξας πολλὴν τῶν τοῦ Χριστοῦ δωρεῶν τὴν ὑπερβολήν, ὡς εἶναι τὸ μέσον ἄπειρον τούτων τε καὶ τῶν διὰ Μωϋσέως οἰκονομηθέντων, θέλει λοιπὸν καὶ αἰτίαν εὔλογον τῆς διαφορᾶς εἰπεῖν. Ἐκεῖνος μὲν γάρ, ὑπηρέτης ὤν, ταπεινοτέρων γέγονε πραγμάτων διάκονος, οὗτος δέ, Δεσπότης, καὶ Βασιλεύς, καὶ Βασιλέως Υἱὸς ὤν, τὰ πολλῷ μείζονα ἡμῖν ἐκόμισε, συνὼν ἀεὶ τῷ Πατρί, καὶ ὁρῶν αὐτὸν διηνεκῶς. Διὸ καὶ οὕτως ἐπήγαγε, λέγων· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε».

Τί οὖν ἐροῦμεν τῷ μεγαλοφωνοτάτῳ Ἠσαΐᾳ, λέγοντι· «Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου»; τί δὲ τῷ Ἰωάννῃ, προσμαρτυροῦντι αὐτῷ ὅτι ταῦτα εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ; τί δὲ τῷ Ἰεζεκιήλ; καὶ γὰρ καὶ αὐτὸς ἐπὶ τῶν Χερουβὶμ καθήμενον αὐτόν ὁρᾷ· τί δὲ καὶ τῷ Δανιήλ; καὶ γὰρ καὶ οὗτός φησιν «Ὁ Παλαιὸς τῶν ἡμερῶν ἐκάθητο»· τί δὲ καὶ αὐτῷ τῷ Μωϋσεῖ, λέγοντι· «Δεῖξόν μοι τὴν δόξαν σου, ὅπως γνωστῶς ἴδω σε»; Ὁ δὲ Ἰακὼβ καὶ ἀπὸ τούτου τὴν προσηγορίαν ἔλαβεν, Ἰσραὴλ ἐπικληθείς· Ἰσραὴλ γὰρ ὁ τῶν Θεὸν ὁρῶν ἐστι. Καὶ ἕτεροι δὲ αὐτὸν ἑωράκασι.

Πῶς οὖν ὁ Ἰωάννης εἶπε, «Θεὸν οὐδεὶς ἑώρακε πώπο-

3. Ἠσ. 6, 1.
4. Δανιὴλ 7, 9.
5. Ἐξ. 33, 13.

ται ἀπὸ χαλκόν, καὶ ὅτι εἶναι ὀργίλος καὶ θυμώδης καὶ πολλὰ ἄλλα χειρότερα ἀπὸ αὐτὰ τὰ διδάγματα. Ἐνῷ ἐὰν συλλάβῃ τὸ βαθύτερον νόημά των, θὰ ἀπαλλαγῇ ἀπὸ κάθε παρόμοιον ἀτόπημα. Ἄλλωστε καὶ τὸ σημερινόν μας ἀνάγνωσμα λέγει ὅτι ὁ Θεὸς ἔχει κόλπον, πρᾶγμα ποὺ ἀποτελεῖ γνώρισμα τῶν σωμάτων. Ἀλλὰ κανεὶς δὲν ἔχει τόσον τρελλαθῆ, ὥστε νὰ ὑποψιάζεται ὅτι εἶναι σῶμα ὁ ἀσώματος.

Διὰ νὰ κατανοήσωμεν λοιπὸν ὅπως πρέπει ὁλόκληρον τὸ πνευματικὸν νόημα, ἂς ἐξετάσωμεν τὸ χωρίον ἀπὸ τὴν ἀρχήν. «Τὸν Θεὸν δὲν τὸν ἔχει ἰδεῖ ποτὲ κανείς». Ὡς συνέχειαν τίνος τὸ ἀναφέρει αὐτὸ ὁ εὐαγγελιστής; Ἀφοῦ ἀνέφερε τὰς πολλὰς εὐεργεσίας τοῦ Χριστοῦ, καὶ ὅτι ἄπειρος ἡ διαφορὰ μεταξὺ αὐτῶν καὶ ἐκείνων ποὺ ἔγιναν διὰ μέσου τοῦ Μωϋσέως, θέλει τώρα νὰ ἀναφέρῃ καὶ τὴν εὔλογον αἰτίαν τῆς διαφορᾶς. Διότι ἐκεῖνος μέν, ὡσὰν ὑπηρέτης ποὺ ἦτο, ἔγινε διάκονος ταπεινοτέρων πραγμάτων· ἐνῷ αὐτός, ὁ ὁποῖος εἶναι Δεσπότης καὶ βασιλεὺς καὶ Υἱὸς βασιλέως, μᾶς ἔφερε πράγματα πολὺ ἀνώτερα, ἐπειδὴ εὑρίσκεται πάντοτε μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν βλέπει συνεχῶς. Δι' αὐτὸ καὶ ἐπρόσθεσε τό· «τὸν Θεὸν δὲν τὸν ἔχει ἰδεῖ ποτὲ κανείς».

Τί θὰ εἴπωμεν λοιπὸν διὰ τὸν μεγαλοφωνότατον προφήτην Ἠσαΐαν, ὁ ὁποῖος λέγει· «Εἶδα τὸν Κύριον νὰ κάθεται εἰς θρόνον ὑψηλὸν καὶ ἀνυψωμένον»[3]; Τί διὰ τὸν Ἰωάννην ὁ ὁποῖος ἐπιβεβαιώνει αὐτόν, ὅτι τὰ εἶπεν αὐτά, ὅταν εἶδε τὴν δόξαν του; Τί διὰ τὸν Ἰεζεκιήλ; Διότι καὶ αὐτὸς τὸν βλέπει νὰ κάθεται ἐπάνω εἰς τὰ Χερουβίμ. Τί διὰ τὸν Δανιήλ; Διότι καὶ αὐτὸς λέγει· «Ὁ Παλαιὸς τῶν ἡμερῶν ἐκάθητο»»[4]. Τί δὲ διὰ τὸν ἴδιον τὸν Μωϋσῆ, ὁ ὁποῖος λέγει· «Δεῖξέ μου τὴν δόξαν σου, διὰ νὰ σὲ ἰδῶ καὶ νὰ σὲ γνωρίσω»[5]; Ὁ Ἰακὼβ μάλιστα ἀπὸ αὐτὸ ἐπῆρε καὶ τὸ ὄνομα, ὀνομασθεὶς Ἰσραήλ· διότι Ἰσραὴλ εἶναι ἐκεῖνος ποὺ βλέπει τὸν Θεόν. Ἀλλὰ καὶ ἄλλοι τὸν ἔχουν ἰδεῖ.

Πῶς λοιπὸν λέγει ὁ Ἰωάννης «τὸν Θεὸν δὲν τὸν ἔχει

τε; Δηλῶν ὅτι πάντα ἐκεῖνα συγκαταβάσεως ἦν, οὐκ αὐτῆς τῆς οὐσίας γυμνῆς ὄψις. Εἰ γὰρ αὐτὴν ἑώρων τὴν φύσιν, οὐκ ἂν διαφόρως αὐτὴν ἐθεάσαντο· ἁπλῆ γάρ τις καὶ ἀσχημάτιστος αὕτη, καὶ ἀσύνθετος, καὶ ἀπερίγραπτος, οὐ κάθηται, οὐδὲ ἕστηκεν, οὐδὲ περιπατεῖ· ταῦτα γὰρ πάντα σωμάτων. Πῶς δέ ἐστιν, αὐτὸς οἶδε μόνος. Καὶ τοῦτο διὰ Προφήτου τινὸς ὁ Θεὸς καὶ Πατὴρ ἐμφαίνων, ἔλεγεν· «Ἐγὼ ὁράσεις», φησίν, «ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην»· τουτέστι, Συγκατέβην, οὐ τοῦτο, ὅπερ ἤμην, ἐφάνην.

Ἐπειδὴ γὰρ ἔμελλεν αὐτοῦ ὁ Υἱὸς δι' ἀληθινῆς σαρκὸς φανήσεσθαι ἡμῖν, ἄνωθεν αὐτοὺς προεγύμναζεν ὁρᾶν τοῦ Θεοῦ τὴν οὐσίαν, ὡς αὐτοῖς δυνατὸν ἦν ἰδεῖν. Ἐπεὶ αὐτό, ὅπερ ἐστὶν ὁ Θεός, οὐ μόνον προφῆται, ἀλλ' οὐδὲ ἄγγελοι εἶδον, οὔτε ἀρχάγγελοι· ἀλλά, ἐὰν ἐρωτήσῃς αὐτούς, ἀκούσῃ περὶ μὲν τῆς οὐσίας οὐδὲν ἀποκρινομένους, «Δόξα δὲ ἐν ὑψίστοις», μόνον ᾄδοντας, «τῷ Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία».

Κἂν παρὰ τῶν Χερουβὶμ ἢ τῶν Σεραφὶμ ἐπιθυμήσῃς τι μαθεῖν, τὸ μυστικὸν τοῦ ἁγιασμοῦ μέλος ἀκούσῃ, καὶ ὅτι «Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ». Ἂν τὰς ἀνωτέρω δυνάμεις ἐξετάσῃς, οὐδὲν ἄλλο εὑρήσεις, ἢ ὅτι ἓν ἔργον αὐταῖς ἐστι, τὸ αἰνεῖν τὸν Θεόν· «Αἰνεῖται γὰρ αὐτόν», φησί, «πᾶσαι αἱ δυνάμεις αὐτοῦ». Μόνος οὖν αὐτὸν ὁρᾷ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἡ γὰρ κτιστὴ φύσις ἅπασα πῶς καὶ ἰδεῖν δυνήσεται τὸν ἄκτιστον; Εἰ γὰρ ἁπλῶς τῆς ὁποιασοῦν ἀσωμάτου δυνάμεως, (καίτοι γε γενητῆς οὔσης), οὐ δυνά-

---

6. Ὠσ. 12, 10.
7. Λουκᾶ 2, 14.
8. Ἠσ. 6, 3.

ἰδεῖ ποτὲ κανείς»; Διὰ νὰ δηλώσῃ ὅτι ὅλα ἐκεῖνα ἐγίνοντο ἀπὸ συγκατάβασιν καὶ δὲν ἦσαν θέα τῆς πραγματικῆς οὐσίας τοῦ Θεοῦ. Διότι ἐὰν ἔβλεπαν τὴν ἰδίαν τὴν φύσιν, δὲν θὰ τὴν ἔβλεπαν κατὰ διαφορετικὸν τρόπον. Διότι αὐτὴ εἶναι ἁπλῆ καὶ ἀσχημάτιστος καὶ ἀσύνθετος καὶ ἀπερίγραπτος καὶ οὔτε κάθεται, οὔτε στέκεται, οὔτε περιπατεῖ. Ὅλα αὐτὰ ἀνήκουν εἰς τὰ σώματα. Πῶς ὅμως εἶναι, αὐτὸ τὸ γνωρίζει μόνον Ἐκεῖνος. Καὶ αὐτὸ τὸ ἐφανέρωσεν ὁ Θεὸς καὶ Πατὴρ μὲ κάποιον προφήτην λέγων· «Ἐγὼ ἐπλήθυνα τὰς ὁράσεις καὶ ἔγινα ὅμοιος εἰς τὰ χέρια τῶν προφητῶν»[6], δηλαδὴ ἔδειξα συγκαταβατικότητα καὶ δὲν ἐφανέρωσα αὐτὸ τὸ ὁποῖον ἤμουν.

Διότι, ἐπειδὴ ἐπρόκειτο νὰ ἐμφανισθῇ ὁ Υἱός του μὲ πραγματικὴν σάρκα, ἐκ τῶν προτέρων τοὺς προετοίμαζε νὰ βλέπουν τὴν οὐσίαν τοῦ Θεοῦ, ὅσον τοὺς ἦτο δυνατὸν νὰ τὴν ἰδοῦν. Καθόσον, αὐτὸ τὸ ὁποῖον εἶναι ὁ Θεός, ὄχι μόνον οἱ προφῆται, ἀλλὰ οὔτε οἱ ἄγγελοι δὲν τὸ ἔχουν ἰδεῖ, οὔτε οἱ ἀρχάγγελοι, καὶ ἐὰν τοὺς ἐρωτήσῃς, δὲν θὰ τοὺς ἀκούσῃς νὰ σοῦ ἀποκρίνωνται περὶ τῆς οὐσίας τίποτε, παρὰ μόνον νὰ ψάλλουν· «Ἂς εἶναι δόξα εἰς τὸν Θεὸν ὑψηλὰ εἰς τοὺς οὐρανοὺς καὶ εἰς τὴν γῆν ἂς βασιλεύσῃ ἡ εἰρήνη τώρα ποὺ ὁ Θεὸς ἔδειξεν εἰς τοὺς ἀνθρώπους τὴν εὐαρέσκειάν του»[7].

Καὶ ἐὰν θελήσῃς νὰ μάθῃς κάτι ἀπὸ τὰ Χερουβὶμ ἢ τὰ Σεράφίμ, θὰ ἀκούσῃς τὸν μυστικὸν ὕμνον τοῦ ἁγιασμοῦ, ὅτι «ὁ οὐρανὸς καὶ ἡ γῆ εἶναι γεμᾶτα ἀπὸ τὴν δόξαν του»[8]. Ἐὰν πάλιν ἐξετάσῃς τὰς οὐρανίας δυνάμεις, δὲν θὰ εὕρῃς τίποτε ἄλλο παρὰ μόνον ὅτι ἔργον των εἶναι νὰ αἰνοῦν τὸν Θεόν. Διότι λέγει· «Αἰνεῖτε αὐτὸν ὅλαι αἱ δυνάμεις του»[9]. Ἑπομένως μόνον ὁ Υἱὸς τὸν βλέπει καὶ τὸ ἅγιον Πνεῦμα. Διότι ὁλόκληρος ἡ κτιστὴ φύσις πῶς εἶναι δυνατὸν καὶ νὰ ἰδῇ ἀκόμη τὸν ἄκτιστον; Διότι ἐὰν δὲν εἶναι δυνατὸν νὰ ἴδωμεν καθαρὰ ὁποιανδήποτε ἀσώματον δύναμιν, μολονότι εἶναι κτιστή, πρᾶγμα τὸ ὁποῖον ἀπεδείχθη πολλάκις εἰς τὰς

---

9. Ψαλμ. 148, 2.

μεθα δέξασθαι θεωρίαν σαφῆ, καὶ τοῦτο πολλάκις ἐπὶ τῶν ἀγγέλων ἐδείχθη, πολλῷ μᾶλλον τῆς καὶ ἀσωμάτου καὶ ἀγενήτου οὐσίας. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· «Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται».

Ἆρ' οὖν τῷ Πατρὶ μόνῳ τὸ ἐξαίρετον τοῦτο πρόσεστι, τῷ δὲ Υἱῷ οὐκέτι; Ἄπαγε· ἀλλὰ καὶ τῷ Υἱῷ. Ὅτι δὲ καὶ αὐτῷ, ἄκουε Παύλου τοῦτο δηλοῦντος, καὶ λέγοντος· «Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου». Ὁ δὲ τοῦ ἀοράτου εἰκὼν ὤν, καὶ αὐτὸς ἀόρατος· ἐπεὶ οὐκ ἂν εἴη εἰκών. Εἰ δὲ ἀλλαχοῦ φησι· «Θεὸς ἀφανερώθη ἐν σαρκί», μὴ θαυμάσῃς· ὅτι ἡ φανέρωσις διὰ τῆς σαρκός, οὐ μὴν κατὰ τὴν οὐσίαν γέγονεν. Ἐπεί, ὅτι καὶ αὐτὸς ἀόρατος οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσι, δείκνυσιν ὁ Παῦλος. Εἰπὼν γὰρ ὅτι «ἐφανερώθη ἐν σαρκί», ἐπήγαγεν, ὅτι «ὤφθη ἀγγέλοις».

2. Ὥστε καὶ τοῖς ἀγγέλοις τότε ὤφθη, ὅτε σάρκα περιεβάλετο· πρὸ τούτου δὲ οὐχ ἑώρων αὐτὸν οὕτως, ἐπειδὴ καὶ αὐτοῖς ἀόρατος ἡ οὐσία ἦν. Καὶ πῶς, φησίν, ὁ Χριστὸς εἶπε· «Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»; Τί γάρ; καὶ πρόσωπον ὁ Θεὸς ἔχει, καὶ ἐν οὐρανοῖς περιγέγραπται; Ἀλλ' οὐκ ἄν τις οὕτω μανείη, ὥστε ταῦτα εἰπεῖν.

Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; Ὥσπερ, ὅταν λέγῃ· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται», τὴν κατὰ διάνοιαν ὄψιν φησί, τὴν ἡμῖν δυνατήν, καὶ τὴν ἔννοιαν τὴν περὶ Θεοῦ· οὕτω καὶ ἐπὶ τῶν ἀγγέλων εἰπεῖν ἔστιν, ὅτι διὰ τὴν καθαρὰν αὐτῶν καὶ ἄγρυπνον φύσιν οὐδὲν ἕτερον, ἀλλ' ἢ τὸν Θεὸν ἀεὶ φαντάζονται. Διὰ τοῦτο καὶ αὐ-

---

10. Α' Τιμ. 6, 16.
11. Κολ. 1, 15.
12. Α' Τιμ. 3, 16.
13. Ματθ. 18, 10.
14. Ματθ. 5, 8.

περιπτώσεις ἐμφανίσεως ἀγγέλων, πολὺ περισσότερον δὲν εἶναι τοῦτο δυνατὸν εἰς τὴν ἀγένητον καὶ ἀσώματον οὐσίαν. Δι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Αὐτὸν δὲν τὸν εἶδε κανε'ς ἀπὸ τοὺς ἀνθρώπους, οὔτε ἠμπορεῖ νὰ τὸν ἴδῃ»[10].

Μήπως λοιπὸν μόνον εἰς τὸν Πατέρα ὑπάρχει αὐτὸ τὸ ἐξαιρετικὸν προσόν, εἰς δὲ τὸν Υἱὸν ὄχι; Πρὸς Θεοῦ· καὶ εἰς τὸν Υἱόν. Ὅτι δὲ ὑπάρχει καὶ εἰς τὸν Υἱόν, ἄκουσε τὸν Παῦλον ποὺ τὸ δηλώνει καὶ λέγει· «Αὐτὸς εἶναι εἰκὼν τοῦ ἀοράτου Θεοῦ»[11]. Ἐκεῖνος δὲ ποὺ εἶναι εἰκὼν τοῦ ἀοράτου, εἶναι καὶ αὐτὸς ἀόρατος, διότι ἀλλιῶς δὲν θὰ ἦτο εἰκών. Ἐὰν δὲ ἀλλοῦ λέγῃ· «Ὁ Θεὸς ἐφανερώθη μὲ σάρκα»[12], μὴ ἀπορήσῃς· διότι ἡ ἐμφάνισις διὰ τῆς σαρκὸς δὲν ἔγινε κατὰ τὴν οὐσίαν. Ὅτι δὲ καὶ ὁ ἴδιος εἶναι ἀόρατος, ὄχι μόνον εἰς τοὺς ἀνθρώπους, ἀλλὰ καὶ εἰς τὰς οὐρανίας δυνάμεις, τὸ φανερώνει ὁ Παῦλος. Διότι ὅταν εἶπεν ὅτι «ἐφανερώθη μὲ σάρκα», ἐπρόσθεσεν καὶ ὅτι «ἐφάνηκεν εἰς τοὺς ἀγγέλους».

2. Ὥστε καὶ εἰς τοὺς ἀγγέλους ἐφανερώθη τότε ποὺ ἐφόρεσε σάρκα, ἐνῷ πρὶν ἀπὸ αὐτὸ δὲν τὸν ἔβλεπαν ἔτσι, ἐπειδὴ καὶ εἰς αὐτοὺς ἦτο ἀόρατος ἡ οὐσία του. Καὶ τότε, λέγει, διατί εἶπεν ὁ Χριστὸς «νὰ μὴ περιφρονήσετε κανένα ἀπὸ αὐτοὺς τοὺς ταπεινούς, διότι σᾶς βεβαιώνω ὅτι οἱ ἄγγελοί των βλέπουν διαρκῶς τὸ πρόσωπον τοῦ οὐρανίου Πατρός μου»[13]. Μήπως ὁ Θεὸς ἔχει καὶ πρόσωπον καὶ περιορίζεται εἰς τοὺς οὐρανούς; Ἀλλὰ δὲν εἶναι κανεὶς τόσον μανιακός, ὥστε νὰ τὰ εἴπῃ αὐτά.

Τί σημαίνει ἑπομένως αὐτὸ ποὺ λέγεται; Ὅπως ὅταν λέγῃ «εὐτυχισμένοι εἶναι ὅσοι ἔχουν καθαρὰν καρδίαν, διότι αὐτοὶ θὰ ἰδοῦν τὸν Θεόν»[14], ἐννοεῖ ὅτι θὰ ἰδοῦν μὲ τὸ νοῦν των καὶ θὰ κατανοήσουν τὸν Θεόν, ὅσον μᾶς εἶναι δυνατόν, ἔτσι καὶ εἰς τὴν περίπτωσιν τῶν ἀγγέλων ἠμποροῦμεν νὰ εἴπουμεν, ὅτι, ἐξ αἰτίας τῆς καθαρᾶς καὶ ἀγρύπνου φύσεώς των, τίποτε ἄλλο ἀλλὰ μόνον ὅτι φαντάζονται διαρκῶς τὸν Θεόν. Δι' αὐτὸ καὶ ὁ ἴδιος πάλιν λέγει· «Κανεὶς δὲν γνωρί-

τὸς πάλιν φησίν· «Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός». Τί οὖν; πάντες ἐν ἀγνοίᾳ ἐσμέν; Μὴ γένοιτο· ἀλλ' οὕτως οὐδεὶς οἶδεν, ὡς ὁ Υἱός.

Ὥσπερ οὖν εἶδον αὐτὸν οἱ πολλοὶ κατὰ τὴν ἐγχωροῦσαν αὐτοῖς ὄψιν, τὴν δὲ οὐσίαν οὐδεὶς ἐθεάσατο, οὕτω καὶ νῦν ἴσμεν πάντες μὲν τὸν Θεόν, τὴν δὲ οὐσίαν οὐδεὶς οἶδεν ὅ,τι ποτέ ἐστιν, εἰ μὴ μόνος ὁ γεννηθεὶς ἐξ αὐτοῦ. Γνῶσιν γὰρ ἐνταῦθα τὴν ἀκριβῆ λέγει θεωρίαν τε καὶ κατάληψιν, καὶ τοσαύτην, ὅσην ὁ Πατὴρ ἔχει περὶ τοῦ Παιδός. «Καθὼς γὰρ γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα».

Διὸ καὶ ὁ Εὐαγγελιστὴς ὅρα μεθ' ὅσης φθέγγεται τῆς περιουσίας. Εἰπὼν γὰρ ὅτι «Θεὸν οὐδεὶς ἑώρακε πώποτε», οὐκ εἶπεν ὅτι ὁ Υἱὸς ἰδὼν ἐξηγήσατο, ἀλλ' ἕτερόν τι πλέον τοῦ ἰδεῖν ἔθηκεν, εἰπὼν ὅτι «ὁ ὢν ἐν τῷ κόλπῳ τοῦ Πατρός». Τοῦ γὰρ ἰδεῖν τὸ καὶ ἐν τῷ κόλπῳ ἐνδιαιτᾶσθαι πολλῷ πλέον ἐστίν. Ὁ μὲν γὰρ ἁπλῶς ὁρῶν οὐ πάντως ἀκριβῆ τοῦ φαινομένου τὴν γνῶσιν ἔχει, ὁ δὲ τοῖς κόλποις ἐνδιατρίβων οὐδὲν ἀγνοήσειέ ποτε.

Ἀκούων οὖν, ὅτι «Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός», ἵνα μὴ λέγῃς ὅτι, εἰ πλέον ἁπάντων οἶδε τὸν Πατέρα, ἀλλ' οὐχ ὅσος ἐστὶν οἶδε· διὰ τοῦτο ὅ τε Εὐαγγελιστὴς ἐν τῷ κόλπῳ αὐτὸν διαιτᾶσθαι τοῦ Πατρὸς λέγει, αὐτός τε ὁ Χριστὸς τοσοῦτον αὐτὸν εἰδέναι φησίν, ὅσον ὁ Πατὴρ τὸν Υἱόν.

Ἐρώτησον οὖν τὸν ἀντιλέγοντα· Ἆρά γε, εἰπέ, γινώσκει τὸν Υἱὸν ὁ Πατήρ; Καὶ ἐρεῖ πάντως, ἂν μὴ μαίνηται, ὅτι Ναί. Μετὰ τοῦτο κἀκεῖνο ἐρώμεθα πάλιν αὐτόν· Τί δέ, ἀκριβῆ τινα ὅρασιν καὶ γνῶσιν αὐτὸν ὁρᾷ καὶ γινώσκει, καὶ τοῦ-

15. Ματθ. 11, 27.
16. Ἰω. 10, 15.

ζει τὸν Πατέρα, παρὰ μόνον ὁ Υἱός»[15]. Τί σημαίνει λοιπόν; Ὅλοι εὑρισκόμεθα εἰς ἄγνοιαν; Μὴ γένοιτο· ἀλλ' ὅτι κανεὶς δὲν τὸν γνωρίζει ἔτσι ὅπως ὁ Υἱός.

Ὅπως λοιπὸν τὸν εἶδαν οἱ πολλοί, μὲ τὸν τρόπον ποὺ τοὺς ἦτο δυνατὸν νὰ τὸν ἰδοῦν, ἐνῷ τὴν οὐσίαν του κανεὶς δὲν τὴν εἶδεν, ἔτσι καὶ τώρα, ὅλοι μὲν γνωρίζομεν τὸν Θεόν, τὴν οὐσίαν του ὅμως κανεὶς δὲν γνωρίζει τί τέλος πάντων εἶναι, παρὰ μόνον ἐκεῖνος ποὺ ἐγεννήθη ἀπὸ αὐτόν. Γνῶσιν δὲ ἐδῶ ἐννοεῖ τὴν ἀκριβῆ θέαν καὶ κατανόησιν καὶ τόσην ὅσην ἔχει ὁ Πατὴρ διὰ τὸν Υἱόν του. «Διότι ὅπως μὲ γνωρίζει ὁ Πατὴρ καὶ ἐγὼ γνωρίζω τὸν Πατέρα»[16].

Δι' αὐτὸ κύτταξε μὲ πόσην εὐχέρειαν ὁμιλεῖ ὁ εὐαγγελιστής. Ἀφοῦ εἶπεν ὅτι «κανεὶς ποτὲ δὲν εἶδε τὸν Θεόν», δὲν λέγει ὅτι ὁ Υἱὸς τὸν εἶδε καὶ τὸν ἔκαμε γνωστόν, ἀλλ' ἐχρησιμοποίησε κάτι ἄλλο περισσότερον ἀπὸ τὸ ρῆμα βλέπω, λέγων ὅτι, «Αὐτὸς ποὺ εὑρίσκεται εἰς τὸν κόλπον τοῦ Πατρός». Διότι ἀπὸ τὸ νὰ τὸν εἶδε, εἶναι κατὰ πολὺ περισσότερον τὸ νὰ εὑρίσκεται εἰς τὸν κόλπον του. Ἄλλωστε ἐκεῖνος ποὺ ἁπλῶς βλέπει, δὲν ἀποκτᾷ ὁπωσδήποτε ἀκριβῆ γνῶσιν αὐτοῦ τὸ ὁποῖον βλέπει. Ἐνῷ ἐκεῖνος ποὺ διαμένει εἰς τοὺς κόλπους, δὲν ἀγνοεῖ ποτὲ τίποτε.

Ὅταν λοιπὸν ἀκούῃς ὅτι «κανεὶς δὲν γνωρίζει τὸν Πατέρα, παρὰ μόνον ὁ Υἱός», νὰ μὴ λέγῃς ὅτι ναὶ μὲν γνωρίζει τὸν Πατέρα περισσότερον ἀπὸ ὅλους, ἀλλὰ δὲν γνωρίζει πόσος εἶναι εἰς τὴν πραγματικότητα. Δι' αὐτὸ καὶ ὁ εὐαγγελιστὴς λέγει ὅτι διαμένει εἰς τὸν κόλπον τοῦ Πατρὸς καὶ ὁ ἴδιος ὁ Χριστὸς λέγει ὅτι τὸν γνωρίζει τόσον, ὅσον γνωρίζει ὁ Πατὴρ τὸν Υἱόν.

Ἐρώτησε λοιπὸν αὐτὸν ποὺ ἀντιλέγει· εἰπέ μου, γνωρίζει ἆρά γε ὁ Πατὴρ τὸν Υἱόν; Καὶ θὰ εἰπῇ ὁπωσδήποτε, ἐὰν δὲν εἶναι μανιακός, ὅτι τὸν γνωρίζει. Καὶ μετὰ ἀπὸ αὐτὸ τὸν ἐρωτοῦμεν πάλιν καὶ τοῦτο· τὸν βλέπει καὶ τὸν γνωρίζει μὲ ἀκριβῆ ὅρασιν καὶ γνῶσιν καὶ γνωρίζει καλῶς τί

το, ὅπερ ἐστίν, οἶδε σαφῶς; Καὶ πάντως καὶ τοῦτο ἐρεῖ. Ἀπὸ γοῦν τούτου λοιπὸν συνάγαγε τὴν ἀκριβῆ τοῦ Υἱοῦ περὶ τοῦ Πατρὸς κατάληψιν. Αὐτὸς γὰρ εἶπεν ὅτι «Ὡς γινώσκει με ὁ Πατήρ, οὕτω καὶ ἐγὼ αὐτὸν γινώσκω»· καὶ ἀλλαχοῦ, «Οὐχ ὅτι Θεόν τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ».

Διὰ τοῦτο, ὅπερ ἔφην, καὶ ὁ Εὐαγγελιστὴς τοῦ κόλπου μέμνηται, πάντα διὰ τοῦ ἑνὸς ῥήματος τούτου ἡμῖν ἐμφαίνων, ὅτι πολλὴ τῆς οὐσίας ἡ συγγένεια καὶ ἡ ἑνότης, ὅτι ἀπαράλλακτος ἡ γνῶσις, ὅτι ἴση ἡ ἐξουσία. Οὐ γὰρ τὸν ἑτερούσιον ἐν τοῖς κόλποις ἂν ἔσχεν ὁ Πατήρ, ἀλλ' οὐδὲ ἂν αὐτὸς ἐτόλμησε, δοῦλος ὢν καὶ τῶν πολλῶν εἷς, ἐν τῷ κόλπῳ στρέφεσθαι τοῦ Δεσπότου· τοῦτο γὰρ υἱοῦ γνησίου μόνον καὶ πολλῇ τῇ παρρησίᾳ πρὸς τὸν γεγεννηκότα χρωμένου, καὶ οὐδὲν ἔλαττον ἔχοντος.

Βούλει καὶ τὸ ἀΐδιον μαθεῖν; Ἄκουσον τί φησιν ὁ Μωϋσῆς περὶ τοῦ Πατρός. Ἐρωτήσας γάρ, εἰ ἐρωτηθείη παρὰ τῶν Αἰγυπτίων, τίς ὁ ἀπεσταλκὼς αὐτὸν εἴη, τί ποτε δὴ καὶ ἀποκρίνηται πρὸς αὐτούς, κελεύεται εἰπεῖν, ὅτι «ὁ ὢν ἀπέσταλκέ με». Τὸ δέ, «ὁ ὢν», τοῦ ἀεὶ εἶναι σημαντικόν ἐστι, καὶ τοῦ ἀνάρχως εἶναι, καὶ τοῦ ὄντως εἶναι καὶ κυρίως. Τοῦτο καὶ τό, «ἐν ἀρχῇ ἦν», ἐμφαίνει, τοῦ ἀεὶ εἶναι δηλωτικὸν ὄν. Τούτῳ δὴ οὖν ἐνταῦθα κέχρηται τῷ ῥητῷ ὁ Ἰωάννης, δεικνὺς ὅτι ἀνάρχως καὶ ἀϊδίως ἐν τῷ κόλπῳ τοῦ Πατρός ἐστιν ὁ Υἱός.

Ἵνα τοίνυν μὴ διὰ τὴν τοῦ ὀνόματος κοινωνίαν ἕνα τινὰ τῶν χάριτι γενομένων υἱῶν εἶναι νομίσῃς αὐτόν, πρῶτον μὲν πρόσκειται τὸ ἄρθρον, διαιροῦν αὐτὸν τῶν κατὰ χάριν. Εἰ δὲ μὴ τοῦτο ἀρκεῖ σοι, ἀλλ' ἔτι κάτω κύπτεις, τούτου κυριώτερον ἄκουε ὄνομα τὸ «Μονογενής». Εἰ δὲ καὶ μετὰ

---

17. Ἰω. 10, 15.
18. Ἰω. 6, 46.
19. Ἐξ. 3, 14.

ἀκριβῶς εἶναι; Καὶ ὁπωσδήποτε καὶ αὐτὸ θὰ τὸ ὁμολογήση. Ἀπὸ αὐτὸ λοιπὸν νὰ συμπεράνης ὅτι ὁ Υἱὸς κατανοεῖ πλήρως τὸν Πατέρα. Διότι αὐτὸς εἶπεν, ὅτι «ὅπως μὲ γνωρίζει ὁ Πατήρ, ἔτσι γνωρίζω καὶ ἐγὼ αὐτόν»[17]. Καὶ ἀλλοῦ· «Κανεὶς δὲν ἔχει ἰδεῖ τὸν Θεόν, παρά μόνον ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὸν Θεόν»[18].

Δι' αὐτό, ὅπως εἶπα, καὶ ὁ εὐαγγελιστὴς ἀναφέρει τὸν κόλπον, διὰ νὰ μᾶς φανερώση μὲ τὴν μίαν αὐτὴν λέξιν τὰ πάντα, ὅτι εἶναι μεγάλη ἡ συγγένεια καὶ ἡ ἑνότης τῆς οὐσίας των, ὅτι ἡ γνῶσις εἶναι ἀπαράλλακτος καὶ ἡ ἐξουσία των ἴση. Διότι δὲν θὰ εἶχεν ὁ Πατὴρ ἕνα ἑτερούσιον εἰς τοὺς κόλπους του, ἀλλὰ οὔτε καὶ ἐκεῖνος θὰ ἐτόλμα, ἐνῷ ἦτο δοῦλος καὶ ἕνας ἀπὸ τοὺς πολλούς, νὰ περιφέρεται εἰς τὸν κόλπον τοῦ Δεσπότου. Αὐτὸ ἐξ ἄλλου εἶναι γνώρισμα μόνον υἱοῦ γνησίου ὁ ὁποῖος ἔχει πολὺ θάρρος πρὸς ἐκεῖνον ποὺ τὸν ἐγέννησε καὶ δὲν ἔχει τίποτε τὸ κατώτερον.

Θέλεις δὲ νὰ μάθης καὶ τὴν ἀϊδιότητά του; Ἄκουσε τί λέγει ὁ Μωϋσῆς διὰ τὸν Πατέρα. Ὅταν ἐρώτησε τί νὰ ἀπαντήση ἐὰν τὸν ἐρωτήσουν οἱ Αἰγύπτιοι ποῖος εἶναι αὐτὸς ποὺ τὸν ἀπέστειλε, διατάσσεται νὰ εἰπῇ ὅτι «μὲ ἀπέστειλεν ὁ Ὤν»[19]· τὸ δὲ «ὁ ὢν» σημαίνει ὅτι ὑπάρχει αἰωνίως, καὶ χωρὶς ἀρχὴν καὶ πραγματικῶς. Τὸ ἴδιον σημαίνει καὶ τὸ «ἐν ἀρχῇ ἦν», διότι εἶναι δηλωτικὸν τῆς αἰωνίου ὑπάρξεως. Αὐτὸ λοιπὸν τὸ ρητὸν χρησιμοποιεῖ καὶ ἐδῶ ὁ Ἰωάννης διὰ νὰ δείξῃ ὅτι ὁ Υἱὸς εὑρίσκεται ἀνάρχως καὶ αἰωνίως εἰς τὸν κόλπον τοῦ Πατρός.

Διὰ νὰ μὴ νομίσῃς λοιπόν, ἕνεκα τῆς συγγενείας τῆς λέξεως, ὅτι καὶ αὐτὸς εἶναι ἕνας ἀπὸ ἐκείνους, ποὺ ἔγιναν υἱοὶ κατὰ χάριν, κατὰ πρῶτον προστίθεται τὸ ἄρθρον τὸ ὁποῖον τὸν ξεχωρίζει ἀπὸ τοὺς κατὰ χάριν υἱούς. Ἐὰν δὲ αὐτὸ δὲν σοῦ εἶναι ἀρκετὸν καὶ ἐξακολουθῇς ἀκόμη νὰ σκύβῃς κάτω, ἄκουσε λέξιν σπουδαιοτέραν ἀπὸ αὐτήν, τὴν λέξιν «Μονογενής». Ἐὰν δὲ καὶ μετὰ ἀπὸ αὐτὴν πάλιν βλέ-

τοῦτο πάλιν κάτω βλέπεις, οὐ παραιτήσομαί πως καὶ ἀνθρωπίνην τινὰ ῥῆσιν εἰπεῖν περὶ τοῦ Θεοῦ, τὴν τοῦ κόλπου λέγω, μόνον ἵνα μηδὲν ὑποπτεύσῃς ταπεινόν.

Εἶδες φιλανθρωπίαν καὶ κηδεμονίαν Δεσπότου; Ἀνάξια ῥήματα περιτίθησιν ἑαυτῷ ὁ Θεός, ἵνα κἂν οὕτω διαβλέψῃς, καὶ μέγα τι καὶ ὑψηλὸν ἐννοήσῃς· καὶ σὺ κάτω μένεις; Εἰπὲ γάρ μοι· Τίνος ἕνεκεν ὁ κόλπος ἐνταῦθα παρείληπται, τὸ παχὺ τοῦτο ὄνομα καὶ σαρκικόν; ἵνα σῶμα τὸν Θεὸν ὑποπτεύσωμεν; Ἄπαγε, οὐδαμῶς! φησί. Τίνος οὖν ἕνεκεν εἴρηται; Εἰ γὰρ μήτε ἡ γνησιότης τοῦ Υἱοῦ παρίσταται διὰ τούτου, μήτε τὸ μὴ σῶμα εἶναι τὸν Θεόν, περιττῶς προσέρριπται τὸ ῥητόν, οὐδεμίαν χρείαν πληροῦν.

Τίνος οὖν ἕνεκεν εἴρηται; οὐ γὰρ ἀποστήσομαί σου τοῦτο πυνθανόμενος. Οὐκ εὔδηλον ὅτι οὐδὲν ἕτερον, ἢ ἵνα μὴ ὑπολάβωμεν δι᾽ αὐτοῦ, ἀλλ᾽ ἢ τὸ γνήσιον τοῦ Μονογενοῦς, καὶ τὸ συναΐδιον τῷ Πατρί; «Ἐκεῖνος ἐξηγήσατο», φησί. Τί ἐξηγήσατο; Ὅτι «Θεὸν οὐδεὶς ἑώρακε πώποτε»· ὅτι εἷς ἐστιν ὁ Θεός. Ἀλλὰ τοῦτο μὲν καὶ οἱ λοιποὶ προφῆται, καὶ Μωϋσῆς ἄνω καὶ κάτω βοᾷ· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι»· καὶ ὁ Ἡσαΐας, «Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔστιν».

3. Τί οὖν πλέον ἐμάθομεν παρὰ τοῦ Υἱοῦ, ὡς ἐν τοῖς κόλποις ὄντος τοῖς πατρικοῖς; τί παρὰ τοῦ Μονογενοῦς; Ὅτι πρῶτον μὲν καὶ αὐτὰ ταῦτα τῆς ἐνεργείας ἐστὶ τῆς ἐκείνου· ἔπειτα, πολλῷ τρανοτέραν ἐδεξάμεθα τὴν διδασκαλίαν, καὶ ἔγνωμεν ὅτι πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· καὶ ἔτι αὐτὸ τοῦτο, ἰδεῖν ἀδύνατον, καὶ ὅτε οὐδεὶς αὐτὸν γινώσκει, εἰ μὴ

20. Δευτ. 6, 4.
21. Ἡσ. 43, 10.
22. Ἰω. 4, 23.

μης πρὸς τὰ κάτω, δὲν θὰ σὲ ἀφήσω χωρὶς νὰ σοῦ ἀναφέρω καὶ κάποιαν ἀνθρωποπαθῆ ἔκφρασιν περὶ τοῦ Θεοῦ, ἐννοῶ τὸν κόλπον, μόνον καὶ μόνον διὰ νὰ μὴ ὑποθέσῃς τίποτε τὸ ταπεινόν.

Εἶδες φιλανθρωπίαν καὶ πρόνοιαν Δεσπότου; Ὁ Θεὸς περιβάλλει τὸν ἑαυτόν του μὲ ἀναξίους χαρακτηρισμούς, εἰς τρόπον ὥστε ἔστω καὶ ἂν τὸν ἰδῇς ἔτσι, νὰ ἐννοήσῃς κάτι τὸ μέγα καὶ ὑψηλὸν περὶ αὐτοῦ, καὶ σὺ ἐξακολουθεῖς νὰ παραμένῃς κάτω; Εἰπέ μου λοιπόν· διατί χρησιμοποιεῖται ἐδῶ ὁ κόλπος, αὐτὴ ἡ παχυλὴ καὶ σαρκικὴ λέξις; Διὰ νὰ ὑποθέσωμεν τὸν Θεὸν σῶμα; Πρὸς Θεοῦ, ὄχι, λέγει. Τότε διατί χρησιμοποιεῖται; Διότι ἐὰν μὲ αὐτὴν οὔτε ἡ γνησιότης τοῦ Υἱοῦ παριστάνεται, οὔτε ὅτι ὁ Θεὸς δὲν εἶναι σῶμα, ἦτο περιττὴ ἡ χρησιμοποίησις τῆς λέξεως ἀφοῦ δὲν πληροῖ καμμίαν ἀνάγκην.

Διατί ἐλέχθη λοιπόν; Διότι δὲν θὰ παύσω νὰ σὲ ἐρωτῶ διὰ νὰ τὸ μάθω αὐτό. Δὲν εἶναι ὁλοφάνερον ὅτι διὰ νὰ μὴ ὑποθέσωμεν μὲ αὐτὸ τίποτε ἄλλο, παρὰ μόνον τὴν γνησιότητα τοῦ Μονογενοῦς καὶ τὸ συναΐδιον πρὸς τὸν Πατέρα του; «Ἐκεῖνος ἐξήγησε», λέγει· Τί ἐξήγησε; «Ὅτι τὸν Θεὸν δὲν τὸν ἔχει ἰδεῖ κανεὶς ποτέ»· ὅτι ἕνας εἶναι ὁ Θεός. Ἀλλὰ αὐτὸ μὲν καὶ οἱ ἄλλοι προφῆται καὶ ὁ Μωϋσῆς τὸ φωνάζει ἐπάνω καὶ κάτω. «Ὁ Κύριος ὁ Θεός σου, εἶναι ἕνας Κύριος»[20]. Καὶ ὁ Ἠσαΐας· «Πρὶν ἀπὸ ἐμένα δὲν ὑπῆρξεν ἄλλος Θεὸς καὶ μετὰ ἀπὸ ἐμένα δὲν ὑπάρχει»[21].

3. Τί περισσότερον λοιπὸν ἐμάθαμεν ἀπὸ τὸν Υἱόν, ὁ ὁποῖος εὑρίσκεται εἰς τοὺς πατρικοὺς κόλπους; Τί ἐμάθαμεν ἀπὸ τὸν Μονογενῆ; Ὅτι πρῶτον μὲν καὶ αὐτὰ τὰ ἴδια ἀνήκουν εἰς τὴν ἐνέργειαν ἐκείνου· ἔπειτα δὲ ἐδέχθημεν κατὰ πολὺ ἀνωτέραν διδασκαλίαν καὶ ἐγνωρίσαμεν ὅτι ὁ Θεὸς εἶναι πνεῦμα καὶ ἐκεῖνοι ποὺ τὸν λατρεύουν πρέπει νὰ τὸν λατρεύουν πνευματικὰ καὶ ἀληθινά[22]· καὶ ἀκόμη τοῦτο, ὅτι εἶναι ἀδύνατον νὰ ἴδωμεν τὸν Θεὸν καὶ ὅτι κανεὶς δὲν τὸν γνωρίζει, παρὰ μόνον ὁ Υἱός· καὶ ὅτι ὁ Πατὴρ

ὁ Υἱὸς καὶ ὅτι ὁ Πατήρ ἐστι γνησίου Μονογενοῦς· καὶ τὰ ἄλλα ὅσα περὶ αὐτοῦ διελέχθη.

Τὸ δὲ «ἐξηγήσατο», τὴν τρανοτέραν καὶ σαφεσέραν δείκνυσι διδασκαλίαν, ἣν οὐ πρὸς Ἰουδαίους μόνον, ἀλλὰ καὶ πρὸς ἅπασαν ἐποιήσατο τὴν οἰκουμένην καὶ κατώρθωσε. Τοῖς μὲν οὖν προφήταις οὐδὲ Ἰουδαῖοι πάντες προσεῖχον, τῷ δὲ Μονογενεῖ τοῦ Θεοῦ πᾶσα ἡ οἰκουμένη καὶ εἶξε, καὶ ἐπείσθη. Ἡ τοίνυν ἐξήγησις ἐνταῦθα τὸ σαφέστερον τῆς διδασκαλίας δηλοῖ· διὸ καὶ Λόγος λέγεται, καὶ Μεγάλης βουλῆς Ἄγγελος.

Ἐπεὶ οὖν καὶ μείζονος καὶ τελειοτέρας κατηξιώθημεν τῆς διδασκαλίας, οὐκ ἔτι διὰ προφητῶν, ἀλλὰ διὰ τοῦ Υἱοῦ λαλήσαντος ἡμῖν τοῦ Θεοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων, πολλῷ μείζονα καὶ ἀξίαν πολιτείαν ἐπιδειξώμεθα τῆς τιμῆς· καὶ γὰρ ἄτοπον, αὐτὸν μὲν καταβῆναι τοσοῦτον, ὡς μηκέτι διὰ τῶν δούλων ἡμῖν ἐθέλειν διαλέγεσθαι, ἀλλὰ δι' ἑαυτοῦ, ἡμᾶς δὲ τῶν προτέρων μηδὲν ἐπιδείξασθαι πλέον. Ἐκεῖνοι μὲν οὖν Μωϋσέα, ἡμεῖς δὲ τὸν Μωϋσέως Δεσπότην διδάσκαλον ἔχομεν. Οὐκοῦν ταύτης τῆς τιμῆς ἀξίαν φιλοσοφίαν ἐπιδειξώμεθα, καὶ μηδὲν ἔχωμεν κοινὸν πρὸς τὴν γῆν. Διὰ γὰρ τοῦτο ἡμῖν ἄνωθεν ἐκ τῶν οὐρανῶν διδασκαλίαν ἐκόμισεν, ἵνα ἐκεῖ μεταστήσῃ τὴν διάνοιαν, ἵνα μιμηταὶ τοῦ διδασκάλου γενώμεθα κατὰ δύναμιν τὴν ἡμετέραν.

Καὶ πῶς, φησίν, ἔστι μιμητὰς γενέσθαι τοῦ Χριστοῦ; Εἰς τὸ κοινωφελὲς ἅπαντα πραγματευομένους, καὶ μὴ τὰ ἑαυτῶν ζητοῦντας. «Καὶ γὰρ ὁ Χριστός», φησίν, «οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται· Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ». «Μηδεὶς τοιγαροῦν τὸ ἑαυτοῦ

23. Ἑβρ. 1, 2.
24. Ρωμ. 15, 3.
25. Α΄ Κορ. 10, 24.

εἶναι πατέρας γνησίου Μονογενοῦς υἱοῦ καὶ τὰ ἄλλα ὅλα ὅσα εἶπε περὶ αὐτοῦ.

Τὸ δὲ «ἐξηγήσατο» δείχνει τὴν πιὸ μεγάλην καὶ σαφῆ διδασκαλίαν, τὴν ὁποίαν ἔκαμε καὶ ἐπέτυχεν, ὄχι μόνον εἰς τοὺς Ἰουδαίους, ἀλλὰ καὶ εἰς ὁλόκληρον τὴν οἰκουμένην. Εἰς μὲν τοὺς προφήτας λοιπὸν οὔτε οἱ Ἰουδαῖοι δὲν ἐπρόσεχαν ὅλοι· ἐνῷ εἰς τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ ὁλόκληρος ἡ οἰκουμένη καὶ προσῆλθε καὶ ἐπείσθη. Ἡ ἐξήγησις λοιπὸν ἐδῶ σημαίνει τὴν περισσοτέραν σαφήνειαν τῆς διδασκαλίας· δι' αὐτὸ καὶ λέγεται Λόγος καὶ Μεγάλης βουλῆς ἄγγελος.

Ἐπειδὴ λοιπὸν ἠξιώθημεν καὶ ἀνωτέρας καὶ τελειοτέρας διδασκαλίας, καθόσον μᾶς ὡμίλησεν ὁ Θεὸς κατὰ τὰς τελευταίας αὐτὰς ἡμέρας, ὄχι μὲ τοὺς προφήτας ἀλλὰ μὲ τὸν Υἱόν του[23], ἂς ἐπιδείξωμεν πολιτείαν κατὰ πολὺ ἀνωτέραν καὶ ἀνταξίαν πρὸς τὴν τιμὴν ποὺ μᾶς ἔγινε. Διότι εἶναι ἄτοπον, αὐτὸς μὲν νὰ συγκαταβῇ τόσον πολύ, ὥστε νὰ μὴ θέλῃ νὰ μᾶς ὁμιλῇ διὰ τῶν δούλων του, ἀλλὰ διὰ τοῦ ἑαυτοῦ του, ἐμεῖς δὲ νὰ μὴ ἐπιδείξωμεν τίποτε περισσότερον ἀπὸ τὰ προηγούμενα. Ἐκεῖνοι μὲν λοιπὸν εἶχαν διδάσκαλον τὸν Μωϋσῆν, ἐνῷ ἐμεῖς ἔχομεν τὸν Δεσπότην τοῦ Μωϋσέως. Ἂς ἐπιδείξωμεν λοιπὸν διαγωγὴν ἀνταξίαν τῆς τιμῆς ποὺ μᾶς ἔγινε καὶ ἂς μὴ ἔχωμεν τίποτε τὸ κοινὸν πρὸς τὴν γῆν. Ἄλλωστε ἀκριβῶς δι' αὐτὸ μᾶς ἔφερε διδασκαλίαν ἀπὸ ἐπάνω ἀπὸ τοὺς οὐρανούς, διὰ νὰ γίνωμεν μιμηταὶ τοῦ διδασκάλου ἀνάλογα μὲ τὴν δύναμίν μας.

Καὶ πῶς εἶναι δυνατὸν νὰ γίνωμεν μιμηταὶ τοῦ Χριστοῦ μᾶς τὸ λέγει, μὲ τὸ νὰ πράττωμεν τὰ πάντα χάριν τῆς κοινῆς ὠφελείας καὶ νὰ μὴ ἐπιζητοῦμεν ὅ,τι μᾶς συμφέρει. «Διότι καὶ ὁ Χριστός», λέγει, «δὲν ἐζήτησεν ἐκεῖνα ποὺ ἦσαν ἀρεστὰ εἰς τὸν ἑαυτόν του, ἀλλὰ καθὼς εἶναι γραμμένον, αἱ ὕβρεις τῶν ὑβριστῶν σου ἔπεσαν ἐπάνω μου»[24]. «Ἂς μὴ ζητῇ λοιπὸν κανεὶς ὅ,τι τὸν συμφέρει»[25]. Διότι ἔτσι, ἐὰν

ζητείτω». Οὕτω γάρ τις τὸ ἑαυτοῦ ζητεῖ, ἂν τὸ τοῦ πλησίον σκοπῇ· καὶ γὰρ τὰ ἐκείνων ἡμέτερα. «Σῶμά ἐσμεν ἕν, καὶ ἀλλήλων μέρη καὶ μέλη».

Μὴ τοίνυν ὡς διεσπασμένοι διακεώμεθα, μηδὲ λεγέτω τις· Ὁ δεῖνά μοι φίλος οὐκ ἔστιν, οὐδὲ συγγενής, οὐδὲ γείτων, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν· πῶς προσελεύσομαι; πῶς διαλέξομαι; Εἰ γὰρ καὶ μὴ συγγενής, μηδὲ φίλος ἐστίν, ἀλλ' ἄνθρωπός ἐστι, τῆς αὐτῆς σοι μετέχων φύσεως, τὸν αὐτὸν ἔχων Δεσπότην, ὁμόδουλος καὶ ὁμόσκηνος· ἐν γὰρ τῷ αὐτῷ γέγονε κόσμῳ. Εἰ δὲ καὶ τῆς πίστεως μετέχει τῆς αὐτῆς, ἰδού σοι καὶ μέλος γέγονε. Ποία γὰρ φιλία τοσαύτην ἕνωσιν ἐργάσασθαι δύναιτ' ἄν, ὅσην τῆς πίστεως ἡ συγγένεια; Οὐ γὰρ ὅσην φίλους πρὸς φίλους ἐπιδείκνυσθαι χρὴ τὴν ἐγγύτητα, καὶ τοσαύτην ἡμᾶς ἔχειν δεῖ τὴν πρὸς ἀλλήλους οἰκείωσιν, ἀλλ' ὅσην μέλος πρὸς μέλος. Τούτου γὰρ τοῦ τρόπου τῆς φιλίας καὶ κοινωνίας ἄλλην μείζονα οἰκείωσιν οὐκ ἄν τις εὕροι ποτέ.

Ὥσπερ οὖν οὐκ ἂν δύναιο λέγειν· Πόθεν μοι οἰκειότης καὶ ἐγγύτης πρὸς αὐτόν; καταγέλαστον γὰρ τοῦτο· οὕτως οὐδὲ περὶ τοῦ ἀδελφοῦ δυνήσῃ τοῦτο εἰπεῖν. «Οἱ γὰρ πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν», φησί. Διὰ τί εἰς ἓν σῶμα; Ὥστε μὴ διεσπάσθαι, ἀλλὰ τῇ πρὸς ἀλλήλους συνόδῳ καὶ φιλίᾳ σώματος ἑνὸς ἀκολουθίαν διατηρεῖν. Μὴ δὴ καταφρονήσωμεν ἀλλήλων, ἵνα μὴ ἑαυτῶν ὑπερίδωμεν· «Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησε», φησίν, «ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν».

Διὰ τοῦτο οἰκίαν μίαν τοῦτον ἡμῖν τὸν κόσμον ἔδωκεν ὁ Θεός, πάντα ἐξίσου διένειμεν, ἕνα ἀνῆψε πᾶσιν ἥλιον, ἕνα ἐξέτεινεν ὄροφον, τὸν οὐρανόν, μίαν ἀνῆκε τράπεζαν, τὴν γῆν. Ἔδωκε καὶ ἑτέραν ταύτης πολλῷ μείζονα τράπεζαν,

---

26. Ρωμ. 12, 5.
27. Α' Κορ. 12, 13.
28. Ἐφ. 5, 29.

κανεὶς ἀποβλέπῃ εἰς ὅ,τι συμφέρει εἰς τὸν πλησίον, τότε ἐπιζητεῖ τὸ πραγματικόν του συμφέρον. Διότι ὅσα ἔχουν οἱ ἄλλοι εἶναι ἰδικά μας. «Εἴμεθα ἕνα σῶμα καὶ κομμάτια καὶ μέλη ὁ ἕνας τοῦ ἄλλου»[26].

Ἂς μὴ συμπεριφερώμεθα λοιπὸν ὡσὰν διεσπασμένοι, οὔτε νὰ λέγῃ κανείς· ὁ τάδε δὲν εἶναι φίλος μου, οὔτε συγγενής, οὔτε γείτονας, οὔτε ἔχω τίποτε κοινὸν πρὸς αὐτόν· πῶς νὰ τὸν πλησιάσω καὶ νὰ τοῦ ὁμιλήσω; Διότι καὶ ἂν δὲν εἶναι συγγενὴς οὔτε φίλος, εἶναι ὅμως ἄνθρωπος ὁ ὁποῖος ἔχει τὴν ἰδίαν μὲ ἐσένα φύσιν, τὸν ἴδιον Δεσπότην, εἶναι σύνδουλός σου καὶ ζῇ εἰς τὴν ἰδίαν σκηνήν, ἀφοῦ ὑπάρχει εἰς τὸν ἴδιον κόσμον. Ἐὰν μάλιστα ἔχῃ καὶ τὴν ἰδίαν πίστιν, τότε γίνεται καὶ μέλος ἰδικόν σου. Διότι ποία φιλία ἠμπορεῖ νὰ ἐπιφέρῃ τέτοιον σύνδεσμον, ὅσον ἡ συγγένεια τῆς πίστεως; Διότι δὲν πρέπει νὰ ἔχωμεν μεταξύ μας τόσην οἰκειότητα, ὅσην προσέγγισιν ἐπιδεικνύουν οἱ φίλοι πρὸς τοὺς φίλους, ἀλλὰ ὅσην ἔχει ἕνα μέλος πρὸς τὸ ἄλλο μέλος. Αὐτοῦ τοῦ τρόπου τῆς φιλίας καὶ ἐπικοινωνίας ἄλλην μεγαλυτέραν οἰκειότητα δὲν θὰ εὕρῃ κανεὶς ποτέ.

Ὅπως λοιπὸν δὲν θὰ ἠμποροῦσες νὰ εἴπῃς· ἀπὸ ποῦ ἡ οἰκειότης καὶ ἡ προσέγγισις πρὸς αὐτόν; διότι αὐτὸ εἶναι καταγέλαστον· ἔτσι οὔτε διὰ τὸν ἀδελφόν σου δὲν ἠμπορεῖς νὰ τὸ εἴπῃς αὐτό. «Διότι ὅλοι ἐβαπτίσθημεν καὶ ἐγίναμεν ἕνα σῶμα»[27], λέγει. Διατί ἐγίναμεν ἕνα σῶμα; Διὰ νὰ μὴ διασπώμεθα, ἀλλὰ νὰ διατηροῦμεν μὲ τὴν μεταξύ μας προσέγγισιν καὶ φιλίαν τὴν συνοχὴν ἑνὸς σώματος. Ἂς μὴ περιφρονοῦμεν ὁ ἕνας τὸν ἄλλον, διὰ νὰ μὴ παραβλέψωμεν τοὺς ἑαυτούς μας. «Διότι κανεὶς ποτὲ δὲν ἐμίσησε τὴν σάρκα του», λέγει, «ἀλλὰ τὴν τρέφει καὶ τὴν περιποιεῖται»[28].

Διὰ τοῦτο ὁ Θεὸς μᾶς ἔδωσε μίαν κατοικίαν, τὸν κόσμον αὐτόν, ἐμοίρασε τὰ πάντα ἐξίσου, ἥναψεν ἕνα ἥλιον δι' ὅλους, ἥπλωσε μίαν ὀροφήν, τὸν οὐρανόν, ἔστρωσε μίαν τράπεζαν, τὴν γῆν. Μᾶς ἔδωσε καὶ ἄλλην τράπεζαν, κατὰ

ἀλλὰ καὶ ταύτην μίαν· ἴσασιν οἱ συμμύσται τὸ λεγόμενον· ἕνα τρόπον γεννήσεως ἅπασιν ἐχαρίσατο, τὸν πνευματικόν· μία πᾶσι πατρίς, ἡ ἐν τοῖς οὐρανοῖς· ἐκ τοῦ ποτηρίου τοῦ αὐτοῦ πάντες πίνομεν. Οὐ τῷ μὲν πλουτοῦντι πλέον καὶ τιμιώτερον, τῷ πένητι δὲ εὐτελέστερον καὶ ἔλαττον ἐχαρίσατο, ἀλλὰ πάντας ἐξίσης ἐκάλεσε· τὰ σαρκικὰ ὁμοτίμως, τὰ πνευματικὰ ὁμοίως παρέσχε.

Πόθεν οὖν ἡ ἀνωμαλία πολλὴ κατὰ τὸν βίον; Ἐκ τῆς τῶν πλουτούντων πλεονεξίας τε καὶ ἀλαζονείας. Ἀλλὰ μή, ἀδελφοί, μηκέτι ταῦτα γενέσθω, μηδὲ τῶν καθολικῶν καὶ ἀναγκαιοτέρων εἰς τὸ αὐτὸ συναγόντων ἡμᾶς, ἀπὸ τῶν γηΐνων καὶ εὐτελῶν διαιρώμεθα, πλούτου, λέγω, καὶ πενίας, καὶ συγγενείας σωματικῆς, καὶ ἔχθρας, καὶ φιλίας· ταῦτα γὰρ πάντα σκιά, καὶ σκιᾶς εὐτελέστερα τοῖς τὸν σύνδεσμον ἔχουσι τῆς ἀγάπης ἄνωθεν.

Τοῦτον οὖν φυλάττωμεν ἀρραγῆ, καὶ οὐδὲν ἐπεισελθεῖν δυνήσεται τῶν πνευμάτων τῶν πονηρῶν καὶ διαιρούντων τὴν τοιαύτην ἕνωσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πολὺ ἀνωτέραν αὐτῆς, ἀλλὰ καὶ αὐτὴ εἶναι μία· γνωρίζουν ὅσοι εἶναι μυημένοι μαζί μου αὐτὸ ποὺ λέγω· μᾶς ἐχάρισεν ἕνα τρόπον γεννήσεως, τὸν πνευματικόν· μίαν πατρίδα ἔχομεν ὅλοι, αὐτὴν ποὺ εὑρίσκεται εἰς τοὺς οὐρανούς· ἀπὸ τὸ ἴδιον ποτήριον πίνομεν ὅλοι. Δὲν ἐχάρισεν εἰς μὲν τὸν πλούσιον μεγαλύτερον καὶ πολυτιμότερον, εἰς δὲ τὸν πτωχὸν εὐτελέστερον καὶ μικρότερον, ἀλλ' ὅλους τοὺς προσεκάλεσεν ὡς ἴσους. Καὶ τὰ σαρκικὰ ὅπως καὶ τὰ πνευματικὰ τὰ παρεχώρησεν ἰσοτίμως.

Ποῦ ὀφείλεται λοιπὸν ἡ μεγάλη διαφοροποίησις εἰς τὴν ζωήν; Εἰς τὴν πλεονεξίαν καὶ ἀλαζονείαν τῶν πλουσίων. Ἀλλ' ἂς μὴ γίνωνται πλέον αὐτά, ἀδελφοί, οὔτε συναθροίζοντες αὐτὰ ποὺ ἀνήκουν εἰς ὅλους καὶ εἶναι ἀπολύτως ἀπαραίτητα, νὰ διαιρούμεθα μὲ τὰ γήϊνα καὶ εὐτελῆ αὐτά, ἐννοῶ τὸν πλοῦτον καὶ τὴν πτωχείαν, τὴν σωματικὴν συγγένειαν, τὴν ἔχθραν καὶ τὴν φιλίαν. Διότι ὅλα αὐτὰ εἶναι σκιὰ καὶ πιὸ εὐτελῆ ἀπὸ σκιάν, δι' ἐκείνους οἱ ὁποῖοι ἔχουν ἄνωθεν τὸν σύνδεσμον τῆς ἀγάπης.

Αὐτὸν λοιπὸν τὸν σύνδεσμον ἂς τὸν διαφυλάσσωμεν ἄθραυστον καὶ τότε κανένα ἀπὸ τὰ πνεύματα τὰ πονηρά, ποὺ διαιροῦν αὐτὴν τὴν ἑνότητα, δὲν θὰ ἠμπορέσῃ νὰ παρεισφρύσῃ. Τὴν ἑνότητα αὐτὴν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΣΤ΄.

'Ιω. 1, 19-27

«*Αὕτη γάρ ἐστιν ἡ μαρτυρία τοῦ 'Ιωάννου, ὅτε ἀπέστειλαν πρὸς αὐτὸν οἱ 'Ιουδαῖοι ἐξ 'Ιεροσολύμων ἱερεῖς καὶ Λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ;*».

1. Δεινὸν ἡ βασκανία, ἀγαπητέ, δεινὸν καὶ ὀλέθριον τοῖς βασκαίνουσιν, οὐ τοῖς βασκαινομένοις· πρώτους γὰρ αὐτοὺς λυμαίνεται καὶ διαφθείρει, καθάπερ ἰός τις θανατηφόρος ἐγκαθήμενος αὐτῶν ταῖς ψυχαῖς. Εἰ δέ που καὶ τοὺς φθονουμένους παραβλάψειε, μικρὰν καὶ οὐδενὸς ἀξίαν βλάβην, καὶ μεῖζον τῆς ζημίας τὸ κέρδος ἔχουσαν. Καὶ οὐκ ἐπὶ τῆς βασκανίας μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ δράσας κακῶς, οὗτός ἐστιν ὁ τὴν βλάβην δεξάμενος. Οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν προσέταξεν ὁ Παῦλος τοῖς μαθηταῖς, «Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε;», λέγων, «διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;». Οἶδε γὰρ ἀκριβῶς οὐ τῷ πάσχοντι κακῶς, ἀλλὰ τῷ ποιοῦντι κακῶς τὸν ὄλεθρον ἑπόμενον πανταχοῦ.

Ταῦτα δή μοι πάντα διὰ τὴν βασκανίαν εἴρηται τὴν 'Ιουδαϊκήν. Οἱ γὰρ ἀπὸ τῶν πόλεων ἐκχυθέντες πρὸς τὸν 'Ιωάννην, καὶ τῶν ἁμαρτημάτων καταγνόντες τῶν οἰκείων, καὶ βαπτισάμενοι αὐτοὶ μετὰ τὸ βάπτισμα, καθάπερ ἔκ τινος μεταμελείας, πέμπουσιν, ἐρωτῶντες αὐτόν· «Σὺ τίς εἶ;». Ὄντως γεννήματα ἐχιδνῶν καὶ ὄφεις, καὶ εἴ τι τούτων χαλεπώτερον. Γενεὰ πονηρὰ καὶ μοιχαλὶς καὶ διεστραμμένη, μετὰ τὸ βαπτίσασθαι, τότε τὸν βαπτιστὴν περιεργάζῃ καὶ πολυπραγμονεῖς; Καὶ τί ταύτης τῆς ἀλογίας ἀλογώτερον γένοιτ'

---

1. Α΄ Κορ. 6, 7.

ΟΜΙΛΙΑ ΙΣΤ΄.

'Ιω. 1, 19-27

«Διότι αὐτὴ εἶναι ἡ μαρτυρία τοῦ 'Ιωάννου, ὅταν οἱ 'Ιουδαῖοι ἔστειλαν ἀπὸ τὰ 'Ιεροσόλυμα ἱερεῖς καὶ λευΐτας νὰ τὸν ἐρωτήσουν, 'σὺ ποῖος εἶσαι';».

1. 'Ο φθόνος εἶναι κακὸν πρᾶγμα, ἀγαπητέ, κακὸν καὶ καταστρεπτικόν, διὰ τοὺς φθονεροὺς καὶ ὄχι δι' ἐκείνους ποὺ γίνονται ἀντικείμενον τοῦ φθόνου. Διότι πρῶτον αὐτοὺς καταστρέφει καὶ διαφθείρει ἐγκαθιστάμενος ὡσὰν κάποιον θανατηφόρον μικρόβιον εἰς τὰς ψυχάς των. 'Εὰν δὲ εἰς ὡρισμένας περιπτώσεις βλάπτῃ καὶ ἐκείνους ποὺ φθονοῦνται, τοὺς προκαλεῖ βλάβην μικρὰν καὶ ἀναξίαν λόγου, ἡ ὁποία φέρει περισσότερον κέρδος παρὰ ζημίαν. Καὶ ὄχι μόνον εἰς τὴν περίπτωσιν τοῦ φθόνου, ἀλλὰ καὶ εἰς ὅλα τὰ ἄλλα, δὲν βλάπτεται ἐκεῖνος ποὺ τὰ ὑφίσταται, ἀλλὰ ἐκεῖνος ποὺ τὰ ἐνεργεῖ. Ἄλλωστε, ἐὰν δὲν συνέβαινεν αὐτό, δὲν θὰ παρήγγειλεν εἰς τοὺς μαθητάς του νὰ προτιμοῦν νὰ ἀδικοῦνται παρὰ νὰ ἀδικοῦν, λέγων· «Διατί νὰ μὴ ἀδικῆσθε μᾶλλον; Διατί νὰ μὴ στερῆσθε μᾶλλον;»[1]. Διότι ἐγνώριζε καλὰ ὅτι ἡ καταστροφὴ ἀκολουθεῖ παντοῦ, ὄχι ἐκεῖνον ποὺ δέχεται τὰ κακά, ἀλλ' ἐκεῖνον ποὺ τὰ προκαλεῖ.

Ὅλα αὐτὰ βεβαίως τὰ εἶπα διὰ τὸν φθόνον τῶν 'Ιουδαίων. Διότι ἐκεῖνοι ποὺ εἶχαν προστρέξει ἀπὸ τὰς πόλεις πρὸς τὸν 'Ιωάννην καὶ εἶχαν μετανοήσει διὰ τὰ ἁμαρτήματά των καὶ εἶχαν βαπτισθῇ, αὐτοὶ μετὰ τὸ βάπτισμα, ὡσὰν νὰ εἶχαν μεταμεληθῇ, στέλνουν καὶ τὸν ἐρωτοῦν· «Σὺ ποῖος εἶσαι;». Πράγματι εἶναι γενεὰ ἐχιδνῶν καὶ φίδια καὶ ὅ,τι ἄλλο ὑπάρχει χειρότερον ἀπὸ αὐτά. Γενεὰ πονηρὰ καὶ διεφθαρμένη καὶ διεστραμμένη, ἀφοῦ ἐβαπτίσθης τότε περιεργάζεσαι καὶ ἐξετάζεις ἐπακριβῶς τὸν βαπτιστήν; Ποῖος πα-

ἄν; Πῶς ἐξήειτε; πῶς ἐξωμολογεῖσθε τὰ ἁμαρτήματα; πῶς ἐπετρέχετε τῷ βαπτίζοντι; πῶς αὐτὸν ἠρωτᾶτε περὶ τῶν πρακτέων; Ταῦτα γὰρ ὑμῖν ἅπαντα ἀλόγως ἐπράττετο, τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἀγνοοῦσιν.

Ἀλλ' οὐδὲν τούτων εἶπεν, οὐδὲ ἐνεκάλεσεν ὁ μακάριος Ἰωάννης, οὐδὲ ὠνείδισεν, ἀλλὰ μετὰ ἐπιεικείας ἁπάσης ἀποκρίνεται πρὸς αὐτούς. Τίνος δὲ ἕνεκεν τοῦτο ἐποίει, ἐκεῖνο μαθεῖν ἄξιον, ὥστε πᾶσιν αὐτῶν κατάδηλον τὴν κακουργίαν γενέσθαι καὶ φανεράν. Πολλάκις πρὸς Ἰουδαίους ἐμαρτύρησεν ὁ Ἰωάννης τῷ Χριστῷ, καί, ὅτε ἐβάπτιζεν αὐτούς, συνεχῶς αὐτοῦ πρὸς τοὺς παρόντας ἐμέμνητο, καὶ ἔλεγεν· «Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι, ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί».

Ἔπαθον οὖν τι πρὸς αὐτὸν ἀνθρώπινον πάθος· εἰ γὰρ τὴν τοῦ κόσμου δόξαν ἐπτοημένοι, καὶ τὰ κατὰ πρόσωπον βλέποντες, ἀνάξιον εἶναι ἐνόμιζον ὑποτάσσεσθαι αὐτὸν τῷ Χριστῷ· Τὸν μὲν γὰρ Ἰωάννην πολλὰ τὰ δεικνύντα λαμπρὸν ἦν· καὶ πρῶτον, τὸ γένος ἐπίσημον καὶ περιφανές· ἀρχιερέως γὰρ ἦν υἱός· ἔπειτα, ἡ δίαιτα καὶ ἡ σκληραγωγία, ἡ τῶν ἀνθρωπίνων ὑπεροψία πάντων· καὶ γὰρ ἐσθῆτος, καὶ τραπέζης, καὶ οἰκίας, καὶ τροφῆς δὲ αὐτῆς ὑπεριδών, κατὰ τὴν ἔρημον τὸν ἔμπροσθεν διέτριβε χρόνον.

Ἐπὶ δὲ τοῦ Χριστοῦ πᾶν τοὐναντίον ἦν· τό τε γὰρ γένος εὐτελές· ὃ καὶ πολλάκις αὐτὸ προὔφερον λέγοντες· «Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς; Καὶ ἡ δοκοῦσα δὲ αὐτῷ πατρὶς εἶναι τοσοῦτον ἐπονείδιστος ἦν, ὡς καὶ τὸν Ναθαναὴλ λέγειν· «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;», καὶ ἡ δίαιτα δὲ κοινή, καὶ τὰ ἱμάτια δὲ οὐ-

---

2. Ματθ. 3, 11.
3. Ματθ. 13, 55.
4. Ἰω. 1, 46.

ραλογισμὸς θὰ ἠμποροῦσε νὰ γίνῃ χειρότερος ἀπὸ αὐτόν; Πῶς ἐπηγαίνατε; Πῶς ἐξωμολογεῖσθε τὰ ἁμαρτήματα; Πῶς ἐτρέχατε πρὸς τὸν βαπτιστήν; Πῶς τὸν ἐρωτούσατε τί νὰ κάνετε; Διότι ὅλα αὐτὰ τὰ ἐκάνατε ἀπερίσκεπτα, ἀφοῦ ἀγνοούσατε τὴν ἀρχὴν καὶ τὴν προϋπόθεσιν.

Ἀλλὰ δὲν τοὺς εἶπε τίποτε ἀπὸ αὐτὰ οὔτε τοὺς ἐκατηγόρησεν ὁ μακάριος Ἰωάννης, οὔτε τοὺς ὕβρισεν, ἀλλὰ τοὺς ἀπαντᾷ μὲ κάθε ἐπιείκειαν. Διατί δὲ τὸ ἔκανεν αὐτό, ἐκεῖνο ἀξίζει νὰ μάθωμεν, διὰ νὰ γίνῃ κατάδηλος καὶ φανερὰ εἰς ὅλους ἡ κακουργία των. Πολλὰς φορὰς ὁ Ἰωάννης ἐκήρυξε τὸν Χριστὸν εἰς τοὺς Ἰουδαίους, καὶ ὅταν τοὺς ἐβάπτιζε διαρκῶς αὐτὸν ἀνέφερε καὶ ἔλεγεν· «Ἐγὼ μὲν σᾶς βαπτίζω μὲ ὕδωρ· ἐκεῖνος ὅμως ποὺ ἔρχεται πίσω ἀπὸ ἐμένα εἶναι πιὸ ἰσχυρὸς ἀπὸ ἐμέ· αὐτὸς θὰ σᾶς βαπτίσῃ μὲ Πνεῦμα ἅγιον καὶ πῦρ»[2].

Ἔπαθαν λοιπὸν μὲ αὐτὸν κάποιο πάθος ἀνθρώπινον. Διότι συγκινημένοι ἀπὸ τὴν δόξαν τοῦ κόσμου καὶ βλέποντες μόνον τὰ ἐξωτερικὰ φαινόμενα, ἐνόμιζαν ὅτι εἶναι ἀνάξιον νὰ ὑποτάσσεται αὐτὸς εἰς τὸν Χριστόν. Διότι πολλὰ ἔδειχναν ὅτι ὁ Ἰωάννης ἦτο περιφανής. Καὶ κατὰ πρῶτον τὸ γένος του ἦτο ἐπίσημον καὶ περίοπτον, διότι ἦτο υἱὸς ἀρχιερέως. Ἔπειτα ἡ δίαιτα καὶ ἡ σκληραγωγία καὶ ἡ περιφρόνησις ὅλων τῶν ἀνθρωπίνων πραγμάτων· ἀφοῦ περιεφρόνησε τὸ ἔνδυμα, τὴν τράπεζαν, τὴν οἰκίαν καὶ αὐτὴν τὴν τροφὴν καὶ ἐζοῦσε κατὰ τὸν προηγούμενον καιρὸν εἰς τὴν ἔρημον.

Ἐνῷ εἰς τὸν Χριστὸν ὅλα ἦσαν ἀντίθετα. Διότι καὶ ἡ καταγωγή του ἦτο ἄσημος, πρᾶγμα τὸ ὁποῖον μάλιστα πολλάκις ἀνέφεραν λέγοντες· «Αὐτὸς δὲν εἶναι ὁ υἱὸς τοῦ ξυλουργοῦ; Ἡ μητέρα του δὲν ὀνομάζεται Μαριὰμ καὶ οἱ ἀδελφοί του Ἰάκωβος καὶ Ἰωσῆς;»[3]. Ἀλλὰ καὶ ἡ θεωρουμένη πατρίδα του ἦτο τόσον ἀξιοκατάκριτος, ὥστε καὶ ὁ Ναθαναὴλ νὰ λέγῃ· «ἀπὸ τὴν Ναζαρὲτ ἠμπορεῖ νὰ προέρχεται κάτι καλόν;»[4]. Καὶ ἡ δίαιτά του ἦτο συνηθισμένη καὶ τὰ ἐνδύματά του δὲν

δὲν πλέον τῶν πολλῶν ἔχοντα. Οὐ γὰρ περιέκειτο ζώνην δερματίνην, οὐδὲ ἀπὸ τριχῶν τὸ ἔνδυμα εἶχεν, οὐδὲ μέλι καὶ ἀκρίδας ἤσθιεν, ἀλλὰ πᾶσιν ὁμοίως διῃτᾶτο, καὶ συμποσίοις παρεγίνετο πονηρῶν ἀνθρώπων, καὶ τελωνῶν, ὥστε αὐτοὺς ἐπισπᾶσθαι. Ὅπερ οὐ συνιέντες οἱ Ἰουδαῖοι, καὶ διὰ ταῦτα αὐτῷ ὠνείδιζον, καθὼς καὶ αὐτός φησιν· «Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν».

Ἐπεὶ οὖν συνεχῶς ὁ Ἰωάννης ἀφ᾽ ἑαυτοῦ πρὸς ἐκεῖνον αὐτοὺς παρέπεμπε τὸν δοκοῦντα παρ᾽ αὐτοῖς εὐτελέστερον εἶναι, αἰσχυνόμενοι, καὶ δυσχεραίνοντες, καὶ βουλόμενοι τοῦτον μᾶλλον ἔχειν διδάσκαλον, φανερῶς μὲν τοῦτο οὐκ ἐτόλμησαν εἰπεῖν, πέμπουσι δὲ πρὸς αὐτόν, προσδοκῶντες διὰ τῆς κολακείας αὐτὸν ἐπισπάσασθαι εἰς τὸ ἑαυτὸν ὁμολογῆσαι Χριστόν. Οὐ τοίνυν τινὰς εὐκαταφρονήτους πέμπουσιν, ὡς ἐπὶ τοῦ Χριστοῦ· ἐκεῖνον μὲν γὰρ βουλόμενοι κατασχεῖν, ὑπηρέτας ἀπέστειλαν, καὶ Ἡρωδιανοὺς πάλιν, καὶ τοιούτους τινάς, ἐνταῦθα δὲ ἱερεῖς καὶ Λευΐτας, καὶ οὐχ ἁπλῶς ἱερεῖς, ἀλλὰ τοὺς ἐξ Ἱεροσολύμων, τουτέστι, τοὺς ἐντιμοτέρους (οὐδὲ γὰρ ἁπλῶς ταῦτα ἐπεσημήνατο ὁ Εὐαγγελιστής), καὶ πέμπουσιν, ἵνα ἐρωτήσωσι· «Σὺ τίς εἶ;». Καὶ μὴν ἡ γέννησις αὐτοῦ πᾶσα κατάδηλος ἦν, ὡς καὶ λέγειν ἅπαντας· «Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;», καὶ εἰς ὅλην τὴν ὀρεινὴν ὁ λόγος ἐξῆλθεν οὗτος. Καὶ ὅτε παρεγένετο πάλιν ἐπὶ τὸν Ἰορδάνην, πᾶσαι αἱ πόλεις ἀνεπτερώθησαν, καὶ ἐξ Ἱεροσολύμων καὶ ἐκ πάσης τῆς Ἰουδαίας ἐπορεύοντο βαπτισθῆναι πρὸς αὐτόν. Οὗτοι τοιγαροῦν ἐρωτῶσι νῦν, οὐχ ὡς ἀγνοοῦντες (πῶς γάρ, τὸν τοσούτοις τρόποις γενόμενον δῆλον;), ἀλλὰ βουλόμενοι εἰς τοῦτο, ὅπερ εἶπον, αὐτὸν ἐναγαγεῖν.

---

5. **Ματθ. 11, 19.**
6. Λουκᾶ, 1, 66.

εἶχαν τίποτε περισσότερον ἀπὸ τὰ ἐνδύματα τῶν ἄλλων. Διότι δὲν ἐφοροῦσε δερματίνην ζώνην, οὔτε εἶχεν ἔνδυμα κατεσκευασμένον ἀπὸ τρίχας καμήλου, οὔτε ἔτρωγε μέλι καὶ ἀκρίδας, ἀλλ' ἐτρέφετο ὅπως ὅλοι καὶ ἐπήγαινεν εἰς συμπόσια ἁμαρτωλῶν ἀνθρώπων καὶ τελωνῶν, διὰ νὰ τοὺς κερδήσῃ. Πρᾶγμα τὸ ὁποῖον δὲν ἀντελαμβάνοντο οἱ Ἰουδαῖοι καὶ δι' αὐτὸ τὸν ἐκατηγοροῦσαν δι' αὐτά, ὅπως λέγει καὶ ὁ ἴδιος· «Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὁποῖος τρώγει καὶ πίνει καὶ λέγουν· νὰ ἕνας ἄνθρωπος φαγᾶς καὶ μεθύστακας, φίλος τῶν τελωνῶν καὶ τῶν ἁμαρτωλῶν»[5].

Ἐπειδὴ λοιπὸν ὁ Ἰωάννης τοὺς παρέπεμπε συνεχῶς ἀπὸ τὸν ἑαυτόν του πρὸς ἐκεῖνον, τὸν ὁποῖον ἐνόμιζαν ὅτι εἶναι κατώτερος, ἐντρεπόμενοι καὶ δυσανασχετοῦντες καὶ θέλοντες νὰ ἔχουν αὐτὸν μᾶλλον ὡς διδάσκαλόν των, δὲν ἐτόλμησαν μὲν νὰ τοῦ τὸ εἰποῦν φανερά, ἀλλὰ ἔστειλαν ἄλλους πρὸς αὐτὸν περιμένοντες μὲ τὴν κολακείαν νὰ τὸν καταφέρουν νὰ ὁμολογήσῃ ὅτι αὐτὸς εἶναι ὁ Χριστός. Δὲν στέλνουν λοιπὸν μερικοὺς εὐκαταφρονήτους, ὅπως ἔκαναν εἰς τὸν Χριστόν. Διότι ὅταν ἤθελαν νὰ συλλάβουν Ἐκεῖνον ἔστειλαν ὑπηρέτας καὶ Ἡρωδιανοὺς καὶ μερικοὺς παρομοίους. Ἐνῷ ἐδῶ στέλνουν ἱερεῖς καὶ λευΐτας καὶ ὄχι ἁπλῶς ἱερεῖς, ἀλλὰ ἱερεῖς τῶν Ἱεροσολύμων, δηλαδὴ τοὺς πιὸ διαπρεπεῖς (διότι δὲν τὰ σημειώνει τυχαίως αὐτὰ ὁ εὐαγγελιστής)· καὶ τοὺς στέλνουν διὰ νὰ ἐρωτήσουν· «Σὺ ποῖος εἶσαι;», καθόσον ἦσαν πασίγνωστα ὅλα τὰ γεγονότα τῆς γεννήσεώς του, ὥστε νὰ λέγουν ὅλοι· «Τί θὰ γίνῃ ἆρά γε αὐτὸ τὸ παιδί;»[6]. Καὶ ὅταν ἦλθε πάλιν εἰς τὸν Ἰορδάνην, ὅλαι αἱ πόλεις ἐξεσηκώθησαν, καὶ ἀπὸ τὰ Ἱεροσόλυμα καὶ ἀπὸ ὁλόκληρον τὴν Ἰουδαίαν ἐπήγαιναν εἰς αὐτὸν νὰ βαπτισθοῦν. Αὐτοὶ λοιπὸν τὸν ἐρωτοῦν τώρα, ὄχι ἐπειδὴ δὲν ἐγνώριζαν (πῶς εἶναι δυνατὸν νὰ ἀγνοοῦσαν αὐτὸν ποὺ μὲ τόσους τρόπους εἶχε γίνει φανερός;), ἀλλὰ ἐπειδή, ὅπως εἶπα ἤθελαν νὰ τὸν ὁδηγήσουν εἰς αὐτό.

2. Ἄκουσον γοῦν πῶς καὶ ὁ μακάριος οὗτος πρὸς τὴν διάνοιαν, μεθ' ἧς ἠρώτων, οὐ πρὸς τὴν ἐρώτησιν αὐτὴν ἀπεκρίνατο. Εἰπόντων γάρ· «Σὺ τίς εἶ;» οὐκ εἶπεν εὐθέως, ὅπερ ἐξ εὐθείας ἦν εἰπεῖν· «Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ», ἀλλὰ τί; Ὅπερ ὑπώπτευον ἐκεῖνοι, τοῦτο ἀνεῖλεν. Ἐρωτηθεὶς γάρ· φησί, «Τίς εἶ; ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν, ὅτι ἐγὼ οὐκ εἰμι ὁ Χριστός». Καὶ ὅρα σοφίαν Εὐαγγελιστοῦ. Τρίτον τὸ αὐτὸ λέγει, καὶ τὴν ἀρετὴν τοῦ Βαπτιστοῦ δηλῶν, καὶ τὴν πονηρίαν καὶ τὴν ἄνοιαν τὴν ἐκείνων.

Καὶ ὁ Λουκᾶς δέ φησιν, ὅτι, τῶν ὄχλων ὑποπτευόντων αὐτὸν εἶναι τὸν Χριστόν, πάλιν ἀναιρεῖ τὴν ὑπόνοιαν. Τοῦτο οἰκέτου εὐγνώμονος, μὴ μόνον μὴ ἁρπάζειν δόξαν δεσποτικήν, ἀλλὰ καὶ διακρούεσθαι διδομένην παρὰ τῶν πολλῶν. Ἀλλ' οἱ μὲν ὄχλοι ἐξ ἀφελείας καὶ ἀγνοίας ἐπὶ ταύτην ἦλθον τὴν ὑποψίαν, οὗτοι δὲ ἀπὸ πονηρᾶς γνώμης, καὶ ἧς εἶπον, ἠρώτων αὐτόν, προσδοκῶντες, ὅπερ ἔφην, ἀπὸ τῆς κολακείας αὐτὸν ἐπισπᾶσθαι εἰς ὅπερ ἐσπούδαζον. Εἰ γὰρ μὴ τοῦτο προσεδόκων, οὐκ ἂν εὐθέως ἐφ' ἑτέραν ἦλθον ἐρώτησιν, ἀλλ' ἠγανάκτησαν ἂν ὡς ἀπᾴδοντα ἀποκριναμένου, καὶ οὐ πρὸς τὴν πεῦσιν, καὶ εἶπον ἄν· Μὴ γὰρ τοῦτο ὑπωπτεύσαμεν; μὴ γὰρ τοῦτο παραγεγόναμεν ἐρησόμενοι;

Ἀλλά, ὡς ἁλόντες καὶ κατάφωροι γενόμενοι, ἐφ' ἕτερον ἔρχονται, καὶ λέγουσι· «Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει· Οὐκ εἰμι». Καὶ γὰρ καὶ τοῦτον προσεδόκων ἥξειν, καθὼς καὶ ὁ Χριστός φησιν· ἐρομένων γὰρ τῶν μαθητῶν· «Πῶς οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;» αὐτὸς ἔλεγεν· «Ἠλίας μὲν ἔρχεται, καὶ ἀποκαταστήσει πάντα».

---

7. Ματθ. 17, 11.

2. Ἄκουσε λοιπὸν πῶς ἀπεκρίθη καὶ ὁ μακάριος ἐκεῖνος εἰς τὴν σκέψιν μὲ τὴν ὁποίαν ἐρωτοῦσαν καὶ ὄχι εἰς τὴν ἰδίαν τὴν ἐρώτησίν των. Διότι ὅταν εἶπαν· «Σὺ ποῖος εἶσαι;», δὲν ἀπήντησεν εὐθέως, ἐκεῖνο τὸ ὁποῖον ἠμποροῦσε νὰ εἰπῇ εὐθὺς ἐξ ἀρχῆς· «Ἐγὼ εἶμαι ἡ φωνὴ ἐκείνου ποὺ φωνάζει εἰς τὴν ἔρημον», ἀλλὰ τί ἔκανεν; Ἀνῄρεσεν αὐτὸ ποὺ ὑπωπτεύοντο ἐκεῖνοι. Ὅταν δηλαδὴ ἠρωτήθη, λέγει ὁ εὐαγγελιστής, «ποῖος εἶσαι· ὡμολόγησε καὶ δὲν ἠρνήθη· καὶ ὡμολόγησεν ὅτι ἐγὼ δὲν εἶμαι ὁ Χριστός». Κύτταξε δὲ καὶ τὴν σοφίαν τοῦ εὐαγγελιστοῦ. Ἐπαναλαμβάνει τρεῖς φορὰς τὸ ἴδιον πρᾶγμα, διὰ νὰ φανερώσῃ καὶ τὴν ἀρετήν τοῦ Βαπτιστοῦ, καὶ τὴν πονηρίαν καὶ ἀπερισκεψίαν ἐκείνων.

Καὶ ὁ Λουκᾶς ἐπίσης λέγει ὅτι ἐνῷ τὰ πλήθη ὑπέθεταν ὅτι αὐτὸς εἶναι ὁ Χριστός, ἐκεῖνος ἀνῄρεσε τὴν ὑποψίαν των αὐτήν. Αὐτὸ θὰ εἰπῇ δοῦλος εὐγνώμων, ὄχι μόνον νὰ μὴ ἰδιοποιῆται τὴν δόξαν ποὺ ἀνήκει εἰς τὸν δεσπότην του, ἀλλὰ ὅταν τοῦ τὴν ἀποδίδουν τὰ πλήθη νὰ τὴν ἀποποιῆται. Καὶ τὰ μὲν πλήθη ἀπὸ ἀφέλειαν καὶ ἄγνοιαν εἶχαν φθάσει εἰς τὴν ὑπόνοιαν αὐτήν· ἐνῷ ἐκεῖνοι ἀπὸ πονηρὰν διάθεσιν καὶ ὅπως εἶπα τὸν ἠρώτησαν ἀναμένοντες μὲ τὴν κολακείαν νὰ τὸν ὁδηγήσουν ἐκεῖ ποὺ ἤθελαν. Διότι ἐὰν δὲν ἐπερίμεναν αὐτό, δὲν θὰ ἔθεταν ἀμέσως ἄλλην ἐρώτησιν, ἀλλὰ θὰ ἀγανακτοῦσαν ἐπειδὴ ἀπήντησεν ἀστόχως καὶ ὄχι εἰς τὴν ἐρώτησίν των καὶ θὰ τοῦ ἔλεγαν· μήπως αὐτὸ ὑπωψιαζόμεθα; Μήπως αὐτὸ ἤλθαμεν νὰ σὲ ἐρωτήσωμεν;

Ἀλλά, ἐπειδὴ ἐπιάσθηκαν καὶ ἐφανερώθησαν οἱ σκοποί των, ἔρχονται εἰς ἄλλην ἐρώτησιν· «Τί λοιπόν, εἶσαι ὁ Ἠλίας; Καὶ λέγει· δὲν εἶμαι». Διότι καὶ αὐτὸν τὸν ἐπερίμεναν νὰ ἔλθῃ, ὅπως εἶπε καὶ ὁ Χριστός. Ὅταν τὸν ἐρώτησαν οἱ μαθηταί του «Διατί οἱ γραμματεῖς ἰσχυρίζονται ὅτι πρέπει νὰ ἔλθῃ πρῶτα ὁ Ἠλίας;», ἐκεῖνος ἀπήντησεν· «Ὁ Ἠλίας μὲν ἔρχεται καὶ θὰ τὰ βάλῃ ὅλα εἰς τάξιν»[7].

Εἶτα ἐρωτῶσιν· «Ὁ Προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη Οὔ». Καὶ μὴν προφήτης ἦν. Τίνος οὖν ἕνεκεν ἀρνεῖται; Πάλιν πρὸς τὴν διάνοιαν βλέπων τῶν ἐρωτώντων· προσεδόκων γάρ τινα προφήτην ἐξαίρετον ἥξειν διὰ τὸ λέγειν Μωϋσέα· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε». Οὗτος δὲ ἦν ὁ Χριστός. Διά τοι τοῦτο οὐ λέγουσι· Προφήτης εἶ σύ; ἕνα τῶν πολλῶν αἰνιττόμενοι, ἀλλὰ μετὰ τοῦ ἄρθρου· «Ὁ προφήτης εἶ σύ;», ἐκεῖνος φησίν, ὁ παρὰ Μωϋσέως προανακηρυχθείς. Διὰ δὴ τοῦτο καὶ οὗτος ἠρνήσατο οὐ τὸ προφήτης εἶναι, ἀλλὰ τὸ ἐκεῖνος ὁ Προφήτης .

«Εἶπον οὖν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς. Τί λέγεις περὶ σεαυτοῦ;». Ὁρᾷς τοὺς μὲν σφοδρότερον ἐπικειμένους, καὶ ἐπείγοντας, καὶ ἐρωτῶντας πάλιν, καὶ οὐκ ἀφισταμένους, τὸν δὲ μετ' ἐπιεικείας πρότερον τὰς οὐκ οὔσας ὑπονοίας ἀναιροῦντα, καὶ τότε τὴν οὖσαν τιθέντα; «Ἐγὼ» γάρ, φησί, «φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ Προφήτης». Ἐπειδὴ γὰρ μέγα τι καὶ ὑψηλὸν ἐφθέγξατο περὶ τοῦ Χριστοῦ, ὡς πρὸς τὴν ἐκείνων ὑπόνοιαν, ἐπὶ τὸν Προφήτην εὐθέως κατέφυγεν, ἀξιόπιστον καὶ ἐντεῦθεν τὸν λόγον ποιῶν.

«Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων», «καὶ ἐπηρώτησαν αὐτόν, καὶ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ Προφήτης;». Ὁρᾷς, ὡς οὐ μάτην ἔλεγον ὅτι εἰς τοῦτο αὐτὸν ἐναγαγεῖν ἠβούλοντο; Καὶ ἐξ ἀρχῆς μὲν αὐτὸ οὐκ ἔλεγον, ἵνα μὴ κατάφωροι γένωνται ἅπασιν. Εἶτα, ἐπειδὴ εἶπεν· «Οὐκ εἰμὶ ὁ Χριστός», πάλιν ἐκεῖνοι, συσκιάσαι βουλόμενοι, ἅπερ ἔνδον ἐτύρευον, ἐπὶ τὸν Ἠλίαν ἔρχονται καὶ τὸν Προφήτην.

8. Δευτ. 18, 15.

Ἔπειτα τὸν ἐρωτοῦν· «Ὁ προφήτης εἶσαι σύ; Καὶ ἀπήντησεν, ὄχι». Καὶ ὅμως ἦτο προφήτης. Διατί λοιπὸν ἀρνεῖται; Ἐπειδὴ ἀπέβλεπεν εἰς τὴν σκέψιν αὐτῶν ποὺ ἐρωτοῦσαν. Διότι ἐπερίμεναν ὅτι θὰ ἔλθῃ κάποιος ἐκλεκτὸς προφήτης, ἐπειδὴ λέγει ὁ Μωϋσῆς· «Κύριος ὁ Θεὸς θὰ σᾶς στείλῃ προφήτην ἀπὸ σᾶς τοὺς ἰδίους, ὡσὰν ἐμένα· αὐτὸν νὰ ἀκοῦτε»[8], αὐτὸς δὲ ὁ προφήτης ἦτο ὁ Χριστός. Δι' αὐτὸ ἀκριβῶς δὲν λέγουν 'εἶσαι προφήτης', ἐννοοῦντες ἕναν ἀπὸ τοὺς πολλούς, ἀλλὰ μαζὶ μὲ τὸ ἄρθρον· «Ὁ προφήτης εἶσαι;», δηλαδὴ ἐκεῖνος ποὺ προανήγγειλεν ὁ Μωϋσῆς. Δι' αὐτὸ ἀκριβῶς καὶ ἐκεῖνος ἠρνήθη, ὄχι τὸ ὅτι εἶναι προφήτης, ἀλλὰ τὸ ὅτι ἦτο ἐκεῖνος ὁ προφήτης.

«Εἶπαν λοιπὸν εἰς αὐτόν· ποῖος εἶσαι; Διὰ νὰ δώσωμεν ἀπάντησιν εἰς ἐκείνους ποὺ μᾶς ἔστειλαν. Τί λέγεις διὰ τὸν ἑαυτόν σου». Βλέπεις ὅτι αὐτοὶ μὲν ἐπιμένουν περισσότερον καὶ πιέζουν καὶ ξανερωτοῦν καὶ δὲν ἀπομακρύνονται, ἐνῷ ἐκεῖνος εἰς τὴν ἀρχὴν ἀναιρεῖ τὰς ἀνυπάρκτους ὑπονοίας καὶ ἔπειτα θέτει αὐτὴν ποὺ ὑπάρχει. Διότι λέγει· «Ἐγὼ εἶμαι ἡ φωνὴ ἑνὸς ποὺ φωνάζει εἰς τὴν ἔρημον. Κάνετε εὐθὺν τὸν δρόμον τοῦ Κυρίου, ὅπως εἶπεν ὁ προφήτης Ἠσαΐας». Ἐπειδὴ δηλαδὴ εἶπε κάτι τὸ πολὺ μεγάλο καὶ ὑψηλὸν περὶ τοῦ Χριστοῦ, ἀναφορικῶς μὲ τὴν ὑπόνοιαν ἐκείνων, καταφεύγει ἀμέσως εἰς τὸν προφήτην, διὰ νὰ κάνῃ καὶ μὲ αὐτὸ τὸν λόγον του ἀξιόπιστον.

«Οἱ ἀπεσταλμένοι ἦσαν ἐκ μέρους τῶν Φαρισαίων», λέγει, «καὶ τὸν ἐρώτησαν καὶ τοῦ εἶπαν· διατί λοιπὸν βαπτίζεις, ἐὰν δὲν εἶσαι σὺ ὁ Χριστός, οὔτε ὁ Ἠλίας, οὔτε ὁ προφήτης;». Βλέπεις πῶς δὲν ἔλεγα ἄδικα ὅτι ἤθελαν νὰ τὸν ὁδηγήσουν εἰς αὐτό; Καὶ ἀπὸ τὴν ἀρχὴν μὲν αὐτὸ δὲν τὸ ἔλεγαν, διὰ νὰ μὴ φανερωθοῦν εἰς ὅλους. Ἔπειτα ὅμως, ὅταν εἶπε, «δὲν εἶμαι ὁ Χριστός», πάλιν ἐκεῖνοι θέλοντες νὰ συγκαλύψουν αὐτὰ ποὺ ἐσχεδίαζαν μέσα των, ἔρχονται εἰς τὸν Ἠλίαν καὶ τὸν προφήτην.

Ὡς δὲ ἔφησε μηδὲ ἐκείνων τις εἶναι, ἀπορούμενοι λοιπόν, καὶ τὸ προσωπεῖον ρίψαντες, γυμνῇ τῇ κεφαλῇ τὴν δολερὰν αὐτῶν ἐμφαίνουσι γνώμην, λέγοντες· «Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός;». Εἶτα, πάλιν συσκιάσαι βουλόμενοι, καὶ τοὺς ἄλλους προστιθέασι, τὸν Ἠλίαν, λέγω, καὶ τὸν Προφήτην. Ἐπειδὴ γὰρ κολακείᾳ οὐκ ἴσχυσαν ὑποσκελίσαι, ἐγκλήματι προσεδόκησαν αὐτὸν δύνασθαι ἀναγκάζειν ὅπερ οὐκ ἦν εἰπεῖν· ἀλλ' οὐκ ἴσχυσαν.

Ὢ τῆς ἀνοίας! ὢ τῆς ἀλαζονείας καὶ τῆς ἀκαίρου περιεργίας! Ἀπεστάλητε μαθησόμενοι παρ' αὐτοῦ τίς εἴη καὶ πόθεν, οὐχὶ καὶ νόμους αὐτῷ θήσετε; Τοῦτο γὰρ πάλιν ἀναγκαζόντων ἦν ὁμολογῆσαι ἑαυτὸν Χριστόν. Ἀλλ' ὅμως οὐδὲ νῦν ἀγανακτεῖ, οὐδὲ λέγει τι τοιοῦτον πρὸς αὐτούς, οἷον εἰκός· Ὑμεῖς ἐμοὶ διατάττεσθε καὶ νομοθετεῖτε; ἀλλὰ πολλὴν πάλιν τὴν ἐπιείκειαν ἐπιδείκνυται· «Ἐγὼ μὲν» γάρ, φησί, «βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε. Οὗτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος».

3. Τί πρὸς ταῦτα λοιπὸν ἂν ἔχοιεν εἰπεῖν οἱ Ἰουδαῖοι; Ἀπαραίτητος γὰρ κἀντεῦθεν ἡ κατ' αὐτῶν κατηγορία, ἀσύγγνωστος ἡ κατάκρισις· αὐτοὶ καθ' ἑαυτῶν τὴν ψῆφον ἐξήνεγκαν. Πῶς καὶ τίνι τρόπῳ; Ἀξιόπιστον ἡγήσαντο εἶναι τὸν Ἰωάννην, καὶ οὕτως ἀληθῆ, ὡς μὴ μόνον ἑτέροις μαρτυροῦντα, ἀλλὰ καὶ αὐτῷ περὶ ἑαυτοῦ λέγοντι πιστεῦσαι. Οὐδὲ γὰρ ἄν, εἰ μὴ οὕτω διέκειντο, ἔπεμψαν ἂν εἰσόμενοι παρ' αὐτοῦ τὰ περὶ ἑαυτοῦ· ἴστε γὰρ ὅτι μόνοις ἐκείνοις μάλιστα περὶ ἑαυτῶν λέγουσι πιστεύομεν, οὓς ἂν ἁπάντων ἀληθεστέρους εἶναι νομίζωμεν.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἀποφράττον αὐτῶν τὰ στόματα,

Όταν δὲ εἶπεν ὅτι δὲν εἶναι οὔτε κάποιος ἀπὸ ἐκείνους, περιελθόντες εἰς ἀμηχανίαν καὶ ἀφοῦ ἀπέβαλαν τὸ προσωπεῖον, ἀπροκαλύπτως πλέον φανερώνουν τὴν δολίαν σκέψιν των καὶ λέγουν· «Διατί λοιπὸν βαπτίζεις, ἐὰν δὲν εἶσαι ὁ Χριστός;». Ἔπειτα πάλιν, θέλοντες νὰ τὴν συγκαλύψουν, προσθέτουν καὶ τοὺς ἄλλους, ἐννοῶ τὸν Ἠλίαν καὶ τὸν προφήτην. Ἐπειδὴ δηλαδὴ μὲ τὴν κολακείαν δὲν κατώρθωσαν νὰ τοῦ ἀποσπάσουν αὐτὸ ποὺ ἤθελαν, ἐπερίμεναν ὅτι μὲ ἐνοχοποίησιν θὰ ἠμποροῦσαν νὰ τὸν ἀναγκάσουν νὰ ὁμολογήσῃ αὐτὸ ποὺ δὲν ἦτο, ἀλλὰ δὲν τὸν κατώρθωσαν.

Πόση ἀνοησία! Πόση ἀλαζονεία καὶ ἄκαιρος περιέργεια! Ἀπεστάλητε διὰ νὰ μάθετε ἀπὸ αὐτὸν ποῖος εἶναι καὶ ἀπὸ ποῦ, ὄχι καὶ νὰ τὸν θέσετε ὑπὸ κατηγορίαν. Καὶ αὐτὸ ἀποτελεῖ δεῖγμα ὅτι τὸν ἠνάγκαζαν νὰ ὁμολογήσῃ ὅτι εἶναι ὁ Χριστός. Ἀλλ' ὅμως οὔτε τώρα ἀγανακτεῖ, οὔτε τοὺς λέγει τίποτε τέτοιο, ποὺ θὰ ἦτο φυσικόν· ἐσεῖς μὲ διατάσσετε καὶ νομοθετεῖτε; Ἀντιθέτως δείχνει καὶ πάλιν μεγάλην ἐπιείκειαν. «Ἐγὼ μέν», λέγει, «βαπτίζω μὲ ὕδωρ· εὑρίσκεται ὅμως ἀνάμεσά μας ἐκεῖνος τὸν ὁποῖον σεῖς δὲν γνωρίζετε. Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἔρχεται ὕστερα ἀπὸ ἐμένα, ἀλλὰ ὑπάρχει πρὶν ἀπὸ ἐμένα. Αὐτοῦ δὲν εἶμαι ἄξιος νὰ λύσω τὸν ἱμάντα τοῦ ὑποδήματός του».

3. Τί θὰ εἶχαν λοιπὸν νὰ εἰποῦν πρὸς ὅλα αὐτὰ οἱ Ἰουδαῖοι; Διότι εἶναι ἀπαραίτητος καὶ ἀπὸ ἐδῶ ἡ ἐναντίον των κατηγορία καὶ ἀσυγχώρητος ἡ κατάκρισίς των. Οἱ ἴδιοι ἄλλωστε ἐξέδωκαν τὴν καταδικαστικὴν ἀπόφασιν. Πῶς καὶ μὲ ποῖον τρόπον; Ἐνόμισαν ὅτι ὁ Ἰωάννης εἶναι ἀξιόπιστος καὶ τόσον εἰλικρινής, ὥστε νὰ τὸν πιστεύουν ὄχι μόνον ὅταν μαρτυρῇ περὶ τῶν ἄλλων, ἀλλὰ καὶ ὅταν ὁμιλῇ περὶ τοῦ ἑαυτοῦ του. Διότι γνωρίζετε ὅτι μόνον εἰς ἐκείνους κυρίως πιστεύομεν, ὅταν ὁμιλοῦν περὶ τοῦ ἑαυτοῦ των, τοὺς ὁποίους θεωροῦμεν ὅτι εἶναι εἰλικρινέστεροι ὅλων.

Καὶ δὲν εἶναι μόνον αὐτὸ ποὺ φράσσει τὰ στόματά των,

ἀλλὰ καὶ ἡ γνώμη, μεθ' ἧς πρὸς αὐτὸν παρέβαλον· καὶ γὰρ μετὰ πολλῆς ἐξῆλθον τῆς προθυμίας πρὸς αὐτόν, εἰ καὶ ὕστερον μετεβάλοντο. Ἅπερ ἀμφότερα δηλῶν ὁ Χριστός, ἔλεγεν· «Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος, καὶ ὑμεῖς ἠθελήσατε πρὸς ὥραν ἀγαλλιασθῆναι ἐν τῷ φωτὶ αὐτοῦ».

Καὶ ἡ ἀπόκρισις δὲ αὐτοῦ πάλιν ἀξιοπιστότερον αὐτὸν ἐποίει· «Ὁ γὰρ μὴ ζητῶν τὴν δόξαν τὴν ἑαυτοῦ», φησίν, «ἀληθής ἐστιν, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν». Οὗτος δὲ οὐκ ἐζήτησεν, ἀλλ' ἐφ' ἕτερον αὐτοὺς παραπέμπει. Καὶ οἱ ἀποσταλέντες δέ, τῶν ἀξιοπίστων παρ' αὐτοῖς καὶ τὰ πρωτεῖα ἐχόντων, ὥστε μηδαμόθεν αὐτοῖς εἶναι καταφυγήν, μηδὲ παραίτησιν εἰς τὴν ἀπιστίαν, ἣν ἠπίστησαν τῷ Χριστῷ. Τίνος γὰρ ἕνεκεν οὐκ ἐδέξασθε τὰ εἰρημένα περὶ αὐτοῦ παρὰ Ἰωάννου; Ὑμεῖς ἀπεστάλκατε τοὺς τὰ πρωτεῖα ἔχοντας· ὑμεῖς ἠρωτήσατε δι' αὐτῶν· ὑμεῖς ἠκούσατε ἅπερ ἀπεκρίνατο ὁ Βαπτιστής. Πᾶσαν ἐκεῖνοι περιεργίαν ἐπεδείξαντο, πάντα ἠρεύνησαν, καὶ οὓς ὑπωπτεύετε πάντας εἶπον· καὶ ὅμως μετὰ παρρησίας πολλῆς ὡμολόγησε μὴ εἶναι μήτε ὁ Χριστός, μήτε Ἠλίας, μήτε ὁ προφήτης.

Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ ἐδίδαξε τίς εἴη, καὶ διελέχθη καὶ περὶ τῆς τοῦ οἰκείου βαπτίσματος φύσεως ὅτι μικρὸν καὶ εὐτελές, καὶ ὕδατος πλέον ἔχον οὐδέν, δεικνὺς τὴν ὑπεροχὴν τοῦ βαπτίσματος, τοῦ παρὰ τοῦ Χριστοῦ διδομένου. Παρήγαγε δὲ καὶ Ἠσαΐαν τὸν προφήτην, μαρτυροῦντα ἄνωθεν καὶ πρὸ πολλοῦ τοῦ χρόνου· καὶ τὸν μέν, Κύριον καλοῦντα, τὸν δέ, διάκονον αὐτοῦ καὶ ὑπηρέτην ὀνομάζοντα. Τί λοιπὸν ἔδει; οὐχὶ πιστεῦσαι τῷ μαρτυρηθέντι, καὶ προσκυνῆσαι, καὶ ὁμολογῆσαι Θεόν; Ὅτι γὰρ οὐχὶ κολακείας ἦν ἡ μαρτυρία, ἀλλ' ἀληθείας, ἐδείκνυ μὲν καὶ ὁ τρόπος καὶ ἡ φιλοσοφία τοῦ μαρτυρήσαντος. Δῆλον δὲ κἀκεῖθεν τοῦτο, ὅτι

9. Ἰω. 5, 35.
10. Ἰω. 7, 18.

ἀλλὰ καὶ ἡ διάθεσις μὲ τὴν ὁποίαν τὸν ἐπλησίασαν. Διότι ἐπῆγαν πρὸς αὐτὸν μὲ μεγάλην προθυμίαν, ἂν καὶ κατόπιν ἤλλαξαν. Αὐτὰ καὶ τὰ δύο τὰ ἐδήλωσεν ὁ Χριστὸς ὅταν ἔλεγεν· «Ἐκεῖνος ἦτο τὸ λυχνάρι ποὺ ἔκαιε καὶ σεῖς ἠθελήσατε νὰ χαρῆτε ἐπ' ὀλίγον εἰς τὸ φῶς του»[9].

Καὶ ἡ ἀπάντησίς του ὅμως τὸν ἔκανε περισσότερον ἀξιόπιστον. «Διότι αὐτὸς ποὺ δὲν ἐπιδιώκει τὴν ἰδικήν του δόξαν», λέγει, «εἶναι εἰλικρινὴς καὶ δὲν ὑπάρχει εἰς αὐτὸν ἀδικία»[10]. Αὐτὸς δὲ δὲν ἐζήτησε δόξαν, ἀλλὰ τοὺς παραπέμπει εἰς ἄλλον. Ἀλλὰ καὶ ἐκεῖνοι ποὺ ἀπεστάλησαν ἦσαν ἀπὸ τοὺς πιὸ ἀξιοπίστους μεταξὺ αὐτῶν καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν τὰ πρωτεῖα, ὥστε νὰ μὴ ὑπάρχῃ ἀπὸ πουθενὰ εἰς αὐτοὺς καταφύγιον, οὔτε δικαιολογία διὰ τὴν ἀπιστίαν ποὺ ἔδειξαν εἰς τὸν Χριστόν. Διατί λοιπὸν δὲν ἐδέχθητε ὅσα εἶπε περὶ αὐτοῦ ὁ Ἰωάννης; Ἐσεῖς ἐστείλατε τοὺς διακεκριμένους· ἐσεῖς ἐρωτήσατε δι' αὐτῶν· ἐσεῖς ἠκούσατε αὐτὰ ποὺ ἀπεκρίθη ὁ Βαπτιστής. Ἐκεῖνοι ἔδειξαν κάθε περιέργειαν καὶ τὰ ἐρεύνησαν ὅλα καὶ ἀνέφεραν ὅλους ὅσους ὑπωπτεύεσθε. Καὶ ὅμως μὲ πολλὴν παρρησίαν ὡμολόγησεν ὅτι δὲν εἶναι οὔτε ὁ Χριστός, οὔτε ὁ Ἠλίας, οὔτε ὁ Προφήτης.

Καὶ δὲν ἐσταμάτησεν ἐδῶ, ἀλλὰ ἐδίδαξε τί εἶναι καὶ ὡμίλησε καὶ διὰ τὴν φύσιν τοῦ βαπτίσματός του, ὅτι εἶναι μικρὸν καὶ εὐτελὲς καὶ δὲν ἔχει τίποτε περισσότερον ἀπὸ τὸ ὕδωρ, διὰ νὰ δείξῃ τὴν ὑπεροχὴν τοῦ βαπτίσματος τὸ ὁποῖον δίδει ὁ Χριστός. Ἀνέφερε δὲ καὶ τὸν προφήτην Ἠσαΐαν, ὁ ὁποῖος μαρτυρεῖ ἄνωθεν καὶ πρὶν ἀπὸ πολὺν χρόνον, καὶ τὸν μὲν ἕνα τὸν ὀνομάζει Κύριον, τὸν δὲ ἄλλον τὸν ὀνομάζει διάκονον καὶ ὑπηρέτην του. Τί ἔπρεπε νὰ κάνετε λοιπόν; Δὲν ἔπρεπε νὰ πιστεύσετε εἰς αὐτὸν ποὺ ἐμαρτυρήθη καὶ νὰ τὸν προσκυνήσετε καὶ νὰ ὁμολογήσετε ὅτι εἶναι Θεός; Ὅτι δὲ ἡ μαρτυρία δὲν ἦτο κολακευτικὴ ἀλλὰ ἀληθινή, τὸ ἔδειχνε καὶ ὁ τρόπος ἀλλὰ καὶ ἡ ἀκεραιότης ἐκείνου ποὺ ἐμαρτύρησεν. Αὐτὸ δὲ εἶναι φανερὸν καὶ ἀπὸ τὸ γεγονός, ὅτι κανεὶς δὲν τοποθετεῖ τὸν ἄλλον πρὶν ἀπὸ

οὐδεὶς τὸν πλησίον ἑαυτοῦ προτίθησιν, οὐδὲ ἐξὸν αὐτῷ χαρίσασθαι τιμήν, ἑτέρῳ ταύτης παραχωρεῖν ἐθέλοι, καὶ ταῦτα τοσαύτης οὔσης.

Ὥστε οὐκ ἂν οὐδὲ Ἰωάννης μὴ Θεῷ ὄντι τῷ Χριστῷ ταύτης ἂν ἐξέστη τῆς μαρτυρίας. Εἰ γὰρ καὶ ἀφ᾽ ἑαυτοῦ ταύτην, ὡς μείζονα οὖσαν τῆς οἰκείας φύσεως, διεκρούσατο, ἀλλ᾽ οὐκ ἂν ἑτέρᾳ φύσει πάλιν αὐτὴν ἀνέθηκε ταπεινοτέρᾳ.

«Μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε». Τοῦτο εἶπεν, ὅτι εἰκὸς ἦν αὐτὸν καὶ ἀναμεμίχθαι τῷ λαῷ ὡς ἕνα τῶν πολλῶν, ἅτε πανταχοῦ τὸ ἄτυφον καὶ ἀκόμπαστον διδάσκοντα. Εἴδησιν δὲ ἐνταῦθα γνῶσίν φησι τὴν ἀκριβῆ· οἷον, τίς ἐστι, καὶ πόθεν. Τὸ δὲ «ὀπίσω μου ἐρχόμενος» συνεχῶς τίθησι, μονονουχὶ λέγων· Μὴ νομίσητε τὸ πᾶν ἐν τῷ ἐμῷ κεῖσθαι βαπτίσματι· οὐκ ἄν, εἰ τοῦτο τέλειον ἦν, ἕτερος ἂν ἦλθε μετ᾽ ἐμὲ πράξεων ἕτερον· ἀλλὰ παρασκευὴ τοῦτό ἐστιν ἐκείνου καὶ προοδοποίησις. Τὰ δὲ ἡμέτερα σκιὰ καὶ εἰκών· ἄλλον χρὴ τὸν τὴν ἀλήθειαν ἐπιθήσοντα παραγενέσθαι. Ὥστε αὐτὸ τὸ ὀπίσω μου ἐλθεῖν, τοῦτο μάλιστα αὐτοῦ δείκνυσι τὸ ἀξίωμα· εἰ γὰρ τοῦτο ἦν τέλειον, οὐκ ἂν δευτέρου ἐζητεῖτο τόπος. «Ἔμπροσθέν μου γέγονε»· τουτέστιν, ἐντιμότερος, λαμπρότερος. Εἶτα, ἵνα μὴ νομίσωσιν ἀπὸ συγκρίσεως εἶναι τὴν ὑπεροχήν, τὸ ἀσύγκριτον παραστῆσαι θέλων, ἐπήγαγεν· «Οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα»· τουτέστιν, οὐχ ἁπλῶς ἔμπροσθεν γέγονεν, ἀλλ᾽ οὕτως, ὡς ἐμὲ μηδὲ ἐν τοῖς ἐσχάτοις τῶν τούτου διακόνων ἀριθμηθῆναι ἄξιον εἶναι· τὸ γὰρ ὑπόδημα λῦσαι τῆς ἐσχάτης διακονίας ἐστὶ πρᾶγμα.

Εἰ δὲ Ἰωάννης οὐκ ἄξιος τὸν ἱμάντα λῦσαι, Ἰωάννης,

τὸν ἑαυτόν του, οὔτε ὅταν ἠμπορῇ νὰ προσδώσῃ εἰς τὸν ἑαυτόν του τιμὴν θέλῃ νὰ τὴν παραχωρήσῃ εἰς ἄλλον, καὶ προπαντὸς ὅταν εἶναι τόσον μεγάλη.

Ἑπομένως οὔτε καὶ ὁ Ἰωάννης, ἐὰν ὁ Χριστὸς δὲν ἦτο Θεός, θὰ ἔκαμνεν αὐτὴν τὴν μαρτυρίαν. Ἐφ' ὅσον δὲ τὴν ἀπεποιήθη ἀπὸ τὸν ἑαυτόν του ἐπειδὴ ἦτο ἀνωτέρα τῆς φύσεώς του, δὲν θὰ τὴν ἀπέδιδεν εἰς ἄλλον ἄνθρωπον καὶ μάλιστα περισσότερον ἀσήμαντον.

«Εὑρίσκεται δὲ ἀνάμεσά σας αὐτὸς τὸν ὁποῖον σεῖς δὲν γνωρίζετε». Αὐτὸ τὸ εἶπε διότι ἦτο φυσικὸν νὰ ἔχῃ ἀναμιχθῆ μὲ τὸν λαόν, ὡσὰν ἕνας ἀπὸ τοὺς πολλούς, ἀφοῦ παντοῦ ἐδίδασκε τὴν ταπεινοφροσύνην καὶ μετριοφροσύνην. Ὅταν δὲ λέγῃ εἴδησιν ἐδῶ, ἐννοεῖ τὴν ἀκριβῆ γνῶσιν, ἤτοι ποῖος εἶναι καὶ ἀπὸ ποῦ. Τὸ δὲ «ὀπίσω μου ἐρχόμενος» τὸ ἀναφέρει συνεχῶς, ὡσὰν νὰ λέγῃ· μὴ νομίζετε ὅτι τὸ πᾶν εὑρίσκεται εἰς τὸ ἰδικόν μου βάπτισμα. Ἐὰν αὐτὸ ἦτο τέλειον, δὲν θὰ ἤρχετο ἄλλος μετὰ ἀπὸ ἐμένα διὰ νὰ μᾶς δώσῃ ἄλλο. Αὐτὸ εἶναι προπαρασκευὴ καὶ προετοιμασία τοῦ δρόμου δι' ἐκεῖνο. Τὰ ἰδικά μου εἶναι σκιὰ καὶ εἰκών. Πρέπει νὰ ἔλθῃ ἄλλος γιὰ νὰ προσθέσῃ τὴν ἀλήθειαν. Ὥστε αὐτὸ τὸ «ὀπίσω μου ἐλθεῖν» δείχνει τὴν ἀκριβῆ θέσιν του. Διότι ἐὰν ἦτο τέλειον δὲν θὰ ὑπῆρχε χῶρος διὰ δεύτερον.

«Εἶναι πρὶν ἀπὸ ἐμένα», ἤτοι εἶναι περισσότερον ἔντιμος καὶ ἔνδοξος. Ἔπειτα, διὰ νὰ μὴ νομίσωμεν ὅτι ἡ ὑπεροχή του ἀναφέρεται ἐν συγκρίσει μὲ αὐτόν, καὶ θέλων νὰ παρουσιάσῃ ὅτι δὲν χωρεῖ σύγκρισις μεταξύ των, ἐπρόσθεσε· «Δὲν εἶμαι ἄξιος νὰ λύσω τὸν ἱμάντα του», δηλαδή, ὄχι μόνον εἶναι ἀνώτερός μου, ἀλλὰ τόσον πολὺ ὥστε ἐγὼ νὰ μὴ ἠμπορῶ νὰ συγκαταλεγῶ οὔτε μεταξὺ τῶν τελευταίων ὑπηρετῶν του. Διότι τὸ νὰ λύσῃς τὸ ὑπόδημα ἦτο ἔργον τοῦ τελευταίου ὑπηρέτου.

Ἐὰν δὲ ὁ Ἰωάννης δὲν ἦτο ἄξιος νὰ λύσῃ τὸν ἱμάντα,

οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν γέγονε, ποῦ τάξομεν ἡμεῖς ἑαυτούς; Εἰ ὁ τῆς οἰκουμένης ἀντίρροπος, μᾶλλον δὲ μείζων («οὐκ ἦν γὰρ αὐτῶν», φησίν, «ἄξιος ὁ κόσμος»), οὐδὲ ἐν τοῖς ἐσχάτοις τῶν διακονησαμένων ἑαυτὸν καταλέγεσθαί φησιν ἄξιον εἶναι, τί ἐροῦμεν ἡμεῖς, οἱ μυρίων γέμοντες κακῶν, οἱ τοσοῦτον ἀποδέοντες τῆς ἀρετῆς τοῦ Ἰωάννου, ὅσον ἡ γῆ τοῦ οὐρανοῦ;

4. Οὗτος μὲν οὖν οὐδὲ τὸ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος ἄξιον εἶναι ἑαυτὸν λέγει, οἱ δὲ τῆς ἀληθείας ἐχθροὶ τοσαύτην ἐμάνησαν μανίαν, ὡς καὶ τοῦ εἰδέναι αὐτόν, ὡς αὐτὸς οἶδεν ἑαυτόν, ἀξίους εἶναι λέγειν ἑαυτούς. Τί ταύτης τῆς παραπληξίας χεῖρον; τί ταύτης τῆς ἀλαζονείας μανικώτερον; Καλῶς τις ἔλεγε σοφός, ὅτι «Ἀρχὴ ὑπερηφανίας τὸ μὴ εἰδέναι τὸν Κύριον». Οὐκ ἂν κατηνέχθη, καὶ διάβολος γέγονεν ὁ διάβολος, οὐκ ὢν διάβολος πρότερον, εἰ μὴ τοῦτο τὸ νόσημα ἐνόσησε. Τοῦτο αὐτὸν τῆς παρρησίας ἐξέβαλεν ἐκείνης, τοῦτο εἰς τὴν γέενναν ἔπεμψε, τοῦτο τῶν κακῶν αἴτιον αὐτῷ πάντων ἐγένετο. Ἱκανὸν γὰρ καὶ καθ' ἑαυτὸ διαφθεῖραι πᾶσαν ἀρετὴν ψυχῆς, κἂν ἐλεημοσύνην εὕρῃ, κἂν εὐχήν, κἂν νηστείαν, κἂν ὁτιοῦν· «Τὸ γὰρ ὑψηλὸν ἐν ἀνθρώποις ἀκάθαρτον», φησί, «παρὰ Κυρίῳ».

Οὐκ ἄρα πορνεία μόνον, οὐδὲ μοιχεία μολύνειν εἴωθε τοὺς χρωμένους αὐτῇ, ἀλλὰ καὶ ὑπερηφανία, καὶ πολλῷ πλέον ἐκείνων. Διὰ τί; Ὅτι πορνεία μέν, εἰ καὶ ἀσύγγνωστον κακόν, ἀλλ' ὅμως ἔχει τις τὴν ἐπιθυμίαν εἰπεῖν, ἀλαζονεία δὲ

11. Λουκᾶ 7, 28 καὶ Ματθ. 11, 11.
12. Ἑβρ. 11, 38.
13. Σοφ. Σειράχ, 10, 12.

ὁ Ἰωάννης ἀπὸ τὸν ὁποῖον κανεὶς μεταξὺ ἐκείνων ποὺ ἐγεννήθησαν ἀπὸ γυναῖκας δὲν εἶναι ἀνώτερος[11], ποῦ θὰ κατατάξωμεν τοὺς ἑαυτούς μας ἐμεῖς; Ἐὰν αὐτὸς ποὺ εἶναι ἰσοδύναμος μὲ ὁλόκληρον τὴν οἰκουμένην, ἢ μᾶλλον ἀνώτερος (διότι, ὅπως λέγει, ὅλος ὁ κόσμος δὲν ἦτο ἄξιος αὐτῶν[12]), λέγῃ ὅτι δὲν εἶναι ἄξιος νὰ συγκαταλέγεται οὔτε μεταξὺ τῶν τελευταίων ἀπὸ ἐκείνους ποὺ τὸν ὑπηρέτησαν, τί θὰ εἰποῦμεν ἐμεῖς οἱ ὁποῖοι εἴμεθα γεμᾶτοι μὲ μύρια κακά, οἱ ὁποῖοι ἀπέχομεν τόσον πολὺ ἀπὸ τὴν ἀρετὴν τοῦ Ἰωάννου, ὅσον ἡ γῆ ἀπὸ τὸν οὐρανόν;

4. Αὐτὸς μὲν λοιπὸν λέγει ὅτι ὁ ἑαυτός του δὲν εἶναι ἄξιος νὰ λύσῃ τὸν ἱμάντα τοῦ ὑποδήματος. Ἐνῷ οἱ ἐχθροὶ τῆς ἀληθείας ἔχουν καταληφθῆ ἀπὸ τόσην μανίαν, ὥστε νὰ ἰσχυρίζωνται ὅτι εἶναι ἄξιοι καὶ νὰ τὸν γνωρίσουν, ὅπως ὁ ἴδιος γνωρίζει τὸν ἑαυτόν του. Τί εἶναι χειρότερον ἀπὸ αὐτὴν τὴν παραφροσύνην; Τί εἶναι περισσότερον μανιακὸν ἀπὸ αὐτὴν τὴν ἀλαζονείαν; Καλὰ ἔλεγε κάποιος σοφός, ὅτι «ἀρχὴ τῆς ὑπηρηφανείας εἶναι τὸ νὰ μὴ γνωρίζῃς τὸν Κύριον»[13]. Ὁ διάβολος δὲν θὰ ἐξέπιπτε καὶ δὲν θὰ ἐγίνετο διάβολος, καθόσον δὲν ἦτο διάβολος ἀρχικῶς, ἐὰν δὲν προσεβάλετο ἀπὸ αὐτὴν τὴν ἀσθένειαν. Αὐτὴ τὸν ἀπεμάκρυνεν ἀπὸ ἐκείνην τὴν παρρησίαν ποὺ εἶχεν, αὐτὴ τὸν ἔστειλεν εἰς τὴν γέενναν τοῦ πυρός, αὐτὴ ἔγινεν αἰτία ὅλων τῶν κακῶν ποὺ τὸν εὑρῆκαν. Διότι εἶναι ἱκανὴ μόνη της νὰ καταστρέψῃ κάθε ἀρετὴν τῆς ψυχῆς, εἴτε ἐλεημοσύνην εὕρῃ, εἴτε προσευχήν, εἴτε νηστείαν, εἴτε ὁ,τιδήποτε παρόμοιον. Διότι «ἡ ὑψηλοφροσύνη τῶν ἀνθρώπων», λέγει, «εἶναι ἀκάθαρτος ἀπέναντι τοῦ Κυρίου».

Ἑπομένως δὲν μολύνει μόνον ἡ πορνεία ἐκείνους ποὺ ἐπιδίδονται εἰς αὐτήν, οὔτε ἡ μοιχεία, ἀλλὰ καὶ ἡ ὑπερηφάνεια καὶ μάλιστα πολὺ περισσότερον ἀπὸ ἐκείνας. Διατί; Διότι ἡ μὲν πορνεία, μολονότι εἶναι ἀσυγχώρητον κακόν, ἐν τούτοις ἔχει νὰ προβάλῃ κανεὶς ὡς δικαιολογίαν τὴν ἐπιθυ-

οὐδὲ αἰτίαν ἂν εὕροι τινά, οὐδὲ οἱανδήποτε πρόφασιν, δι' ἣν ἂν τύχοι σκιᾶς γοῦν συγγνώμης· ἀλλ' οὐδέν ἕτερόν ἐστιν αὕτη, ἢ διαστροφὴ ψυχῆς καὶ νόσος χαλεπωτάτη, οὐδαμόθεν ἄλλοθεν τικτομένη, ἢ ἐξ ἀνοίας. Οὐδὲν γὰρ ἀνοητότερον ἀλαζόνος ἀνθρώπου, κἂν πλοῦτον ᾖ περιβεβλημένος, κἂν πολλὴν κεκτημένος τὴν ἔξωθεν σοφίαν, κἂν ἐν δυναστείᾳ καθεστώς, κἂν ἅπαντα τὰ ἐν ἀνθρώποις εἶναι δοκοῦντα ζηλωτὰ περιφέρων. Εἰ γὰρ ὁ ἐπὶ τοῖς ὄντως καλοῖς ἀλαζονευόμενος ἄθλιος καὶ ταλαίπωρος, καὶ πάντων ἐκείνων τὸν μισθὸν ἀπόλλυσιν, ὁ ἐν τοῖς μηδὲν οὖσιν ἐπαιρόμενος, καὶ διὰ τὴν σκιὰν καὶ τὸ ἄνθος τοῦ χόρτου (τοῦτο γάρ ἐστιν ἡ παροῦσα δόξα), φυσῶν ἑαυτὸν πῶς οὐκ ἂν εἴη πάντων καταγελαστότερος, ταὐτὸν ποιῶν, ὅπερ ἄν τις ποιήσειε πτωχὸς καὶ πένης, πάντα μὲν τὸν χρόνον λιμῷ τηκόμενος, εἰ δὲ συμβαίη ποτὲ μίαν νύκτα χρηστὸν ὄναρ ἰδεῖν, διὰ τοῦτο γαυρούμενος; Ἄθλιε καὶ ταλαίπωρε, τῆς ψυχῆς σοι διαφθειρομένης χαλεπωτάτῃ νόσῳ, καὶ τὴν ἐσχάτην πενόμενος πενίαν, μέγα φρονεῖς, ὅτι χρυσοῦ τάλαντα ἔχει τόσα καὶ τόσα; ὅτι πλῆθος ἀνδραπόδων; Ἀλλὰ ταῦτα οὐ σά. Καὶ εἰ μὴ πείθῃ τοῖς ἐμοῖς ῥήμασιν, ἀπὸ τῆς πείρας τῶν προλαβόντων μάνθανε.

Ἐὰν δὲ οὕτω μεθύῃς, ὡς μήτε ἐκ τῶν ἑτέροις συμβαινόντων ταῦτα παιδεύεσθαι, μικρὸν ἀνάμεινον, καὶ εἴσῃ διὰ τῶν εἰς σὲ συμβαινομένων ὅτι σοι τούτων ὄφελος οὐδέν, ὅτε ψυχορραγῶν, καὶ οὐδὲ ὥρας μιᾶς, μηδὲ ῥοπῆς βραχείας κύριος ὤν, ἄκων εἰς τοὺς παρόντας αὐτὰ καταλείψεις, καὶ τούτους πολλάκις, οὓς οὐκ ἐθέλεις. Πολλοὶ γὰρ οὐδὲ ἐπισκῆψαι

μίαν. Ἐνῷ ἡ ἀλαζονεία δὲν ἠμπορεῖ νὰ εὕρῃ οὔτε κάποιαν δικαιολογίαν, οὔτε οἱανδήποτε πρόφασιν, διὰ τὴν ὁποίαν θὰ ἠμποροῦσε νὰ ἐπιτύχῃ κάποιας σκιώδους συγγνώμης. Ἀλλὰ αὐτὴ δὲν εἶναι τίποτε ἄλλο παρὰ διαστροφὴ τῆς ψυχῆς καὶ πολὺ βαρεῖα νόσος, ποὺ δὲν γεννᾶται ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ μόνον ἀπὸ μωρίαν. Διότι δὲν ὑπάρχει πιὸ ἀνόητον πρᾶγμα ἀπὸ τὸν ἄνθρωπον τὸν ἀλαζόνα, εἴτε εἶναι περιτριγυρισμένος ἀπὸ πλοῦτον, εἴτε κατέχει πολλὴν κοσμικὴν σοφίαν, εἴτε εὑρίσκεται εἰς τὴν ἐξουσίαν, εἴτε ἔχει ὅλα ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς ἀνθρώπους ἀξιοζήλευτα.

Διότι, ἐὰν ἐκεῖνος ποὺ καυχᾶται διὰ ὑπαρκτὰ ἀγαθὰ χαρακτηρίζεται ἄθλιος καὶ ταλαίπωρος καὶ χάνει ὅλων ἐκείνων τῶν ἀγαθῶν τὴν ἀνταμοιβήν, ἐκεῖνος ποὺ ἐπαίρεται διὰ πράγματα ἀνύπαρκτα καὶ φουσκώνει διὰ τὴν σκιὰν καὶ τὸ ἄνθος τοῦ χορταριοῦ (διότι τέτοια εἶναι ἡ δόξα τοῦ κόσμου αὐτοῦ), πῶς δὲν θὰ εἶναι πιὸ καταγέλαστος ἀπὸ ὅλους, ἀφοῦ κάνῃ αὐτὸ ποὺ θὰ ἔκανεν ἕνας πτωχὸς καὶ ἐνδεὴς ὁ ὁποῖος εἰς ὅλην του μὲν τὴν ζωὴν λυώνει ἀπὸ τὴν πεῖναν, ὅταν δὲ συμβῇ κάποιαν νύκτα νὰ ἰδῇ εὐχάριστον ὄνειρον, καυχᾶται δι' αὐτό; Ἄθλιε καὶ ταλαίπωρε, ἐνῷ ἡ ψυχή σου καταστρέφεται ἀπὸ βαρυτάτην νόσον καὶ ἔχεις φθάσει εἰς τελείαν ἔνδειαν, καυχᾶσαι ὅτι ἔχεις τόσα καὶ τόσα τάλαντα χρυσοῦ; Ὅτι ἔχεις πλῆθος δούλων; Αὐτὰ ὅμως δὲν εἶναι ἰδικά σου. Καὶ ἂν δὲν πείθεσαι εἰς τὰ ἰδικά μου λόγια, μάθε το ἀπὸ τὴν πεῖραν ἐκείνων ποὺ ὑπῆρξαν πρὶν ἀπὸ σέ.

Ἐὰν δὲ εἶσαι τόσον πολὺ μεθυσμένος, ὥστε νὰ μὴ διδάσκεσαι οὔτε ἀπὸ ὅσα συμβαίνουν εἰς ἄλλους, περίμενε ὀλίγον καὶ θὰ μάθῃς μὲ ὅσα θὰ σοῦ συμβοῦν, ὅτι δὲν θὰ ἔχῃς κανένα ὄφελος ἀπὸ αὐτά, ὅταν, καθὼς θὰ ψυχορραγῇς καὶ δὲν θὰ ἔχῃς εἰς τὴν διάθεσίν σου οὔτε μίαν ὥραν, οὔτε μίαν μικρὰν στιγμήν, ἄθελά σου θὰ τὰ ἐγκαταλείψῃς εἰς τοὺς παρευρισκομένους καὶ μάλιστα πολλάκις εἰς αὐτοὺς ποὺ δὲν θὰ θέλῃς. Διότι πολλοὶ δὲν εἶχαν τὴν εὐκαιρίαν οὔ-

περὶ αὐτῶν συνεχωρήθησαν, ἀλλ' ἀπῆλθον ἀθρόον, βουλόμενοι μὲν αὐτῶν ἀπολαύειν, οὐ συγχωρούμενοι δέ, ἀλλὰ ἑλκόμενοι, καὶ ἑτέροις αὐτῶν ἐξιστάμενοι, καὶ μετὰ βίας παραχωροῦντες οἷς οὐκ ἐβούλοντο.

Ὅπερ ἵνα μὴ πάθωμεν, ἐντεῦθεν ἤδη ἐρρωμένοι καὶ ὑγιαίνοντες διαπεμψώμεθα αὐτὰ πρὸς τὴν πάλιν τὴν ἡμετέραν. Οὕτω γὰρ αὐτῶν ἀπολαῦσαι δυνησόμεθα μόνον, ἑτέρως δὲ οὐδαμῶς· οὕτως εἰς ἄσυλον καὶ ἀσφαλῆ τόπον αὐτὰ ἀποθησόμεθα· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἐκεῖ τῶν δυναμένων αὐτὰ ἀφελέσθαι, οὐκ ἔστι θάνατος, οὐκ εἰσιν ἀληθεῖς διαθῆκαι, οὐκ εἰσι διάδοχοι κλήρων, οὐ συκοφαντίαι καὶ ἐπιβουλαί, ἀλλὰ τὸν ἀπελθόντα ἐντεῦθεν πολλὰ ἐπιφερόμενον διὰ παντὸς ἔστιν αὐτὰ καρποῦσθαι.

Τίς οὖν οὕτως ἄθλιος, ὡς μὴ θελῆσαι τοῖς χρήμασιν ἐντρυφᾶν τοῖς ἑαυτοῦ διόλου; Μετακομίσωμεν τοίνυν ἡμῶν τὸν πλοῦτον, καὶ μεταθῶμεν ἐκεῖσε. Οὐκ ὄνων ἡμῖν δεήσει, καὶ καμήλων, καὶ ὀχημάτων, οὐδὲ πλοίων πρὸς τὴν τοιαύτην μετάθεσιν· καὶ γὰρ καὶ ταύτης ἡμᾶς τῆς δυσκολίας ἀπήλλαξεν ὁ Θεός· ἀλλὰ πενήτων ἡμῖν δεῖ μόνον, τῶν χωλῶν, τῶν ἀναπήρων, τῶν ἀρρώστων. Αὐτοὶ τὴν τοιαύτην εἰσὶν ἐγκεχειρισμένοι μετάθεσιν· οὗτοι τὰ χρήματα παραπέμπουσιν εἰς τὸν οὐρανόν, οὗτοι τοὺς τῶν τοιούτων χρημάτων κυρίους εἰς τὴν τῶν αἰωνίων ἀγαθῶν κληρονομίαν εἰσάγουσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τε νὰ ἀφήσουν παραγγελίαν δι' αὐτά, ἀλλὰ ἔφυγαν ξαφνικά, θέλοντες μὲν νὰ τὰ ἀπολαύσουν, μὴ ἔχοντες ὅμως πλέον χρόνον, ἔφυγαν συρόμενοι, ἀφοῦ ἐγκατέλειπαν αὐτὰ εἰς ἄλλους καὶ τὰ παρεχώρουν διὰ τῆς βίας εἰς ἐκείνους ποὺ δὲν ἤθελαν.

Διὰ νὰ μὴ πάθωμεν αὐτὸ καὶ ἐμεῖς, ἀπὸ ἐδῶ ἀκόμη, δυνατοὶ καὶ ὑγιεῖς, ἂς τὰ ἀποστείλωμεν εἰς τὴν ἰδικήν μας πόλιν. Διότι μόνον ἔτσι θὰ ἠμπορέσωμεν νὰ τὰ ἀπολαύσωμεν, καὶ ὄχι κατ' ἄλλον τρόπον. Ἔτσι θὰ τὰ ἀποθέσωμεν εἰς τόπον ἀπαραβίαστον καὶ ἀσφαλῆ. Διότι ἐκεῖ δὲν ὑπάρχει ἀπολύτως τίποτε ἀπὸ αὐτὰ ποὺ ἠμποροῦν νὰ τὰ ἀφαιρέσουν. Δὲν ὑπάρχει θάνατος, δὲν ὑπάρχουν ἀληθιναὶ διαθῆκαι, δὲν ὑπάρχουν κληρονόμοι, οὔτε συκοφαντίαι καὶ ἐπιβουλαί· ἀλλὰ ἐκεῖνος ποὺ φεύγει, ἀφοῦ καταθέσῃ ἀπὸ ἐδῶ πολλά, ἠμπορεῖ νὰ τὰ καρποῦται αἰωνίως.

Ποῖος λοιπὸν εἶναι τόσον ἄθλιος ὁ ὁποῖος νὰ μὴ θέλῃ νὰ ἀπολαμβάνῃ τὰ χρήματά του διαπαντός; Ἂς τὸν μετακομίσωμεν λοιπὸν τὸν πλοῦτον μας καὶ ἂς τὸν μεταφέρωμεν ἐκεῖ. Δὲν θὰ μᾶς χρειασθοῦν οὔτε ὄνοι, οὔτε κάμηλοι, οὔτε ὀχήματα, οὔτε πλοῖα δι' αὐτὴν τὴν μεταφοράν. Διότι καὶ ἀπὸ αὐτὴν τὴν δυσκολίαν μᾶς ἀπήλλαξεν ὁ Θεός. Μᾶς χρειάζονται μόνον πτωχοί, οἱ χωλοί, οἱ ἀνάπηροι, οἱ ἄρρωστοι. Εἰς αὐτοὺς ἔχει ἀνατεθῆ ἡ μεταφορὰ αὐτή. Αὐτοὶ στέλλουν τὰ χρήματά μας εἰς τὸν οὐρανόν. Αὐτοὶ εἰσάγουν τοὺς κυρίους αὐτῶν τῶν χρημάτων εἰς τὴν κληρονομίαν τῶν αἰωνίων ἀγαθῶν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἐμεῖς μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΖ΄

Ἰω. 1, 28.

Ταῦτα ἐγένετο ἐν Βηθανίᾳ πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων. Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου».

1. Μέγα ἀγαθὸν παρρησία καὶ τὸ ἐλευθεροστομεῖν, καὶ πάντα δεύτερα τίθεσθαι τῆς ὁμολογίας, τῆς εἰς τὸν Χριστόν· οὕτω μέγα καὶ θαυμαστόν, ὡς τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν τοιοῦτον ἀνακηρύττειν ἐπὶ τοῦ Πατρός, καίτοι γε οὐκ ἴση ἡ ἀντίδοσις. Σὺ μὲν γὰρ ὁμολογεῖς ἐπὶ τῆς γῆς, αὐτὸς δὲ ὁμολογεῖ ἐν τοῖς οὐρανοῖς, καὶ σὺ μέν, ἀνθρώπων παρόντων, αὐτὸς δὲ ἐπὶ τοῦ Πατρὸς καὶ τῶν ἀγγέλων ἁπάντων. Τοιοῦτος ὁ Ἰωάννης ἦν, οὐ πλῆθος, οὐ δόξαν, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων ὑφορώμενος, ἀλλὰ ταῦτα πάντα καταπατῶν, καὶ μετὰ τῆς προσηκούσης ἐλευθερίας τὰ περὶ τοῦ Χριστοῦ πᾶσιν ἀνακηρύττων. Διὰ γὰρ τοῦτο καὶ τὸν τόπον ἐπισημαίνεται ὁ Εὐαγγελιστής, ἵνα τὴν παρρησίαν δείξῃ τοῦ μεγαλοφώνου κήρυκος. Οὐ γὰρ ἐν οἰκίᾳ, οὐδὲ ἐν γωνίᾳ, οὐδὲ ἐν ἐρημίᾳ, ἀλλά, τὸν Ἰορδάνην καταλαβὼν ἐν μέσῳ τῷ πλήθει, παρόντων ἁπάντων τῶν ὑπ᾽ αὐτοῦ βαπτιζομένων, (βαπτίζοντι γὰρ ἐπέστησαν οἱ Ἰουδαῖοι), τὴν θαυμαστὴν ἐκείνην ἀνεκήρυξεν ὁμολογίαν περὶ τοῦ Χριστοῦ, τὴν τῶν ὑψηλῶν καὶ μεγάλων καὶ ἀπορρήτων γέμουσαν δογμάτων, καὶ ὡς οὐκ εἴη ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ.

Πῶς οὖν τοῦτο ποιεῖ; Ἐπάγων καὶ λέγων· «Ταῦτα ἐ-

ΟΜΙΛΙΑ ΙΖ΄

Ἰω. 1, 28.

«Αὐτὰ συνέβησαν εἰς τὴν Βηθανίαν πέραν ἀπὸ τὸν Ἰορδάνην, ὅπου ἐβάπτιζεν ὁ Ἰωάννης. Τὴν ἑπομένην βλέπει τὸν Ἰησοῦν νὰ ἔρχεται πρὸς αὐτὸν καὶ λέγει· νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου».

1. Εἶναι μέγα ἀγαθὸν ἡ παρρησία καὶ ἡ εἰλικρίνεια καὶ τὸ νὰ θέτῃ κανεὶς τὰ πάντα εἰς δευτέραν μοῖραν μπροστὰ εἰς τὴν ὁμολογίαν τοῦ Χριστοῦ. Εἶναι τόσον πολὺ μεγάλο καὶ θαυμαστόν, ὥστε αὐτὸν νὰ τὸν ὁμολογῇ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ εἰς τὸν Πατέρα του, ἂν καὶ ἡ ἀνταπόδοσις δὲν εἶναι ἴση. Διότι σὺ μὲν ὁμολογεῖς εἰς τὴν γῆν, ἐνῷ αὐτὸς ὁμολογεῖ εἰς τοὺς οὐρανούς. Καὶ σὺ μὲν ὁμολογεῖς μεταξὺ ἀνθρώπων οἱ ὁποῖοι εἶναι παρόντες, ἐνῷ αὐτὸς εἰς τὸν Πατέρα καὶ εἰς ὅλους τοὺς ἀγγέλους.

Τέτοιος ἦτο καὶ ὁ Ἰωάννης. Δὲν ἐλογάριασεν οὔτε τὸ πλῆθος, οὔτε τὴν δόξαν, οὔτε τίποτε ἄλλο ἀνθρώπινον, ἀλλὰ ὅλα αὐτὰ τὰ κατεπάτησε καὶ μὲ τὴν ἀνάλογον παρρησίαν διεκήρυξεν εἰς ὅλους τὰ σχετικὰ μὲ τὸν Χριστόν. Δι' αὐτὸ ἄλλωστε ὁ εὐαγγελιστὴς σημειώνει καὶ τὸν τόπον, διὰ νὰ δείξῃ τὸ θάρρος τοῦ μεγαλοφώνου κήρυκος. Διότι τὴν θαυμασίαν ἐκείνην ὁμολογίαν του περὶ τοῦ Χριστοῦ, ἡ ὁποία ἦτο γεμάτη ἀπὸ ὑψηλὰ καὶ μεγάλα καὶ ἀπόρρητα νοήματα, καὶ τὸ ὅτι δὲν ἦτο ἄξιος νὰ λύσῃ τὸν ἱμάντα τοῦ ὑποδήματός του, δὲν τὰ ἔκαμε μέσα εἰς οἰκίαν, οὔτε εἰς καμμίαν γωνίαν, οὔτε εἰς ἔρημον μέρος, ἀλλὰ ἀφοῦ ἐγκατεστάθη εἰς τὸν Ἰορδάνην, μέσα εἰς τὸ πλῆθος καὶ ἐνῷ ἦσαν παρόντες ὅλοι ὅσοι ἐβαπτίζοντο ἀπὸ αὐτὸν (διότι οἱ Ἰουδαῖοι ἦλθαν καθὼς ἐβάπτιζεν).

Πῶς λοιπὸν τὸ κάμνει αὐτό; Προσθέτων καὶ λέγων·

γένετο ἐν Βηθανίᾳ». Ὅσα δὲ τῶν ἀντιγράφων ἀκριβέστερον ἔχει, «ἐν Βηθαβαρᾷ», φησίν· ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου, οὐδὲ ἐπὶ τῆς ἐρήμου ἦν, ἀλλ' ἐγγύς που τῶν Ἱεροσολύμων. Τοὺς δὲ τόπους καὶ δι' ἑτέραν αἰτίαν ἐπισημαίνεται. Ἐπειδὴ γὰρ πράγματα οὐ παλαιὰ διηγεῖσθαι ἔμελλεν, ἀλλὰ πρὸ μικροῦ συμβάντα τοῦ χρόνου, τοὺς παρόντας καὶ θεωμένους μάρτυρας ποιεῖται τῶν λεγομένων, καὶ ἀπόδειξιν καὶ ἀπὸ τῶν τόπων παρέχεται.

Θαρρῶν γὰρ ὅτι οὐδὲν παρ' ἑαυτοῦ προσετίθει τοῖς λεγομένοις, ἀλλὰ τὰ ὄντα ἁπλῶς ἅπαντα μετὰ ἀληθείας ἐξηγεῖτο, τὴν ἀπὸ τῶν τόπων μαρτυρίαν παραλαμβάνει, ἀπόδειξιν, ὅπερ ἔφην, οὐ τὴν τυχοῦσαν τῆς ἀληθείας ἐσομένην.

«Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Διενείμαντο τοὺς καιροὺς οἱ Εὐαγγελισταί· καὶ ὁ μὲν Ματθαῖος, τοὺς πρὶν ἢ δεθῆναι τὸν Βαπτιστὴν Ἰωάννην χρόνους ἐπιτεμών, ἐπείγεται πρὸς τοὺς ἑξῆς, ὁ δὲ Εὐαγγελιστὴς Ἰωάννης οὐ μόνον οὐκ ἐπιτέμνει, ἀλλὰ τούτοις μάλιστα καὶ ἐνδιατρίβει.

Κἀκεῖνος μὲν μετὰ τὸ ἐλθεῖν τὸν Ἰησοῦν ἀπὸ τῆς ἐρήμου, τὰ μεταξὺ σιωπήσας, οἷον, ὅσα ὁ Ἰωάννης ἐφθέγξατο, ὅσα οἱ Ἰουδαῖοι ἀποστείλαντες ἔλεγον, καὶ τὰ ἄλλα πάντα συντεμών, μετεπήδησεν εὐθέως ἐπὶ τὸ δεσμωτήριον, «Ἀκούσας» γάρ, φησίν, «ὁ Ἰησοῦς ὅτι παρεδόθη Ἰωάννης, ἀνεχώρησεν ἐκεῖθεν». Ὁ δὲ Ἰωάννης οὐχ οὕτως, ἀλλὰ τὴν μὲν εἰς τὴν ἔρημον ὁδὸν ἀπεσιώπησεν, ἅτε ὑπὸ τοῦ Ματθαίου λεχθεῖσαν, τὰ δὲ μετὰ τὴν κάθοδον, τὴν ἀπὸ τοῦ ὄρους γενομένην, διηγεῖται, καί, πολλὰ διελθών, τότε ἐπάγει· «Οὔπω γὰρ ἦν βεβλημένος ὁ Ἰωάννης εἰς τὴν φυλακήν».

Καὶ τίνος ἕνεκεν, φησί, νῦν παραγίνεται πρὸς αὐτὸν

1. Ματθ. 14, 13.
2. Ἰω. 3, 24.

«αὐτὰ συνέβησαν εἰς τὴν Βηθανίαν». Τὰ ἀκριβέστερα ἀντίγραφα μάλιστα γράφουν «εἰς τὴν Βηθαβαρᾶ», διότι ἡ Βηθανία δὲν εὑρίσκετο πέρα ἀπὸ τὸν Ἰορδάνην, οὔτε εἰς τὴν Ἔρημον, ἀλλὰ κάπου κοντὰ εἰς τὰ Ἱεροσόλυμα. Τοὺς τόπους μάλιστα τοὺς ὑπογραμμίζει καὶ δι' ἄλλον λόγον. Ἐπειδὴ ἐπρόκειτο νὰ διηγηθῇ πράγματα ὄχι παλαιά, ἀλλὰ ποὺ συνέβησαν πρὶν ἀπὸ ὀλίγον χρόνον, αὐτοὺς ποὺ ἦσαν παρόντες καὶ τὰ εἶδαν τοὺς κάμνει μάρτυρας τῶν ὅσων λέγει καὶ προβάλλει καὶ τὴν ἀπόδειξιν τῶν τόπων. Ἐπειδὴ ἐστηρίζετο εἰς τὸ γεγονὸς ὅτι δὲν προσέθετε τίποτε ἀπὸ τὸν ἑαυτόν του εἰς ὅσα ἔλεγεν, ἀλλ' ἁπλῶς ἐξέθετε ὅλα τὰ γεγονότα μὲ εἰλικρίνειαν, χρησιμοποιεῖ τὴν μαρτυρίαν τῶν τόπων, ὅπως εἶπα, ἡ ὁποία θὰ γίνῃ σημαντικὴ ἀπόδειξις τῆς ἀληθείας.

«Τὴν ἑπομένην βλέπει τὸν Ἰησοῦν νὰ ἔρχεται πρὸς αὐτὸν καὶ λέγει· νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ ὁποῖος σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου». Ἐμοίρασαν τοὺς καιροὺς οἱ εὐαγγελισταί· καὶ ὁ μὲν Ματθαῖος, ἀφοῦ παραλείπει τοὺς χρόνους πρὶν νὰ συλληφθῇ ὁ Ἰωάννης ὁ Βαπτιστής, βιάζεται νὰ διηγηθῇ τοὺς μετέπειτα. Ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης ὄχι μόνον δὲν τοὺς ἀνακόπτει, ἀλλὰ ἀντιθέτως ἐπιμένει περισσότερον εἰς αὐτούς.

Καὶ ἐκεῖνος μὲν μετὰ τὴν ἐπιστροφὴν τοῦ Ἰησοῦ ἀπὸ τὴν ἔρημον, ἀφοῦ παρεσιώπησε τὰ ἐνδιάμεσα, ἤτοι ὅλα ὅσα ἀναφέρει ὁ Ἰωάννης, ὅσα ἔστειλαν καὶ εἶπαν οἱ Ἰουδαῖοι, καὶ ἀφοῦ περιέκοψεν ὅλα τὰ ἄλλα, μετεπήδησεν ἀμέσως εἰς τὸ δεσμωτήριον. Διότι λέγει· «Ὅταν ὁ Ἰησοῦς ἤκουσεν ὅτι ὁ Ἰωάννης παρεδόθη ἀνεχώρησεν ἀπὸ ἐκεῖ»[1]. Ὁ δὲ Ἰωάννης δὲν κάμνει ἔτσι, ἀλλὰ ἀφοῦ ἀπεσιώπησε τὴν μετάβασιν τοῦ Ἰησοῦ εἰς τὴν ἔρημον, καθόσον εἶχεν ἀναφερθῆ ἀπὸ τὸν Ματθαῖον, διηγεῖται τὰ μετὰ τὴν κάθοδόν του ἀπὸ τὸ ὄρος συμβάντα καὶ ἀφοῦ ἀναφέρει πολλά, προσθέτει· «δὲν εἶχεν ἀκόμη κλεισθῆ ὁ Ἰωάννης εἰς τὴν φυλακήν»[2].

Καὶ ἀναφέρει διατί ἔρχεται πρὸς αὐτὸν ὁ Ἰησοῦς, καὶ

ὁ Ἰησοῦς, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον τοῦτο ποιεῖ; Ὁ μὲν γὰρ Ματθαῖος ἀναγκαίαν αὐτοῦ τὴν παρουσίαν γεγενῆσθαι λέγει διὰ τὸ βάπτισμα, διὸ τοῦτο δεικνὺς καὶ ὁ Ἰησοῦς ἐπάγει, καὶ λέγει, ὅτι «Οὕτω πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην», ὁ δὲ Ἰωάννης καὶ πάλιν αὐτὸν παραγεγονέναι δείκνυσι μετὰ τὸ βάπτισμα, καὶ τοῦτο ἐντεῦθεν ἐδήλωσε, λέγων· «Ἐγὼ τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν».

Τίνος οὖν ἕνεκεν παραγίνεται πρὸς τὸν Ἰωάννην; Οὐδὲ γὰρ ἁπλῶς ἦλθεν, ἀλλὰ πρὸς αὐτὸν ἐπορεύτο. «Ἐρχόμενον» γάρ, φησί, «πρὸς αὐτόν, βλέπει αὐτόν». Τίνος οὖν ἕνεκεν ἤρχετο; Ἐπειδὴ αὐτὸς αὐτὸν ἐβάπτισε μετὰ πολλῶν, ὥστε μηδένα ὑποπτεύειν ὅτι ἀπὸ τῆς αὐτῆς αἰτίας, ἀφ' ἧς καὶ οἱ ἄλλοι, πρὸς τὸν Ἰωάννην ἠπείγετο, οἷον ὡς ἁμαρτήματα ἐξομολογησόμενος, καὶ εἰς μετάνοιαν λουσόμενος ἐν τῷ ποταμῷ. Διὰ τοῦτο παραγίνεται, διδοὺς ἅμα καὶ τῷ Ἰωάννῃ ταύτην πάλιν διορθώσασθαι τὴν ὑπόνοιαν· καὶ γὰρ τῷ εἰπεῖν· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου», πᾶσαν ταύτην ἀναιρεῖ τὴν ὑποψίαν.

Ὁ τοίνυν οὕτω καθαρὸς ὡς καὶ τὰ ἑτέρων ἁμαρτήματα ἀπολύεσθαι δύνασθαι, εὔδηλον ὅτι οὐχ ὥστε ἐξομολογήσασθαι ἁμαρτήματα παραγίνεται, ἀλλ' ὥστε δοῦναι ἀφορμὴν ἐκείνῳ τῷ θαυμαστῷ κήρυκι, καὶ δευτέρᾳ φωνῇ τοῖς τὰ πρότερα ἀκηκοόσιν ἀκριβέστερον ἐνθεῖναι τὰ εἰρημένα καὶ προσθεῖναι ἕτερα πάλιν.

Τὸ δὲ «ἴδε» εἴρηται, διὰ τὸ πολλοὺς πολλάκις ἐπιζητεῖν αὐτὸν ἀπὸ τῶν εἰρημένων καὶ ἀπὸ μακροῦ τοῦ χρόνου. Διὰ τοῦτο παρόντα δείκνυσιν αὐτὸν οὗτος, καὶ λέγει· «Ἴδε» δηλῶν ὅτι οὗτός ἐστιν ὁ πάλαι ζητούμενος· οὗτος ὁ ἀμνός. Ἀμνὸν δὲ αὐτὸν καλεῖ, τῆς προφητείας ἀναμιμνήσκων Ἰουδαίους τῆς Ἠσαΐου καὶ τῆς σκιᾶς τῆς κατὰ τὸν Μωϋσέα, ἵν' ἀπὸ τοῦ τύπου μᾶλλον αὐτοὺς προσαγάγηται πρὸς τὴν ἀλήθειαν. Ἐκεῖνος μὲν οὖν ὁ ἀμνὸς οὐδενὸς καθά-

---

3. Ματθ. 3, 15.

μάλιστα ὄχι μίαν μόνον φοράν, ἀλλὰ διὰ δευτέραν φοράν. Διότι ὁ μὲν Ματθαῖος λέγει ὅτι ἡ παρουσία τοῦ Χριστοῦ ἐκεῖ ἦτο ἀναγκαία διὰ τὴν βάπτισιν· διὰ τοῦτο καὶ ὁ Ἰησοῦς βεβαιῶν αὐτὸ λέγει· ὅτι «ἔτσι πρέπει εἰς ἡμᾶς νὰ ἐκτελέσωμεν κάθε ἐντολήν»[3]. Ὁ Ἰωάννης ὅμως παρουσιάζει αὐτὸν νὰ ἔρχεται καὶ μετὰ τὴν βάπτισιν, καὶ αὐτὸ τὸ δηλώνει ὅταν λέγῃ· «Ἐγὼ ἔχω ἰδεῖ τὸ ἅγιον Πνεῦμα νὰ κατεβαίνῃ ὡσὰν περιστερὰ καὶ νὰ μένῃ ἐπάνω του».

Διατί λοιπὸν ἔρχεται πρὸς τὸν Ἰωάννην; Διότι δὲν ἦλθεν πλῶς, ἀλλὰ ἐπῆγεν εἰς αὐτόν. Διότι λέγει· «τὸν βλέπει νὰ ἔρχεται πρὸς αὐτόν. Διατί λοιπὸν ἦλθεν; Ἐπειδὴ αὐτὸς τὸν ἐβάπτισε μαζὶ μὲ πολλοὺς ἄλλους, διὰ νὰ μὴ ὑποψιασθοῦν ὅτι ἐπήγαινε διὰ τὸν ἴδιον λόγον διὰ τὸν ὁποῖον ἐπήγαιναν καὶ οἱ ἄλλοι πρὸς τὸν Ἰωάννην, ἤτοι διὰ νὰ ἐξομολογηθῇ τὰς ἁμαρτίας του καὶ μετανοημένος νὰ λουσθῇ εἰς τὸν ποταμόν. Δι' αὐτὸ ἔρχεται, διὰ νὰ δώσῃ εἰς τὸν Ἰωάννην τὴν εὐκαιρίαν νὰ διορθώσῃ πάλιν αὐτὴν τὴν ὑπόνοιαν. Διότι μὲ τό· «Νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου», ἐξαλείφει κάθε παρομοίαν ὑποψίαν.

Αὐτὸς λοιπὸν ὁ ὁποῖος ἦτο τόσον καθαρός, ὥστε νὰ συγχωρῇ καὶ τῶν ἄλλων τὰς ἁμαρτίας, εἶναι φανερὸν ὅτι δὲν ἔρχεται διὰ νὰ ἐξομολογηθῇ τὰς ἁμαρτίας του, ἀλλὰ διὰ νὰ δώσῃ ἀφορμὴν εἰς ἐκεῖνον τὸν θαυμάσιον κήρυκα καὶ μὲ δευτέραν ὁμιλίαν νὰ βάλῃ εἰς τὰ αὐτιὰ ἐκείνων ποὺ εἶχαν ἀκούσει τὰ προηγούμενα μὲ περισσοτέραν ἀκρίβειαν ὅσα εἶχαν λεχθῆ καὶ νὰ προσθέσῃ καὶ ἄλλα.

Τὸ δὲ «ἴδε» ἐλέχθη ἐπειδὴ πολλάκις πολλοὶ τὸ επιζητοῦσαν ἀπὸ ὅσα ἔλεγε καὶ πρὶν ἀπὸ πολὺν χρόνον. Δι' αὐτὸ τώρα ποὺ εἶναι παρὼν τὸν δείχνει καὶ λέγει «ἴδε», ἐννοῶν ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἀναζητεῖται ἀπὸ πολὺ παλαιά. Αὐτὸς ὁ ἀμνός. Τὸν ὀνομάζει δὲ ἀμνὸν ὑπενθυμίζων εἰς τοὺς Ἰουδαίους τὴν προφητείαν τοῦ Ἠσαΐα καὶ τὴν προτύπωσιν τοῦ Μωϋσέως, διὰ νὰ τοὺς ὁδηγήσῃ ἀπὸ τὸν τύπον πρὸς τὴν ἀλήθειαν. Ἐκεῖνος μὲν λοιπὸν ὁ ἀμνὸς δὲν

παξ ἁμαρτίαν ἔλαβεν, οὗτος δὲ τῆς οἰκουμένης ἁπάσης· κινδυνεύουσαν γὰρ αὐτὴν ἀπολέσθαι, ταχέως αὐτὴν ἀπήλλαξε τῆς ὀργῆς τοῦ Θεοῦ. «Οὗτος ἦν περὶ οὗ εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν».

2. Ὁρᾷς κἀνταῦθα πῶς τὸ ἔμπροσθεν ἑρμηνεύει; εἰπὼν γὰρ ἀμνόν, καὶ ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, τότε φησὶν ὅτι «ἔμπροσθέν μου γέγονε», δηλῶν ὅτι τοῦτό ἐστι τὸ «ἔμπροσθεν», τὸ τὰς ἁμαρτίας λαβεῖν τοῦ κόσμου, τὸ βαπτίσαι ἐν Πνεύματι ἁγίῳ. Ἡ μὲν γὰρ ἐμὴ παρουσία πλέον οὐδὲν εἶχε τοῦ κηρῦξαι τὸν κοινὸν τῆς οἰκουμένης εὐεργέτην, καὶ τὸ τοῦ ὕδατος βάπτισμα παρασχεῖν, ἡ δὲ τούτου, τὸ καθᾶραι πάντας ἀνθρώπους καὶ χαρίσασθαι τοῦ Παρακλήτου τὴν ἐνέργειαν. Οὗτος «ἔμπροσθέν μου γέγονε»· τουτέστιν, ἐδείχθη μου λαμπρότερος, «ὅτι πρῶτός μου ἦν». Αἰσχυνέσθωσαν οἱ Παύλου τοῦ Σαμοσατέως τὴν μανίαν διαδεξάμενοι, πρὸς οὕτω φανερὰν ἀλήθειαν ἀνθιστάμενοι.

«Κἀγὼ οὐκ ᾔδειν αὐτόν». Ὅρα πῶς ἀνύποπτον ἐνταῦθα τὴν μαρτυρίαν ἐργάζεται, δεικνὺς αὐτὴν οὐκ ἀνθρωπίνης οὖσαν φιλίας, ἀλλ' ἐξ ἀποκαλύψεως θείας γεγενημένην· «Οὐκ ᾔδειν γὰρ αὐτὸν ἐγώ», φησί. Πῶς οὖν ἂν εἴης ἀξιόπιστος μάρτυς; πῶς δὲ ἂν καὶ ἑτέρους διδάξαις, αὐτὸς ἀγνοῶν; Οὐκ εἶπεν· Οὐκ οἶδα αὐτόν, ἀλλ' «οὐκ ᾔδειν αὐτόν»· ὥστε ταύτῃ μάλιστα ἀξιόπιστος ἂν γένοιτο. Πῶς γὰρ ἂν ἐχαρίσατο τῷ ἀγνοουμένῳ;

«Ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον βαπτίζων ἐν ὕδατι». Οὐ τοίνυν αὐτὸς βαπτίσματος ἐδεῖτο, οὐδὲ ἄλλην τινὰ αἰτίαν εἶχεν ἐκεῖνο τὸ λουτρόν, ἢ τὸ προοδοποιῆσαι τῇ εἰς Χριστὸν πίστει τοῖς λοιποῖς ἅπασιν. Οὐ γὰρ εἶπεν· Ἵνα καθάρω τοὺς βαπτιζομένους, οὐδ' Ἵνα ἀπαλλάξω ἁμαρ-

ἀνέλαβε ποτὲ κανενὸς τὴν ἁμαρτίαν· ἐνῷ αὐτὸς ὁλοκλήρου τῆς οἰκουμένης. Διότι ἐνῷ ἐκινδύνευε νὰ καταστραφῇ, τὴν ἀπήλλαξε γρήγορα ἀπὸ τὴν ὀργὴν τοῦ Θεοῦ. «Αὐτὸς εἶναι ἐκεῖνος περὶ τοῦ ὁποίου εἶπα· αὐτὸς ποὺ ἔρχεται μετὰ ἀπὸ ἐμένα, εἶναι ἀνώτερός μου».

2. Βλέπεις καὶ ἐδῶ πῶς ἑρμηνεύει τὸ προηγούμενον; Ἀφοῦ εἶπεν ὅτι εἶναι ἀμνὸς καὶ ὅτι σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου, τότε λέγει ὅτι «εἶναι ἀνώτερός μου», δηλῶν ὅτι τὸ «ἔμπροσθεν» αὐτὸ σημαίνει ὅτι θὰ ἀναλάβῃ τὰς ἁμαρτίας τοῦ κόσμου, ὅτι θὰ βαπτίσῃ μὲ Πνεῦμα ἅγιον. Ἡ μὲν ἰδική μου παρουσία δὲν ἀπέβλεπεν εἰς τίποτε περισσότερον ἀπὸ τοῦ νὰ διακηρύξῃ τὸν κοινὸν εὐεργέτην τῆς οἰκουμένης καὶ νὰ παράσχῃ τὸ βάπτισμα τοῦ ὕδατος. Ἐνῷ ἡ παρουσία αὐτοῦ νὰ καθαρίσῃ ὅλους τοὺς ἀνθρώπους καὶ νὰ χαρίσῃ τὴν ἐνέργειαν τοῦ Παρακλήτου. Αὐτὸς «ἔμπροσθέν μου γέγονεν»· ἤτοι, ἀπεδείχθη ἀνώτερός μου, «διότι ὑπῆρχε πρὶν ἀπὸ ἐμένα». Ἂς ἐντρέπωνται ὅσοι ἀπεδέχθησαν τὴν μανίαν τοῦ Παύλου τοῦ Σαμοσατέως, ἐναντιούμενοι πρὸς ἀλήθειαν τόσον φανεράν.

«Καὶ ἐγὼ δὲν τὸ ἐγνώριζα». Κύτταξε πῶς κάνει ἐδῶ τὴν μαρτυρίαν του ἀνύποπτον, δεικνύων ὅτι δὲν ὀφείλεται εἰς ἀνθρωπίνην φιλίαν, ἀλλ' ὅτι ἔγινεν ἀπὸ θείαν ἀποκάλυψιν. Διότι λέγει· «δὲν τὸν ἐγνώριζα ἐγώ». Τότε ὅμως πῶς εἶσαι μάρτυς ἀξιόπιστος; Καὶ πῶς θὰ διδάξῃς τοὺς ἄλλους, ἀφοῦ σὺ ἀγνοεῖς; Δὲν εἶπε 'δὲν τὸν γνωρίζω', ἀλλὰ «δὲν τὸν ἐγνώριζα», διὰ νὰ γίνῃ ἀκριβῶς διὰ τοῦτο περισσότερον ἀξιόπιστος. Διότι πῶς θὰ ἠμποροῦσε νὰ χαρισθῇ εἰς αὐτὸν ποὺ ἠγνόει;

«Ἀλλὰ διὰ νὰ γίνῃ φανερὸς εἰς τὸν Ἰσραηλιτικὸν λαὸν διὰ τοῦτο ἦλθα ἐγὼ καὶ βαπτίζω μὲ ὕδωρ». Δὲν ἐχρειάζετο λοιπὸν αὐτὸς βάπτισμα, οὔτε εἶχεν ἄλλον λόγον ἐκεῖνο τὸ λουτρόν, παρὰ νὰ προετοιμάσῃ εἰς ὅλους τοὺς ἄλλους τὴν πίστιν εἰς τὸν Χριστόν. Διότι δὲν εἶπε, διὰ νὰ καθαρίσω αὐτοὺς ποὺ βαπτίζονται, οὔτε, ἦλθα καὶ βαπτίζω διὰ νὰ τοὺς

τημάτων ἦλθον βαπτίζων, ἀλλ' «Ἵνα φανερωθῇ τῷ Ἰσραήλ». Τί γάρ, εἰπέ μοι, τοῦ βαπτίσματος χωρὶς οὐκ ἐνῆν κηρῦξαι, καὶ ἐπαγαγέσθαι τοὺς ὄχλους; Ἀλλὰ ῥαδίως οὕτως οὐδαμῶς. Οὐδὲ γὰρ ἂν οὕτω συνέδραμον ἅπαντες, εἰ βαπτίσματος χωρὶς τὸ κήρυγμα ἐγένετο· οὐκ ἂν ἔμαθον τὴν ἀπὸ τῆς συγκρίσεως ὑπεροχήν .

Τὸ γοῦν πλῆθος ἐξήρχετο, οὐκ ἀκουσόμενον ὧν ἔλεγεν, ἀλλὰ τί; Βαπτίσασθαι, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Παραγενόμενοι δέ, ἐδιδάσκοντο τὰ περὶ τοῦ Χριστοῦ καὶ τοῦ βαπτίσματος τὸ διάφορον. Καίτοι τοῦ Ἰουδαϊκοῦ τοῦτο σεμνότερον ἦν, καὶ διὰ τοῦτο πάντες ἐπέτρεχον, ἀλλ' ὅμως καὶ οὕτως ἀτελὲς ἦν.

Πῶς οὖν σὺ ἔγνως αὐτόν; Διὰ τῆς τοῦ Πνεύματος καθόδου, φησίν. Ἵνα δὲ μή τις νομίσῃ ὅτι ἐν χρείᾳ καθειστήκει τοῦ Πνεύματος, καθάπερ ἡμεῖς, ἄκουσον πῶς καὶ ταύτην ἀναιρεῖ τὴν ὑποψίαν, δεικνὺς ὅτι ἡ τοῦ Πνεύματος κάθοδος ὑπὲρ τοῦ κηρῦξαι τὸν Χριστὸν μόνον ἐγένετο. Εἰπὼν γάρ· «Κἀγὼ οὐκ ᾔδειν αὐτόν», ἐπήγαγεν. «Ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν, ἐκεῖνός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ». Ὁρᾷς ὅτι τοῦτο ἔργον τοῦ Πνεύματος ἦν τὸ δεῖξαι τὸν Χριστόν;

Ἦν μὲν καὶ ἡ τοῦ Ἰωάννου μαρτυρία ἀνύποπτος. Βουλόμενος δὲ αὐτὴν ἀξιοπιστοτέραν ποιῆσαι, ἀνήγαγεν αὐτὴν ἐπὶ τὸν Θεὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἐπειδὴ γὰρ ἐμαρτύρησεν ὁ Ἰωάννης οὕτω μέγα τι καὶ θαυμαστόν, καὶ ἱκανὸν τοὺς ἀκούοντας ἐκπλῆξαι πάντας, οἷον, ὅτι τῆς οἰκουμένης ἁπάσης τὰς ἁμαρτίας λαμβάνει μόνος αὐτός, καὶ ὅτι πρὸς τοσοῦτον ἀρκεῖ λύτρον τῆς δωρεᾶς τὸ μέγεθος, κατασκευάζει λοιπὸν ταύτην τὴν ἀπόφασιν. Ἡ δὲ κατασκευή, ὁ-

ἀπαλλάξω ἀπὸ τὰς ἁμαρτίας, ἀλλὰ «διὰ νὰ γίνῃ φανερὸς εἰς τὸν ἰσραηλιτικὸν λαόν». Ἀλλὰ εἰπέ μου· χωρὶς τὸ βάπτισμα δὲν ἦτο δυνατὸν νὰ κηρύξῃ καὶ νὰ πείσῃ τὰ πλήθη; Ἦτο, ἀλλὰ ὄχι τόσον εὔκολα. Οὔτε καὶ θὰ ἔτρεχαν τόσον πολὺ ὅλοι, ἐὰν τὸ κήρυγμα ἐγίνετο χωρὶς βάπτισμα, καὶ οὔτε θὰ ἐμάθαιναν τὴν ὑπεροχὴν τοῦ χριστιανικοῦ βαπτίσματος μὲ τὴν σύγκρισιν.

Τὰ πλήθη λοιπὸν προσήρχοντο, ὄχι διὰ νὰ ἀκούσουν αὐτὰ ποὺ ἔλεγεν, ἀλλὰ διατί; Διὰ νὰ βαπτισθοῦν ἀφοῦ ἐξομολογηθοῦν τὰς ἁμαρτίας των. Ὅταν ἐπήγαιναν ὅμως ἐδιδάσκοντο τὰ σχετικὰ μὲ τὸν Χριστὸν καὶ τὴν διαφορὰν τοῦ βαπτίσματος. Μολονότι αὐτὸ τὸ βάπτισμα ἦτο περισσότερον σεβαστὸν ἀπὸ τὸν Ἰουδαϊκόν, δι' αὐτὸ ἄλλωστε ἔτρεχαν ὅλοι, ἐν τούτοις καὶ πάλιν ἦτο ἀτελές.

Πῶς λοιπὸν τὸν ἐγνώρισες ἐσύ; Μὲ τὴν κάθοδον τοῦ Πνεύματος, λέγει. Διὰ νὰ μὴ νομίσῃ δὲ κανεὶς ὅτι εἶχεν ἀνάγκην τοῦ Πνεύματος, ὅπως ἐμεῖς, ἄκουσε πῶς διαλύει καὶ αὐτὴν τὴν ὑποψίαν, δεικνύων ὅτι ἡ κάθοδος τοῦ Πνεύματος ἔγινε μόνον διὰ νὰ κηρύξῃ τὸν Χριστόν. Διότι ἀφοῦ εἶπε, «καὶ ἐγὼ δὲν τὸν ἐγνώριζα», ἐπρόσθεσεν· «ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλε νὰ βαπτίζω μὲ ὕδωρ, ἐκεῖνος μοῦ εἶπεν· εἰς ὅποιον θὰ ἴδῃς νὰ κατεβαίνῃ τὸ Πνεῦμα καὶ νὰ μένῃ ἐπάνω του, αὐτὸς εἶναι ποὺ βαπτίζει μὲ Πνεῦμα ἅγιον». Βλέπεις ὅτι αὐτὸ ἦτο τὸ ἔργον τοῦ Πνεύματος, νὰ δείξῃ τὸν Χριστόν;

Ἦτο ὅμως καὶ ἡ μαρτυρία τοῦ Ἰωάννου ἀπίστευτος, καὶ ἐπειδὴ ἤθελε νὰ τὴν κάνῃ πιὸ ἀξιόπιστον, τὴν ἀποδίδει εἰς τὸν Θεὸν καὶ εἰς τὸ ἅγιον Πνεῦμα. Διότι, ἐπειδὴ ὁ Ἰωάννης ἐμαρτύρησε τόσον μέγα καὶ ἀξιοθαύμαστον γεγονός, τὸ ὁποῖον ἦτο ἱκανὸν νὰ καταπλήξῃ ὅλους ὅσους τὸ ἤκουαν, ἤτοι ὅτι μόνος αὐτὸς σηκώνει τὰς ἁμαρτίας ὁλοκλήρου τῆς οἰκουμένης καὶ ὅτι διὰ τὴν τόσον μεγάλην λύτρωσιν εἶναι ἀρκετὸν τὸ μέγεθος τῆς δωρεᾶς, κάμνει αὐτὴν τὴν ἀποκάλυψιν. Ἡ ἀποκάλυψις δέ, ὅτι εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ ὅτι δὲν

τι Υἱός ἐστι τοῦ Θεοῦ, καὶ ὅτι οὐκ ἐδεῖτο βαπτίσματος, καὶ ὅτι ἔργον τῆς τοῦ Πνεύματος καθόδου γέγονε, τὸ δῆλον αὐτὸν ποιῆσαι μόνον. Οὐ γὰρ ἦν τῆς τοῦ Ἰωάννου δυνάμεως Πνεῦμα διδόναι· καὶ δηλοῦσι τοῦτο οἱ βαπτιζόμενοι ὑπ' αὐτοῦ, λέγοντες· «Ἀλλ' οὐδὲ εἰ Πνεῦμα ἅγιον ἔστιν ἠκούσαμεν».

Οὐκ ἄρα τοῦ βαπτίσματος ἐδεῖτο ὁ Χριστός, οὐκ ἐκείνου, οὐχ ἑτέρου τινός, ἀλλὰ μᾶλλον τὸ βάπτισμα ἔχρῃζε τῆς δυνάμεως τοῦ Χριστοῦ. Τὸ γὰρ ἐλλεῖπον τοῦτο ἦν τὸ κεφάλαιον πάντων τῶν ἀγαθῶν, τὸ Πνεύματος ἀξιωθῆναι τὸν βαπτιζόμενον. Ταύτην οὖν τὴν τοῦ Πνεύματος χορηγίαν προσέθηκε παραγενόμενος. «Καὶ ἐμαρτύρησεν ὁ Ἰωάννης, λέγων, ὅτι Τιθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ μένον ἐπ' αὐτόν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ». Συνεχῶς δὲ τό, «οὐκ ᾔδειν αὐτόν», τίθησιν, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ἐπειδὴ συγγενὴς αὐτοῦ ἦν κατὰ σάρκα· «Ἰδοὺ» γάρ, φησίν, «Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱόν». Ἵν' οὖν μὴ δόξῃ χαρίζεσθαι διὰ τὴν συγγένειαν, συνεχῶς φησι τό, «οὐκ ᾔδειν αὐτόν». Καὶ κατὰ λόγον δὲ τοῦτο συνέβαινε. Καὶ γὰρ τὸν ἅπαντα χρόνον ἐπὶ τῆς ἐρήμου διέτριβεν, ὢν τῆς πατρῴας οἰκίας ἐκτός.

Πῶς οὖν, εἰ οὐκ ᾔδει αὐτὸν πρὸ τῆς τοῦ Πνεύματος καθόδου, καὶ εἰ τότε πρῶτον αὐτὸν ἐγνώρισε, πρὸ τοῦ βαπτίσματος διεκώλυεν αὐτόν, λέγων· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι»; Τοῦτο γὰρ τεκμήριον τοῦ σφόδρα αὐτὸν εἰδέναι ἦν. Ἀλλ' οὐκ ἔμπροσθεν καὶ πρὸ πολλοῦ τοῦ χρόνου· καὶ εἰκότως. Τὰ μὲν γὰρ θαύματα, ὅσα περ, παιδὸς ὄντος ἐγένετο,

4. Πρ. 19, 2.
5. Λουκᾶ 1,36.
6. Ματθ. 3, 14.

ἔχει ἀνάγκην βαπτίσματος καὶ ὅτι αὐτὴ (ἡ ἀποκάλυψις) ἦτο ἔργον τῆς καθόδου τοῦ ἁγίου Πνεύματος, ἔγινε μόνον διὰ νὰ τὸν καταστήσῃ φανερόν. Διότι δὲν ἦτο εἰς τὴν δύναμιν τοῦ Ἰωάννου νὰ δώσῃ Πνεῦμα· τὸ δηλώνουν ἄλλωστε αὐτὸ καὶ ὅσοι βαπτίζονται ἀπὸ αὐτὸν ὅταν λέγουν· «Ἀλλὰ οὔτε ἐὰν ὑπάρχῃ Πνεῦμα ἅγιον δὲν ἔχομεν ἀκούσει»[4].

Ἑπομένως ὁ Χριστὸς δὲν εἶχεν ἀνάγκην οὔτε ἐκείνου τοῦ βαπτίσματος οὔτε κανενὸς ἄλλου, μᾶλλον δὲ τὸ βάπτισμα εἶχεν ἀνάγκην ἀπὸ τὴν δύναμιν τοῦ Χριστοῦ. Διότι ἐκεῖνο ποὺ ἔλειπεν, ἐκεῖνο ἦτο τὸ σπουδαιότερον ἀπὸ ὅλα τὰ ἀγαθά, τὸ νὰ λάβῃ ὁ βαπτιζόμενος τὸ Πνεῦμα. Αὐτὴν λοιπὸν τὴν χορήγησιν τοῦ Πνεύματος ἐπρόσθεσεν ὅταν ἦλθε. Καὶ ὁ Ἰωάννης ὡμολόγησεν «ὅτι εἶδα τὸ Πνεῦμα νὰ κατεβαίνῃ ὡσὰν περιστερὰ καὶ νὰ μένῃ ἐπάνω του. Καὶ ἐγὼ δὲν τὸν ἐγνώριζα, ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλε νὰ βαπτίζω μὲ ὕδωρ ἐκεῖνος μοῦ εἶπεν· εἰς ὅποιον θὰ ἰδῇς νὰ κατεβαίνῃ τὸ Πνεῦμα καὶ νὰ μένῃ ἐπάνω του, αὐτὸς εἶναι ποὺ βαπτίζει μὲ Πνεῦμα ἅγιον. Καὶ ἐγὼ εἶδα καὶ ὁμολογῶ ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ». Συνεχῶς ἀναφέρει τὸ «δὲν τὸν ἐγνώριζα», ὄχι ἀσκόπως καὶ ὡς ἔτυχεν, ἀλλ' ἐπειδὴ ἦτο συγγενής του κατὰ σάρκα. Διότι, «νά», λέγῃ, «ἡ συγγενής σου Ἐλισάβετ καὶ αὐτὴ ἔχει συλλάβει υἱόν»[5]. Διὰ νὰ μὴ δώσῃ λοιπὸν τὴν ἐντύπωσιν ὅτι χαρίζεται ἐξ αἰτίας τῆς συγγενείας, δι' αὐτὸ ἀναφέρει συνεχῶς τὸ «δὲν τὸν ἐγνώριζα». Ἄλλωστε αὐτὸ συνέβαινε καὶ εἰς τὴν πραγματικότητα, διότι ὅλα τὰ χρόνια ἔμενεν εἰς τὴν ἔρημον καὶ μακρυὰ ἀπὸ τὴν πατρικήν του οἰκίαν.

Πῶς ὅμως, ἐὰν δὲν τὸν ἐγνώριζε πρὶν ἀπὸ τὴν κάθοδον τοῦ Πνεύματος καὶ ἐὰν τὸν ἐγνώρισε τότε διὰ πρώτην φοράν, τὸν παρημπόδιζε πρὶν ἀπὸ τὸ βάπτισμα λέγων· «Ἐγὼ ἔχω ἀνάγκην νὰ βαπτισθῶ ἀπὸ ἐσένα»[6]; Διότι αὐτὸ εἶναι ἀπόδειξις ὅτι τὸν ἐγνώριζε πολὺ καλά. Τὸν ἐγνώριζεν, ἀλλὰ ὄχι προηγουμένως καὶ μάλιστα πρὶν ἀπὸ πολὺν χρόνον, καὶ πολὺ εὐλόγως. Διότι τὰ μὲν θαύματα, ὅσα συνέβη-

οἷον τὰ περὶ τοὺς Μάγους, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, πρὸ πολλοῦ συμβεβήκει τοῦ χρόνου, τοῦ Ἰωάννου σφόδρα καὶ αὐτοῦ παιδὸς ὄντος, ἐν δὲ τῷ μεταξύ, πολλοῦ γενομένου τοῦ χρόνου, εἰκότως πᾶσιν ἄγνωστος ἐτύγχανεν. Ἐπεί, εἰ γνώριμος ἦν, οὐκ ἂν εἶπεν· «Ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον βαπτίζων».

3. Ἐντεῦθεν ἡμῖν λοιπὸν ὅτι καὶ τὰ σημεῖα ἐκεῖνα, ἃ παιδικὰ εἶναί φασι τοῦ Χριστοῦ, ψευδῆ καὶ πλάσματά τινων ἐπεισαγόντων ἐστίν. Εἰ γὰρ ἐκ πρώτης ἀρξάμενος ἡλικίας ἐθαυματούργει, οὐκ ἂν οὔτε Ἰωάννης αὐτὸν ἠγνόησεν, οὐδὲ τὸ λοιπὸν πλῆθος ἐδεήθη ἂν διδασκάλου τοῦ φανερώσοντος αὐτόν. Νῦν δὲ αὐτός φησι διὰ τοῦτο παραγεγονέναι, «Ἵνα φανερωθῇ τῷ Ἰσραήλ»· καὶ διὰ τοῦτο ἔλεγε πάλιν· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι».

Ὕστερον δέ, ἅτε σαφέστερον μαθών, τοῖς ὄχλοις αὐτὸν ἐκήρυττε, λέγων· «Οὗτος ἦν, ὃν εἶπον· Ὀπίσω μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγονεν», ὅτι καί, «Ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι», καὶ διὰ τοῦτο πέμψας, «Ἵνα φανερωθῇ τῷ Ἰσραήλ», αὐτὸς αὐτῷ καὶ πρὸ τῆς τοῦ Πνεύματος καθόδου αὐτὸν ἀπεκάλυψε. Διὸ καὶ πρὶν ἢ παραγενέσθαι, ἔλεγεν· «Ὀπίσω μου ἔρχεται, ὃς ἔμπροσθέν μου γέγονεν».

Οὐ τοίνυν ᾔδει αὐτὸν πρὸ τοῦ ἐλθεῖν ἐπὶ τὸν Ἰορδάνην καὶ πάντας βαπτίζειν, ἀλλά, ὅτε ἔμελλε βαπτίζεσθαι, τότε αὐτὸν ἔγνω, καὶ ταῦτα τοῦ Πατρὸς αὐτὸν ἀποκαλύψαντος τῷ Προφήτῃ, καὶ τοῦ Πνεύματος δείξαντος βαπτιζόμενον Ἰουδαίοις, δι᾽ οὓς καὶ ἡ κάθοδος τοῦ Πνεύματος γέγονεν. Ἵνα γὰρ ἡ Ἰωάννου μὴ καταφρονηθῇ μαρτυρία, λέγοντος, ὅτι «πρῶτός μου ἦν», καὶ ὅτι «ἐν Πνεύματι βαπτίζει», καὶ ὅτι «κρινεῖ

σαν ἐνόσῳ ἀκόμη ἦτο παιδί, ἤτοι τὰ σχετικὰ μὲ τοὺς Μάγους καὶ τὰ ἄλλα παρόμοια, εἶχαν συμβῆ πρὶν ἀπὸ πολὺν χρόνον, ὅταν καὶ ὁ Ἰωάννης ἦτο πολὺ παιδί. Ἐπειδὴ δὲ ἐν τῷ μεταξὺ εἶχε παρέλθη πολὺς χρόνος, ἦτο φυσικὸν νὰ εἶναι ἄγνωστος εἰς ὅλους. Διότι, ἐὰν ἦτο γνωστός του, δὲν θὰ ἔλεγεν· «Διὰ νὰ γίνῃ φανερὸς εἰς τὸν Ἰσραηλιτικὸν λαόν, δι' αὐτὸ ἦλθα καὶ βαπτίζω».

3. Ἀπὸ ἐδῶ λοιπὸν μᾶς γίνεται φανερόν, ὅτι καὶ τὰ θαύματα ἐκεῖνα, τὰ ὁποῖα ἰσχυρίζονται ὅτι εἶναι παιδικὰ θαύματα τοῦ Χριστοῦ, εἶναι ψεύτικα καὶ ἐπινοήσεις μερικῶν οἱ ὁποῖοι τὰ εἰσάγουν ἐκ τῶν ὑστέρων. Διότι ἐὰν ἄρχιζε νὰ θαυματουργῇ ἀπὸ τὴν πρώτην ἡλικίαν του, οὔτε ὁ Ἰωάννης θὰ τὸν ἀγνοοῦσεν, οὔτε τὸ ὑπόλοιπον πλῆθος θὰ εἶχεν ἀνάγκην διδασκάλου διὰ νὰ τὸν φανερώσῃ. Ἐνῷ τώρα ὁ ἴδιος λέγει, ὅτι διὰ τοῦτο ἦλθε διὰ νὰ γίνῃ φανερὸς εἰς τὸν Ἰσραηλιτικὸν λαόν, καὶ δι' αὐτὸ ἐπίσης ἔλεγεν· «ἐγὼ ἔχω ἀνάγκην νὰ βαπτισθῶ ἀπὸ ἐσένα».

Ἔπειτα δέ, ὅταν τὸν ἐγνώρισε καλύτερα, τὸν ἐκήρυσσεν εἰς τὰ πλήθη λέγων· «Αὐτὸς εἶναι ἐκεῖνος διὰ τὸν ὁποῖον εἶπα· μετὰ ἀπὸ ἐμένα ἔρχεται κάποιος, ποὺ εἶναι ἀνώτερός μου», διότι καὶ «ἐκεῖνος ποὺ μὲ ἔστειλε νὰ βαπτίζω μὲ ὕδωρ» καὶ ὁ ὁποῖος μὲ ἔστειλε καὶ διὰ τοῦτο, «διὰ νὰ γίνῃ φανερὸς εἰς τὸν Ἰσραηλιτικὸν λαόν», αὐτὸς τοῦ τὸν ἀπεκάλυψε καὶ πρὶν ἀπὸ τὴν κάθοδον τοῦ Πνεύματος. Διὰ τοῦτο καὶ πρὶν νὰ ἔλθῃ ἔλεγεν· «Μετὰ ἀπὸ ἐμένα ἔρχεται κάποιος, ποὺ εἶναι ἀνώτερός μου».

Δὲν τὸν ἐγνώριζε λοιπὸν πρὶν νὰ ἔλθῃ εἰς τὸν Ἰορδάνην καὶ νὰ βαπτίζῃ τοὺς πάντας, ἀλλὰ ὅταν ἐπρόκειτο νὰ βαπτισθῇ, τότε τὸν ἐγνώρισε. Καὶ αὐτὸ ἔγινε μὲ τὸ νὰ τὸν ἀποκαλύψῃ ὁ Πατήρ του εἰς τὸν προφήτην, καὶ νὰ τὸν δείξῃ τὸ Πνεῦμα καθὼς ἐβαπτίζετο εἰς τοὺς Ἰουδαίους, χάριν τῶν ὁποίων ἔγινε καὶ ἡ κάθοδος τοῦ Πνεύματος. Διότι, διὰ νὰ μὴ περιφρονηθῇ ἡ μαρτυρία τοῦ Ἰωάννου, ὁ ὁποῖος ἔλεγεν ὅτι «εἶναι ἀνώτερός μου» καὶ ὅτι βαπτίζει μὲ Πνεῦ-

τὴν οἰκουμένην», καὶ ὁ Πατὴρ φωνὴν ἀφίησιν, ἀνακηρύττων τὸν Υἱόν, καὶ τὸ Πνεῦμα ἔπεισι, τὴν φωνὴν ἕλκον ἐπὶ τὴν κεφαλὴν τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ὁ μὲν ἐβάπτιζεν, ὁ δὲ ἐβαπτίζετο, ἵνα μή τις τῶν παρόντων περὶ Ἰωάννου νομίσῃ λέγεσθαι τὸ εἰρημένον, ἔρχεται τὸ Πνεῦμα διορθούμενον τὴν τοιαύτην ὑπόνοιαν.

Ὥστε, ὅταν λέγῃ· «Οὐκ ᾔδειν αὐτόν», τὸν ἔμπροσθεν λέγει χρόνον, οὐ τὸν ἐγγὺς τοῦ βαπτίσματος. Ἐπεὶ πῶς αὐτὸν ἐκώλυε, λέγων· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι»; πῶς δὲ καὶ τοιαῦτα περὶ αὐτοῦ ἔλεγε;

Πῶς οὖν οὐκ ἐπίστευσαν Ἰουδαῖοι, φησίν; οὐδὲ γὰρ μόνος Ἰωάννης εἶδε τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς. Ὅτι, εἰ καὶ εἶδον, ἀλλὰ τὰ τοιαῦτα οὐχὶ τῶν τοῦ σώματος ὀφθαλμῶν δεῖται μόνον, ἀλλὰ πρὸ τούτων τῆς κατὰ διάνοιαν ὄψεως, ὥστε μὴ φαντασίαν περιττὴν τὸ πρᾶγμα νομίσαι. Εἰ γοῦν θαυματουργοῦντα ὁρῶντες, καὶ ἁπτόμενον ταῖς οἰκείαις χερσὶ τῶν νενοσηκότων καὶ τῶν τεθνηκότων, καὶ οὕτως αὐτοὺς πρὸς ζωὴν ἐπανάγοντα καὶ ὑγείαν, τοσοῦτον ἐμέθυον ὑπὸ τῆς βασκανίας, ὥστε ἐναντία τοῖς ὁρωμένοις ἀποφαίνεσθαι, πῶς ἂν ἀπὸ τῆς ἐπιφοιτήσεως τοῦ Πνεύματος μόνης ἀπεκρούσαντο τὴν ἀπιστίαν.

Τινὲς δέ φασιν οὐδὲ πάντας αὐτοὺς τεθεᾶσθαι, ἀλλ' ἢ μόνον Ἰωάννην καὶ τοὺς εὐγνωμονέστερον διακειμένους· εἰ γὰρ καὶ αἰσθητοῖς ὀφθαλμοῖς δυνατὸν ἦν ἰδεῖν ὡς ἐν εἴδει περιστερᾶς τὸ Πνεῦμα κατιόν, ἀλλ' ὅμως οὐ διὰ τοῦτο πᾶσα ἀνάγκη πᾶσι κατάδηλον εἶναι τὸ πρᾶγμα. Καὶ γὰρ καὶ Ζαχαρίας ἐν αἰσθητῷ εἴδει πολλὰ τεθέαται, καὶ Δανιήλ, καὶ Ἰεζεκιήλ, καὶ κοινωνὸν τῆς θέας οὐδένα ἔσχον· καὶ Μωϋ-

μα καὶ ὅτι θὰ κρίνῃ τὴν οἰκουμένην, καὶ ὁ Πατὴρ φωνάζει διακηρύσσων τὸν Υἱόν, καὶ τὸ Πνεῦμα κατέρχεται, ἕλκον τὴν φωνὴν τοῦ Πατρὸς ἐπάνω εἰς τὴν κεφαλὴν τοῦ Χριστοῦ. Διότι ἐπειδὴ ὁ μὲν ἕνας ἐβάπτιζεν, ὁ δὲ ἄλλος ἐβαπτίζετο, διὰ νὰ μὴ νομίσῃ κανεὶς ἀπὸ τοὺς παρευρισκομένους ὅτι διὰ τὸν Ἰωάννην ἐλέγετο αὐτὸ ποὺ ἠκούετο, ἔρχεται τὸ Πνεῦμα καὶ αἴρει αὐτὴν τὴν παρεξήγησιν.

Ὥστε, ὅταν λέγῃ «δὲν τὸν ἐγνώριζα», ἐννοεῖ τὸν πρὶν ἀπὸ τὴν βάπτισιν χρόνον καὶ ὄχι τὸν κοντινόν. Διότι ἀλλιῶς πῶς θὰ τὸν παρημπόδιζε λέγων, «ἐγὼ ἔχω ἀνάγκη νὰ βαπτισθῶ ἀπὸ ἐσένα»; Καὶ πῶς ἀκόμη ἔλεγε τὰ ἄλλα παρόμοια περὶ αὐτοῦ.

Πῶς ὅμως τότε δὲν ἐπίστευσαν οἱ Ἰουδαῖοι, λέγει; Διότι δὲν εἶδε μόνον ὁ Ἰωάννης τὸ Πνεῦμα ὑπὸ μορφὴν περιστερᾶς. Διότι, μολονότι τὸ εἶδαν, αὐτὰ τὰ πράγματα δὲν χρειάζονται μόνον σωματικοὺς ὀφθαλμούς, ἀλλὰ πρὶν ἀπὸ αὐτοὺς ἔχουν ἀνάγκην τῶν ὀφθαλμῶν τῆς διανοίας, διὰ νὰ μὴ νομίσουν ὅτι τὸ γεγονὸς εἶναι περιττὴ ἐπινόησις. Ὅταν λοιπόν, ἂν καὶ τὸν ἔβλεπαν νὰ θαυματουργῇ καὶ νὰ ἀκουμπᾷ μὲ τὰ ἴδια του τὰ χέρια τοὺς ἀρρώστους καὶ τοὺς νεκροὺς καὶ νὰ τοὺς ἐπαναφέρῃ μὲ τὸν τρόπον αὐτὸν εἰς τὴν ζωὴν καὶ εἰς τὴν ὑγείαν, τόσον πολὺ ἦσαν κυριευμένοι ἀπὸ τὸ πάθος τοῦ φθόνου, ὥστε νὰ διακηρύττουν ἀντίθετα ἀπὸ αὐτὰ ποὺ ἔβλεπαν, πῶς μὲ μόνην τὴν ἐπιφοίτησιν τοῦ Πνεύματος θὰ ἀπεκήρυτταν τὴν ἀπιστίαν;

Μερικοὶ δὲ λέγουν ὅτι δὲν τὸ εἶδαν ὅλοι ἐκεῖνοι, παρὰ μόνον ὁ Ἰωάννης καὶ ὅσοι διετέλουν μὲ περισσοτέραν εὐγνώμονα διάθεσιν. Διότι, μολονότι ἦτο δυνατὸν νὰ τὸ ἰδοῦν μὲ τοὺς αἰσθητοὺς ὀφθαλμούς, ἀφοῦ τὸ Πνεῦμα κατήρχετο ὑπὸ μορφὴν περιστερᾶς, ἐν τούτοις αὐτὸ δὲν σημαίνει ὅτι ἦτο ἀναγκαῖον ὁπωσδήποτε νὰ γίνῃ τὸ συμβὰν ὁλοφάνερον. Διότι καὶ ὁ Ζαχαρίας πολλὰ εἶχεν ἰδεῖ μὲ αἰσθητὴν μορφήν, καὶ ὁ Δανιὴλ καὶ ὁ Ἰεζεκιήλ, καὶ ὅμως δὲν εἶχαν κανένα ἄλλον ποὺ νὰ βλέπῃ καὶ αὐτός. Καὶ ὁ Μωϋσῆς ἐπίσης πολ-

σῆς δὲ πολλὰ οἶδε, καὶ οἷα τῶν ἄλλων οὐδείς, καὶ τῆς μεταμορφώσεως δὲ τῆς ἐπὶ τοῦ ὄρους οὐ πάντες ἠξιώθησαν αἱ μαθηταί· ἀλλ' οὐδὲ τῆς κατὰ τὴν ἀνάστασιν ὄψεως ἐκοινώνησαν ἅπαντες· καὶ τοῦτο δηλοῖ σαφῶς ὁ Λουκᾶς, εἰπὼν ὅτι ἔδειξεν ἑαυτὸν τοῖς «μάρτυσι, τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ».

«Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ». Καὶ ποῦ ἐμαρτύρησεν ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ; Ἀμνὸν μὲν γὰρ αὐτὸν ἐκάλεσε, καί, ὅτι Πνεύματι βαπτίζειν ἔμελλεν, εἶπεν, Υἱὸν δὲ Θεοῦ οὐδαμοῦ. Καίτοι γε μετὰ τὸ βάπτισμα οὐδὲν αὐτὸν ἀναγράφουσιν εἰρηκότα οἱ ἄλλοι εὐαγγελισταί, ἀλλά, τὰ μεταξὺ σιωπήσαντες, τὰ μετὰ τὴν σύλληψιν Ἰωάννου γενόμενα τοῦ Χριστοῦ θαύματα λέγουσιν. Ἀφ' ὧν στοχάζεσθαι εἰκὸς ὅτι καὶ ταῦτα καὶ πολλῷ ἕτερα πλείονα παραλέλειπται· καὶ τοῦτο αὐτὸς οὗτος ὁ Εὐαγγελιστὴς πρὸς τῷ τέλει τῆς συγγραφῆς ἐδήλωσε.

Τοσοῦτον γὰρ ἀπέσχον τοῦ πλάσαι τι μέγα περὶ αὐτοῦ, ὅτι τὰ μὲν δοκοῦντα ἐπονείδιστα εἶναι πάντες ὁμοφώνως καὶ μετὰ ἀκριβείας ἔθηκαν ἁπάσης, καὶ οὐκ ἂν εὕροις οὐδένα αὐτῶν παραλιπόντα οὐδὲν τῶν τοιούτων, τῶν δὲ θαυμάτων τὰ μὲν ἄλλοις εἴασαν, τὰ δὲ πάντες ἀπεσιώπησαν. Ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ πρὸς τὴν τῶν Ἑλλήνων ἀναισχυντίαν. Ἱκανὸν γὰρ τοῦτο τοῦ φιλαλήθους αὐτῶν τρόπου δεῖγμα, καὶ τοῦ μηδὲν πρὸς χάριν λέγειν. Καὶ δυνήσεσθε καὶ ταύτῃ μετὰ τῶν ἄλλων ὁπλίζεσθαι τῇ τῶν λόγων ὑποθέσει πρὸς αὐτούς. Ἀλλὰ προσέχετε· καὶ γὰρ ἄτοπον τὸν μὲν ἰατρὸν μετὰ ἀκριβείας ὑπὲρ τῆς τέχνης ἀγωνίζεσθαι τῆς αὐτοῦ, καὶ τὸν σκυτοτόμον, καὶ τὸν ὑφάντην, καὶ πάντας ἁπλῶς τοὺς τεχνίτας, τὸν δὲ Χριστιανὸν εἶναι φάσκοντα, μὴ δύνασθαι λόγον ὑπὲρ τῆς οἰκείας παρασχεῖν πίστεως. Καίτοι ἐκεῖνα μὲν παροφθέντα εἰς χρήματα τὴν

---

7. Πρ. 10, 41.
8. Ἰω. 21, 25.

λὰ εἶχεν ἰδεῖ καὶ μάλιστα τέτοια ποὺ δὲν εἶδε κανεὶς ἀπὸ τοὺς ἄλλους. Ἀλλὰ καὶ τὴν ἐπὶ τοῦ ὄρους Μεταμόρφωσιν δὲν ἠξιώθησαν νὰ τὴν ἰδοῦν ὅλοι οἱ μαθηταί, οὔτε δὲ καὶ εἰς τὴν θέαν τῆς Ἀναστάσεως ἔλαβαν μέρος ὅλοι. Αὐτὸ δὲ τὸ δηλώνει σαφῶς ὁ Λουκᾶς ὅταν λέγῃ ὅτι ἔδειξε τὸν ἑαυτόν του «εἰς μάρτυρας, ποὺ τοὺς ἐξέλεξεν ὁ Θεὸς ἀπὸ πρίν»[7].

«Καὶ ἐγὼ εἶδα καὶ ἐμαρτύρησα ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ». Καὶ ποὺ ἐμαρτύρησεν ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ; Διότι Ἀμνὸν τοῦ Θεοῦ τὸν ὠνόμασε καὶ ὅτι πρόκειται νὰ βαπτίζῃ μὲ Πνεῦμα τὸ εἶπεν· Υἱὸν ὅμως τοῦ Θεοῦ πουθενὰ δὲν τὸν ὠνόμασε. Μετὰ τὴν βάπτισιν ὅμως, οἱ ἄλλοι εὐαγγελισταὶ δὲν ἀναφέρουν ὅτι εἶπε τίποτε, ἀλλὰ ἀφοῦ παραλείπουν ὅλα τὰ ἐνδιάμεσα, ἀναφέρουν τὰ θαύματα τοῦ Χριστοῦ ποὺ ἔγιναν μετὰ τὴν σύλληψιν τοῦ Ἰωάννου. Ἀπὸ αὐτὰ εἶναι λογικὸν νὰ συμπεράνωμεν, ὅτι καὶ αὐτὰ καὶ ἄλλα πολὺ περισσότερα ἔχουν παραλειφθῆ. Καὶ αὐτὸ τὸ δηλώνει εἰς τὸ τέλος τοῦ συγγράμματός του ὁ ἴδιος ὁ εὐαγγελιστής[8].

Διότι τόσον ἀπέφυγαν ἀπὸ τὸ νὰ ἐπινοήσουν κάτι σπουδαῖον δι' αὐτόν, ὥστε ὅσα μὲν φαίνονται ὅτι εἶναι ἀξιοκατάκριτα, τὰ ἀναφέρουν ὅλοι ὁμόφωνα καὶ μὲ κάθε ἀκρίβειαν, καὶ δὲν εἶναι δυνατὸν νὰ εὕρῃς κανένα ἀπὸ αὐτοὺς ποὺ νὰ ἔχῃ παραλείψει τίποτε τέτοιο. Ἐνῷ ἀπὸ τὰ θαύματα, ἄλλα μὲν τὰ ἄφησαν εἰς ἄλλους, ἄλλα δὲ τὰ ἀπεσιώπησαν ὅλοι. Αὐτὰ δὲ δὲν τὰ εἶπα εἰς τὴν τύχην, ἀλλὰ ὡς ἀπάντησιν εἰς τὴν ἀναισχυντίαν τῶν Ἑλλήνων. Διότι αὐτὸ εἶναι ἀρκετὸν δεῖγμα τῆς εἰλικρινείας των καὶ τοῦ ὅτι δὲν λέγουν τίποτε χαριστικῶς. Καὶ ἠμπορεῖτε καὶ ἀπὸ αὐτά, μαζὶ μὲ τὰ ἄλλα, νὰ ὁπλίζεσθε κατὰ τὴν ἐναντίον των διαμάχην μὲ ἐπιχειρήματα. Ἀλλὰ προσέχετε· διότι εἶναι ἄτοπον, ὁ μὲν ἰατρὸς νὰ ἀγωνίζεται μὲ λεπτομέρειαν ὑπὲρ τῆς τέχνης του, καὶ ὁ ὑποδηματοποιὸς καὶ ὁ ὑφάντης καὶ ὅλοι γενικῶς οἱ τεχνῖται· ἐνῷ ἐκεῖνος ποὺ ἰσχυρίζεται ὅτι εἶναι χριστιανὸς νὰ μὴ ἠμπορῇ νὰ ὑπερασπισθῇ τὴν πίστιν του. Μολονότι, ἐκεῖνα

ζημίαν ἤνεγκε, ταῦτα δὲ ἀμελούμενα αὐτὴν ἡμῖν διαφθείρει τὴν ψυχήν. Ἀλλ' ὅμως, οὕτως ἀθλίως διακείμεθα, ὡς ἐκείνοις μὲν ἅπασαν ἀπονέμειν σπουδήν, τῶν δὲ ἀναγκαίων, καὶ ἃ σωτηρίας ὑπόθεσις τῆς ἡμετέρας ἐστί, τούτων ὡς οὐδενὸς ἀξίων καταφρονεῖν.

4. Τοῦτο οὐκ ἀφίησι τοὺς Ἕλληνας τῆς οἰκείας ταχέως καταγελάσαι πλάνης. Ὅταν γὰρ αὐτοὶ μέν, τῷ ψεύδει συνιστάμενοι, πάντα πράττωσιν, ὥστε συσκιάσαι τῶν δογμάτων τὴν αἰσχύνην, ἡμεῖς δὲ οἱ τῆς ἀληθείας θεραπευταὶ μηδὲ διᾶραι τὸ στόμα δυνώμεθα, πῶς οὐ πολλὴν τοῦ δόγματος καταγνώσονται τὴν ἀσθένειαν; πῶς οὐκ ἀπάτην καὶ μωρίαν τὰ ἡμέτερα ὑποπτεύσουσι; πῶς οὐ βλασφημήσουσι τὸν Χριστὸν ὡς εἴρωνα, καὶ ἀπατεῶνα, καὶ τῇ τῶν πολλῶν ἀνοίᾳ πρὸς τὴν ἀπάτην ἀποχρησάμενον;

Ταύτης δὲ ἡμεῖς αἴτιοι τῆς βλασφημίας, οὐκ ἐθέλοντες ἀγρυπνεῖν ἐν τοῖς ὑπὲρ εὐσεβείας λόγοις, ἀλλὰ πάρεργα τιθέμενοι ταῦτα, καὶ τὰ τῆς γῆς μεριμνῶντες. Καὶ ὀρχηστοῦ μέν τις ἐρῶν καὶ ἡνιόχου καὶ τοῦ τοῖς θηρίοις πυκτεύοντος, πάντα κινεῖ καὶ πραγματεύεται, ὥστε ἐν τοῖς ἀγῶσι τοῖς ὑπὲρ αὐτοῦ μὴ ἔλαττον ἔχων ἀπελθεῖν, καὶ μακροὺς συνείρουσιν ἐπαίνους, πρὸς τοὺς κατηγοροῦντας αὐτῶν ἀπολογίαν συντιθέντες, καὶ μυρίοις βάλλοντες σκώμμασι τοὺς ἐναντιουμένους, ὑπὲρ δὲ Χριστιανισμοῦ προκειμένων λόγων, πάντες κάτω νεύουσι, καὶ κνῶνται, καὶ χασμῶνται, καὶ καταγελασθέντες ἀναχωροῦσι.

Καὶ πῶς οὐκ ἄξια ταῦτα μυρίας ὀργῆς, ὅταν ὁ Χριστὸς ἀτιμότερος ὀρχηστοῦ φαίνηται παρ' ὑμῖν; εἴ γε ὑπὲρ μὲν τῶν ἐκείνοις πεπραγμένων μυρίας ἀπολογίας μεμελετήκατε, καίτοι γε πάντων αἰσχροτέρων ὄντων, ὑπὲρ δὲ τῶν τοῦ Χριστοῦ θαυμάτων, καίτοι γε τὴν οἰκουμένην ἐπισπασαμένων,

μὲν ἐὰν παραθεωρηθοῦν φέρουν χρηματικὴν ζημίαν· ἐνῷ αὐτὰ ὅταν παραμελοῦνται μᾶς καταστρέφουν τὴν ἰδίαν τὴν ψυχήν μας. Τόσον ἄθλια φερόμεθα ὅμως, ὥστε εἰς ἐκεῖνα μὲν νὰ δεικνύωμεν κάθε προθυμίαν, ἐνῷ τὰ ἀπαραίτητα καὶ ἐκεῖνα τὰ ὁποῖα ἀφοροῦν τὴν ὑπόθεσιν τῆς σωτηρίας μας τὰ περιφρονοῦμεν ὡς ἀνάξια λόγου.

4. Αὐτὸ δὲν ἀφήνει τοὺς Ἕλληνας νὰ χλευάσουν γρήγορα τὴν πλάνην των. Διότι ὅταν, αὐτοὶ μὲν οἱ ὁποῖοι συμπράττουν μὲ τὸ ψεῦδος, κάνουν τὰ πάντα ὥστε νὰ συγκαλύψουν τὴν αἰσχύνην τῶν δογμάτων των, ἐνῷ ἐμεῖς οἱ ὁποῖοι εἴμεθα ὑπηρέται τῆς ἀληθείας, δὲν ἠμποροῦμεν οὔτε τὸ στόμα μας νὰ ἀνοίξωμεν, πῶς δὲν θὰ μᾶς κατηγορήσουν διὰ μεγάλην ἀδυναμίαν τῆς διδασκαλίας μας; Πῶς δὲν θὰ ὑποψιασθοῦν ὅτι τὰ ἰδικά μας διδάγματα εἶναι ἀπάτη καὶ μωρία; Πῶς δὲν θὰ βλασφημήσουν τὸν Χριστὸν ὡς εἴρωνα καὶ ἀπατεῶνα, ὁ ὁποῖος κατεχράσθη τὴν μωρίαν τῶν πολλῶν διὰ νὰ τοὺς ἐξαπατήσῃ;

Αὐτῆς δὲ τῆς βλασφημίας αἴτιοι εἴμεθα ἐμεῖς, οἱ ὁποῖοι δὲν θέλομεν νὰ ἀγρυπνοῦμεν εἰς τὰς ὁμιλίας περὶ τῆς εὐσεβείας, ἀλλὰ τὰ θεωροῦμεν αὐτὰ πάρεργα καὶ φροντίζομεν διὰ τὰ γήινα. Καὶ ὅταν μὲν κάποιος ἀγαπᾷ ἕνα χορευτὴν ἢ ἡνίοχον ἢ θηριοδαμαστήν, κινεῖ καὶ κάνει τὰ πάντα, ὥστε εἰς τοὺς ὑπὲρ αὐτοῦ ἀγῶνας νὰ μὴ ἀποχωρήσῃ νικημένος. Καὶ πλέκουν μακρὰ ἐγκώμια ὅταν ἀπολογοῦνται πρὸς ἐκείνους ποὺ τοὺς κατηγοροῦν καὶ βάλλουν κατὰ τῶν ἀντιθέτων μὲ μύρια σκώμματα. Ἐνῷ ὅταν γίνεται λόγος περὶ τοῦ Χριστιανισμοῦ, ὅλοι σκύβουν τὴν κεφαλήν των κάτω καὶ ξύνονται καὶ χασκῶνται καὶ ἀφοῦ γελοιοποιηθοῦν ἀναχωροῦν.

Καὶ πῶς νὰ μὴ εἶναι ἄξια μεγάλης ὀργῆς αὐτά, ὅταν ὁ Χριστὸς ἐμφανίζεται ἀπὸ σᾶς πιὸ ἄτιμος καὶ ἀπὸ τὸν χορευτήν; Ὅταν, βέβαια, διὰ μὲν τὰ κατορθώματα ἐκείνων ἑτοιμάζετε μυρίας ἀπολογίας, ἂν καὶ ὅλοι τους εἶναι αἰσχροί, ἐνῷ διὰ τὰ θαύματα τοῦ Χριστοῦ, μολονότι εἵλκυσαν τὴν οἰκουμένην, δὲν ἀνέχεσθε οὔτε νὰ ἐννοήσετε καὶ νὰ ἐνδια-

οὐδὲ ἐννοῆσαί τι καὶ μεριμνῆσαι ἀνέχεσθε. Πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, εἰς ἀνάστασιν σωμάτων, εἰς ζωὴν αἰώνιον. Ἂν τοίνυν ἔρηταί τις Ἑλλήνων· Τίς ποτέ ἐστιν οὗτος ὁ Πατήρ; τίς δὲ ὁ Υἱός; τίς δὲ τὸ Πνεῦμα τὸ ἅγιον; ἤ, πῶς καὶ ὑμεῖς, τρεῖς λέγοντες θεούς, ἡμῖν ἐγκαλεῖτε πολυθεΐαν; τί ἐρεῖτε; τί δὲ ἀποκρινεῖσθε; πῶς ἀποκρούσεσθε τὴν προσβολὴν τῶν λόγων τούτων;

Τί δέ, ἄν, σιγώντων ὑμῶν, πάλιν ἐπενέγκῃ τὸ ἕτερον ζήτημα· Τί δέ ἐστιν ὅλως ἀνάστασις ἐρωτῶν; Ἆρα γὰρ ἐν τούτῳ τῷ σώματι πάλιν ἀναστησόμεθα; ἆρα ἐν ἑτέρῳ παρὰ τοῦτο; καὶ εἰ ἐν τούτῳ, τίς χρεία αὐτὸ καταλυθῆναι; τί πρὸς ταῦτα ἐρεῖτε; Τί δέ, ἂν λέγῃ· Διὰ τί νῦν, καὶ μὴ ἐν τοῖς ἔμπροσθεν παρεγένετο χρόνοις ὁ Χριστός; νῦν γὰρ ἔδοξεν αὐτῷ προνοῆσαι τῶν ἀνθρώπων, τὸν δὲ ἄλλον ἅπαντα χρόνον ἡμῶν κατεφρόνει; ἢ καὶ ἄλλα ἔτι ἂν πρὸς τούτοις τούτων πλείονα ἐξετάζῃ; Οὐδὲ γὰρ ἀναγκαῖον, πολλὰ ἐφεξῆς ζητήματα τιθέντας, τὰς λύσεις ἀποσιγᾶν, ὥστε μὴ τοὺς ἀφελεστέρους ταύτῃ παραβλάψαι· ἀρκεῖ γὰρ καὶ τὰ εἰρημένα πρὸς τὸ ἀποτινάξαι ὑμῶν τὸν ὕπνον.

Τί οὖν; ἂν ταῦτα ἐξετάζωσιν, ὑμεῖς δὲ μηδὲ τῶν ρημάτων ὑπακούειν δύνησθε ἁπλῶς τούτων, ἆρα μικρὰν ὑποστησόμεθα δίκην, εἰπέ μοι, τοσαύτης πλάνης αἴτιοι γινόμενοι τοῖς ἐν τῷ σκότῳ καθημένοις; Ἐβουλόμην, εἴ γε σχολῆς ἀπελαύετε πολλῆς, εἰς μέσον ἁπάντων ὑμῶν μιαροῦ τινος Ἕλληνος φιλοσόφου βιβλίον καθ᾿ ἡμῶν εἰρημένον ἀγαγεῖν, ἑτέρου πάλιν πρεσβυτέρου τούτου, ἵν᾿ οὕτω γοῦν ὑμᾶς διανέστησα, καὶ τῆς πολλῆς νωθείας ἀπήγαγον. Εἰ γὰρ ἐκεῖνοι μέν, ὥστε καθ᾿ ἡμῶν εἰπεῖν, τοσαῦτα ἠγρύπνησαν, τίνος ἂν εἴημεν συγγνώμης ἡμεῖς ἄξιοι, εἰ μηδὲ τὰς προσ-

φερθῆτε κατά τι. Πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· εἰς ἀνάστασιν σωμάτων, εἰς ζωὴν αἰώνιον. Ἐὰν λοιπὸν σᾶς ἐρωτήση κανεὶς ἀπὸ τοὺς Ἕλληνας· τί εἴδους εἶναι αὐτὸς ὁ Πατήρ; Τί εἴδους εἶναι ὁ Υἱός; Τί εἴδους εἶναι τὸ ἅγιον Πνεῦμα; Ἢ ἐὰν σᾶς ἐρωτήσῃ πῶς ἀφοῦ καὶ σεῖς ἔχετε τρεῖς θεούς, μᾶς κατηγορεῖτε διὰ πολυθεΐαν; τί θὰ εἰπῆτε; Τί θὰ ἀποκριθῆτε; Πῶς θὰ ἀποκρούσετε τὴν ἐπίθεσιν αὐτῶν τῶν λόγων;

Τί θὰ κάνετε δέ, ἐάν, καθὼς σιωπᾶτε, θέσῃ ἄλλο ζήτημα καὶ σᾶς ἐρωτήσῃ τί εἶναι γενικὰ ἡ Ἀνάστασις; Θὰ ἀναστηθῶμεν ἆρά γε μὲ αὐτὸ τὸ σῶμα; Ἢ μήπως μὲ ἄλλο καὶ ὄχι μὲ αὐτό; Καὶ ἐὰν ἀναστηθῶμεν μὲ αὐτό, διατί εἶναι ἀνάγκη νὰ καταργηθῇ; Τί θὰ εἰπῆτε; Ἐὰν πάλιν σᾶς ἐρωτήσῃ· διατί ὁ Χριστὸς ἦλθε τώρα καὶ ὄχι κατὰ τοὺς προηγουμένους χρόνους; Μήπως, τώρα ἐθεώρησε καλὸν νὰ φροντίσῃ διὰ τοὺς ἀνθρώπους, ἐνῷ καθ' ὅλον τὸν προηγούμενον καιρὸν τοὺς περιφρονοῦσε; Ἢ ἀκόμη ἐὰν σᾶς ἐρωτήση καὶ ἄλλα περισσότερα ἀπὸ αὐτά; Ἄλλωστε δὲν εἶναι ἀναγκαῖον νὰ θέτωμεν πολλὰ θέματα εἰς τὴν σειρὰν καὶ νὰ ἀποφεύγωμεν τὰς ἀπαντήσεις, διὰ νὰ μὴ βλάψωμεν μὲ τὸν τρόπον αὐτὸν τοὺς περισσότερον ἀφελεῖς. Διότι ἀρκοῦν καὶ ὅσα ἐλέχθησαν διὰ νὰ ἀποτινάξουν τὸν ὕπνον σας.

Τί θὰ κάμετε λοιπόν; Ἐὰν σᾶς ἐρωτοῦν αὐτὰ καὶ σεῖς δὲν ἠμπορῆτε νὰ ἀκούσετε οὔτε τὰ λόγια αὐτά, ἆρά γε θὰ ὑποστῶμεν μικρὰν καταδίκην, ἀφοῦ ἐγίναμεν αἴτιοι τόσης πλάνης εἰς τοὺς εὑρισκομένους εἰς τὸ σκότος τῆς ἀγνοίας; Ἤθελα, ἐὰν βέβαια εἴχατε πολὺν ἐλεύθερον χρόνον, νὰ φέρω ἐνώπιον ὅλων σας ἕνα βιβλίον κάποιου βδελυροῦ Ἕλληνος φιλοσόφου τὸ ὁποῖον ἐγράφη ἐναντίον μας, καὶ ἄλλου μεγαλυτέρου ἀπὸ αὐτόν, ὥστε μὲ τὸν τρόπον αὐτὸν νὰ σᾶς ξυπνήσω καὶ νὰ σᾶς βγάλω ἀπὸ αὐτὴν τὴν νωθρότητα. Διότι, ἐὰν ἐκεῖνοι διὰ νὰ ὁμιλήσουν ἐναντίον μας, τόσον πολὺ ἠγρύπνησαν, ποίας συγγνώμης ἄξιοι θὰ εἴμεθα, ὅταν δὲν γνωρίζωμεν οὔτε τὰς ἐναντίον μας ἐπιθέσεις νὰ

βολὰς τὰς καθ' ἡμῶν εἰσόμεθα ἀποκρούεσθαι;

Τίνος δὲ ἕνεκεν καὶ παρήχθημεν; Οὐκ ἀκούεις τοῦ Ἀποστόλου λέγοντος· «Ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος»; Καὶ ὁ Παῦλος δὲ τὰ αὐτὰ παραινεῖ, λέγων· «Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως».

Ἀλλὰ τί φασι πρὸς ταῦτα οἱ κηφήνων ἀλογώτεροι; Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ· καί, «Ὁ πορευόμενος ἁπλῶς πορεύεται πεποιθώς». Τοῦτο γὰρ πάντων αἴτιον τῶν κακῶν, ὅτι οὐδὲ τὰς μαρτυρίας τῶν Γραφῶν πρὸς τὸ δέον ἐπίστανται παράγειν οἱ πολλοί. Οὐ γὰρ τὸν ἀνόητον ἐνταῦθα λέγει, οὐδὲ τὸν οὐδὲν εἰδότα, ἀλλὰ τὸν ἀπόνηρον, τὸν μὴ κακοῦργον, τὸν συνετόν· ἐπεί, εἰ τοῦτο ἦν, περιττὸν ἦν ἀκούειν· «Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί».

Ἀλλὰ τί ταῦτα χρὴ λέγειν, εἰς οὐδὲν δέον ἀπαντῶντος τούτου τοῦ λόγου; Πρὸς γὰρ τοῖς εἰρημένοις, οὐδὲ τὰ ἄλλα ἡμῖν κατώρθωται, τὰ τοῦ βίου καὶ τῆς ζωῆς, λέγω, ἀλλὰ πάντοθεν ἄθλιοι καὶ καταγέλαστοί ἐσμεν, καὶ αἰτιᾶσθαι μὲν ἀλλήλους ἀεὶ πρόχειροι, διορθοῦσθαι δὲ ἐφ' οἷς αἰτιώμεθα καὶ ἐγκαλούμεθα ὀκνηροί.

Διὸ παρακαλῶ ὑμᾶς, νῦν γοῦν ἡμῶν αὐτῶν γενομένους, μὴ μέχρι τῆς κατηγορίας ἵστασθαι μόνον· οὐ γὰρ ἀρκεῖ τοῦτο ἐξιλεώσασθαι τὸν Θεόν, ἀλλὰ καὶ ἀρίστην εἰς πάντα σπουδάσωμεν ἐπιδείξασθαι μεταβολήν, ἵνα, εἰς δόξαν τοῦ Θεοῦ βιώσαντες, καὶ αὐτοὶ τῆς μελλούσης ἀπολαύσωμεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

9. Α' Πέτρ. 3, 15.
10. Κολ. 3, 16.
11. Παροιμ. 10, 9.
12. Ματθ. 10, 16.

ἀποκρούσωμεν;

Ἄλλωστε διατί ἔχομεν παραταχθῆ; Δὲν ἀκοῦς τὸν Ἀπόστολον ὁ ὁποῖος λέγει· «Νὰ εἶσθε πάντοτε ἕτοιμοι πρὸς ἀπολογίαν εἰς τὸν καθένα ποὺ θὰ σᾶς ζητήσῃ λόγον διὰ τὴν ἐλπίδα ποὺ ἔχετε μέσα σας»[9]; Ἀλλὰ καὶ ὁ Παῦλος τὰ ἴδια προτρέπει ὅταν λέγῃ· «Ὁ λόγος τοῦ Χριστοῦ νὰ κατοικῇ μέσα σας πλούσια»[10].

Ἀλλὰ τί λέγουν πρὸς αὐτὰ οἱ πιὸ παράλογοι καὶ ἀπὸ τοὺς κηφῆνας; Κάθε εὐλογημένη ψυχὴ εἶναι ἁπλῆ καί· «ἐκεῖνος ποὺ βαδίζει ἁπλᾶ, βαδίζει μὲ πεποίθησιν»[11]. Ἀλλ' αὐτὸ εἶναι τὸ αἴτιον ὅλων τῶν κακῶν, ὅτι οἱ περισσότεροι δὲν γνωρίζουν νὰ χρησιμοποιήσουν τὰς μαρτυρίας τῶν Γραφῶν ὅπως πρέπει. Διότι ἐδῶ δὲν ἐννοεῖ τὸν ἀνόητον, οὔτε ἐκεῖνον ποὺ δὲν γνωρίζει τίποτε, ἀλλὰ τὸν ἀπονήρευτον, τὸν μὴ κακοῦργον, τὸν συνετόν. Διότι, ἂν ἐννοοῦσεν αὐτό, ἦτο περιττὸν νὰ ἀκούωμεν· «Νὰ εἶσθε φρόνιμοι ὡσὰν τὰ φίδια καὶ ἄκακοι ὅπως τὰ περιστέρια»[12].

Ἀλλὰ διατί τὰ λέγω αὐτά, ἀφοῦ εἰς τίποτε τὸ πρέπον δὲν εὑρίσκει ἀνταπόκρισιν ὁ λόγος αὐτός; Διότι ἀπὸ ὅσα ἔχουν λεχθῆ, οὔτε τὰ ἄλλα κατωρθώσαμεν, ἐννοῶ τὰ ζητήματα τοῦ βίου καὶ τῆς ζωῆς μας, ἀλλὰ ἀπὸ παντοῦ εἴμεθα ἄθλιοι καὶ καταγέλαστοι καὶ διὰ νὰ κατηγορήσωμεν τοὺς ἄλλους εἴμεθα πάντοτε ἕτοιμοι, νὰ διορθωθῶμεν ὅμως εἰς ἐκεῖνα διὰ τὰ ὁποῖα κατηγοροῦμεν καὶ μεμφόμεθα τοὺς ἄλλους εἴμεθα ὀκνηροί.

Δι' αὐτὸ σᾶς παρακαλῶ τώρα ποὺ ἤλθαμεν εἰς τοὺς ἑαυτούς μας, νὰ μὴ σταματήσωμεν μόνον μέχρι τὴν κατηγορίαν, διότι αὐτὸ δὲν φθάνει διὰ νὰ ἐξιλεώσῃ τὸν Θεόν, ἀλλὰ νὰ προσπαθήσωμεν νὰ ἐπιδείξωμεν εἰς ὅλα ἀρίστην μεταβολήν, εἰς τρόπον ὥστε, ἀφοῦ ζήσωμεν πρὸς δόξαν τοῦ Θεοῦ, νὰ ἀπολαύσωμεν καὶ οἱ ἴδιοι τὴν δόξαν, τὴν ὁποίαν εἴθε ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ΄.

Ἰω. 1, 35-40

«Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν αὐτῷ».

1. Ῥᾴθυμόν πως ἡ ἀνθρωπίνη φύσις, καὶ ὀξύρροπον πρὸς ἀπώλειαν οὐ παρὰ τὴν τῆς φύσεως κατασκευήν, ἀλλὰ παρὰ τὴν ἐκ προαιρέσεως ῥᾳθυμίαν· διὸ πολλῆς δεῖται τῆς ὑπομνήσεως. Καὶ ὁ *Παῦλος δὲ διὰ τοῦτο, γράφων τοῖς Φιλιππησίοις, ἔλεγε· «Τὰ αὐτὰ γράφειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές». Ἡ μὲν γὰρ γῆ, τὰ σπέρματα παραλαβοῦσα ἅπαξ, εὐθέως ἀποδίδωσι τοὺς καρπούς, καὶ οὐ δεῖται δευτέρας καταβολῆς· ἐπὶ δὲ τῆς ψυχῆς τῆς ἡμετέρας οὐχ οὕτως, ἀλλ' ἀγαπητὸν πολλάκις σπείραντα καὶ πολλὴν ἐπιδειξάμενον ἐπιμέλειαν, ἅπαξ γοῦν δυνηθῆναι τὸν καρπὸν ἀπολαβεῖν.*

Πρῶτον μὲν γὰρ δυσκόλως ἐνιζάνει τῇ διανοίᾳ τὰ λεγόμενα διὰ τὸ πολλὴν μὲν ὑποκεῖσθαι τὴν σκληρότητα, μυρίαις δὲ συνέχεσθαι ταῖς ἀκάνθαις, καὶ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας καὶ τὰ σπέρματα διαρπάζοντας. Ἔπειτα, ὅταν παγῇ καὶ ῥιζωθῇ, τῆς αὐτῆς πάλιν δεῖται σπουδῆς, ὥστε πρὸς ἀκμὴν ἐλθεῖν αὐτά, καὶ ἐλθόντα μεῖναι ἀσινῆ, καὶ μηδὲν παραβλαβῆναι παρὰ μηδενός. Ἐπὶ μὲν γὰρ τῶν σπερμάτων, ὅταν ὁ στάχυς ἀπαρτισθῇ καὶ τὴν οἰκείαν ἰσχὺν ἀπολάβῃ, καὶ ἐρυσίβης καὶ αὐχμοῦ καὶ τῶν ἄλλων ἁπάντων εὐκόλως καταφρονεῖ, ἐπὶ δὲ τῶν δογμάτων οὐχ οὕτως, ἀλλὰ καὶ μετὰ τὸ τελείως ἐργασθῆναι τὸ πᾶν, πολλάκις ἐπελθὼν

---

1. Φιλ. 3, 1.

2. Ἡ ἐρυσίβη ἦτο νόσος ποὺ μετεδίδετο μὲ τὸν ἀέρα καὶ προσέβαλλε τὰ φυτὰ καὶ τοὺς καρπούς, ἰδιαιτέρως μάλιστα τὸν σῖτον καὶ τὴν κριθήν.

ΟΜΙΛΙΑ ΙΗ΄.

'Ιω. 1, 35-40

«Τὴν ἄλλην ἡμέραν πάλιν ἐστέκετο ὁ 'Ιωάννης ἐκεῖ μὲ δύο ἀπὸ τοὺς μαθητάς του· καὶ ὅταν εἶδε τὸν 'Ιησοῦν νὰ περιπατῇ εἶπεν· νὰ ὁ 'Αμνὸς τοῦ Θεοῦ. Οἱ δύο μαθηταὶ τὸν ἤκουσαν νὰ ὁμιλῇ καὶ τὸν ἠκολούθησαν».

1. Ἡ ἀνθρωπίνη φύσις εἶναι κάπως ράθυμος καὶ ἀποκλίνει πρὸς τὴν καταστροφήν, ὄχι ἀπὸ τὴν φυσικήν της κατασκευήν, ἀλλὰ ἀπὸ τὴν προαιρετικὴν ραθυμίαν της. Δι' αὐτὸ ἔχει ἀνάγκην συνεχοῦς ὑπομνήσεως. Καὶ ὁ Παῦλος ἄλλωστε δι' αὐτό, ὅταν ἔγραφε πρὸς τοὺς Φιλιππησίους, ἔλεγε· «Τὸ νὰ σᾶς γράφω τὰ ἴδια πράγματα, εἰς ἐμένα δὲν εἶναι βαρετόν, εἰς σᾶς δὲ παρέχει ἀσφάλειαν»[1]. Διότι ἡ μὲν γῆ, ἅπαξ καὶ δεχθῇ τοὺς σπόρους, ἀποδίδει ἀμέσως τοὺς καρποὺς καὶ δὲν ἔχει ἀνάγκην δευτέρας σπορᾶς. Εἰς τὴν ψυχήν μας ὅμως δὲν συμβαίνει τὸ ἴδιον, ἀλλὰ συνήθως, ἀφοῦ σπείρῃς πολλὰς φορὰς καὶ δείξῃς μεγάλην φροντίδα, τότε ἠμπορεῖς νὰ ἀπολαύσῃς τὸν καρπόν.

Καὶ αὐτὸ συμβαίνει διότι, πρῶτον μὲν δύσκολα ἐμφυτεύονται εἰς τὴν διάνοιαν ὅσα λέγονται, ἐπειδὴ ἔχει πολὺ σκληρὸν ὑπόστρωμα, συμπιέζεται ἀπὸ μυρίας ἀκάνθας καὶ ὑπάρχουν πολλοὶ ποὺ καιροφυλακτοῦν καὶ ἁρπάζουν τοὺς σπόρους. Ἔπειτα, ὅταν σταθεροποιηθῇ καὶ ριζώσῃ, πάλιν χρειάζεται τὴν ἰδίαν φροντίδα, διὰ νὰ αὐξηθοῦν καὶ ἀφοῦ αὐξηθοῦν νὰ μείνουν σῶα καὶ νὰ μὴ βλαβοῦν ἀπὸ κανένα. Καὶ εἰς μὲν τοὺς σπόρους, ὅταν τὸ στάχυ τελειοποιηθῇ καὶ ἰσχυροποιηθῇ, περιφρονεῖ εὔκολα καὶ τὴν ἐρυσίβην[2] καὶ τὴν ἀνομβρίαν καὶ ὅλα τὰ ἄλλα. Εἰς τὰ δόγματα ὅμως δὲν συμβαίνει τὸ ἴδιον, ἀλλὰ καὶ ἀφοῦ συντελεσθῇ τὸ πᾶν, πολλὰς φορὰς ὅταν ἐπέρχεται μία κακοκαιρία καὶ τρικυμία καὶ πα-

χειμὼν εἷς καὶ κλυδώνιον, δυσκολίας προσβαλούσης, καὶ ἀνθρώπων ἀπατᾶν εἰδότων ἐπιβουλευσάντων, καὶ ἑτέρων πειρασμῶν ποικίλων ἐπενεχθέντων, ἐλυμήνατο.

Ταῦτα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα, ὅταν ἀκούσῃς τοῦ Ἰωάννου τὰ αὐτὰ φθεγγομένου, μὴ φλυαρίας καταγνῷς, μηδὲ περιττόν τινα εἶναι νομίσῃς καὶ φορτικόν. Ἐβούλετο μὲν γὰρ ἅπαξ εἰπὼν ἀκουσθῆναι, ἐπειδὴ δὲ οὐ πολλοὶ τοῖς λεγομένοις προσεῖχον ἐξ ἀρχῆς διὰ τὸν πολὺν ὕπνον, καὶ δευτέρᾳ πάλιν αὐτοὺς ἀφυπνίζει φωνῇ. Σκόπει δέ. Εἶπεν ὅτι «Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε», καὶ ὅτι «Οὐχ ἱκανός ἐστι λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ», καὶ ὅτι «Αὐτὸς βαπτίζει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί», καὶ ὅτι τὸ Πνεῦμα τεθέαται καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ' αὐτόν· καὶ μεμαρτύρηκεν ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· οὐδεὶς προσέσχεν, οὐδὲ ἠρώτησεν, οὐδὲ εἶπε· Τί ταῦτα λέγεις; καὶ ὑπὲρ τίνος; καὶ διὰ τί;

Εἶπε πάλιν· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Οὐδὲ οὕτω καθήψατο τῆς ἀναισθησίας αὐτῶν. Διὰ τοῦτο λοιπὸν ἀναγκάζεται τὰ αὐτὰ λέγειν πάλιν, καθάπερ τινὰ σκληρὰν καὶ ἀνένδοτον γῆν τῇ νεώσει μαλάττων, καὶ τῷ λόγῳ οἷόν τινι ἀρότρῳ πεπιλημένην ἀνεγείρων τὴν διάνοιαν, ὥστε εἰς τὸ βάθος τὰ σπέρματα καταβαλεῖν. Διὰ δὴ τοῦτο οὐδὲ μακρὸν ποιεῖ τὸν λόγον, ὅτι ἓν μόνον ἐσπούδαζε, προσαγαγεῖν αὐτοὺς καὶ κολλῆσαι τῷ Χριστῷ. Ἤδει γὰρ ὅτι, τοῦτο καταδεξάμενοι καὶ πεισθέντες, οὐ δεήσονται τοῦ μαρτυρήσοντος αὐτῷ λοιπόν, ὅπερ οὖν καὶ γέγονεν.

Εἰ γὰρ οἱ Σαμαρεῖται λέγουσι μετὰ τὴν ἀκρόασιν αὐτοῦ τῇ γυναικί· «Οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου,

---

3. Ματθ. 3, 11.

ρουσιάζεται κάποια δυσκολία, καὶ ἄνθρωποι ποὺ γνωρίζουν νὰ ἐξαπατοῦν κινοῦνται δολίως, καὶ ἐπέρχονται ποικίλοι ἄλλοι πειρασμοί, τὸ καταστρέφουν.

Αὐτὰ δὲ δὲν μᾶς ἐλέχθησαν εἰς τὴν τύχην, ἀλλὰ ὅταν ἀκούσῃς τὸν Ἰωάννην νὰ λέγῃ αὐτά, νὰ μὴ τοῦ καταλογίσῃς φλυαρίαν, οὔτε νὰ νομίσῃς ὅτι εἶναι περιττὸν καὶ φορτικόν. Θὰ ἤθελε βεβαίως νὰ τὰ εἰπῇ μίαν φορὰν καὶ νὰ ἀκουσθῇ, ἀλλὰ ἐπειδὴ οἱ περισσότεροι δὲν ἐπρόσεχαν εἰς ὅσα ἐλέγοντο ἀπὸ τὴν ἀρχὴν ἐξ αἰτίας τοῦ ὅτι ἐνύσταζαν, προσπαθεῖ νὰ τοὺς ξυπνήσῃ καὶ μὲ δευτέραν φωνήν. Κύτταξε δέ· εἶπεν ὅτι, «Αὐτὸς ποὺ ἔρχεται μετὰ ἀπὸ ἐμένα, εἶναι ἀνώτερός μου» καὶ ὅτι, «δὲν εἶναι ἱκανὸς νὰ λύσῃ τὸν ἱμάντα τοῦ ὑποδήματός του» καὶ ὅτι, «Αὐτὸς βαπτίζει μὲ ἅγιον Πνεῦμα καὶ πῦρ»[3] καὶ ὅτι εἶδε τὸ Πνεῦμα νὰ κατεβαίνῃ ὡσὰν περιστερὰ καὶ νὰ μένῃ ἐπάνω του, καὶ ἐμαρτύρησεν ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ. Κανεὶς δὲν ἐπρόσεξεν, οὔτε ἐρώτησεν, οὔτε εἶπε· τί εἶναι αὐτὰ ποὺ λέγεις καὶ περὶ ποίου ὁμιλεῖς καὶ διατί;

Λέγει λοιπὸν καὶ πάλιν· «Νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ ὁποῖος σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου». Ἀλλὰ οὔτε καὶ τώρα συνεκίνησε τὴν ἀναισθησίαν των. Δι' αὐτὸ λοιπὸν ἀναγκάζεται νὰ ἐπαναλαμβάνῃ τὰ ἴδια, προσπαθῶν, μὲ τὰ ἀλλεπάλληλα ὀργώματα νὰ τοὺς μαλακώσῃ, ὡσὰν ἀγρὸν σκληρὸν καὶ πετρώδη, καὶ νὰ τοὺς διεγείρῃ τὴν συμπιεσμένην διάνοιαν, ὥστε νὰ σπείρῃ βαθειὰ τοὺς σπόρους, χρησιμοποιῶν τὸν λόγον ὡς ἄλλο ἄροτρον. Δι' αὐτὸ καὶ δὲν κάνει τὸν λόγον μακρόν, διότι ἕνα μόνον πρᾶγμα ἐπεδίωκε νὰ τοὺς ὁδηγήσῃ καὶ νὰ τοὺς προσκολλήσῃ εἰς τὸν Χριστόν. Ἐγνώριζεν ὅτι ἐὰν τὸ ἐδέχοντο αὐτὸ καὶ ἐπείθοντο, δὲν θὰ εἶχαν ἀνάγκην νὰ τοὺς τὸν ὑποδείξῃ ἄλλος, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινεν.

Διότι ἐὰν οἱ Σαμαρεῖται, ὅταν τὸν ἤκουσαν, ἔλεγαν εἰς τὴν γυναῖκα «δὲν πιστεύομεν πλέον διὰ τὰ ὅσα μᾶς εἶπες σύ· διότι ἐμεῖς οἱ ἴδιοι ἐγνωρίσαμεν ὅτι αὐτὸς εἶναι ὁ Σω-

ὁ Χριστός», πολλῷ μᾶλλον οἱ μαθηταὶ τάχιον ἐχειρώθησαν ἄν, ὃ δὴ καὶ γέγονεν. Ἐλθόντες γὰρ καὶ ἀκούσαντες μίαν ἑσπέραν, οὐκ ἔτι πρὸς Ἰωάννην ὑπέστρεψαν, ἀλλ' οὕτως αὐτῷ προσηλώθησαν, ὥστε τὴν Ἰωάννου διακονίαν ἀναδέξασθαι, καὶ αὐτοὶ κηρύττειν αὐτόν. «Εὑρίσκει γὰρ οὗτος», φησί, «τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, ὁ Χριστός». Θέα δέ μοι κἀκεῖνο, πῶς, ὅτε μὲν ἔλεγεν· «Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε», καί, «Οὐκ εἰμι ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ», οὐδένα εἷλεν· ὅτε δὲ περὶ τῆς οἰκονομίας διελέχθη, καὶ ἐπὶ τὸ ταπεινότερον τὸν λόγον ἤγαγε, τότε ἠκολούθησαν οἱ μαθηταί. Οὐ τοῦτο δὲ μόνον ἔστι κατιδεῖν, ἀλλ' ὅτι καὶ οὐχ οὕτως οἱ πολλοὶ προσάγονται, ὅταν τι μέγα καὶ ὑψηλὸν περὶ Θεοῦ λέγηται, ὡς, ὅταν χρηστόν, καὶ φιλάνθρωπον, καὶ εἰς τὴν τῶν ἀκουόντων ἀνθρώπων σωτηρίαν ἧκον. Ἤκουσαν γοῦν ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ εὐθέως ἐπέδραμον. Εἰ γὰρ ἔστιν ἀπολούσασθαι τὰ ἐγκλήματα, τίνος ἕνεκεν, φησίν, ἀναβαλλόμεθα; πάρεστιν ὁ χωρὶς πόνων ἐλευθερώσων ἡμᾶς· πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας ὑπερτίθεσθαι τὴν δωρεάν;

Ἀκουέτωσαν οἱ κατηχούμενοι, καὶ πρὸς ἐσχάτας ἀναπνοὰς τὴν οἰκείαν ἀναβαλλόμενοι σωτηρίαν. Πάλιν εἱστήκει, φησίν, ὁ Ἰωάννης, καὶ λέγει· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ». Οὐδὲν ὁ Χριστὸς διαλέγεται, ἀλλὰ πάντα ἐκεῖνος. Οὕτω καὶ ἐπὶ τοῦ νυμφίου γίνεται. Οὐκ αὐτός τι λέγει πρὸς τὴν νύμφην τέως, ἀλλὰ πάρεστι μὲν σιγῇ, ἕτεροι δὲ αὐτὸν δηλοῦσι καὶ τὴν νύμφην, ἐγχειρίζουσι δὲ ἕτεροι, αὕτη δὲ φαίνεται μόνον, καὶ οὐκ ἀφ' ἑαυτοῦ ταύτην ἄπεισι λαβών, ἀλλ' ἑτέρου παραδόντος αὐ-

4. Ἰω. 4, 42.
5. Ἰω. 1, 41.

τὴρ τοῦ κόσμου, ὁ Χριστός»[4]. Πολὺ πιὸ γρήγορα μάλιστα θὰ ἠχμαλωτίζοντο οἱ μαθηταί του, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινε. Διότι ὅταν ἐπῆγαν καὶ τὸν ἤκουσαν ἕνα ἀπόγευμα δὲν ξαναγύρισαν πλέον πίσω εἰς τὸν Ἰωάννην, ἀλλὰ ἀφωσιώθησαν εἰς ἐκεῖνον τόσον πολύ, ὥστε ἀνέλαβαν τὸ ἔργον τοῦ Ἰωάννου καὶ τὸν ἐκήρυτταν ἐκεῖνοι. «Εὑρίσκει, λέγει, αὐτὸς τὸν ἀδελφόν του Σίμωνα καὶ τοῦ λέγει· εὑρήκαμεν τὸν Μεσσίαν, τὸ ὁποῖον μεταφραζόμενον σημαίνει Χριστός»[5]. Κύτταξε δὲ καὶ τὸ ἑξῆς· ὅταν μὲν εἶπεν· «Αὐτὸς ποὺ ἔρχεται μετὰ ἀπὸ ἐμένα, εἶναι ἀνώτερός μου», καὶ «δὲν εἶμαι ἄξιος νὰ λύσω τὸν ἱμάντα τοῦ ὑποδήματός του», δὲν προσείλκυσε κανένα· ὅταν δὲ ὡμίλησε περὶ τῆς θείας οἰκονομίας καὶ ἐχαμήλωσε τὸ ἐπίπεδον τοῦ λόγου, τότε ἠκολούθησαν οἱ μαθηταί του. Δὲν βλέπομεν δὲ τοῦτο μόνον καθαρά, ἀλλὰ καὶ τὸ ἑξῆς· ὅτι οἱ περισσότεροι δὲν πείθονται τόσον πολὺ ὅταν λέγεται κάτι τὸ σπουδαῖον καὶ ἀνώτερον περὶ τοῦ Θεοῦ, ὅσον ὅταν λέγεται κάτι καλὸν καὶ φιλάνθρωπον καὶ τὸ ὁποῖον ἀναφέρεται εἰς τὴν σωτηρίαν τῶν ἀνθρώπων. Ἤκουσαν λοιπὸν ὅτι ἀναλαμβάνει τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ ἀμέσως ἔτρεξαν. Διότι ἐφ' ὅσον εἶναι δυνατὸν νὰ ἀποπλύνωμεν τὰ ἐγκλήματά μας, διατί, λέγει, νὰ τὸ ἀναβάλωμεν; Εἶναι παρὼν ἐκεῖνος ὁ ὁποῖος θὰ μᾶς ἐλευθερώσῃ χωρὶς κόπους· δὲν θὰ εἶναι μεγάλη ἀνοησία, νὰ μεταθέτωμεν τὴν δωρεὰν αὐτὴν δι' εὐθετώτερον χρόνον;

Ἂς ἀκούσουν οἱ κατηχούμενοι καὶ ὅσοι ἀναβάλλουν τὴν σωτηρίαν των διὰ τὴν τελευταίαν ἀναπνοήν των. Πάλιν ἐστέκετο, λέγει, ὁ Ἰωάννης καὶ ἔλεγε· «Νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ». Δὲν λέγει τίποτε ὁ Χριστός, ἀλλὰ ὅλα τὰ λέγει ἐκεῖνος. Ἔτσι γίνεται καὶ μὲ τὸν νυμφίον. Δὲν λέγει τίποτε αὐτὸς πρὸς τὴν νύμφην, ἀλλὰ παρίσταται σιωπηλός, ἄλλοι δὲ φανερώνουν καὶ αὐτὸν καὶ τὴν νύμφην καὶ ἄλλοι τοὺς παραδίδουν. Ἐκείνη ἐμφανίζεται μόνον καὶ δὲν πηγαίνει νὰ τὴν παραλάβῃ μόνος του, ἀλλὰ τοῦ τὴν παραδίδει ἄλλος.

τήν· ὅταν δὲ λάβῃ παραδοθεῖσαν, οὕτως αὐτὴν διατίθησιν, ὡς μηκέτι μεμνῆσθαι τῶν κατεγγυησάντων.

Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. Ἦλθεν ἁρμοσόμενος τὴν ἐκκλησίαν· οὐδὲν αὐτὸς εἶπεν, ἀλλὰ παρεγένετο μόνον· ὁ δὲ φίλος αὐτοῦ ὁ Ἰωάννης τὴν δεξιὰν ἐνέθηκε τῆς νύμφης, διὰ τῶν λγων ἐγχειρίσας αὐτῷ τὰς ψυχὰς τῶν ἀνθρώπων. Λαβὼν αὐτὸς λοιπόν, οὕτως αὐτοὺς διέθηκεν, ὡς μηκέτι πρὸς τὸν ἐγχειρίσαντα ἀπελθεῖν.

2. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερον ἔστιν ἐνταῦθα παρατηρῆσαι. Καθάπερ γὰρ ἐπὶ τῶν γάμων οὐχ ἡ κόρη πρὸς τὸν νυμφίον ἄπεισιν, ἀλλ' οὗτος πρὸς αὐτὴν ἐπείγεται, κἂν βασιλέως υἱὸς ᾖ, κἂν εὐτελῆ τινα καὶ ἀπερριμμένην, κἂν θεραπαινίδα κατεγγυήσασθαι μέλλῃ· οὕτω καὶ ἐνταῦθα συνέβη. Οὐκ εἰς τὸν οὐρανὸν ἀνῆλθε τῶν ἀνθρώπων ἡ φύσις, ἀλλ' αὐτὸς πρὸς τὴν εὐκαταφρόνητον ταύτην καὶ εὐτελῆ παραγέγονε, καί, γενομένων τῶν γάμων, οὐκ εἴασεν ἐνταῦθα μένειν αὐτὴν λοιπόν, ἀλλὰ παραλαβὼν πρὸς τὸν οἶκον ἀνήγαγε τὸν πατρικόν.

Τί δήποτε δὲ οὐ κατ' ἰδίαν λαμβάνει τοὺς μαθητὰς τοὺς ἑαυτοῦ, καὶ περὶ τούτων αὐτοῖς διαλέγεται ὁ Ἰωάννης, καὶ οὕτως αὐτοὺς δίδωσι τῷ Χριστῷ, ἀλλὰ δημοσίᾳ, μετὰ πάντων αὐτοῖς φησιν· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ»; Ἵνα μὴ δόξῃ συσκευῆς εἶναι τὸ ἔργον. Εἰ μὲν γάρ, παρ' αὐτοῦ κατ' ἰδίαν παρακληθέντες, ἀπῄεσαν, καὶ ὡς χάριν αὐτῷ παρέχοντες, ταχέως ἂν ἴσως καὶ ἀπεπήδησαν, νῦν δέ, ἐκ τῆς κοινῆς γενομένης διδασκαλίας καταδεξάμενοι τὴν ἀκολούθησιν, βέβαιοι λοιπὸν ἔμενον μαθηταί, ὡς οὐ διὰ τὴν εἰς τὸν διδάσκαλον χάριν ἀκολουθήσαντες, ἀλλ' εἰλικρινῶς καὶ πρὸς τὸ κέρδος ὁρῶντες τὸ ἑαυτῶν.

Οἱ μὲν οὖν προφῆται καὶ οἱ ἀπόστολοι πάντες ἀπόντα

Ὅταν δὲ τὴν παραλάβῃ μετὰ τὴν παράδοσιν, τὴν μεταχειρίζεται ἔτσι, ὥστε νὰ μὴ ἐνθυμῆται πλέον ἐκείνους ποὺ τὴν ἐγγυήθησαν.

Αὐτὸ ἔγινε καὶ μὲ τὸν Χριστόν. Ἦλθε νὰ νυμφευθῇ τὴν Ἐκκλησίαν. Ὁ ἴδιος δὲν εἶπε τίποτε, ἀλλὰ ἁπλῶς παρέστη. Ὁ δὲ φίλος του Ἰωάννης τοῦ ἔδωσε τὸ δεξιὸν χέρι τῆς νύμφης, ἤτοι μὲ τοὺς λόγους του τοῦ ἐνεχείρισε τὰς ψυχὰς τῶν ἀνθρώπων. Ὅταν δὲ τοὺς παρέλαβεν ἐκεῖνος, τοὺς ἐμεταχειρίσθη ἔτσι, ὥστε νὰ μὴ ἐπιστρέψουν ξανὰ εἰς ἐκεῖνον ποὺ τοὺς παρέδωσεν.

2. Ὄχι μόνον δὲ αὐτό, ἀλλὰ καὶ ἄλλο ἠμποροῦμεν νὰ παρατηρήσωμεν ἐδῶ. Ὅπως εἰς τοὺς γάμους δὲν πηγαίνει ἡ νύμφη πρὸς τὸν νυμφίον, ἀλλὰ αὐτὸς σπεύδει πρὸς αὐτήν, ἔστω καὶ ἂν εἶναι υἱὸς βασιλέως, ἔστω καὶ ἂν πρόκειται νὰ μνηστευθῇ κάποιαν εὐτελῆ καὶ περιφρονημένην ἢ καὶ ὑπηρέτριαν, τὸ ἴδιον συνέβη καὶ ἐδῶ. Δὲν ἀνέβη εἰς τὸν οὐρανὸν ἡ ἀνθρωπίνη φύσις, ἀλλὰ ἦλθεν ἐκεῖνος εἰς τὴν εὐτελῆ καὶ περιφρονημένην αὐτὴν νύμφην. Ὅταν ὅμως ἔγιναν οἱ γάμοι δὲν τὴν ἄφησε νὰ μείνῃ ἐδῶ, ἀλλ' ἀφοῦ τὴν παρέλαβε τὴν ἀνεβίβασεν εἰς τὴν οἰκίαν τοῦ πατρός του.

Διατί ὅμως δὲν παίρνει κατ' ἰδίαν τοὺς μαθητάς του ὁ Ἰωάννης νὰ τοὺς ὁμιλήσῃ δι' αὐτὰ καὶ ἔτσι νὰ τοὺς παραδώσῃ εἰς τὸν Χριστόν, ἀλλὰ τοὺς λέγει δημοσίᾳ μαζὶ μὲ ὅλους· «Νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ»; Διὰ νὰ μὴ νομισθῇ ὅτι εἶναι μηχανορραφία. Διότι ἐὰν ἐπήγαιναν ὕστερα ἀπὸ ἰδιαιτέραν παράκλησίν του, κάμνοντές του τὴν χάριν, πιθανὸν γρήγορα νὰ ἀποσκιρτοῦσαν. Τώρα ὅμως, ἐπειδὴ ἐδέχθησαν νὰ τὸν ἀκολουθήσουν ἀπὸ τὴν διδασκαλίαν ποὺ ἔγινε δημοσίᾳ, ἔμειναν σταθεροὶ οἱ μαθηταί, διότι δὲν τὸν εἶχαν ἀκολουθήσει διὰ νὰ κάνουν τὴν χάριν τοῦ διδασκάλου των, ἀλλὰ μὲ εἰλικρίνειαν καὶ διότι ἀπέβλεπαν εἰς τὸ ἰδικόν των ὄφελος.

Οἱ μὲν λοιπὸν προφῆται καὶ ἀπόστολοι ὅλοι τὸν ἐκή-

αὐτὸν ἐκήρυττον· οἱ μὲν πρὸ τῆς κατὰ σάρκα παρουσίας, οἱ δὲ μετὰ τὴν ἀνάληψιν· οὗτος δὲ μόνος παρόντα. Διὸ καὶ φίλον αὐτὸν τοῦ νυμφίου φησίν, ἐπειδὴ καὶ ἐν τοῖς γάμοις μόνος αὐτὸς παρεγένετο. Καὶ γὰρ αὐτὸς πάντα παρεγένετο. Καὶ γὰρ αὐτὸς πάντα ἐποίησε καὶ ἀπετέλεσεν· αὐτὸς τῷ πράγματι τὴν ἀρχὴν παρέσχε. «Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ». Τοῦτο εἶπε, δεικνὺς ὅτι οὐ τῇ φωνῇ μόνον, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐμαρτύρει· καὶ γὰρ ἐθαύμαζε τὸν Χριστὸν χαίρων καὶ ἀγαλλόμενος. Καὶ οὐ ποιεῖ τὸν λόγον παρακλητικὸν τέως, ἀλλὰ θαυμάζει μόνον καὶ ἐκπλήττεται τὸν παρόντα, καὶ τὴν δωρεὰν δὲ αὐτοῖς πᾶσιν, ἐφ' ἣν παρεγένετο, δηλοῖ, καὶ τὸν τρόπον τοῦ καθαρμοῦ. Ὁ γὰρ ἀμνὸς ἀμφότερα ταῦτα ἐμφαίνει.

Καὶ οὐκ εἶπεν· Ὁ ληψόμενος, ἢ Ὁ ἄρας, ἀλλ' «Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου», ὡς ἀεὶ τοῦτο ποιοῦντος αὐτοῦ. Οὐ γὰρ τότε μόνον ἔλαβεν, ὅτε ἔπαθεν, ἀλλ' ἐξ ἐκείνου μέχρι τοῦ παρόντος αἴρει τὰς ἁμαρτίας, οὐκ ἀεὶ σταυρούμενος, (μίαν γὰρ ὑπὲρ ἁμαρτιῶν προσήνεγκε θυσίαν), ἀλλ' ἀεὶ καθαίρων διὰ τῆς μιᾶς ἐκείνης. Ὥσπερ οὖν ἡμῖν ὁ Λόγος τὸ ἐξαίρετον δείκνυσι, καὶ ὁ Υἱὸς τὸ ἐξηλλαγμένον πρὸς τοὺς ἄλλους ἐμφαίνει, οὕτω καὶ ὁ ἀμνός, καὶ ὁ Χριστὸς καὶ ὁ Προφήτης, καὶ τὸ φῶς τὸ ἀληθινόν, καὶ ὁ ποιμὴν ὁ καλός, καὶ ὅσα ἂν ἐπ' αὐτοῦ λέγηται μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, πολὺ δείκνυσι τὸ διωρισμένον. Καὶ γὰρ ἀμνοὶ ἦσαν πολλοί, καὶ προφῆται, καὶ χριστοί, καὶ υἱοί, ἀλλὰ πάντων ἐκείνων αὐτὸν ἀφίστησι πολλῷ τῷ μέσῳ.

Καὶ οὐδὲ τῷ ἄρθρῳ τούτῳ ἠσφαλίσατο μόνον, ἀλλὰ καὶ τῇ τοῦ Μονογενοῦς προσθήκῃ· οὐδὲν γὰρ αὐτῷ κοινὸν πρὸς τὴν

ρυτταν ἀπόντα. Οἱ μὲν προφῆται πρὶν ἀπὸ τὴν ἔνσαρκον παρουσίαν του, οἱ δὲ ἀπόστολοι μετὰ τὴν Ἀνάληψιν. Αὐτὸς δὲ μόνος τὸν ἐκήρυττε παρόντα. Δι' αὐτὸ καὶ τὸν ἀποκαλεῖ φίλον τοῦ νυμφίου, ἐπειδὴ καὶ εἰς τοὺς γάμους μόνος αὐτὸς παρευρίσκετο. Πράγματι αὐτὸς ἔκανε καὶ ἔφερεν εἰς πέρας τὰ πάντα. Αὐτὸς ἔκαμε τὴν ἀρχὴν εἰς τὰ γεγονότα· «Καὶ ἀφοῦ ἐκύτταξε τὸν Ἰησοῦν καθὼς ἐπερνοῦσεν, εἶπε· νὰ ὁ Ἀμνὸς τοῦ Θεοῦ». Αὐτὸ τὸ εἶπε διὰ νὰ δείξῃ ὅτι ὄχι μόνον μὲ τὴν φωνήν, ἀλλὰ καὶ μὲ τοὺς ὀφθαλμοὺς τὸν ἐμαρτυροῦσε, διότι ἐθαύμαζε τὸν Χριστὸν μὲ χαρὰν καὶ ἀγαλλίασιν. Καὶ δὲν ὁμιλεῖ παρακλητικά, ἀλλὰ μόνον θαυμάζει καὶ χαίρεται ἔκπληκτος τὸν παρόντα καὶ φανερώνει εἰς ὅλους αὐτοὺς τὴν δωρεὰν διὰ τὴν ὁποίαν ἦλθε νὰ παράσχῃ καὶ τὸν τρόπον τῆς καθάρσεως. Διότι ὁ χαρακτηρισμὸς 'Αμνὸς τὰ φανερώνει καὶ τὰ δύο.

Καὶ δὲν εἶπεν αὐτὸς ποὺ θὰ ἀναλάβῃ ἢ ποὺ ἐσήκωσεν, ἀλλ' «Αὐτὸς ὁ ὁποῖος σηκώνει τὰς ἁμαρτίας τοῦ κόσμου», ἐπειδὴ τὸ κάνει αὐτὸ διαρκῶς. Διότι δὲν ἐσήκωσε τὰς ἁμαρτίας μόνον τότε ὅταν ἔπαθεν, ἀλλὰ ἀπὸ τότε μέχρι τώρα σηκώνει τὰς ἁμαρτίας, χωρὶς νὰ σταυρώνεται πάντοτε, (διότι μίαν θυσίαν ἐπρόσφερε διὰ τὰς ἁμαρτίας), ἀλλὰ μὲ τὸ νὰ καθαρίζῃ πάντοτε μὲ τὴν μίαν ἐκείνην θυσίαν. Ὅπως λοιπὸν ὁ χαρακτηρισμὸς 'ὁ Λόγος' μᾶς φανερώνει ὅτι εἶναι ἐκλεκτός, κα 'ὁ Υἱὸς» ἐμφανίζει τὴν διαφοράν του ἀπὸ τοὺς ἄλλους, ἔτσι καὶ οἱ χαρακτηρισμοί· 'ὁ Ἀμνὸς' καὶ 'ὁ Χριστὸς' καὶ 'ὁ Προφήτης' καὶ 'τὸ Φῶς τὸ ἀληθινὸν' καὶ 'ὁ Ποιμὴν ὁ καλός', καὶ ὅσοι ἄλλοι χρησιμοποιοῦνται δι' αὐτόν, μαζὶ μὲ τὴν προσθήκην τοῦ ἄρθρου ἔχουν πολὺ συγκεκριμένην σημασίαν. Διότι καὶ ἀμνοὶ ὑπῆρχαν πολλοὶ καὶ προφῆται καὶ χριστοὶ καὶ υἱοί. Ἀλλ' ἀπὸ ὅλους ἐκείνους διαφέρει πάρα πολύ.

Καὶ δὲν τὸν ἐξησφάλισε μόνον μὲ τὸ ἄρθρον αὐτό, ἀλλὰ καὶ μὲ τὴν προσθήκην τοῦ 'Μονογενοῦς'. Διότι δὲν ἔχει

τὰ μαρτυροῦντα περὶ ἐμοῦ». Ὅρα γοῦν πῶς τοῦτο ἐνεργέστερον ἦν. Ἐπειδὴ γὰρ μικρὸν ἐνέβαλε σπινθῆρα, ἀθρόως ἡ πυρὰ πρὸς τὸ ὕψος ἤρετο. Οἱ γὰρ πρὸ τούτου μηδὲ προσέχοντες τοῖς λεγομένοις ὕστερον λέγουσι· «Πάντα, ὅσα εἶπεν Ἰωάννης, ἀληθῆ ἐστιν».

3. Ἄλλως δέ, καὶ εἰ περινοστῶν ταῦτα ἔλεγεν, ἔδοξεν ἂν ἐκ σπουδῆς τινος ἀνθρωπίνης γίνεσθαι τὰ γινόμενα, καὶ ὑποψίας ἦν μεστὸν τὸ κήρυγμα. «Καὶ ἤκουσαν οἱ μαθηταὶ αὐτοῦ οἱ δύο, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ». Καίτοι γε καὶ ἕτεροι ἦσαν αὐτῷ μαθηταί, ἀλλ' ἐκεῖνοι οὐ μόνον οὐκ ἠκολούθησαν, ἀλλὰ καὶ ζηλοτύπως πρὸς αὐτὸν διετέθησαν· «Ραββὶ» γάρ, φησίν, «ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν». Καὶ πάλιν οὗτοι φαίνονται ἐγκαλοῦντες· «Διὰ τί ἡμεῖς νηστεύομεν, καὶ οἱ μαθηταί σου οὐ νηστεύουσιν;».

Ἀλλ' οἱ τῶν ἄλλων βελτίους οὐδὲν τοιοῦτον ἔπαθον, ἀλλ' ὁμοῦ τε ἤκουσαν καὶ ἠκολούθησαν. Ἠκολούθησαν δέ, οὐχ ὡς τοῦ διδασκάλου καταφρονήσαντες, ἀλλ' ὡς αὐτῷ μάλιστα πεισθέντες, καὶ δεῖγμα μέγιστον τοῦ κρίσει λογισμῶν ὀρθῇ τοῦτο ποιεῖν ἐξενεγκόντες. Οὐδὲ γὰρ παρακληθέντες αὐτὸ ἐποίησαν, ὅπερ ὕποπτον ἦν, ἀλλά, ἐπειδὴ προεῖπε μόνον τὸ μέλλον, ὅτι βαπτίσει ἐν Πνεύματι ἁγίῳ, ἠκολούθησαν αὐτῷ. Οὐ τοίνυν ἀπέστησαν τοῦ διδασκάλου, ἀλλ' ἐβουλήθησαν μαθεῖν τί πλέον φέρει τοῦ Ἰωάννου.

Καὶ ὅρα τὴν σπουδὴν μετὰ αἰδοῦς γινομένην· οὐδὲ γὰρ εὐθέως προσελθόντες ἐπηρώτησαν τὸν Ἰησοῦν ὑπὲρ ἀναγκαίων καὶ μεγίστων πραγμάτων, οὐδὲ δημοσίᾳ, παρόντων ἁπάντων, ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἰδίᾳ διαλεχθῆναι αὐτῷ ἐσπούδαζον. Ἤδεισαν γὰρ οὐ ταπεινοφροσύνης, ἀλλ' ἀληθείας ὄντα

6. Ἰω. 5, 34 καὶ 36.
7. Ἰω. 10, 42.
8. Ἰω. 3, 26.
9. Ματθ. 9, 14.

ἐμέ»[6]. Κύτταξε λοιπὸν ὅτι αὐτὸ ἦτο πιὸ καθαρόν. Ἀφοῦ δηλαδὴ ἔρριψε μικρὰν σπίθαν, διὰ μιᾶς ἡ φωτιὰ ἐφούντωσε. Ἐκεῖνοι δὲ οἱ ὁποῖοι πρὶν ἀπὸ αὐτὸ οὔτε ἐπρόσεχαν εἰς ὅσα ἔλεγεν, ἔπειτα ὡμολογοῦσαν· «Ὅλα ὅσα εἶπεν ὁ Ἰωάννης, εἶναι ἀληθινά»[7].

3. Ἐξ ἄλλου, ἐὰν τὰ ἔλεγε περιερχόμενος τὴν Ἰουδαίαν, θὰ ἐδημιουργεῖτο ἡ ὑπόνοια ὅτι ὅλα ἐγίνοντο ἀπὸ κάποιαν ἀνθρωπίνην βιασύνην καὶ τὸ κήρυγμα θὰ ἐθεωρεῖτο ὕποπτον. «Τὸν ἤκουσαν λοιπὸν οἱ δύο μαθηταί του καὶ τὸν ἠκολούθησαν». Μολονότι καὶ κατόπιν ὑπῆρχαν μαθηταί του, ἐκεῖνοι ὅμως ὄχι μόνον δὲν ἠκολούθησαν τὸν Χριστόν, ἀλλὰ ἔμειναν ζηλοτύπως προσκεκολλημένοι εἰς αὐτόν. Διότι λέγουν· «Διδάσκαλε, ἐκεῖνος ποὺ ἦτο μαζί σου πέρα ἀπὸ τὸν Ἰορδάνην, τὸν ὁποῖον σὺ ἐμαρτύρησες, βαπτίζει καὶ αὐτὸς καὶ ὅλοι πηγαίνουν εἰς αὐτόν»[8]. Καὶ ἄλλοτε πάλιν ἐμφανίζονται νὰ τὸν κατηγοροῦν· «Διατί ἐμεῖς νηστεύομεν καὶ οἱ μαθηταί σου δὲν νηστεύουν»[9];

Πάντως ὅσοι ἦσαν καλύτεροι ἀπὸ τοὺς ἄλλους μόλις ἤκουσαν τὸν Ἰωάννην ἠκολούθησαν τὸν Χριστόν. Τὸν ἠκολούθησαν δὲ ὄχι ἐπειδὴ περιεφρόνησαν τὸν διδάσκαλόν των, ἀλλ' ἐπειδὴ ἀκριβῶς ἐπείσθησαν εἰς αὐτὸν καὶ ἔδειξαν περιτράνως ὅτι αὐτὸ τὸ ἔκαναν ὕστερα ἀπὸ ὀρθὴν ἀπόφασιν τοῦ λογικοῦ των. Οὔτε ἐπίσης τὸ ἔκαναν αὐτὸ ὕστερα ἀπὸ παράκλησιν, πρᾶγμα τὸ ὁποῖον θὰ ἐθεωρεῖτο ὕποπτον, ἀλλὰ τὸν ἠκολούθησαν μόνον ἐπειδὴ προεῖπεν αὐτὸ ποὺ θὰ ἐγίνετο εἰς τὸ μέλλον, ὅτι θὰ βαπτίσῃ μὲ ἅγιον Πνεῦμα. Δὲν ἀπεχωρίσθησαν ἑπομένως ἀπὸ τὸν διδάσκαλόν των, ἀλλὰ ἠθέλησαν νὰ μάθουν τί ἐπὶ πλέον τοῦ Ἰωάννου φέρει.

Κύτταξε δὲ μὲ πόσην συστολὴν δείχνουν τὸ ἐνδιαφέρον των. Δὲν ἐρωτοῦν ἀμέσως τὸν Ἰησοῦν διὰ τὰ ἐπιτακτικὰ καὶ μεγάλα θέματα, οὔτε δημοσίᾳ ἐπὶ παρουσίᾳ ὅλων εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλ' ἐπεδίωξαν νὰ συζητήσουν μαζί του κατ' ἰδίαν. Διότι ἐγνώριζαν ὅτι τὰ λόγια τοῦ διδασκάλου δὲν ἦσαν λόγια

τοῦ διδασκάλου τὰ ῥήματα. «Ἦν Ἀνδρέας», φησίν, «ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ». Τίνος οὖν ἕνεκεν καὶ τὸ τοῦ ἑτέρου οὐκ ἐγνώρισεν ὄνομα; Τινές φασι διὰ τὸ αὐτὸν εἶναι τὸν γράφοντα τὸν ἠκολουθηκότα· τινὲς δὲ οὐχ οὕτως, ἀλλ' ὅτι ἐκεῖνος οὐχὶ τῶν ἐπισήμων ἦν. Οὐδὲν οὖν πλέον τῶν ἀναγκαίων λέγειν ἐχρῆν· τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν ἐκείνου τὴν προσηγορίαν, ἐπεὶ οὐδὲ τῶν ἑβδομήκοντα δύο λέγει τὰ ὀνόματα;

Τοῦτο καὶ παρὰ Παύλῳ ἔστιν ἰδεῖν· «Συνεπέμψαμεν γὰρ αὐτῷ», φησί, «τὸν ἀδελφόν, ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ». Τοῦ δὲ Ἀνδρέου μέμνηται καὶ δι' ἑτέραν αἰτίαν. Ποίαν δὴ ταύτην; Ἵνα, ὅταν ἀκούσῃς ὅτι Σίμων, ἀκούσας μετ' αὐτοῦ· «Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων», οὐ διηπόρησε πρὸς τὴν παράδοξον ταύτην ὑπόσχεσιν, μάθῃς ὅτι τὰς ἀρχὰς τῆς πίστεως ὁ ἀδελφὸς ἤδη προκατεβάλλετο.

«Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ ἰδὼν αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε;». Ἐντεῦθεν παιδευόμεθα, ὅτι οὐ φθάνει τὰς βουλήσεις ἡμῶν ὁ Θεὸς ταῖς δωρεαῖς, ἀλλά, ὅταν ἡμεῖς ἀρξώμεθα, ὅταν τὸ θέλειν παράσχωμεν, τότε καὶ αὐτὸς πολλὰς δίδωσιν ἡμῖν τῆς σωτηρίας τὰς ἀφορμάς. Τί ζητεῖτε; Τί τοῦτο; ὁ εἰδὼς τὰς καρδίας τῶν ἀνθρώπων, ὁ τοῖς λογισμοῖς ἡμῶν ἐμβατεύων, οὗτος ἐρωτᾷ; Ἀλλ' οὐχ ἵνα μάθῃ (πῶς γάρ;), ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως μᾶλλον αὐτοὺς οἰκειώσηται, καὶ πλείονος μεταδῷ τῆς παρρησίας, καὶ δείξῃ τῆς ἀκροάσεως ὄντας ἀξίους. Εἰκὸς γὰρ ἦν ἐρυθριᾶν καὶ δεδοικέναι, ἅτε ἀγνῶτας ὄντας, καὶ τοιαῦτα περὶ αὐτοῦ τοῦ διδασκάλου μαρτυροῦντος ἀκηκοότας.

10. Β' Κορ. 8, 18.
11. Ματθ. 4, 19.

ταπεινοφροσύνης ἀλλὰ ἀληθείας. «Ἦτο», λέγει, «ὁ Ἀνδρέας, ὁ ἀδελφὸς τοῦ Σίμωνος Πέτρου, ἕνας ἀπὸ τοὺς δύο ποὺ εἶχαν ἀκούσει τὸν Ἰωάννην καὶ τὸν ἠκολούθησαν». Διατί ὅμως δὲν ἀποκαλύπτει καὶ τὸ ὄνομα τοῦ ἄλλου; Μερικοὶ ἰσχυρίζονται ὅτι ἐπειδὴ ἦτο ὁ ἴδιος ὁ συγγραφεὺς ἐκεῖνος ποὺ ἠκολούθησε. Ἄλλοι πάλιν λέγουν ὅτι ἐκεῖνος δὲν ἦτο ἐκ τῶν ἀξιολόγων. Ὅμως δὲν ἦτο ἀνάγκη νὰ εἰπῇ περισσότερα ἀπὸ ὅσα ἐχρειάζοντο. Διότι ποῖον τὸ ὄφελος μὲ τὸ νὰ μάθωμεν τὸ ὄνομα ἐκείνου, ἀφοῦ οὔτε τὰ ὀνόματα τῶν ἑβδομήντα δύο δὲν ἀναφέρει;

Αὐτὸ ἠμποροῦμεν νὰ τὸ ἰδοῦμεν καὶ εἰς τὸν Παῦλον ὁ ὁποῖος λέγει· «Μαζὶ μὲ αὐτὸν στέλλομεν τὸν ἀδελφόν, ὁ ὁποῖος ἐπαινεῖται ἀπὸ ὅλας τὰς ἐκκλησίας διὰ τὸ ἔργον του ὑπὲρ τοῦ εὐαγγελίου»[10]. Τὸν Ἀνδρέαν ἄλλωστε τὸν ἀναφέρει καὶ δι' ἄλλον λόγον. Ποῖος ὅμως εἶναι αὐτός; Τὸ ἔκανεν ὥστε ὅταν ἀκούσῃς ὅτι ὁ Σίμων μαζὶ μὲ αὐτὸν ἤκουσεν «ἐλᾶτε μαζί μου καὶ θὰ σᾶς κάνω ἁλιεῖς ἀνθρώπων»[11] καὶ δὲν ἠπόρησε διὰ τὴν παράδοξον αὐτὴν ὑπόσχεσιν, νὰ καταλάβῃς ὅτι τὰ πρῶτα σπέρματα τῆς πίστεως τοῦ τὰ εἶχε φυτεύσει προηγουμένως ὁ ἀδελφός του.

«Ὅταν ἐγύρισεν ὁ Ἰησοῦς καὶ τοὺς εἶδε νὰ τὸν ἀκολουθοῦν τοὺς λέγει· Τί ζητεῖτε;». Ἀπὸ ἐδῶ διδασκόμεθα ὅτι ὁ Θεὸς δὲν προλαμβάνει τὰς θελήσεις μας εἰς τὰς εὐεργεσίας, ἀλλὰ μόνον ὅταν ἐμεῖς ἀρχίσωμεν, ὅταν δείξωμεν ὅτι θέλομεν, τότε καὶ ἐκεῖνος μᾶς δίνει πολλὰς ἀφορμὰς σωτηρίας. Τί ζητεῖτε; Διατί αὐτό; Ἐρωτᾷ αὐτὸς ποὺ γνωρίζει τὰς καρδίας τῶν ἀνθρώπων, αὐτὸς ποὺ εἰσχωρεῖ εἰς τοὺς διαλογισμούς μας; Ἐρωτᾷ ὄχι διὰ νὰ μάθῃ (πῶς θὰ συνέβαινεν αὐτό;), ἀλλὰ διότι θέλει μὲ τὴν ἐρώτησιν νὰ τοὺς κάνῃ νὰ αἰσθανθοῦν φιλικὰ καὶ νὰ τοὺς δώσῃ περισσότερον θάρρος καὶ νὰ τοὺς δείξῃ ὅτι καταδέχεται νὰ τοὺς ἀκούσῃ. Διότι ἦτο φυσικὸν νὰ κοκκινίζουν καὶ νὰ φοβοῦνται, ἐπειδὴ ἦσαν ἄγνωστοι καὶ εἶχαν ἀκούσει τόσα πολλὰ νὰ μαρτυρῇ περὶ αὐτοῦ ὁ διδάσκαλός των.

Πῶς οὖν ἀλλαχοῦ φησιν· «Ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ», ἐνταῦθα δὲ λέγει· «Ἔρχεσθε καὶ ἴδετε ποῦ μένω»; Ὅτι τό, «Οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ», δηλωτικόν ἐστι τοῦ μηδὲ ἴδιον καταγώγιον κεκτῆσθαι, οὐχ ὅτι ἐν οἰκίᾳ οὐ κατέμενε· καὶ γὰρ καὶ ἡ παραβολὴ τοῦτο βούλεται. Ὅτι μὲν οὖν παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, εἶπεν ὁ Εὐαγγελιστής· τίνος δὲ ἕνεκεν οὐκ ἔτι προσέθηκεν, ὡς δήλου τῆς αἰτίας οὔσης. Οὐδὲ γὰρ ἑτέρου τινὸς ἕνεκεν οὔτε αὐτῷ ἠκολούθησαν, οὔτε ὁ Χριστὸς αὐτοὺς ἐπεσπάσατο, ἀλλ' ἢ διὰ τὴν διδασκαλίαν· ἧς οὕτω δαψιλῶς καὶ προθύμως ἀπέλαυσαν, καὶ ἐν νυκτὶ μιᾷ, ὡς εὐθέως θατέρους καὶ ἐφ' ἑτέρων θήραν ἐλθεῖν.

4. Οὐκοῦν καὶ ἡμεῖς ἐντεῦθεν διδαχθῶμεν πάντα πάρεργα τίθεσθαι τῆς θείας ἀκροάσεως, καὶ μηδένα καιρὸν ἄκαιρον εἶναι νομίζειν, ἀλλὰ κἂν εἰς οἰκίαν ἀλλοτρίαν ἀπελθεῖν δέῃ, κἂν γνώριμον ἀνδράσι γενέσθαι μεγάλοις ἀγνῶτα ὄντα, κἂν ἀωρὶ τῆς ἡμέρας, κἂν οἱῳδήποτε καιρῷ, μηδέποτε ταύτης, ἀμελεῖν τῆς ἐμπορίας. Τροφὴ μὲν οὖν, καὶ λουτρά, καὶ δεῖπνα, καὶ τὰ ἄλλα τὰ βιωτικὰ καιρὸν ἐχέτω τὸν ὡρισμένον, διδασκαλία δὲ περὶ φιλοσοφίας τῆς ἄνω, μηδεμίαν ἀφωρισμένην ὥραν ἐχέτω, ἀλλ' ἅπας αὐτῆς ἔστω ὁ καιρός· «Εὐκαίρως» γάρ, φησίν, «ἀκαίρως ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον».

Καὶ ὁ Προφήτης δέ φησιν· «Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός»· καὶ τοῖς Ἰουδαίοις δὲ ὁ Μωϋσῆς διὰ παντὸς τοῦτο ποιεῖν ἐκέλευε. Τὰ μὲν γὰρ βιωτικά, βαλανεῖα, λέγω, καὶ δεῖπνα, εἰ καὶ ἀναγκαῖα, ὅμως, συνεχῶς γινόμενα, τὸ σῶμα ἐξίτηλον ἐργάζεται, ἡ δὲ τῆς ψυχῆς διδασκαλία, ὅσῳ περ ἂν ἐπιτείνηται, τοσούτῳ τὴν δεχομένην ἰσχυροτέραν ποιεῖ ψυχήν.

---

12. Λουκᾶ 9, 58.
13. Β' Τιμ. 4, 2.
14. Ψαλμ. 1, 2,

Τότε, διατί ἀλλοῦ λέγει· «Ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γείρῃ τὴν κεφαλήν του»[12], ἐνῷ ἐδῶ τοὺς λέγει· «Ἐλᾶτε νὰ ἰδῆτε ποῦ μένω»; Διότι τό, «Δὲν ἔχει ποῦ νὰ γείρῃ τὴν κεφαλήν του», σημαίνει ὅτι δὲν ἔχει ἰδικόν του κατάλυμα, καὶ ὄχι ὅτι δὲν ἔμενεν εἰς κατοικίαν. Διότι καὶ ἡ παρομοίωσις αὐτὸ θέλει νὰ εἰπῇ. Ὅτι μὲν λοιπὸν ἔμειναν κοντά του τὴν ἡμέραν ἐκείνην τὸ λέγει ὁ εὐαγγελιστής· δὲν προσθέτει ὅμως καὶ τὸ διατί, διότι ἡ αἰτία ἦτο φανερά. Διότι διὰ τίποτε ἄλλο δὲν τὸν ἠκολούθησαν, οὔτε ὁ Χριστὸς τοὺς εἵλκυσε, παρὰ μόνον διὰ νὰ ἀκούσουν τὴν διδασκαλίαν του, τὴν ὁποίαν ἀπήλαυσαν τόσον πλουσιοπάροχα καὶ μὲ τόσην προθυμίαν καὶ μέσα εἰς μίαν νύκτα, εἰς τρόπον ὥστε καὶ οἱ δύο νὰ ἐπιδιώξουν τὴν προσέλκυσιν καὶ ἄλλων.

4. Ἀπὸ αὐτὰ λοιπὸν ἂς διδαχθῶμεν καὶ ἐμεῖς νὰ θεωροῦμεν ὅλα πάρεργα μπροστὰ εἰς τὴν ἀκρόασιν τοῦ Θεοῦ καὶ καμμίαν ὥραν νὰ μὴ νομίζωμεν ἀκατάλληλον, ἀλλὰ καὶ ἂν ἀκόμη χρειασθῇ νὰ μεταβῶμεν εἰς ξένην οἰκίαν καὶ ἂν ἀκόμη χρειάζεται νὰ γνωρισθῶμεν μὲ μεγάλους ἄνδρας ἐνῷ εἴμεθα ἄγνωστοι, καὶ ἂν ἀκόμη εἶναι πολὺ ἐνωρίς, εἰς ὁποιονδήποτε χρόνον, ποτὲ νὰ μὴ παραμελοῦμεν αὐτὴν τὴν ἐπιχείρησιν. Ἡ μὲν τροφὴ λοιπὸν καὶ τὰ λουτρὰ καὶ τὰ δεῖπνα καὶ τὰ ἄλλα βιωτικά, ἂς ἔχουν τὸν καθωρισμένον των καιρόν, ἡ διδασκαλία ὅμως διὰ τὴν οὐράνιον φιλοσοφίαν, ἂς μὴ ἔχῃ καθωρισμένην ὥραν, ἀλλὰ ὅλος ὁ καιρὸς ἂς εἶναι ἰδικός της. Διότι λέγει· «Εἰς κατάλληλον καὶ ἀκατάλληλον καιρὸν ἔλεγξε, ἐπιτίμησε, ἐνθάρρυνε»[13].

Ἀλλὰ καὶ ὁ προφήτης λέγει· «Τὸν νόμον αὐτοῦ τὸν μελετᾷ ἡμέραν καὶ νύκτα»[14]. Καὶ ὁ Μωϋσῆς διέτασσε τοὺς Ἰουδαίους νὰ κάνουν πάντοτε τὸ ἴδιον. Διότι τὰ μὲν βιωτικά, ἤτοι τὰ λουτρὰ καὶ τὰ δεῖπνα, μολονότι ἀπαραίτητα, ἐν τούτοις ὅταν γίνωνται συνεχῶς φθείρουν τὸ σῶμα. Ἐνῷ ἡ διδασκαλία τῆς ψυχῆς, ὅσον ἐπεκτείνεται τόσον πιὸ ἰσχυρὰν κάνει τὴν ψυχὴν ποὺ τὴν δέχεται.

Νῦν δὲ λήροις μὲν καὶ φλυαρίαις ἀνοήτοις πάντα καιρὸν ἀφορίζομεν, καὶ τὸν ὑπὸ τὴν ἕω, καὶ τὸν περὶ δείλης, καὶ μεσημβρίαν, καὶ ἑσπέραν δὲ αὐτὴν συνεδρεύομεν εἰκῇ, καὶ τόπους εἰς τοῦτο ἀπετάξαμεν, τῶν δὲ θείων δογμάτων ἅπαξ ἢ δὶς τῆς ἑβδομάδος ἀκούοντες, ναυτιῶμεν, διακορεῖς γινόμεθα. Τί οὖν τὸ αἴτιον; Κακῶς διακείμεθα τὴν ψυχήν. Τὸ ἐπιθυμητικὸν αὐτῆς τὸ περὶ ταῦτα καὶ ὀρεκτικὸν ἐξελύσαμεν ἅπαν· διὰ τοῦτο οὐκ ἔρρωται πρὸς τὴν τῆς πνευματικῆς τροφῆς ὄρεξιν. Μέγα δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἀρρωστίας τεκμήριον, τὸ μὴ πεινῆν, μηδὲ διψῆν, ἀλλὰ δυσαρέστως πρὸς ἀμφότερα ἔχειν. Εἰ δὲ ἐπὶ σωμάτων τοῦτο συμβαῖνον, νοσήματος χαλεποῦ τεκμήριον καὶ ἀρρωστίας ποιητικόν, πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς.

Πῶς οὖν αὐτὴν ἀναπεπτωκυῖαν καὶ ἐκλελυμένην ἀναρρῶσαι δυνησόμεθα; τί ποιοῦντες, φησί, καὶ τί λέγοντες; Ἁπτόμενοι τῶν λόγων τῶν θείων, προφητικῶν, ἀποστολικῶν, εὐαγγελικῶν, καὶ τῶν ἄλλων ἁπάντων· τότε γὰρ εἰσόμεθα, ὅτι πολλῷ βέλτιον ταῦτα σιτεῖσθαι, ἢ τὰς ἀκαθάρτους τροφάς· οὕτω γὰρ χρὴ τὰς ἀκαίρους φλυαρίας καὶ συνόδους καλεῖν. Τί γὰρ ἄμεινον, εἰπέ μοι, περὶ τῶν κατὰ τὴν ἀγοράν, περὶ τῶν ἐν τοῖς δικαστηρίοις, περὶ τῶν ἐν τῷ στρατοπέδῳ διαλέγεσθαι, ἢ περὶ τῶν ἐν οὐρανοῖς, καὶ περὶ τῶν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; Τί βέλτιον, περὶ τοῦ γείτονος λαλεῖν καὶ τῶν τοῦ γείτονος πραγμάτων, καὶ τὰ ἀλλότρια πολυπραγμονεῖν, ἢ τὰ τῶν ἀγγέλων καὶ τὰ ἡμῖν αὐτοῖς διαφέροντα ἀναζητεῖν; Τὰ μὲν γὰρ τοῦ γείτονος οὐ πάντως σά, τὰ δὲ τῶν οὐρανῶν σά.

Τώρα ὅμως ἀφιερώνομεν ὅλον τὸν χρόνον μας εἰς ἀνωφελεῖς ἀνοησίας καὶ φλυαρίας, καὶ τὸ πρωΐ καὶ τὸ ἀπόγευμα καὶ τὴν μεσημβρίαν, ἀλλὰ ἀκόμη καὶ τὴν νύκτα συνερχόμεθα εἰς τὴν τύχην, ἔχομεν δὲ παραχωρήσει καὶ εἰδικοὺς χώρους διὰ τὸν σκοπὸν αὐτόν. Ἐνῷ ὅταν ἀκούωμεν τὰ θεῖα διδάγματα, μίαν ἢ δύο φορὰς τὴν ἑβδομάδα, καταλαμβανόμεθα ἀπὸ ναυτίαν καὶ κόρον. Ποῖον λοιπὸν εἶναι τὸ αἴτιον; Ἔχομεν κακὴν ψυχικὴν διάθεσιν. Κατηργήσαμεν κάθε ἐπιθυμίαν καὶ ὄρεξίν της δι' αὐτά. Δι' αὐτὸ δὲν ἔχομεν μεγάλην ὄρεξιν διὰ τὴν πνευματικὴν τροφήν. Εἶναι δὲ καὶ αὐτό, μαζὶ μὲ τὰ ἄλλα, μεγάλη ἀπόδειξις ἀσθενείας, τὸ νὰ μὴ πεινῶμεν οὔτε νὰ διψῶμεν, ἀλλὰ νὰ αἰσθανώμεθα δυσαρέσκειαν καὶ πρὸς τὰ δύο. Ἐὰν δέ, ὅταν αὐτὸ συμβαίνῃ εἰς τὰ σώματα, ἀποτελῇ τεκμήριον ἐπικινδύνου νόσου καὶ προκαλεῖ ἀρρώστιαν, πολὺ περισσότερον ὅταν συμβαίνῃ εἰς τὴν ψυχήν.

Μὲ ποῖον τρόπον λοιπὸν θὰ ἠμπορέσωμεν νὰ τὴν ἐνδυναμώσωμεν, ὅταν εἶναι πεσμένη καὶ ἐξαχρειωμένη; Τί νὰ κάνωμεν καὶ τί νὰ λέγωμεν; Νὰ ἐρχώμεθα εἰς ἐπαφὴν μὲ τὰ λόγια τὰ θεῖα, τὰ προφητικά, τὰ ἀποστολικά, τὰ εὐαγγελικὰ καὶ ὅλα τὰ ἄλλα. Τότε μόνον θὰ γνωρίσωμεν ὅτι εἶναι πολὺ καλύτερα νὰ τρεφώμεθα μὲ αὐτὰ παρὰ μὲ ἀκαθάρτους τροφάς· διότι ἔτσι πρέπει νὰ ἀποκαλοῦμεν τὰς ἀκαίρους φλυαρίας καὶ συγκεντρώσεις. Ἄλλωστε τί εἶναι καλύτερον, εἰπέ μου, νὰ ὁμιλοῦμεν διὰ τὰ ζητήματα τῆς ἀγορᾶς, τῶν δικαστηρίων, τῶν στρατώνων, ἢ διὰ τὰ θέματα τῶν οὐρανῶν καὶ ὅλα ἐκεῖνα ποὺ ἀναφέρονται εἰς τὴν ζωήν μας μετὰ τὴν ἀναχώρησίν μας ἀπὸ τὸν κόσμον αὐτόν; Τί εἶναι καλύτερον, νὰ ὁμιλῶμεν διὰ τὸν γείτονα καὶ τὰ πράγματά του καὶ νὰ ἀναμιγνυώμεθα εἰς τὰ ζητήματα τῶν ἄλλων, ἢ νὰ ἀναζητῶμεν τὰ ἀγγελικὰ πράγματα καὶ ἐκεῖνα ποὺ ἐνδιαφέρουν ἐμᾶς τοὺς ἰδίους; Διότι τὰ μὲν πράγματα τοῦ γείτονος δὲν εἶναι ἰδικά σου, ἐνῷ τὰ οὐράνια εἶναι ἰδικά σου.

Ἀλλ' ἔνεστι, φησίν, ἅπαξ εἰπόντα ταῦτα, πληρῶσαι τὸ πᾶν. Τί δέ, περὶ ὧν διαλέγεσθε μάτην καὶ εἰκῇ, οὐκ ἐννοεῖτε τοῦτο, ἀλλά, πάντα τὸν βίον εἰς τοῦτο καταναλίσκοντες, τὴν ὑπόθεσιν τὴν περὶ τούτων οὐδέποτε κατεδαπανήσατε; Καὶ οὔπω λέγω τὰ πολλῷ τούτων φορτικώτερα. Οἱ μὲν γὰρ ἐπιεικέστεροι ταῦτα πρὸς ἀλλήλους διαλέγονται, οἱ δὲ ῥαθυμότεροι καὶ μᾶλλον ἠμελημένοι μίμους καὶ ὀρχηστὰς καὶ ἡνιόχους ἐν τοῖς αὐτῶν περιφέρουσι λόγοις, τὴν ἀκοὴν μολύνοντες, τὴν ψυχὴν διαφθείροντες, τὴν φύσιν ἐκβακχεύοντες τούτοις τοῖς διηγήμασιν, ἅπαν κακίας εἶδος εἰς τὴν ἑαυτῶν διάνοιαν διὰ ταύτης εἰσάγοντες τῆς διαλέξεως. Ἅμα γὰρ ἐφθέγξατο ἡ γλῶττα τοῦ ὀρχουμένου τὸ ὄνομα, καὶ εὐθέως ἀνετύπωσεν ἡ ψυχὴ τὴν ὄψιν, τὴν κόμην, τὴν ἐσθῆτα τὴν ἁπαλήν, αὐτὸν ἐκεῖνον τούτων μαλακώτερον ὄντα.

Ἕτερος πάλιν ἑτέρωθεν ἀνεῤῥίπισε τὴν φλόγα, γυναῖκα πόρνην εἰς τὴν διάλεξιν εἰσαγαγών, κἀκείνης τὰ ῥήματα, τὰ σχήματα, τῶν ὀμμάτων τὰς διαστροφὰς τῆς ὄψεως τὸ ὑγρόν, τῶν τριχῶν τὰς στρεβλώσεις, τῶν παρειῶν τὰ ἐπιτρίμματα, τὰς ὑπογραφάς. Ἆρα οὐκ ἐπάθετέ τι, καὶ ἐμοῦ ταῦτα διηγουμένου; Ἀλλὰ μὴ αἰσχυνθῆτε, μηδὲ ἐρυθριάσητε· ἡ γὰρ τῆς φύσεως ἀνάγκη τοῦτο ἀπαιτεῖ, καὶ οὕτω διατίθησι τὴν ψυχήν, ὡς ἂν ἡ τῶν ἀπαγγελλομένων δύναμις ἔχῃ. Εἰ δέ, ἐμοῦ φθεγγομένου, εἰ δέ, ἐν ἐκκλησίᾳ ἑστῶτες, εἰ δέ, ἐκείνων ἀπέχοντες, ἐπάθετέ τι πρὸς τὴν ἀκρόασιν, ἐννόησον πῶς εἰκὸς διακεῖσθαι τοὺς ἐν αὐτῷ τῷ θεάτρῳ καθημένους, τοὺς ἄδειαν πολλὴν ἔχοντας, τοὺς ἐκτὸς τοῦ σεμνοῦ τούτου καὶ φρικτοῦ συνεδρίου, τοὺς μετὰ πολλῆς ἀναισχυντίας καὶ ὁρῶντας ἐκεῖνα καὶ ἀκούοντας.

Καὶ τί δήποτε, φήσειεν ἂν ἴσως τις τῶν οὐ προσεχόντων, εἰ τῆς φύσεως ἡ ἀνάγκη τὴν ψυχὴν οὕτω διατίθησιν,

'Αλλ' εἶναι δυνατόν, λέγει, ἀφοῦ τὰ εἰπῇ μίαν φορὰν αὐτὰ νὰ ἐξαντλήσῃ τὸ πᾶν. Διατί δὲν λέγετε τὸ ἴδιον καὶ δι' ἐκεῖνα ποὺ συζητεῖτε εἰκῆ καὶ ὡς ἔτυχεν, ἀλλ' ἐνῷ καταναλίσκετε ὅλον τὸν βίον σας εἰς αὐτά, δὲν ἐξαντλήσατε τὸ ἐνδιαφέρον δι' αὐτά; Καὶ δὲν ἔχω ἀκόμη ἀναφέρει τὰ χειρότερα ἀπὸ αὐτά. Διότι οἱ πιὸ ἀνεκτοὶ τὰ συζητοῦν αὐτὰ μεταξύ των. 'Ενῷ οἱ πιὸ ράθυμοι καὶ πιὸ ἀδιάφοροι, περιφέρουν εἰς τοὺς λόγους των μίμους καὶ χορευτὰς καὶ ἀστρολόγους, μὲ τοὺς ὁποίους μολύνουν τὴν ἀκοήν, διαφθείρουν τὴν ψυχὴν καὶ διεγείρουν τὴν φύσιν εἰς βακχικὴν μανίαν μὲ αὐτὰς τὰς διηγήσεις, εἰσάγουν δὲ κάθε εἶδος κακίας εἰς τὴν διάνοιάν των μὲ αὐτὴν τὴν συζήτησιν. Διότι μόλις ἀναφέρει ἡ γλῶσσα τὸ ὄνομα τοῦ χορευτοῦ, ἀμέσως ἡ ψυχὴ ἀναπαριστᾷ τὸ πρόσωπον, τὴν κόμμωσιν, τὸ ἁπαλὸν ἔνδυμά του καὶ γενικώτερα αὐτὸν τὸν ἴδιον ὁ ὁποῖος εἶναι πιὸ μαλακὸς ἀπὸ ὅλα αὐτά.

Ἄλλος πάλιν μὲ ἄλλον τρόπον ζωηρεύει τὴν φλόγα, εἰσάγων εἰς τὴν συζήτησιν γυναῖκα πόρνην καὶ τὰ λόγια ἐκείνης, τοὺς τρόπους, τὰς συστροφὰς τῶν ὀφθαλμῶν, τὸ ὑγρὸν βλέμμα, τὰ περιπεπλεγμένα μαλλιά, τὰς ἐπαλείψεις τῶν παρειῶν καὶ τὰ βαψίματα. Ἆρά γε δὲν ἐπάθατε τίποτε καθὼς τὰ ἀναφέρω καὶ ἐγώ; 'Αλλὰ μὴ ἐντραπῆτε μήτε νὰ κοκκινίσετε· διότι τὸ ἀπαιτεῖ ἡ ἀνάγκη τῆς φύσεως καὶ προδιαθέτει ἔτσι τὴν ψυχήν, ἀνάλογα μὲ τὴν δύναμιν αὐτῶν ποὺ λέγονται. 'Εὰν ὅμως ἐπάθατε κάτι ἀπὸ τὴν ἀκρόασιν ἐνῷ τὰ λέγω ἐγὼ καὶ στέκεσθε εἰς τὴν ἐκκλησίαν καὶ εὑρίσκεσθε μακρυὰ ἀπὸ αὐτά, φαντάσου πῶς εἶναι φυσικὸν νὰ αἰσθάνωνται ἐκεῖνοι ποὺ κάθονται μέσα εἰς τὸ ἴδιον τὸ θέατρον καὶ ἔχουν πολλὴν ἐλευθερίαν, ἐκεῖνοι ποὺ εὑρίσκονται ἔξω ἀπὸ τὴν σεμνὴν αὐτὴν καὶ φρικτὴν συνέλευσιν καὶ μὲ πολλὴν ἀναισχυντίαν βλέπουν καὶ ἀκούουν αὐτά.

Καὶ τότε διατί, θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ἀπὸ αὐτοὺς ποὺ δὲν προσέχουν, ἀφοῦ ἡ φυσικὴ ἀνάγκη προδιαθέ-

ἐκείνην ἀφείς, ἡμῖν ἐγκαλεῖς; Ὅτι τὸ μὲν ἀκούοντα τοιαῦτα μαλάττεσθαι τῆς φύσεως ἔργον, τὸ δὲ τοιαῦτα ἀκούειν οὐκ ἔτι τῆς φύσεως, ἀλλὰ τῆς προαιρέσεως ἁμάρτημα. Ἐπεὶ καὶ τὸν ὁμιλοῦντα πυρὶ διαφθείρεσθαι δεῖ, καὶ τοῦτο ἡ τῆς φύσεως ἀσθένεια βούλεται· ἀλλ' οὐκ ἔτι καὶ πρὸς τὸ πῦρ ἡμᾶς καὶ τὴν ἐκεῖθεν ἄγει διαφθορὰν ἡ φύσις· τοῦτο γὰρ τῆς κατὰ προαίρεσιν μόνης ἂν εἴη διαστροφῆς.

Τοῦτο οὖν ἀνελεῖν ἀξιῶ καὶ διορθῶσαι, ὥστε μὴ ἑκόντας ἑαυτοὺς κατακρημνίζειν, μηδὲ πρὸς τὰ βάραθρα τῆς κακίας ὠθεῖν, μηδὲ αὐτομάτως τρέχειν ἐπὶ τὴν πυράν· ἵνα μὴ καὶ τῇ τῷ διαβόλῳ κατεσκευασμένῃ φλογὶ καταστήσωμεν ὑπευθύνους ἑαυτούς. Γένοιτο δὲ πάντας ἡμᾶς, καὶ ταύτης κἀκείνης ἀπαλλαγέντας, πρὸς αὐτοὺς τοῦ Ἀβραὰμ χωρῆσαι τοὺς κόλπους, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τει ἔτσι τὴν ψυχήν, διατί ἀφήνεις ἐκείνην καὶ κατηγορεῖς ἐμᾶς; Διότι, τὸ νὰ ἐρεθίζεται κανεὶς ὅταν τὰ ἀκούῃ αὐτὰ εἶναι ἔργον τῆς φύσεως, τὸ νὰ τὰ ἀκούῃ ὅμως, δὲν εἶναι πλέον τῆς φύσεως, ἀλλὰ προαιρετικὸν ἁμάρτημα. Διότι καὶ ἐκεῖνος ποὺ ἔρχεται εἰς ἐπαφὴν μὲ τὴν φωτιὰν κατ' ἀνάγκην καίεται, καὶ αὐτὸ τὸ θέλει ἡ ἀδυναμία τῆς φύσεως. Ἀλλὰ ἡ φύσις δὲν μᾶς ὁδηγεῖ καὶ πρὸς τὴν φωτιὰν καὶ τὴν καταστροφὴν ποὺ προκαλεῖ αὐτή. Διότι αὐτὸ ἀποτελεῖ ἀποκλειστικὴν διαστροφὴν τῆς προαιρέσεώς μας.

Αὐτὸ λοιπὸν ἔχω τὴν ἀξίωσιν νὰ καταστρέψωμεν καὶ νὰ διορθώσωμεν, ὥστε νὰ μὴ κρημνίζωμεν θεληματικὰ τοὺς ἑαυτούς μας, οὔτε νὰ τοὺς ὠθοῦμεν εἰς τὰ βάραθρα τῆς κακίας, οὔτε νὰ τρέχωμεν αὐθόρμητα πρὸς τὴν φωτιάν, διὰ νὰ μὴ καταδικάσωμεν τοὺς ἑαυτούς μας καὶ εἰς τὴν φλόγα ποὺ εἶναι ἑτοιμασμένη διὰ τὸν διάβολον. Εἴθε δὲ νὰ ἀπαλλαγῶμεν καὶ ἀπὸ αὐτὴν καὶ ἀπὸ ἐκείνην καὶ νὰ προχωρήσωμεν εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα αἰωνίως. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΘ΄.

Ἰω. 1, 41-42

«Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον Χριστός, καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν».

1. Ὁ Θεός, παρὰ τὴν ἀρχὴν ποιήσας τὸν ἄνθρωπον, οὐκ ἀφῆκεν εἶναι μόνον, ἀλλ᾽ ἔδωκεν αὐτῷ βοηθὸν τὴν γυναῖκα, καὶ συνοικεῖν ἐποίησεν, εἰδὼς ἀπὸ τῆς συσκηνίας ταύτης πολὺ τὸ κέρδος ἐσόμενον. Τί γάρ, εἰ μὴ πρὸς τὸ δέον ἐχρήσατο τῇ εὐεργεσίᾳ ταύτῃ ἡ γυνή; Ἀλλ᾽ ὅμως, εἰ τοῦ πράγματος αὐτοῦ τὴν φύσιν τις καταμάθοι, πολλὴν ἀπὸ τῆς συνοικήσεως ταύτης ὄψεται τὴν ὠφέλειαν ἐπὶ τῶν νοῦν ἐχόντων γινομένην. Οὐκ ἐπὶ γυναικὸς δὲ μόνον καὶ ἀνδρός, ἀλλὰ κἂν ἀδελφοὶ τοῦτο ποιῶσι, καὶ αὐτοὶ τῆς εὐεργεσίας ἀπολαύσονται.

Διὸ καὶ ὁ Προφήτης ἔλεγε· «Τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;»[1]. Καὶ ὁ Παῦλος παρῄνει μὴ ἐγκαταλιπεῖν τὴν ἐπισυναγωγὴν τὴν ἑαυτῶν[2]. Καὶ γὰρ τοῦτό ἐστιν, ᾧ τῶν θηρίων διεστήκαμεν. Διὰ τοῦτο καὶ πόλεις ἐδειμάμεθα, καὶ ἀγοράς, καὶ οἰκίας, ἵνα ὁμοῦ καὶ μετ᾽ ἀλλήλων ὦμεν οὐ κατὰ τὴν οἴκησιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν τῆς ἀγάπης σύνδεσμον. Ἐπειδὴ γὰρ ἐνδεὴς ἡμῖν ἡ φύσις παρὰ τοῦ πεποιηκότος ἐγένετο, καὶ οὐκ αὐτάρκης ἐστὶν ἑαυτῇ, συμφερόντως ᾠκονόμησεν ὁ Θεὸς τὴν ἐντεῦθεν ἔνδειαν λοιπὸν ἐκ τῆς κατὰ τὴν σύνοδον παρ᾽ ἀλλήλων γινομένης ὠφελείας διορθωθῆναι. Διὰ τοῦτο γά-

1. Ψαλμ. 132, 1.
2. Ἑβρ. 10, 25.

ΟΜΙΛΙΑ ΙΘ΄.

'Ιω. 1, 41-42

«Αὐτὸς εὑρίσκει πρῶτα τὸν ἀδελφόν του Σίμωνα καὶ τοῦ λέγει· εὑρήκαμεν τὸν Μεσσίαν, (τὸ ὁποῖον μεταφραζόμενον σημαίνει Χριστός), καὶ τὸν ὡδήγησε πρὸς τὸν 'Ιησοῦν».

1. Ὁ Θεὸς ὁ ὁποῖος ἐδημιούργησεν ἀπὸ τὴν ἀρχὴν τὸν ἄνθρωπον, δὲν τὸν ἄφησε νὰ ζῇ μόνος, ἀλλὰ τοῦ ἔδωσεν ὡς βοηθὸν τὴν γυναῖκα καὶ τὸν ἔκανε νὰ κατοικῇ μαζί, ἐπειδὴ ἐγνώριζεν ὅτι ἀπὸ αὐτὴν τὴν συγκατοίκησιν θὰ προέκυπτε μέγα κέρδος. Διότι ποίαν σημασίαν ἔχει, ἐὰν ἡ γυναίκα δὲν ἐχρησιμοποίησε τὴν εὐεργεσίαν αὐτὴν ὅπως ἔπρεπεν; Ὅμως, ἐὰν κανεὶς ἐξετάσῃ καλὰ τὴν οὐσίαν τοῦ πράγματος, θὰ ἰδῇ ὅτι ἀπὸ τὴν συγκατοίκησιν αὐτὴν προκύπτει μεγάλη ὠφέλεια εἰς τοὺς νουνεχεῖς. Καὶ ὄχι μόνον εἰς τὴν γυναῖκα καὶ τὸν ἄνδρα, ἀλλὰ ἔστω καὶ ἂν τὸ κάνουν αὐτὸ τὰ ἀδέλφια, καὶ αὐτὰ θὰ ἀπολαύσουν τὴν εὐεργεσίαν.

Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγε· «Πόσον ὡραῖον καὶ πόσον εὐχάριστον εἶναι νὰ κατοικοῦν τὰ ἀδέλφια μαζί;»[1]. Καὶ ὁ Παῦλος παρώτρυνε νὰ μὴ ἐγκαταλείπουν τὰς συναθροίσεις των[2]. Ἐξ ἄλλου αὐτὸ εἶναι ἐκεῖνο κατὰ τὸ ὁποῖον διαφέρομεν ἀπὸ τὰ θηρία. Δι' αὐτὸ ἐκτίσαμεν καὶ πόλεις καὶ ἀγορὰς καὶ κατοικίας, διὰ νὰ εὑρισκώμεθα μαζὶ καὶ κοντὰ ὁ ἕνας μὲ τὸν ἄλλον, ὄχι μόνον μὲ τὴν συγκατοίκησιν, ἀλλὰ καὶ μὲ τὸν σύνδεσμον τῆς ἀγάπης. Ἐπειδὴ ἡ φύσις μας ἀπὸ τὸν Δημιουργὸν ἔγινεν ἀνεπαρκὴς καὶ δὲν εἶναι αὐτάρκης καθ' ἑαυτήν, ἐκανόνισεν ὁ Θεὸς πρὸς τὸ συμφέρον μας νὰ συμπληρώνεται ἡ ἀνεπάρκεια αὐτὴ μὲ τὴν ὠφέλειαν ποὺ προκύπτει ἀπὸ τὴν συνάθροισίν μας.

μος οἰκονομεῖται, ὥστε τὸ λεῖπον ἑτέρῳ παρ' ἑτέρου πληροῦσθαι, καὶ τὴν ἐνδεῆ γενέσθαι οὕτως αὐτάρκη, ὡς αὐτὴν ἔχειν καὶ θνητὴν γενομένην, τῇ διαδοχῇ μέχρι πολλοῦ τὴν ἀθανασίαν διατηρεῖν.

Καὶ ἦν μὲν μακρότερον ἐπεξελθεῖν τούτῳ τῷ λόγῳ, δεικνύντα ὅσα ἀπὸ τῆς πρὸς ἀλλήλους συνόδου τῆς γνησίας καὶ εἰλικρινοῦς τὰ κέρδη τοῖς συνερχομένοις γίνεται, ἀλλ' ἕτερόν ἐστι τὸ κατεπεῖγον νῦν, οὗ δὴ καὶ ἕνεκεν ἡμῖν ταῦτα εἴρηται. Ὁ γὰρ Ἀνδρέας, μείνας παρὰ τῷ Ἰησοῦ, καὶ μαθὼν ἅπερ ἔμαθεν, οὐ κατέσχε παρ' ἑαυτῷ τὸν θησαυρόν, ἀλλ' ἐπείγεται, καὶ τρέχει ταχέως παρὰ τὸν ἀδελφόν, μεταδώσων αὐτῷ τῶν ἀγαθῶν, ὧν εἰλήφει.

Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν ὁ Ἰωάννης, τίνα ἐστὶν ἃ διελέχθη πρὸς αὐτοὺς ὁ Χριστός; πόθεν δὲ καὶ δῆλόν ἐστιν ὅτι διὰ τοῦτο ἔμειναν παρ' αὐτῷ; Ἀπεδείχθη μὲν ἡμῖν τοῦτο καὶ πρώην, ἔξεστι δὲ καὶ ἐκ τῶν τήμερον ἀναγνωσθέντων μαθεῖν. Ὅρα γὰρ τί φησιν οὗτος πρὸς τὸν ἀδελφόν· «Εὑρήκαμεν τὸν Μεσσίαν, ὃς ἑρμηνεύεται Χριστός». Εἶδες πῶς ὅσα ἐν βραχεῖ ἔμαθεν, ἔδειξεν ἐντεῦθεν; Καὶ γὰρ καὶ τὴν τοῦ διδασκάλου ἰσχὺν παρίστησι, πείσαντος αὐτούς, καὶ τὴν αὐτῶν προθυμίαν, ἄνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα μεριμνώντων. Τοῦτο γὰρ τὸ ῥῆμα ψυχῆς ἐστιν ὠδινούσης τὴν παρουσίαν αὐτοῦ, καὶ προσδοκώσης τὴν ἄφιξιν ἄνωθεν, καὶ περιχαροῦς γεγενημένης μετὰ τὸ φανῆναι τὸ προσδοκώμενον, καὶ ἐπειγομένης ἑτέροις μεταδοῦναι τῶν εὐαγγελίων. Τοῦτο ἀδελφικῆς εὐνοίας, τοῦτο φιλίας συγγενικῆς, τοῦτο εἰλικρινοῦς διαθέσεως, ἐν τοῖς πνευματικοῖς σπουδάζειν χεῖρα ὀρέγειν ἀλλήλοις.

Δι' αὐτὸ παρεσχέθη καὶ ὁ γάμος, ὥστε ὅ,τι ἐλλείπει ἀπὸ τὸν ἕνα νὰ συμπληρώνεται ἀπὸ τὸν ἄλλον καὶ ἡ ἐνδεὴς φύσις μας νὰ γίνεται μὲ τὸν τρόπον αὐτὸν αὐτάρκης καὶ νὰ ἔχῃ τὴν δυνατότητα, ἐνῷ ἔγινε θνητή, νὰ διατηρῇ μὲ τὴν διαδοχὴν ἐπὶ πολὺν χρόνον τὴν ἀθανασίαν.

Καὶ θὰ ἦτο μὲν δυνατὸν νὰ μακρύνω τὸν λόγον αὐτόν, διὰ νὰ δείξω πόσα εἶναι τὰ ὀφέλη ποὺ ἀποκομίζουν ἀπὸ μίαν γνησίαν καὶ εἰλικρινῆ συμβίωσιν ὅσοι συνέρχονται. Ἀλλὰ τώρα ἄλλο εἶναι ἐκεῖνο ποὺ ἐπείγει πολύ, χάριν τοῦ ὁποίου ἄλλωστε ἐλέχθησαν καὶ αὐτά. Διότι ὁ Ἀνδρέας, ἀφοῦ ἔμεινε κοντὰ εἰς τὸν Ἰησοῦν καὶ ἔμαθεν ὅσα ἔμαθε, δὲν ἐκράτησε διὰ τὸν ἑαυτόν του τὸν θησαυρὸν αὐτόν, ἀλλὰ βιάζεται καὶ τρέχει γρήγορα εἰς τὸν ἀδελφόν του, διὰ νὰ τοῦ δώσῃ ἀπὸ τὰ ἀγαθὰ ποὺ ἐπῆρεν.

Διατί ὅμως ὁ Ἰωάννης δὲν ἀναφέρει ποῖα εἶναι ἐκεῖνα ποὺ συνεζήτησε μὲ αὐτοὺς ὁ Χριστός; Καὶ ἀπὸ ποῦ γίνεται φανερὸν ὅτι δι' αὐτὸ ἔμειναν κοντά του; Αὐτὸ μᾶς ἀπεδείχθη βέβαια καὶ προηγουμένως, ἀλλὰ εἶναι δυνατὸν νὰ τὸ πληροφορηθῶμεν καὶ ἀπὸ αὐτὰ ποὺ ἀνεγνώσθησαν σήμερα. Διότι κύτταξε τί λέγει αὐτὸς εἰς τὸν ἀδελφόν του· «Εὑρήκαμεν τὸν Μεσσίαν, τὸ ὁποῖον μεταφράζεται Χριστός». Βλέπεις πῶς ὅσα ἔμαθε μέσα εἰς σύντομον χρονικὸν διάστημα τὰ ἔδειξε μὲ αὐτό; Διότι καὶ τοῦ διδασκάλου τὴν δύναμιν δείχνει, ὁ ὁποῖος τοὺς ἔπεισε, καὶ τὴν προθυμίαν αὐτῶν, οἱ ὁποῖοι ἀπὸ παλαιὰ ἐφρόντιζαν ἀγωνιωδῶς δι' αὐτά. Ὁ λόγος αὐτὸς δείχνει ψυχὴν ἡ ὁποία ἐκυοφοροῦσε μὲ ἀγωνίαν τὴν παρουσίαν του καὶ ἐπερίμενεν ἀπὸ καιρὸν τὸν ἐρχομόν του καὶ ἐγέμισεν ἀπὸ χαρὰν ὅταν ἐφανερώθη αὐτὸ ποὺ ἀνεμένετο καὶ βιάζεται νὰ μεταδώσῃ καὶ εἰς ἄλλους τὰ εὐχάριστα νέα. Αὐτὸ θὰ εἰπῇ ἀδελφικὴ συμπάθεια καὶ ἀγάπη συγγενοῦς καὶ διάθεσις εἰλικρινής, νὰ βιάζεσθε νὰ ἁπλώσετε τὰ χέρια ὁ ἕνας πρὸς τὸν ἄλλον εἰς τὰ πνευματικὰ ζητήματα.

Ἄκουσον δὲ καὶ τούτου μετὰ τῆς τοῦ ἄρθρου προσθήκης λέγοντος. Οὐ γὰρ εἶπε· Μεσσίαν, ἀλλὰ «τὸν Μεσσίαν»· οὕτως ἕνα τινὰ Χριστὸν προσεδόκων, οὐδὲν κοινὸν πρὸς τοὺς ἄλλους ἔχοντα. Θέα δέ μοι καὶ ἐξ αὐτῆς τῆς ἀρχῆς τὴν εὐπειθῆ καὶ εὐήνιον τοῦ Πέτρου διάνοιαν· εὐθέως γὰρ ἐπέδραμε, μηδὲν μελλήσας· «Ἤγαγε γὰρ αὐτόν», φησί, «πρὸς τὸν Ἰησοῦν». Ἀλλὰ μηδεὶς εὐκολίαν αὐτοῦ καταγινωσκέτω, εἰ μή, πολλὰ ζητήσας, οὕτω τὸν λόγον ἐδέξατο. Εἰκὸς γὰρ καὶ τὸν ἀδελφὸν ἀκριβέστερον εἰρηκέναι αὐτῷ ταῦτα καὶ διὰ μακρῶν, ἀλλ' οἱ Εὐαγγελισταὶ πανταχοῦ πολλὰ ἐπιτέμνουσι, βραχυλογίας ἐπιμελούμενοι. Ἄλλως δέ, οὐδὲ εἴρηται ὅτι ἐπίστευσεν ἁπλῶς, ἀλλ' ὅτι «ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν», ἐκείνῳ λοιπὸν παραδώσων, ὥστε τὸ πᾶν παρ' ἐκείνου μαθεῖν· καὶ γὰρ καὶ ὁ ἕτερος μαθητὴς συνῆν, καὶ συνεβάλετο πρὸς ταῦτα.

Εἰ δὲ ὁ Βαπτιστὴς Ἰωάννης, εἰπὼν ὅτι Ἀμνός ἐστι, καὶ ὅτι ἐν Πνεύματι βαπτίζει, τὴν σαφεστέραν περὶ τούτου διδασκαλίαν ἐπέτρεψε παρ' ἐκείνου μαθεῖν, πολλῷ μᾶλλον Ἀνδρέας ἂν τοῦτο ἐποίησεν, αὐτὸς μὲν οὐχ ἡγούμενος πρὸς τὴν ἐξήγησιν πᾶσαν ἐξαρκεῖν, εἰ δὲ αὐτὴν τοῦ φωτὸς ἕλκων τὴν πηγὴν μετὰ τοσαύτης σπουδῆς καὶ χαρᾶς, ὡς μηδὲ τὸ τυχὸν ἀναβαλέσθαι καὶ μελλῆσαι ἐκεῖνον. «Καὶ ἐμβλέψας αὐτῷ», φησίν, «ὁ Ἰησοῦς λέγει· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος». Ἄρχεται λοιπὸν ἐνταῦθα ἀποκαλύπτειν τὰ τῆς θεότητος, καὶ κατὰ μικρὸν αὐτὴν παρανοίγειν ἀπὸ τῶν προρρήσεων. Οὕτω καὶ ἐπὶ τοῦ Ναθαναὴλ ἐποίησε, καὶ ἐπὶ τῆς γυναικὸς τῆς Σαμαρείτιδος.

2. Τῶν γὰρ σημείων οὐχ ἧττον αἱ προφητεῖαι προσάγονται, καὶ τὸ ἀκόμπαστον ἔχουσι. Τὰ μὲν γὰρ θαύματα κἂν

Πρόσεξε δὲ ὅτι χρησιμοποιεῖ καὶ τὸ ἄρθρον. Δὲν εἶπε, δηλαδή, «Μεσσίαν», ἀλλὰ «τὸν Μεσσίαν». Τόσον πολὺ ἐπερίμεναν ἕνα μοναδικὸν Χριστόν, ὁ ὁποῖος δὲν εἶχε τίποτε τὸ κοινὸν μὲ τοὺς ἄλλους. Κάνε μου δὲ τὴν χάριν νὰ προσέξῃς ἀπὸ τὴν ἀρχὴν ἀκόμη τὴν εὐπειθῆ καὶ εὐνοϊκὴν διάθεσιν τοῦ Πέτρου. Ἔτρεξεν ἀμέσως χωρὶς νὰ ἐνδιαφερθῇ διὰ τίποτε. Διότι λέγει· «τὸν ὡδήγησεν εἰς τὸν Ἰησοῦν». Ἀλλ' ἂς μὴ τοῦ καταλογίσῃ κανεὶς εὐκολοπιστίαν, ἐπειδὴ ἐδέχθη τὸν λόγον χωρὶς νὰ ζητήσῃ πολλὰς ἐξηγήσεις. Διότι εἶναι φυσικὸν καὶ ὁ ἀδελφός του νὰ τοῦ τὰ εἶπε μὲ μεγαλυτέραν λεπτομέρειαν καὶ διὰ μακρῶν, ἀλλὰ οἱ εὐαγγελισταὶ ἐπιδιώκοντες τὴν συντομίαν παντοῦ πολλὰ πράγματα τὰ συντομεύουν. Ἐξ ἄλλου δὲν λέγεται ὅτι ἐπίστευσεν ἀμέσως, ἀλλὰ ὅτι «τὸν ὡδήγησεν εἰς τὸν Ἰησοῦν», διὰ νὰ τὸν παραδώσῃ εἰς ἐκεῖνον, ὥστε ἀπὸ ἐκεῖνον νὰ τὰ μάθῃ ὅλα. Ἦτο δὲ παρὼν καὶ ὁ ἄλλος μαθητής, ὁ ὁποῖος συνέβαλεν εἰς αὐτά.

Ἐὰν δὲ ὁ Ἰωάννης ὁ βαπτιστής, ἀφοῦ τοὺς εἶπεν ὅτι εἶναι ὁ «Ἀμνὸς» καὶ ὅτι βαπτίζει μὲ Πνεῦμα, τοὺς ἄφησε νὰ μάθουν ἀπὸ τὸν ἴδιον τὴν περὶ αὐτοῦ συγκεκριμένην διδασκαλίαν, πολὺ περισσότερον θὰ τὸ ἔκανεν αὐτὸ ὁ Ἀνδρέας, ὁ ὁποῖος δὲν ἐνόμιζεν ὅτι ὁ ἴδιος ἠμποροῦσε νὰ τοῦ δώσῃ κάθε ἐξήγησιν, καὶ τὸν ἔσυρεν εἰς τὴν ἰδίαν τὴν πηγὴν τοῦ φωτὸς μὲ τόσην βιασύνην καὶ χαράν, φοβούμενος μὴ τυχὸν ἐκεῖνος ἀναβάλῃ καὶ ἀμελλήσῃ. «Καὶ ἀφοῦ τὸν ἐκύτταξεν ὁ Ἰησοῦς, τοῦ λέγει· σὺ εἶσαι ὁ Σίμων ὁ υἱὸς τοῦ Ἰωνᾶ· θὰ ὀνομασθῇς Κηφᾶς, (τὸ ὁποῖον σημαίνει Πέτρος). Ἀρχίζει λοιπὸν ἀπὸ ἐδῶ νὰ τοῦ ἀποκαλύπτῃ τὴν θεότητά του καὶ νὰ τὴν φανερώνῃ ὀλίγον κατ' ὀλίγον μὲ τὰς προρρήσεις. Ἔτσι ἔκανε καὶ εἰς τὸν Ναθαναὴλ καὶ εἰς τὴν γυναῖκα τὴν Σαμαρείτιδα.

2. Ἄλλωστε αἱ προφητεῖαι δὲν εἶναι κατώτεραι ἀπὸ τὰ θαύματα καὶ ἐνέχουν καὶ μετριοφροσύνην. Διότι τὰ μὲν

διαβληθείη παρὰ τοῖς ἀνοήτοις· «Ἐν Βεελζεβοὺλ», γάρ, φησίν, «ἐκβάλλει τὰ δαιμόνια», περὶ δὲ τῆς προφητείας οὐδὲν τοιοῦτον ἐλέχθη ποτέ. Ἐπὶ μὲν οὖν τοῦ Σίμωνος καὶ τοῦ Ναθαναὴλ τούτῳ τῆς διδασκαλίας τῷ τρόπῳ κέχρηται, ἐπὶ δὲ Ἀνδρέου καὶ Φιλίππου τοῦτο οὐκ ἐποίησε. Τί δήποτε; Ὅτι ἐκεῖνοι μὲν εἶχον τὴν μαρτυρίαν Ἰωάννου οὐ μικρὰν παρασκευήν, ὁ δὲ Φίλιππος, τοὺς παρόντας ὁρῶν, ἀξιόπιστον τεκμήριον ἐλάμβανε πίστεως.

«Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος». Ἀπὸ τοῦ παρόντος καὶ τὸ μέλλον πιστοῦται. Ὁ γὰρ τὸν Πατέρα εἰπὼν δῆλον ὅτι καὶ τὸ μέλλον προῄδει· καὶ μετ' ἐγκωμίου ἡ πρόρρησις. Τοῦτο δὲ οὐ κολακεύοντος ἦν, ἀλλὰ τὸ μέλλον προλέγοντος, καὶ δῆλον ἐκεῖθεν. Σκόπει γοῦν ἐπὶ τῆς Σαμαρείτιδος πῶς μετὰ σφοδρῶν ἐλέγχων ποιεῖται τὴν πρόρρησιν· «Πέντε» γάρ, φησίν, «ἄνδρας ἔσχες· καὶ νῦν, ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ».

Οὕτω καὶ ὁ Πατὴρ αὐτοῦ πολὺν περὶ προφητείας ποιεῖται λόγον, πρὸς τὴν τῶν εἰδώλων δόξαν ἱστάμενος· «Ἀπαγγειλάτωσαν γὰρ ὑμῖν τί μέλλει ἐφ' ὑμᾶς ἔρχεσθαι»· καὶ πάλιν, «Ἀπήγγειλα καὶ ἔσωσα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος», καὶ δι' ὅλης τοῦτο τῆς προφητείας εἰς μέσον ἄγει. Τοῦτο γὰρ μάλιστα ἔργον Θεοῦ, ὅπερ οὐδὲ μιμήσασθαι δύναιτ' ἂν οἱ δαίμονες, κἂν σφόδρα φιλονεικῶσιν. Ἐπὶ μὲν γὰρ τῶν θαυμάτων καὶ φαντασία γένοιτο ἄν, τὸ δὲ τὰ μέλλοντα προειπεῖν μετὰ ἀκριβείας τῆς ἀκηράτου φύσεως ἐκείνης μόνης ἐστίν. Εἰ δέ που καὶ δαίμονες τοῦτο πεποιήκασιν, ἀλλ' ἀπατῶντες τοὺς ἀνοητοτέρους· ὅθεν καὶ εὐφώρατα αὐτῶν πανταχοῦ τὰ μαντεῖα.

---

3. Ματθ. 12, 24.
4. Ἰω. 4, 18.
5. Ἠσ. 47, 13.
6. Ἠσ. 43, 12.

θαύματα ἠμποροῦν καὶ νὰ ἀμφισβητηθοῦν ἀπὸ τοὺς ἀνοήτους («μὲ τὸν Βεελζεβοὺλ διώχνει τὰ δαιμόνια»[3] ἔλεγαν), ἐνῷ διὰ τὴν προφητείαν δὲν ἐλέχθη ποτὲ κάτι τέτοιο. Εἰς μὲν λοιπὸν τὸν Σίμωνα καὶ τὸν Ναθαναὴλ αὐτὴν τὴν μέθοδον τῆς διδασκαλίας χρησιμοποιεῖ. Ἐνῷ εἰς τὸν Ἀνδρέαν καὶ τὸν Φίλιππον δὲν τὸ ἔκανεν αὐτό. Διατί ἆρά γε; Διότι ἐκεῖνοι μὲν εἶχαν τὴν μαρτυρίαν τοῦ Ἰωάννου, ἡ ὁποία δὲν ἦτο μικρὰ προπαρασκευή. Ὁ Φίλιππος μάλιστα βλέπων τοὺς παρόντας, εἶχεν ἀξιόπιστον τεκμήριον πίστεως.

«Σὺ εἶσαι ὁ Σίμων ὁ υἱὸς τοῦ Ἰωνᾶ. Θὰ ὀνομασθῇς Κηφᾶς, (τὸ ὁποῖον σημαίνει Πέτρος)». Μὲ τὸ παρὸν ἐπιβεβαιώνει καὶ τὸ μέλλον. Διότι αὐτὸς ὁ ὁποῖος ἀνέφερε τὸν πατέρα του, εἶναι φανερὸν ὅτι προεγίνωσκε καὶ τὸ μέλλον του. Καὶ ἡ προφητεία γίνεται μὲ ἐγκώμιον. Αὐτὸ δὲ δὲν ἦτο κολακεία, ἀλλὰ πρόρρησις τοῦ μέλλοντος. Καὶ φαίνεται ἀπὸ τὸ ἑξῆς: Πρόσεξε εἰς τὴν Σαμαρείτιδα μὲ πόσον σφοδροὺς ἐλέγχους κάμνει τὴν πρόρρησιν. «Πέντε ἄνδρας», τῆς λέγει, «εἶχες καὶ αὐτὸς τὸν ὁποῖον ἔχεις τώρα δὲν εἶναι ἄνδρας σου»[4].

Καὶ ὁ Πατὴρ του κατὰ τὸν ἴδιον τρόπον κάμνει εὑρεῖαν χρῆσιν τῆς προφητείας, ὅταν ἀντιτίθεται εἰς τὴν λατρείαν τῶν εἰδώλων. Λέγει ἐπὶ παραδείγματι· «Ἂς σᾶς εἰποῦν τί πρόκειται νὰ σᾶς συμβῇ»[5], καὶ ἀλλοῦ· «Σᾶς εἶπα τὸ μέλλον καὶ σᾶς ἔσωσα καὶ δὲν ὑπῆρχε μεταξύ σας ξένος»[6]. Καὶ εἰς κάθε προφητείαν τὸ ἀναφέρει αὐτό, ἀφοῦ αὐτὸ εἶναι κυρίως ἔργον τοῦ Θεοῦ, τὸ ὁποῖον οἱ δαίμονες δὲν ἠμποροῦν νὰ τὸ μιμηθοῦν, ὅσον καὶ ἂν προσπαθοῦν. Διότι εἰς τὰ θαύματα εἶναι δυνατὸν νὰ εἰσχωρήσῃ καὶ ψευδὴς ἐντύπωσις· ἡ πρόρρησις τῶν μελλόντων ὅμως μὲ ἀκρίβειαν, εἶναι ἔργον ἀποκλειστικὸν τῆς ἀσπίλου θεϊκῆς φύσεως. Ἐὰν δὲ εἰς μερικὰς περιπτώσεις ἔκαναν τὸ ἴδιον καὶ οἱ δαίμονες, ἐξηπάτησαν ἁπλῶς τοὺς περισσότερον ἀνοήτους. Δι' αὐτὸ καὶ τὰ μαντεῖα των παντοῦ ἀποκαλύπτονται εὔκολα.

Ὁ δὲ Πέτρος οὐδὲν πρὸς ταῦτα ἀποκρίνεται· οὐδέπω γὰρ οὐδὲν ᾔδει σαφῶς, ἀλλὰ τέως ἐμάνθανεν. Ὅρα δὲ οὐδὲ ὁλόκληρον τὴν πρόρρησιν κειμένην. Οὐ γὰρ εἶπεν· «Ἐγώ σε μετονομάσω Πέτρον, καὶ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν ἐπὶ τῇ πέτρᾳ ταύτῃ, ἀλλὰ «σὺ κληθήσῃ Κηφᾶς». Ἐκεῖνο γὰρ αὐθεντίας ἦν καὶ ἐξουσίας μείζονος. Ὁ δὲ Χριστὸς οὐκ εὐθέως οὐδὲ ἐξ ἀρχῆς τὰ τῆς ἐξουσίας ἐπιδείκνυται πάντα, ἀλλὰ τέως ταπεινότερον φθέγγεται. Ὅτε γοῦν ἔδωκε τῆς αὐτοῦ θεότητος ἀπόδειξιν, λοιπὸν αὐθεντικώτερον αὐτὸ τίθησι, λέγων· «Μακάριος εἶ, Σίμων, ὅτι ὁ Πατήρ μου ἀπεκάλυψέ σοι», καὶ πάλιν· «Κἀγώ σοι λέγω· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν».

Τοῦτον μὲν οὖν οὕτως ὠνόμασε, τοὺς δὲ περὶ Ἰάκωβον, υἱοὺς βροντῆς. Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; Δεικνὺς ὅτι αὐτός ἐστιν ὁ καὶ τὴν Παλαιὰν δεδωκώς, καὶ τὰ ὀνόματα μεταρρυθμίζων, ὁ τὸν Ἅβραμ Ἀβραὰμ καλέσας, καὶ τὴν Σάραν Σάρραν, καὶ τὸν Ἰακὼβ Ἰσραήλ. Πολλοῖς μὲν καὶ ἐκ γενετῆς τὰ ὀνόματα ἔθηκεν, ὡς τῷ Ἰσαάκ, ὡς τὸ Σαμψών, ὡς τοῖς ἐν τῷ Ἠσαΐᾳ καὶ Ὠσηέ, τοῖς δὲ μετὰ τὴν παρὰ τῶν γονέων προσηγορίαν, ὡς τοῖς τε εἰρημένοις, καὶ τῷ Ἰησοῦ τοῦ Ναυῆ.

Ἔθος δὲ καὶ τοῦτο τοῖς παλαιοῖς ἦν, ἀπὸ τῶν πραγμάτων τὰ ὀνόματα τίθεσθαι, ὅπερ δήπου καὶ Ἠλίας πεποίηκε. Τοῦτο δὲ οὐχ ἁπλῶς γίνεται, ἀλλ' ἵνα τὴν προσηγορίαν ἔχωσιν ὑπόμνημα τῆς εὐεργεσίας τοῦ Θεοῦ, ἵνα μνήμη διηνεκὴς τῆς διὰ τῶν ὀνομάτων προφητείας ἐνηχῆται τοῖς ἀκούουσιν. Οὕτω καὶ τὸν Ἰωάννην ἄνωθεν ἐκάλεσεν. Οἷς μὲν

7. Ματθ. 16, 17.
8. Ματθ. 16, 18.

Ὁ Πέτρος ὅμως δὲν ἀπαντᾷ τίποτε εἰς αὐτά· διότι ἀκόμη τίποτε τὸ σαφὲς δὲν ἐγνώριζεν, ἀλλὰ μόλις ἐμάθαινε. Πρόσεξε δὲ ὅτι δὲν ἀναφέρεται ὁλόκληρος ἡ προφητεία. Δὲν εἶπεν· ἐγὼ θὰ σὲ μετονομάσω Πέτρον καὶ θὰ οἰκοδομήσω τὴν Ἐκκλησίαν μου ἐπάνω εἰς τὴν πέτραν αὐτήν, ἀλλὰ «σὺ θὰ ὀνομασθῇς Κηφᾶς». Διότι ἐκεῖνο ἦτο δεῖγμα αὐθεντίας καὶ μεγαλυτέρας ἐξουσίας. Ὁ δὲ Χριστὸς δὲν ἐπιδεικνύει ἀμέσως καὶ ἐξ ἀρχῆς ὅλα τὰ σημεῖα τῆς ἐξουσίας του, ἀλλὰ εἰς τὴν ἀρχὴν ὁμιλεῖ ταπεινότερα. Ὅταν δὲ ἔδωσεν ἀπόδειξιν τῆς θεότητός του, τότε θέτει τὸ πρᾶγμα μὲ περισσοτέραν αὐθεντίαν καὶ λέγει· «Σίμων υἱὲ τοῦ Ἰωνᾶ, εἶσαι μακάριος, διότι ὁ Πατήρ μου σοῦ ἀπεκάλυψεν»[7] αὐτὸ ποὺ εἶπες, καὶ πάλιν· «Καὶ ἐγὼ σοῦ λέγω· σὺ εἶσαι Πέτρος καὶ ἐπάνω εἰς τὴν πέτραν αὐτὴν θὰ οἰκοδομήσω τὴν ἐκκλησίαν μου»[8].

Αὐτὸν μὲν λοιπὸν τὸν ὠνόμασεν ἔτσι, τοὺς δὲ ἄλλους γύρω ἀπὸ τὸν Ἰάκωβον τοὺς ὠνόμασεν υἱοὺς τῆς βροντῆς. Διατί τὸ κάνει αὐτό; Διὰ νὰ δείξῃ ὅτι Αὐτὸς εἶναι ποὺ ἔδωσε τὴν Παλαιὰν Διαθήκην καὶ ἀλλάσσει τὰ ὀνόματα καὶ ὠνόμασε τὸν Ἅβραμ Ἀβραὰμ καὶ τὴν Σάραν Σάρραν καὶ τὸν Ἰακὼβ Ἰσραήλ. Εἰς πολλοὺς μὲν ἔδωσεν ὀνόματα κατὰ τὴν γέννησίν των, ὅπως εἰς τὸν Ἰσαάκ, εἰς τὸν Σαμψών, εἰς τὸν Ἠσαΐαν καὶ τὸν Ὠσηέ. Εἰς ἄλλους δὲ μετὰ ἀπὸ τὴν ὀνοματοδοσίαν τῶν γονέων των, ὅπως εἰς αὐτοὺς ποὺ ἐλέχθησαν καὶ εἰς τὸν Ἰησοῦν τοῦ Ναυῆ.

Ἦτο συνήθεια αὐτὸ εἰς τοὺς παλαιοὺς νὰ δίνουν τὰ ὀνόματα ἐκ τῶν πραγμάτων, ὅπως ἀκριβῶς ἔκανε καὶ ὁ Ἠλίας. Αὐτὸ δὲ δὲν γίνεται εἰς τὴν τύχην, ἀλλὰ διὰ νὰ τοὺς ὑπενθυμίζῃ τὸ ὄνομα τὴν εὐεργεσίαν τοῦ Θεοῦ, διὰ νὰ γίνεται διαρκὴς ὑπόμνησις τῆς προφητείας, ἡ ὁποία ἔγινε μὲ τὰ ὀνόματα, εἰς ἐκείνους ποὺ τὰ ἀκούουν. Δι᾽ αὐτὸ καὶ τὸν Ἰωάννην τὸν ὠνόμασεν ἔτσι ἀπὸ τὴν ἀρχήν. Διότι ἐκεῖνοι εἰς τοὺς ὁποίους ἡ ἀρετὴ ἐπρόκειτο νὰ διαλάμψῃ ἀπὸ τὴν

γὰρ ἔμελλεν ἐκ πρώτης ἡλικίας ἡ ἀρετὴ διαλάμπειν ἐκεῖθεν τὰ ὀνόματα ἐλάμβανον, τοῖς δὲ μετὰ ταῦτα μέλλουσιν ἐπιδιδόναι μετὰ ταῦτα καὶ ἡ προσηγορία ἐτίθετο.

3. Ἀλλὰ τότε μὲν διάφορα ἕκαστος ἐλάμβανεν ὀνόματα, νῦν δὲ ἓν πάντες ἔχομεν, τὸ πάντων μεῖζον ἐκεῖνο, τὸ Χριστιανοὶ προσαγορεύεσθαι, καὶ υἱοὶ τοῦ Θεοῦ, καὶ φίλοι, καὶ σῶμα. Ἱκανὴ γὰρ αὕτη ἡ προσηγορία πασῶν μᾶλλον ἐκείνων ἡμᾶς διαναστῆσαι, καὶ ποιῆσαι προθυμοτέρους πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν.

Μὴ τοίνυν ἀνάξια πράττωμεν τῆς κατὰ τὴν προσηγορίαν τιμῆς, ἐννοήσαντες τὴν ὑπερβολὴν τῆς ἀξίας, οἱ τοῦ Χριστοῦ καλούμεθα. Οὕτω γὰρ ἡμᾶς Παῦλος ὠνόμασεν. Ἐννοήσωμεν καὶ αἰδεσθῶμεν τῆς προσηγορίας τὸ μέγεθος. Εἰ γὰρ στρατηγοῦ τινος ἐπισήμου, ἢ καὶ ἄλλως λαμπροῦ τινος εἶναι λεγόμενός τις μέγα φρονεῖ, τοῦ δεῖνος ἀκούων ἢ τοῦ δεῖνος, καὶ ἀξίωμα τὸ ὄνομα νομίζει μέγα, καὶ πάντα ποιεῖ, ὥστε μὴ διὰ τῆς οἰκείας ῥᾳθυμίας βλασφημίαν τῷ ᾧ ἐστιν ἐπώνυμος προστρίψασθαι· ἡμεῖς οὐ στρατηγοῦ, οὐδὲ ἄρχοντός τινος τῶν ἐπὶ γῆς, οὐκ ἀγγέλου, οὐδὲ ἀρχαγγέλου, οὐδὲ τῶν Σεραφίμ, ἀλλ' αὐτοῦ, τοῦ τούτων βασιλέως, καλούμενοι ἀπὸ τῆς προσηγορίας, οὐχὶ καὶ τὴν ψυχὴν αὐτὴν προησόμεθα, ὥστε μὴ ὑβρίσαι τὸν τιμήσαντα;

Οὐκ ἴστε τὰ τάγματα τὰ βασιλικὰ τῶν ἀσπιδοφόρων καὶ λογχοφόρων, τὰ περὶ τὸν βασιλέα, πόσης ἀπολαύει τιμῆς; Οὕτω καὶ ἡμεῖς, ἐγγὺς αὐτοῦ γενέσθαι καταξιωθέντες καὶ πολλῷ πλησιαίτερον, καὶ τοσούτῳ ἐγγύτερον τῶν εἰρημένων, ὅσῳ τὸ σῶμα τῇ κεφαλῇ μᾶλλον τούτων πλησίον ἐστί, πάντα πράττωμεν, δι' ὧν τὸν Χριστὸν μιμησόμεθα.

Τί οὖν φησιν ὁ Χριστός; «Αἱ ἀλώπεκες φωλεοὺς ἔχου-

νεαρὰν ἡλικίαν, ἔπαιρναν τὰ ὀνόματα ἀπὸ αὐτήν. Ἐνῷ εἰς ἐκείνους ποὺ ἐπρόκειτο νὰ χορηγηθῇ ἀργότερα καὶ τὸ ὄνομα ἐδίδετο.

3. Ἀλλὰ τότε μὲν ὁ καθένας ἐλάμβανε διάφορα ὀνόματα. Τώρα δὲ ὅλοι ἔχομεν ἕνα, ἐκεῖνο ποὺ εἶναι ἀνώτερον ἀπὸ ὅλα, τὸ ὅτι ὀνομαζόμεθα Χριστιανοὶ καὶ υἱοὶ τοῦ Θεοῦ καὶ φίλοι καὶ σῶμα. Διότι ἡ ὀνομασία αὐτὴ εἶναι ἀρκετὴ νὰ μᾶς διεγείρῃ περισσότερον ἀπὸ ὅλας ἐκείνας καὶ νὰ μᾶς κάνῃ περισσότερον προθύμους εἰς τὸ νὰ ἐργαζώμεθα τὴν ἀρετήν.

Ἄς μὴ κάνωμεν λοιπὸν πράξεις ἀναξίας πρὸς τὴν τιμὴν ποῦ μᾶς προσδίδει τὸ ὄνομα, κατανοοῦντες τὴν ὑπεροχὴν τῆς ἀξίας ἐμεῖς οἱ ὁποῖοι ὀνομαζόμεθα τοῦ Χριστοῦ. Διότι ἔτσι μᾶς ὠνόμασεν ὁ Παῦλος. Ἄς κατανοήσωμεν καὶ ἂς σεβασθῶμεν τὴν σπουδαιότητα τοῦ ὀνόματός μας. Διότι ἐάν, ἐκεῖνος ποὺ λέγεται ὅτι ἀνήκει εἰς κάποιον ἐπιφανῆ στρατηγὸν ἢ καὶ κάποιον ἄλλον διάσημον ἄνδρα, ὑπερηφανεύεται ὅταν λέγῃ ὅτι εἶναι τοῦ τάδε ἢ τοῦ τάδε καὶ θεωρῇ μέγα ἀξίωμα τὸ ὄνομα καὶ κάνῃ τὸ πᾶν διὰ νὰ μὴ καταισχύνῃ μὲ τὴν ραθυμίαν του ἐκεῖνον τοῦ ὁποίου φέρει τὸ ὄνομα, ἐμεῖς οἱ ὁποῖοι δὲν φέρομεν τὸ ὄνομα κάποιου στρατηγοῦ, οὔτε οἱουδήποτε ἐπιγείου ἄρχοντος, οὔτε ἀγγέλου, οὔτε ἀρχαγγέλου, οὔτε τῶν Σεραφίμ, ἀλλὰ τοῦ ἰδίου τοῦ βασιλέως αὐτῶν, δὲν θὰ δώσωμεν ἀκόμη καὶ τὴν ψυχήν μας τὴν ἰδίαν διὰ νὰ μὴ ἀτιμάσωμεν αὐτὸν ποὺ μᾶς ἔκανε τὴν τιμήν;

Δὲν ξεύρετε τὰ βασιλικὰ τάγματα τῶν ἀσπιδοφόρων καὶ τῶν λογχοφόρων ποὺ εἶναι περὶ τὸν βασιλέα, πόσην τιμὴν ἀπολαμβάνουν; Ἔτσι καὶ ἐμεῖς οἱ ὁποῖοι ἠξιώθημεν νὰ ἔλθωμεν κοντά του καὶ πολὺ πιὸ κοντὰ καὶ τόσον πιὸ κοντὰ ἀπὸ ἐκείνους ὅσον περισσότερον ἀπὸ αὐτοὺς εὑρίσκεται τὸ σῶμα κοντὰ εἰς τὴν κεφαλήν, ἂς κάνωμεν τὰ πάντα μὲ τὰ ὁποῖα θὰ μιμηθῶμεν τὸν Χριστόν.

Τί λέγει λοιπὸν ὁ Χριστός; «Αἱ ἀλώπεκες ἔχουν φω-

σι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Τοῦτο μὲν οὖν ἂν ἀπαιτήσωμεν παρ' ὑμῶν, φορτικὸν ἴσως καὶ ἐπαχθὲς εἶναι δόξει τοῖς πολλοῖς· διὸ τὴν μὲν ἀκρίβειαν ταύτην ἀφίημι διὰ τὴν ὑμετέραν ἀσθένειαν, ἀξιῶ δὲ μὴ προσηλῶσθαι τοῖς χρήμασιν, ἀλλ' ὥσπερ ἐγὼ τῆς ὑπερβολῆς ἀφίσταμαι, τῆς κατὰ τὴν ἀρετήν, διὰ τὴν ἀσθένειαν τὴν τῶν πολλῶν, οὕτω καὶ ὑμᾶς τῆς κατὰ τὴν κακίαν ἀποστῆναι, καὶ πολλῷ πλέον.

Οὐκ ἐγκαλῶ τοῖς οἰκίας ἔχουσι, καὶ ἀγρούς, καὶ χρήματα, καὶ ἀνδράποδα, ἀλλὰ μετὰ ἀσφαλείας ταῦτα κεκτῆσθαι βούλομαι καὶ μετὰ τοῦ πρέποντος. Τί δέ ἐστι, μετὰ τοῦ πρέποντος; Ἐν τάξει δεσποτῶν, καὶ μὴ δούλων, ὥστε κρατεῖν αὐτῶν, καὶ μὴ κρατεῖσθαι ὑπ' αὐτῶν, ὥστε κεχρῆσθαι αὐτοῖς, καὶ μὴ παρακεχρῆσθαι. Χρήματα διὰ τοῦτο εἴρηται, ἵνα αὐτοῖς εἰς τὰς ἀναγκαίας χρώμεθα διακονίας, οὐχ ἵνα φυλάττωμεν· τοῦτο γὰρ οἰκέτου, δεσπότου δὲ ἐκεῖνο· δούλου τὸ τηρεῖν, τὸ δὲ ἀναλίσκειν κυρίου, καὶ πολλὴν ἔχοντος τὴν ἐξουσίαν.

Οὐ διὰ τοῦτο ἔλαβες, ἵνα αὐτὰ καταχώσῃς, ἀλλ' ἵνα αὐτὰ διανείμῃς. Εἰ δὲ ἐβούλετο αὐτὰ ὁ Θεὸς φυλάττεσθαι, οὐκ ἂν αὐτὰ ἀνθρώποις ἔδωκεν, ἀλλ' εἴασεν ἂν ἐν τῇ γῇ κείμενα μένειν. Ἐπειδὴ δὲ βούλεται αὐτὰ δαπανᾶσθαι, διὰ τοῦτο αὐτὰ ἡμᾶς εἴασεν ἔχειν, ἵνα ἀλλήλοις μεταδῶμεν. Ἂν δὲ παρ' ἑαυτοῖς κατέχωμεν, οὐκ ἔτι δεσπόται τούτων ἐσμέν. Εἰ δὲ βούλει αὐτὰ πλείω ποιῆσαι, καὶ διὰ τοῦτο κατέχεις, καὶ ἐνταῦθα αὕτη πασῶν ἀρίστη μέθοδος, τὸ σκορπίσαι καὶ πανταχοῦ διανεῖμαι· οὐδὲ γὰρ ἔνι γενέσθαι πρόσοδον δαπάνης χωρίς, οὐδὲ πλοῦτον ἄνευ ἀναλωμάτων.

Τοῦτο καὶ ἐν τοῖς βιωτικοῖς γινόμενον ἴδοι τις ἄν. Οὕτως ὁ ἔμπορος, οὕτως ὁ γεωργός, ὁ μὲν τὰ σπέρματα, ὁ δὲ

---

9. Λουκᾶ 9, 58.

λεὰς καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ τόπους ὅπου κατασκηνώνουν· ἐνῷ ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γείρῃ τὴν κεφαλήν του»[9]. Ἐὰν βέβαια ἀποκτήσωμεν αὐτὸ ἀπὸ σᾶς θὰ φανῇ ἴσως πολὺ βαρὺ καὶ ἐπαχθὲς ἀπὸ τοὺς πολλούς. Δι' αὐτὸ ἀφήνω τὴν λεπτομέρειαν αὐτὴν ἐξ αἰτίας τῆς ἀδυναμίας σας, ἀξιώνω ὅμως νὰ μὴ προσηλώνεσθε εἰς τὰ χρήματα, ἀλλά, ὅπως ἐγὼ ἐγκαταλείπω τὴν ὑπερβολικὴν ἀρετὴν ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν πολλῶν, ἔτσι καὶ σεῖς νὰ ἀπομακρυνθῆτε ἀπὸ τὴν κακίαν καὶ ἀκόμη περισσότερον.

Δὲν κατηγορῶ ἐκείνους ποὺ ἔχουν οἰκίας καὶ ἀγροὺς καὶ χρήματα καὶ δούλους. Θέλω ὅμως νὰ τὰ ἀποκτᾶται μὲ ἐντιμότητα καὶ ὅπως πρέπει. Τί σημαίνει δὲ ὅπως πρέπει; Μὲ νοοτροπίαν κυρίων καὶ ὄχι δούλων, ὥστε νὰ εἶσθε κύριοι αὐτῶν καὶ ὄχι νὰ κυριαρχῆσθε ἀπὸ αὐτά, ὥστε νὰ τὰ χρησιμοποιῆτε καὶ νὰ μὴ κάνετε κατάχρησιν αὐτῶν. Δι' αὐτὸ λέγονται χρήματα, διὰ νὰ τὰ χρησιμοποιοῦμεν εἰς τὰς ἀπαραιτήτους ἀνάγκας μας καὶ ὄχι νὰ τὰ φυλάσσωμεν· διότι αὐτὸ εἶναι γνώρισμα δούλου, κυρίου δὲ εἶναι ἐκεῖνο. Γνώρισμα δούλου εἶναι τὸ νὰ τὰ φυλάσσωμεν, ἐνῷ ἡ κατανάλωσίς των εἶναι γνώρισμα κυρίου καὶ ἀνθρώπου ποὺ ἔχει μεγάλην ἐξουσίαν.

Δὲν τὰ ἔλαβες δι' αὐτό, διὰ νὰ τὰ καταχωνιάσῃς, ἀλλὰ διὰ νὰ τὰ μοιράσῃς. Ἄλλωστε, ἐὰν ὁ Θεὸς ἤθελε νὰ φυλάσσωνται, δὲν θὰ τὰ ἔδινεν εἰς τοὺς ἀνθρώπους, ἀλλὰ θὰ τὰ ἄφηνε νὰ μένουν μέσα εἰς τὴν γῆν. Ἐπειδὴ ὅμως θέλει νὰ ἐξοδεύωνται, δι' αὐτὸ μᾶς ἐπέτρεψε νὰ τὰ ἔχωμεν, διὰ νὰ τὰ δίδωμεν ὁ ἕνας εἰς τὸν ἄλλον. Ἐὰν δὲ τὰ κρατοῦμεν κοντά μας δὲν εἴμεθα κύριοι αὐτῶν. Ἐὰν πάλιν θέλῃς νὰ τὰ κάνῃς περισσότερα καὶ δι' αὐτὸ τὰ κρατεῖς, καὶ πάλιν ἡ καλυτέρα μέθοδος ἀπὸ ὅλας εἶναι νὰ τὰ σκορπίσῃς καὶ νὰ τὰ διανείμῃς παντοῦ. Διότι δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ ἔσοδον χωρὶς δαπάνην, οὔτε πλοῦτος χωρὶς καταναλώσεις.

Αὐτὸ ἠμπορεῖ κανεὶς νὰ τὸ ἰδῇ νὰ συμβαίνῃ καὶ εἰς τὰς βιωτικὰς ὑποθέσεις. Ἔτσι κάνει ὁ ἔμπορος, ἔτσι καὶ ὁ γεωρ-

τὰ χρήματα ἐκβάλλοντες· καὶ γὰρ θάλασσαν ὁ μὲν πλεῖ τοῦ σκορπίσαι τὰς ἑαυτοῦ, ὁ δὲ ἐνιαυτὸν ὁλόκληρον μοχθεῖ, τὰ σπέρματα καταβάλλων καὶ θεραπεύων. Ἐνταῦθα δὲ οὐδενὸς δεῖ τούτων, οὐ κατασκευάσαι πλοῖον, οὐ ζεῦξαι βοῦς καὶ ἀρόσαι γῆν, οὐκ ἀνωμαλίαν ἀέρων μεριμνᾶν, οὐ χαλάζης καταβολὴν φοβηθῆναι· οὐκ ἔνι κύματα ἐνταῦθα, οὐδὲ σκόπελος· οὗτος ὁ πλοῦς, καὶ οὗτος ὁ σπόρος ἑνὸς δεῖται μόνου, τοῦ ῥῖψαι τὰ ὄντα· τὰ δὲ λοιπὰ ἅπαντα ὁ γεωργὸς ἐκεῖνος ποιήσει, περὶ οὗ φησιν ὁ Χριστός· «Ὁ Πατήρ μου ὁ γεωργός ἐστι».

Πῶς οὖν οὐκ ἄτοπον, ἔνθα μὲν ἔστιν ἀπονητὶ πάντα λαβεῖν ὕπτιον εἶναι καὶ ῥάθυμον, ἔνθα δὲ πολλοὶ μὲν ἱδρῶτες, πολλοὶ δὲ μόχθοι καὶ φροντίδες, καὶ μετὰ ταῦτα τὸ τῶν ἐλπίδων ἄδηλον, πᾶσαν ἐπιδείκνυσθαι προθυμίαν; Μή, παρακαλῶ, μὴ μέχρι τοσούτου ἀνοηταίνωμεν πρὸς τὴν οἰκείαν σωτηρίαν, ἀλλά, τὰ φορτικώτερα ἀφέντες, πρὸς τὰ ῥᾷστα καὶ κερδαλεώτερα τρέχωμεν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γός, αὐτὸς μὲν σκορπίζων τοὺς σπόρους, ἐκεῖνος δὲ τὰ χρήματα. Μάλιστα ὁ μὲν ἔμπορος διαπλέει τὴν θάλασσαν διὰ νὰ σκορπίσῃ αὐτὰ ποὺ ἔχει, ὁ δὲ γεωργὸς κοπιάζει ὁλόκληρον τὸν χρόνον σπείρων τοὺς σπόρους καὶ καλλιεργῶν. Ἐδῶ ὅμως δὲν χρειάζεται τίποτε ἀπὸ αὐτά· οὔτε πλοῖον νὰ κατασκευάσετε, οὔτε βόδια νὰ ζέψετε καὶ νὰ ὀργώσετε τὴν γῆν, οὔτε διὰ τὴν ἀνωμαλίαν τῶν ἀέρων νὰ ἀγωνιᾶτε, οὔτε τὴν πτῶσιν χαλάζης νὰ φοβηθῆτε. Δὲν ὑπάρχουν κύματα ἐδῶ, οὔτε σκόπελος. Ὁ πλοῦς αὐτὸς καὶ ἡ σπορὰ αὐτὴ ἕνα μόνον χρειάζονται· νὰ ρίψετε αὐτὰ ποὺ ἔχετε· ὅλα δὲ τὰ ἄλλα θὰ τὰ φροντίσῃ ὁ γεωργὸς ἐκεῖνος διὰ τὸν ὁποῖον λέγει ὁ Χριστός· «Ὁ Πατήρ μου εἶναι γεωργός».

Δὲν εἶναι λοιπὸν ἄτοπον, ἐδῶ μὲν ὅπου εἶναι δυνατὸν νὰ λάβῃς τὰ πάντα χωρὶς κόπον, νὰ εἶσαι ξαπλωμένος ἀνάσκελα καὶ ράθυμος· ἐνῷ ἐκεῖ ὅπου χρειάζονται πολλοὶ ἱδρῶτες, πολλοὶ κόποι καὶ φροντίδες καὶ μετὰ ἀπὸ αὐτὰ αἱ ἐλπίδες δὲν εἶναι φανεραί, νὰ δείχνῃς κάθε προθυμίαν; Μή, σᾶς παρακαλῶ, ἂς μὴ ἀνοηταίνωμεν μέχρι αὐτοῦ τοῦ σημείου διὰ τὴν σωτηρίαν μας, ἀλλὰ ἀφοῦ ἀφήσωμεν τὰ πιὸ βαρέα, ἂς τρέχωμεν πρὸς τὰ εὐκολώτερα καὶ περισσότερον κερδοφόρα, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

Διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας, διὰ δὲ τῆς εἰσαγωγῆς καὶ τῶν σχολίων οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας καὶ εὑρίσκονται ἐντὸς παρενθέσεων.

1. *Εὑρετήριον χωρίων τῆς Γραφῆς*

Μᾶρκος

Λουκᾶς

Ἰωάννης

Πράξεις

Ρωμαίους

Α' Κορινθίους

Β' Κορινθίους

Γαλάτας

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

B

Γ

Δ

Ε

Ζ

Η

Θ

Ι

Κ

Λ

Μ

Ν

Ο

Π

Ρ

Σ

Τ

Υ

Φ

Χ

Ψ

Ω

Στοιχειοθεσία, Ἐκτύπωσις:



Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ Βαρουσιάδη

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «Βυζάντιον»
Ἐλευθερίου Μερετάκη
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη Τηλ. 205-965